This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

## Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

## About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

# ATHENAEUS

EX RECENSIONE

GUILIELMI DINDORFII.

VOL. I.

LIPSIAE 1827

LIBRARIA WEIDMANNIA

G. REIMER.

5515

# INDEX LIBRORUM.

A Marcianus Venetus Bessarioneus, aliquamdiu Parisinus, forma maxima, foliis membranaceis 373 bipartitis, scriptura saeculo duodecimo non recentiore, nullis impedita compendiis, iota non subscripto sed adscripto. Folia priora situ valde detrita ac primae paginae litterae pene evanidae. Incipit ab iisdem quibus ceteri codices verbis (III. p. 74. ed. Casaub.)

> στελεω ῥαφανίδασ· σικυοὺ στέτ
> ταρασ. σικύδιον δ᾽ ὑποκορεστι
> κῶς εἴρηκε φρύνιχος ἐν μονο
> τροπω· κὰν τραγειν σικύδι
> ον: Θεόφραστος δέ φησι

folio summo, nulla praemissa inscriptione, ut probabilis sit Schweighaeuseri suspicio integros Athenaei libros quindecim huic codici olim insse. Cum editione Commeliniana, quae est Casaubeniana prima, Parisiis contulit Godofredus Schweighaeuserus Ioannis filius, cuius in Athenaeum merita etsi iustissimis laudibus ab patre sunt praedicata, non diffitendum tamen est, quod et nunc idoneas rationes habeo cur affirmem et olim codice denuo excusso numerosis comprobabo exemplis, accidisse viro optimo quod evitare non facile est, ut multo plura quam quis vel-

*

Nova quidem hic liber praebuit pauca, sed est tamen magna cum utilitate ab me comparatus. Quum enim maior huic quam ceteris libris cum codice Aldino intercedat similitudo, multum me adiuvit disquirentem quid editio Aldina codici, quid Musuro, quid denique typothetis acceptum referret.

M Londinensis Musei Britannici 16 C. 24, chartaceus, forma quadrata. Huius auctoritate aliquoties usi sunt Bentleius, Porsonus, Gaisfordus: ego specimina in Commentariis sum daturus, sicubi operae pretium videbitur.

D Parisini 3056 chartacei specimina dederunt Brunckius, cuius exemplari usus est Schweighaeuserus, et Villebrunius. Complectitur librorum priorum epitomen, ab ignota manu scriptam, et libros septem, ab istis *σκελέων ῥαφανίδας* usque ad finem libri noni, ab Hermolao Barbaro exaratos, qui folio ultimo haec inscripsit *ἐγράφει* (sic) *ταῦτα, καὶ τὰ λοιπὰ ὧν ἡ ἀρχὴ, ἀλλ' ὥσπερ δείπνου, παρ' ἐμοῦ τοῦ ἑρμολάου τοῦ βαρβάρου τοῦ ἐνετοῦ ἐν ἡμέραις λζ. ἠρξάμεθα δὲ ἀπὸ τετάρτου τοῦ ὀκτωβρίου μηνὸς* 1482 *ἐν ταῖς ἐνετίαις, καὶ ἐτελέσαμεν τῇ ἐννάτῃ τοῦ ἑπομένου μηνὸς τοῦ νοεμβρίου*: quibus repugnant proxime antecedentia ab eadem („*ut videtur*“ inquit Schweighaeuserus p. LXXVIII.) manu scripta *ζήτει τὸ λοιπὸν τῆσδε τῆς βίβλου, ὅπερ ἄρχεται ἀπὸ τούτου τοῦ μέρους, οὗ ἡ ἀρχὴ, ἀλλ' ὥσπερ δείπνου γλαφυροῦ ποικίλος εὐωχία, καὶ τὰ λοιπά,* nisi de duobus codicis voluminibus alterum ablatum esse statuas. Quod mihi valde probabile fit codicem Palatinum intuenti, quem ipsum quoque bipartitum fuisse et foliorum numeris et ipsius Decani verbis admo-

nemur, qui libro nono haec subscripsit „*Scrips. Paul. Decan. Ven. patr. Venet. MDVI. XI cal. Maias perfec.*“ et libro quinto decimo „*Scripsit Paul. Decan. Ven. Patrit. Venetiis MDV. XI cal. Sept. perfec.*“ Non dissimilis ratio codicis

Q Parisini 1853 esse videtur, qui pariter non nisi libros illos septem complectitur. Est chartaceus, recentissimus, Palatino similis. Excerpta ex eo proposuit Villebrunius, quae ego auxi lectionis varietate ad III. p. 74.

Epitomes codicibus usi sumus duobus. Eorum

C est Parisinus 3056 A, olim Sedanensis, forma maxima, foliis 202 membranaceis, scriptura saeculum quartum decimum referente, ab Ioanne Schweighaeusero excussus.

E Laurentianus plutei LX. 2. chartaceus foliis 398, aetate et auctoritate Parisino par, nisi superior. Huius specimina quaedam attuli ad II. p. 36. multo plura nuper demum excerpta in Commentariis propositurus. Praeterea codicis instar fuit Eustathius, qui quum integro Athenaei opere careret, maximam epitomes partem in Commentarios Homericos transtulit, codice usus aliis in locis quam nostri libri emendatiore, in aliis deteriore: quae res interdum fraudi fuit viro ab doctrina quam iudicio instructiori.

---

## *Codices Casauboniani.*

De codicibus suis quum Casaubonus non ea quam hodie requirimus cura dixerit et, qui erat illorum mos temporum, in Animadversionibus exiguas copias oratione non raro exaggeraverit,

ipsius verba apposuimus, ne qua secus interpretati esse videremur. Ita igitur ille praefatione ad Animadversiones „Athenaei exemplaria e duo„bus inter se iam olim diversis omnia esse trans„fusa et descripta observavimus. Ab eorum altero „manavit Aldinum, cui per omnia fere simile est „Palatinum, quod in Heidelbergensi bibliotheca „illustrissimi principis asservatur: item aliud, „cuius nobis vir amplissimus, regi ab intimis „consiliis, Andreas Huraldus Messaeus*), copiam „fecit. At longe istis tribus et aliis omnibus, quae „ab eodem exemplo sunt orta, et emendatius et „integrius illud est, quod in celebratissima Car„dinalis Farnesii bibliotheca habetur. Ei libro „acceptum ferre debes quicquid in prioribus de„sideratum exhibet nostra editio. Multas autem „voces, multas periodos integras, interdum etiam „plures, singulis prope paginis adiecimus. Ut „taceam de insigni fragmento libri ultimi, quod „ante nos Gulielmus Canterus indidem nactus „publicaverat. Parilem huic codicem etiam in Va„ticana Romae**) servari accepimus. Nostra edi„tio Farnesianum fere exhibet, repraesentatum „nobis a clarissimo viro Henrico Stephano, qui „ante annos ferme quinquaginta, cum Romae es„set, accuratissime omnes varietates scripturae ad „oram sui codicis adnotaverat. Idem fecerat pau„cis ante Stephanum annis et Benedictus Aegius

*) Huraldinus codex idem esse videtur qui Londinensis M: id quod etiam Schweighaeuserum suspicatum esse video p. LX. Nactus autem est hunc codicem Casaubonus absolutis demum quattuordecim Animadversionum libris, ut nonnisi in ultimo libro et in Addendis eo uti potuerit.

**) De codice Vaticano vide infra p. XII.

„Spoletinus *), qui temporibus illis Romae inter
„peritissimos Graecarum litterarum est habitus.

---

*) „Possidet Parisiensis bibliotheca exemplum aliquod editionis „Basileensis, quod olim Casauboni fuerat, qui sua manu bis nomen „suum in fronte inscripsit; primum, cum iuvenis esset, quo tem„pore Is. Hortiboni nomen sibi adsciverat: deinde rursus, aetate „maior, verum nomen Isaac Casaubon alteri superscripsit. In eius„dem libri fronte manu eiusdem Casauboni haec verba inscripta „sunt: *In margine annotavimus quam plurima quae non erant edita. „Habuimus illa e codice, quem olim Bened. Aegius Spoletinus diligen„tissime cum manuscr. Farnesianae bibliothecae contulerat. Eo codice „et Notis Aegii manuscriptis usi sumus Petri Galesii Hisp. beneficio.* „Hunc librum commemorans Villebrunius in praefatione p. 8. sic „scribit: *L' Exémplaire même de Casaubon, et sur les marges du „quel il a jeté toutes les variantes et les passages non imprimés alors, „et qu'il devoit au travail d' Aegius de Spolete: cet exemplaire pré„sente nombre de remarques d'une et même de deux autres mains, dont „Casaubon a profité, sans dire d' où il les tenoit.* Tum in subiecta „adnotatione, postquam Casauboni verba eadem retulit, quae in „fronte illius libri inscripta dixi, sic pergit: *Casaubon dit dans son „avis, qu'il en doit la collation* [collationem dicit Manuscripti Farne„siani] *à Henri Etienne, et se garde bien de faire l'aveu qu'on lit ici: „c'est dont un plagiaire.* Eademque plagii criminatio saepius deinde „in adnotationibus tam fidenter quam studiose ab Villebrunio repe„tita est: denique epilogus versioni subiectus his verbis clauditur „T. V. p. 477.) *Quant a Casaubon, j'ose assurer que je ne l'ai que „trop epargné. - - - Je me contente donc des preuves nombreuses que „j'ai données de son inutile erudition et de ses plagiats; car il doit tout „ce qu'il a de bon à Aegius, qu'il ne nomme même pas dans son ver„beux commentaire.* Ego vero et Casaubono et lectoribus hoc me de„bere arbitror ut qua cura ille homo inspexerit hunc librum, cuius „testimonio plagii arguere Casaubonum ausus est, quave fide quae „in eo reperit retulerit, prolatis nonnullis exemplis declarem: sic „simul quid de aliis rebus statuendum sit, quas pari fiducia idem „subinde pronunciat, capi coniectura poterit. Lib. II. p. 50 e. ubi in „ora ed. 2. et 3. Cas. legitur γρ. τό τε γὰρ φέρον αὐτὰ etc. adnotavit „Villebrunius in Gallica versione T. I. p. 188. *Je suis la leçon de „mon manuscrit. - - Casaubon lisoit comme mon manuscrit, d' après „celui de Farnese.* Atqui in praedicto Casauboni exemplo ed. Bas. „p. 25. l. 36. ad eum locum nulla nec Aegii nec alterius cuiusquam „viri adnotatio legitur: ipse vero Casaubonus in Animadv. lib. II. c. „XI. diserte nos docet, *de illa scriptura se a Io. Levinio monitum „esse.* Ad verba τὰ ἐν ὄγκῳ II. p. 67 e. haec adnotavit Villebrunius T. „I. p. 263. *Je ne m'arrèterai pas à relever les bavardages que Casaubon „a fait sur le mot ὄγκος, dans ses commentaires. Il a cité ce qu'il „n'entendoit pas, ou ploutot il a copié Aegius sans l'entendre.* At nec „ad istum locum (ed. Bas. p. 34. l. 4.) nec ad III. p. 70 b. ed. Cas. „(pag. 39. ed. Bas. lin. 48.) ad quem locum rursus de eodem voca„bulo disputat Casaubonus, quidquam quod ab Aegio ille mutuari „potuisset, immo ne ullum quidem verbum adnotatum est. Rursus „II. p. 71 b. (ed. Bas. pag. 35. l. 43.) ad verbum ὀνόκορδον ne verbu„lum quidem in ora libri illius, de quo quaerimus, comparet. Ad „eundem vero locum Villebrunius T. I. p. 280. his verbis conclu-

„Eius etiam codicem vidimus nos inter alios neu-
„tiquam vulgares Petri Galesii, Hispani libros.
„Fecerunt idem postea et alii item multi. Itaque
„Farnesianas illas notas passim reperias in eru-
„ditorum bibliothecis non solum Italorum, sed et
„Cisalpinorum. Habuit eas uterque interpres *):
„habuit et vir eximius, Conradus Gesnerus, cuius
„librum doctissimi Gasparis Wolfii opera nacti
„sumus. Easdem et nobilissimus studiorumque
„nostrorum studiosissimus Marcus Velserus Au-
„gusta Vindelicorum ad nos misit, ab Andrea
„Schotto, altae eruditionis viro, secum commu-
„nicata."

---

„dere suam adnotationem non erubuit: *Voilà comment on prouve que*
„*Casaubon ne consultoit que les notes qu'il copioit au hazard sur*
„*l'exemplaire d' Aegius, et n'entendoit rien de ce qu'il écrivoit ici.*
„Eadem ratio est lib. III. p. 72 b. (ed. Bas. p. 36. l. 18.) ubi Villebru-
„nius T. I. p. 286. ait *attribuisse sibi Casaubonum lectionem collatio-*
„*nis Aegii.* Pariter lib. III. p. 82 e. ubi in textu Cas. et edd. vett.
„omissa est vox *βαλάνου*, in margine autem suppleta; ibi rursus in
„Aegiana collatione nullum illius vocis vestigium comparet; sed in
„aliis excerptis adnotatam eam Casaubonus repererat, itaque in
„Animadv. ad eum locum ait, *auctiores una voce MSS. καὶ καρύου*
„*καὶ βαλάνου.* At Villebrunius fidenter asseverat (T. I. p. 327.) *ex*
„*Aegii notulis* ductam illam vocem. Denique III. p. 77 f. ad illa verba
„*διὰ τὸ ποιεῖν ματαϊσμοὺς* (quae Dalech. sic verterat, *valere contra*
„*malum mentis et infatuationes*, quasi Seleucus grammaticus, e quo
„illa verba citavit Athenaeus, *ποιεῖν πρὸς ματαϊσμοὺς* scripsisset)
„reprehendit interpretem illum Casaubonus (in Animadv. lib. III.
„cap. IV.) quod sententiam prorsus contrariam ex Plinio in aucto-
„rem nostrum intulisset: censuitque, Plinium quidem *πρὸς* olim
„legisse, nihilo minus vero Seleucum et ex eo Athenaeum nude
„*ποιεῖν ματαϊσμοὺς* scripsisse. Ad eumdemque locum idem Casaubon.
„olim sua manu in praedicto exemplo editionis Bas. (p. 38. l. 31.)
„in eamdem fere sententiam haec ipsa verba adscripserat: „*Inter-*
„*pres locum hunc pervertit, dum emendare simulat. Nam quis mire-*
„*tur diversa scribere auctores de eadem re? Atqui ille e medicis vo-*
„*luit Athenaeum exponere. Vide Eustath. pag.* 838. *'Οδ.*" Nec quid-
„quam praeterea ibi notatum. At non veretur Villebrunius T. I. p.
„304. adfirmare *particulam πρὸς ut supplendam adnotasse Aegium, et*
„*male fecisse Casaubonum, quod hunc emendationis illius auctorem non*
„*nominaverit.*" Schweigh. praefat. p. LXII — LXIV. Plura ab Ca-
saubono neglecta ex libro Aegiano in annotationibus protulit
Schweighaeuserus.

*) Natalem Comitem dicit et Dalecampium.

Epitomes codices Casaubonus habuit duo, alterum membranaceum Ioannis Levinii, canonici Antwerpiensis, obiter ab nescio quo inspectum*), alterum Davidis Hoeschelii, Leviniano simillimum, de quo ab Casaubono dictum est in initio Animadversionum et in epistola XXVI. p. 15. ed. Almelov. anno 1595 scripta. Dono Hoeschelium Casaubono codicem dedisse eo probabile fit quod post Casauboni mortem ex eius bibliotheca in Museum Britannicum illatus est, ubi hodie numeratur 16 D.X. Est chartaceus, ab initio mancus. Incipit ab verbis σύχυλα. θρεπτικώτερα δὲ τῶν μήλων (III. p. 82 f.). Habet in fine dissertationem de Nili incremento ab Schweighaeusero et nobis libro secundo subiectam. Panyasidis fragmentum (II. p. 36 d) et alia ex codice suo ipse ediderat Hoeschelius anno 1588 ad *Ioannis Damasceni orationem in transfigurationem domini*, Augustae Vindelicorum emissam: quo libro ab Schweighaeusero p. XXXIX. commemorato ego carui. Praeterea Casaubonus aliis quibusdam priorum editionum exemplaribus non accuratius descriptis usus est, quorum marginibus et codicum lectiones et virorum doctorum coniecturae ab illis non satis distinctae allitae fuerunt. Quamobrem cavendum est ne vel codici tribuatur quod ex coniectura profectum est vel coniecturae pro codicum lectionibus habeantur: quorum errorum culpam et Casaubonus et Schweighaeuserus contraxerunt. Rectius de his iudicari poterit si, quod operam dabimus, exem-

---

*) Codicem Levinianum raro memorat Casaubonus, quem excerptis ab alio lectionibus usum esse novimus ex annotatione ad XI. p. 466 d.

plaria illa ex bibliothecarum latebris eruere contigerit. Et duorum quidem ex Britannia nanciscendorum spes nobis facta est: duo alia in bibliotheca Academiae Traiectinae asservantur, de quibus infra posui *) quae ad me perscripsit Simo Karstenius, doctissimus speciminis Pindarici editor, cuius benevolentiam mihi conciliavit Philippus van Heusde.

Denique commemorandus est aequalis Casaubono Andreas Schottus, qui anno MDCXIV. in Observationum humanarum libro primo editionis Aldinae supplementa plura edidit ex epitomes codice membranaceo Ger. Corselii, iurisconsulti Lovaniensis: quorum maior pars ab Hoeschelio occupata erat et Casaubono, qui vix quidquam Schotto relictum erant facturi, nisi epitomes codice usi fuissent ab initio manco.

---

*) „In bibliotheca Traiectina duo asservantur Athenaei editionis Basileensis exemplaria. Quorum prius, ab me numero I designatum, notis praecipue instructum est et in calce haec habet adnotata „*Per A Angeli Caninii castigationes notantur ex libro Mariani Sabelli Ep. Eug. Romae* 1566. *Junio m. Reliquae castigationes ex codicibus manuscriptis, altero quidem Vaticano, altero vero ex Farnesiana bibliotheca exscriptae a M. Ant. Mureto.*“ Annotationes partim rubro partim nigro colore sunt exaratae, ita tamen ut ab una omnes manu scriptae videantur. Praeter *A* nulla distinctionis nota est apposita. Notarum autem maxima pars pertinet ad Basileensis editionis errata innumera emendanda, quae postea Casaubonus aliique sustulerunt. Reliqua haud scio an non magni hodie sint pretii. Alterum exemplar, numero II indicatum, annotationes quasdam in margine habet e Falcoburgii libro desumtas, ut in fronte adscriptum est. Maxima emendationum pars cum Casauboniana lectione congruit.“ Ex speciminibus ab Karstenio missis, quae in Commentariis expromentur, intellexi vix quidquam in illis exemplaribus esse quod non aliunde peti possit. Priore exemplari usi sunt Wesselingius et Goensius, qui eius aliquoties mentionem fecerunt, ille in dissertatione Herodotea p. 96. et ad Herodoti I, 133., hic in annotatione ad Porphyrium de antro nympharum p. 115.

## Editiones.

V littera editionem principem *) designavimus Venetam Aldinam **); cui dupliciter adversa fuit

---

*) „Ante hanc editionem iam aliam, nescio an Florentiae, tentatam Athenaei editionem video; quae tamen ultra primum tentamen non progressa videtur. Est apud me codex antiquus, quem nuper Brunckius noster filio meo Godofredo dono dedit, magno schedarum numero diversi generis constans, aliarum e variis et diversissimi argumenti vetustis codicibus Graecis iam olim, ut videtur, discerptis conservatarum; aliarum epistolas continentium autographas virorum doctorum, Graecorum praesertim, initio seculi decimi quinti in Italia degentium, etc. Is codex olim Beati Rhenani fuerat, qui propria manu pluribus locis, nomen suum inscripsit. In illarum schedarum numero unum est folium, cuius prior pagina exhibet luculentis typis, qui minime similes Aldinis sunt, excusum initium Epitomes Athenaei, hoc titulo: *ΤΩΝ ΑΘΗΝΑΙΟΥ ΝΑΥΚΡΑΤΙΤΟΥ ΔΕΙΠΝΟΣΟΦΙΣΤΩΝ ΠΡΟΛΕΓΟΜΕΝΑ.* Contextus a primis verbis *Ἀθήναιος μὲν ὁ τῆς βίβλου πατὴρ*, una et triginta lineis, usque ad ista *ἐν ταῖς ἀγυιαῖς περιπάτοις· βιβλιοκα—* progreditur, in quibus desinit. In ima paginae ora manu eiusdem quem dixi Rhenani haec scripta sunt: „Beati Rhenani sum. Nec muto dominum. AN. M. D. XIII. Basileae.“ Discedit nonnihil passim illud exemplum ab exemplo Aldino; quas adnotare dissensiones non fuerit ab hoc loco alienum.

Pag. 1 a. Τιμοκράτη] *Ἐχεκράτη*
*ταύτῃ τοὔνομα*] *ταύτηι τὸ ὄνομα*
*τῷ λόγῳ*] *τῶ λογωι*
*Λαρήνσιος*] *eodem modo.*
*τῇ τύχῃ*] *τῆ τύχΗ (Et sic dein plerumque negligitur iota subscr.)*
1 b. *ἐκπωμάτων διαφορὰς,*] *ἐκπώματα διάφορα*
*πλούτους*] *πλοῦτον*
*νηῶν*] *ναῶν*
*εἰσηγεῖται*] *εἰσηγῆται*
1 c. *μασούριος*] *Μυσσούριος (insertâ υ literâ ex perperam acceptâ lineolâ transversâ super vocis initio positâ, qua nomen illud esse proprium indicabatur.)*
*μόνος ποιητὴς*] *μόνος ποιητὴς*
*τοιαύτῃ πολυμαθείᾳ*] *τοιαύτηι πολυμαθείᾳ*
*δεύτερος φησὶ*] *δεύτερός φασι*
*λεωνίδης*] *Λεωνίδης*
*αἰμιλιανὸς*] *Αἰμιλιανὸς*
1 d. *ζωΐλος*] *Ζωΐλος*
*πτολεμαιεὺς*] *Πτολεμαεὺς,*
*κατ᾽ οὐδὲν*] *οὐδὲν (absque κατ᾽).*“
Schweigh. in praefatione p. XXV. — XXVII.

**) Prodiit anno MDXIV. ita inscripta „Athenaeus: *Ἀθηναίου Δειπνοσοφιστοῦ τὴν πολυμαθεστάτην πραγματείαν νῦν ἔξεστί σοι φιλόλογε μικροῦ πριαμένῳ πολλῶν τε καὶ μεγάλων καὶ ἀξιομνημονεύτων καὶ θαυμαστῶν καὶ ποικίλων καὶ δαιδάλων καὶ γλαφυρῶν καὶ ὧν ἴσως πρότερον οὐκ ᾔδεις, ἐς γνῶσιν ἐλθεῖν. καὶ ὅλως τῶν τῆς ἑλληνικῆς παι-*

fortuna. nam et apographum Aldus habuit codicum qui postmodum innotuerunt deterrimo deterius et opera usus est Marci Musuri, qui quum non edendum tantum, sed emendandum etiam Athenaeum suscepisset, ita hoc negotio functus est ut in ea quae tum fuit artis criticae pueritia exspectari potuit ab viro cetera egregio, sed natura paullo calidiore. Qui leviora vitia sane multa emendavit, sed non pauciora eadem quam ex Hesychio penitus cognitam habemus licentia interpolavit. In quo genere tanta fuit Musuri imprudentia ut non mutanda tantum scriptura peccaret saepissime, sed interdum etiam supplendo si quem verborum defectum apte restituere posse sibi videretur.

Musuri vestigiis institere, quippe librorum scriptorum praesidiis carentes *) editionis Basileensis Valderianae anni MDXXXV. auctores Ia-

---

δείας ἀποθέτων καὶ δυσευρέτων κειμηλίων ἐγκρατεῖ γενέσθαι. Τῶν δὲ βιβλίων πεντεκαίδεκα τὸν ἀριθμὸν ὄντων, τὰ μὲν τρισκαίδεκα, ὁλοσχερῆ· τὸ δέ τοι πρῶτον καὶ δεύτερον ἐπιτετμημένα σοι παρέχομεν· ἀκεφάλῳ σώματι κεφαλὴν ἀναγκασθέντες ἐπιθεῖναι κολοβήν. ἀνδρῶν οὖν ἐστιν εὐγνωμόνων τὸ ταυτὶ τὰ συγγράμματ᾽ ἀναλεγομένους, μάλιστα μὲν τοῖς περὶ τὸν Ἄλδον τὸν πολύμοχθόν τε καὶ πολυγράμματον εὐχαριστεῖν· οὐχ ἥκιστα δὲ καὶ Μουσούρῳ τῷ διδασκάλῳ, τῷ εἰ καὶ μὴ παντάπασιν ἰασαμένῳ τοὐντίγραφον τοῦδε τῶν τύπων ἀνηκέστοις ἔλλεισι πολλαχῆ διεφθορός, ἀλλ᾽ οὖν πολλὰς μὲν μυριάδας διορθώσαντι σφαλμάτων, πολλοὺς δὲ στίχους τῶν παρεισαγομένων, καταλογάδην πρότερον ἀναγινωσκομένους καὶ χύδην, εἰς τὴν προσήκουσαν τῆς ἐμμέτρου τάξεως εὐκρίνειαν ἀποκαταστήσαντι χάριν εἰδέναι." Similia Latinis verbis in praefatione traduntur, addita disputatione de loco quodam Theophrasti historiae plantarum, de quo dicetur in Commentariis ad III. p. 83 d.

*) „*In spem* (inquit Bedrotus in praefatione) *equidem nonnullam erratis aliquam multis medendi nos erexerat* *s c r i p t u m e x e m p l u m*, *quod in* *R e u c h l i n i* *bibliotheca latere iactabant: verum quum studiosius qualenam sit inquiro, idque ex fide dignissimis et oculatis testibus; deprehendi istuc Aldino non absimile esse, quod eaedem fere dictionum aut mutilationes, aut παραγωγαί, plus satis declarant: atque, ut verbo dicam, tale omnino esse fertur, ut Reuchlinus illud nunquam sibi usui fuisse diserte fit testatus. Cum igitur istud ipsum nihil operae pretii allaturum satis hinc didicissem, a βιβλιοτάφοις nescio quibus emendicare improbius, quidquid est, nolui.*"

rebus Bedrotus et Christianus Herlinus, qui Musuri peccata auxerint eo quod in locis Aristotelicis, Theophrasteis, Xenophonteis, aliis, vulgatas editionum quae tum circumferebantur scripturas et bonas et malas nullo adhibito iudicio introduxerunt: Quamquam est etiam cur laudandi sint: nam vitiis quibusdam emendatis facilioribus correctis non male meriti sunt et lectorum commodis egregie consuluerunt tribus indicibus, uno scriptorum quorum testimoniis usus est Athenaeus, duobus Graeco et Latino. Praeterea annotationes paucas indici Latino subiecerunt, ex Budaei, Erasmi, aliorum scriptis congestas.

Editionem Basileensem excipiunt interpretationes Latinae duae, altera Natalis de Comitibus Venetiis anno MDLVI. forma maiore in lucem edita eodemque anno repetita Basileae chartis octonis, emendationibus quibusdam et supplementis ex codice nostro Laurentiano B expressis commendata, quae designari singula hodie inutile est: altera Iacobi Dalecampii Cadomensis, docti medici, primum separatim edita cum annotationibus interpretis et indicibus Basileensibus auctis et correctis Lugduni MDLXXXIII., deinde adiuncta editionibus Casaubonianis. Librorum scriptorum ope caruit Dalecampius, si ab excerptis Farnesianis discesseris, de quibus supra dicentem audivimus Casaubonum p. X. Diligenter tamen usus est supplementis ab Cantero, Mureto et Victorio in Variis Lectionibus editis. Dalecampii interpretationem excepit

L sive editio Casauboniana prima sumptibus Hieronymi Commelini expressa typis Genevensi-

bus Pauli Stephani anno MDXCVII., aliis exemplaribus proximi sequentis anni notam gerentibus, vitiosius repetita Lugduni a. MDCXII. et a. MDCLVII. pariterque Animadversionum Casauboni triplex editio est, primum Lugduni a. MDC. editarum, repetitarum ibidem a. MDCXXI. et a. MDCLXIV. quae posteriores editiones ab priore non differunt nisi Addendis suis locis insertis.

Proximus Casaubono est Gallus Marolles, qui quinque libros primos in patriam linguam translatos Parisiis edidit a. MDCLXXX.: quem librum nondum vidi, sed usurus eo sum in Commentariis, si quid boni praebebit.

Sequitur librorum quindecim interpretatio itidem Gallica inchoata ab Adamo, academiae Gallicae socio, perfecta ab Villebrunio, a. MDCCLXXXIX — MDCCXCI. Parisiis quinque voluminibus edita. Praesto fuerunt Villebrunio codices Parisini duo DQ et exemplar Aegianum, de quo supra dictum est, et aliud Pursani cuiusdam annotationibus inutilibus repletum.

Novissima denique Ioannis Schweighaeuseri editio est Argentorati emissa annis MDCCCI — MDCCCVII. quattuordecim voluminibus, quorum octo solis concessa sunt annotationibus tum editoris tum aliorum. Multa Schweighaeuserus attulit ad interpretationem utilia nec pauca egregie emendavit. Horum omnium diligens ratio partim in annotatione critica ab me habita est partim in Commentariis habebitur: cetera, ut par erat, non tetigi. Censuris editionis Schweighaeuseri usus sum duabus, altera Petri Elmsleii librorum

sex primorum in Censuris Edinensibus vol. III. a. 1803. p. 181 — 194., altera viri docti, quem Grotefendum esse suspicor, in diariis Ienensibus a. 1806. vol. IV. p. 129 — 156.

## *Criticorum annotationes.*

Porsoni in Athenaeum annotationes de marginibus exemplarium Casaubonianorum descriptae maiore ex parte in Adversariis editae sunt: alias publici iuris fecit Kiddius in Miscellaneis *(Tracts and miscellaneous criticisms)* p. 232 — 249. Ex quibus omnibus, quamvis ultimam auctoris manum non expertis, multis iisque insignibus documentis elucet felicissimum viri incomparabilis ingenium cum summa coniunctum eruditione et, in qua primaria virtus critici posita est, prudentia: quae in Porsono tam eximia fuit ut non Bentleium tantum, sed Valckenarium adeo, virum si quem alium prudentem et circumspectum, longo post se reliquerit intervallo.

Post Porsonum non invenio quem maiore cum laude commemorem quam Augustum Meinekium, qui *Curis criticis* ante duodecim annos editis aliisque scriptis comicorum fragmentis tantum profuit quantum praeter Porsonum nemo. Quo iucundius mihi accidit quod de locis quibusdam corruptis sententiam suam per litteras ultro mecum communicavit vir amicissimus. In ampliore spatio versatae sunt Friderici Iacobsii, viri meritissimi, annotationes, qui non in comicorum solum, sed aliorum etiam scriptorum fragmentis multa ingeniose et vere emendavit in schedis privatim

cum Schweighaeusero communicatis et in *Additamentis ad Athenaeum* aliisque libris. Nec laude sua defraudandus est Erfurdtius, qui quum olim in censura editionis Schweighaeuseri parum probabilia in medium attulisset, iuvenilium errorum memoriam delevit *observationibus criticis* Horreo Regimontano insertis fasc. III. p. 424 — 472. Denique annotationibus ineditis usus est Schweighaeuserus Ludolphi Kusteri, Brunckii, Dutheilii, Coraïs, Boissonadii, Grotefendi: ego Reinesii, Hemsterhusii, Wyttenbachii, I. G. Schneideri, ab Kiesslingio, Geelio, Passovio liberaliter suppeditatis.

# ADDENDA.

Quum in ipso huius voluminis fine operarum labor versaretur, nactus sum Elmsleii censuram supra p. XVI. commemoratam, antea nonnisi ex Dobraei scriptis mihi cognitam, et Walpolii *Comicorum fragmenta quaedam*, Cantabrigiae a. MDCCCV edita, paucarum plagularum libellum egregiis quibusdam Porsoni emendationibus ornatum. In utroque libro quum alia utiliter monita vidi tum coniecturas de locis aliquot comicorum easdem quas ego proposui: quarum laudem, si qua est, faciendum putavi ut illis quam primum restituerem.

I. p. 4 c. *Σκιάθῳ* prior Casaubono Gesnerus de Aquatil. p. 562. 17 e. *Αἰσχύλος*] Conf. X. p. 428 f. 18 d. *Σανδρόκυττον* ex codicibus dedi repudiato Aldino *Σανδρόκυπτον*, quod me non fugerat docte defendisse G. Schlegelium in Bibliotheca Indica vol. I. p. 245., quem video de ea re denuo dixisse nuperrime vol. II. p. 175. 301. Fuit sane Indicum principis illius nomen *Chandraguptas*: sed in Appiani, Athenaei, Strabonis codicibus nomine quamvis varie corrupto tam stabilis est litterarum ττ memoria ut *Σανδρόκυττον* Graecam nominis formam habeam verearque ne Aldinum istud *σανδρόκυπτον* Musuri typothetaeve incuriae debeatur. Nihil certe ei tribui poterit nisi idonea accesserit libri scripti auctoritas: quod non opinor esse eventurum. 19 a. Verba *ἐγχέων προοίμιον* est ubi etiam Plutarchus alteri versui adiunxerit: vide Moral. p. 349 c. 20 a. *Φιλιστίδης*] *Φιλιππίδης* Eustathius: sed vide XII. p. 538 e. 20 f. *Μέμφιδος* delet Schneiderus ad Xenoph. Conviv. p. 163. 28 a. V. 20. *ἀμύγδαλα*] Vide Antiatticist. Bekkeri p. 82, 19.

II. p. 36 a. Primum versum hunc fecit Porsonus apud Walpolium p. 11. *Ὁ Μνησίθεος δ' ἔφη τὸν οἶνον τοὺς θεοὺς* —. 36 b. V. 15. *ἡ δὲ Πυθία — χαλεῖν* dubitari potest an ne sint quidem poetae verba, omisitque Porsonus. 39 a. *Πάνυ μάττων ἐσθίω | νέκταρ διαπίνω* — Elmsleius in censura p. 188. 39 e. Recte *κρεωφαγίας* V. male *χρεωφαγίας* L et Schweigh. Bacchylidis versuum emendationem per errorem Erfurdtio tribui. Debetur censori Ienensi. 40 e. V. 6. *ἀχρήστους*] *ἀχαρίστους* Elmsleius p. 188. 49 e. Alexidis v. 1. *οἴομαι νικητικὸν | ἑωρακέναι* Elmsleius ibidem, et paullo post *ἑώρακας πώποτ' ἐσκευασμένον | ἤνυστρον ἢ σπλῆν' ὀπτὸν ἀνθυλευμένον* —. 51 f. *Σαλαμίνιοι*] Conf. Ruhnkenium in Auctario ad Hesychii vol. I. p. 705. 55 a. V. 11. *λάχανον* delet Elmsleius p. 189. 59 b. *διάκειται*] Legebatur *διάκεινται*. 59 d. V. 7. *ἥκεις, λαβὼν φέρε πρὸς γῆς* Porsonus apud Walpolium p. 18. Idem occupavit Erfurdtii emendationes versuum 3. 23. et coniecturas meas de versibus 32. 37. 66 d. *κιρόντα* cum Porsono Elmsleius p. 189. et paullo post in Ophelionis versu *Λιβυκόν τε πέπερι, θυμίαμα, βιβλίον*: quod probo. In dissertatione de Nilo p. 165. ed. nostrae *τέθριππ' ἀνέντος* Lobeckius ad Phrynich. p. 624.

III. p. 74 b. in annotatione p. 172. init. *δίφιλος*] PVL. corrige *Δίφιλος*] VL. 76 c. *προσπηγνύναι*] Corrige typothetae peccatum *προσπηγύναι*. 82 a. *Πλείστου*] Praestat *Πλειστοῦ*. 85 e. *Μυτιληναῖος*] Sic ubique dedi pro vulgato *Μιτυληναῖος*. 95 a. Theophili locum attulit X. p. 417 b. 102 c. V. 23. *τροφαῖς*, quod ex Grotii coniectura posui, habet codex Londinensis M. 105 b. *τε χῶς τὰ πόδι' ἔχει*, ut Porsonus, Elmsleius p. 190.

107 b. Versuum 1. 2. 16. emendationes communes mihi sunt cum Elmsleio p. 190., nisi quod is v. 2. optionem facit inter φυκί' et φῦκος ἠμφιεσμένῳ. Idem v. 15. κρεάδια καὶ ποδάρια καὶ ῥύγχη τινά. 107 f. In Alexidis versu eandem quam Porsonus emendationem fecit Elmsleius. 116 a. Hesiodi qui fertur loco corruptissimo ut aliis corruptis multis in Commentariis opem praestare conabimur: sed illud tanquam extra dubitationem positum iam nunc restitui poterat v. 1. καὶ ἰωὴν γναθμῶν — Compara similem Herculeae voracitatis descriptionem Pindaricam X. p. 411 c. 117 f. V. 7. 8. Plane sic Elmsleius p. 190. Idem prorsus mecum consentit de Menandri fragmento p. 119 f. Ἐπέπασα | ἐπὶ τὸ τάριχος ἅλας, ἐὰν οὕτω τύχῃ. Vides igitur eruditissimum Britannum viginti amplius abhinc annis veram ἐὰν particulae prosodiam cognitam habuisse, in quam ad novissima usque tempora est peccatum. 121 e. Verus scribendi modus est δηκόνταν: de quo in Commentariis dicetur. 124 d. φρέατι χιόνι συμμεμιγμένον Elmsleius p. 191.

IV. p. 131 b. V. 8. in annotatione pro *vir doctus* scribe *Elmsleius*. 131 e. V. 60. μῦς, ὄστρεια Elmsleius p. 191. 140 a. ψωμὸς ex Epilyco attulit Photius lex. p. 657, 16. 148 c. Διόνυσον] Sic Eustathius p. 770, 30. Idem paullo post Καλλίγολα. 161 a. V. 1. Τῶν Πυθαγοριστῶν δ' ἔτυχον Elmsleius p. 191. partim cum Porsono. 166 c. ἀσωτότατος delevit etiam Elmsleius p. 192. 176 f. 184 b. 231 c. ἔτι τε] Scribe ἔτι δὲ.

VI. p. 226 a. In altero Alexidis fragmento v. 2. lacunam post Ἀριστονίκου etiam Elmsleius indicavit cetera recte sic restituens

Ἀριστονίκου * * * τίθησι γὰρ
νυνὶ νόμον, τῶν ἰχθυοπωλῶν ὅστις ἂν
ἰχθὺν ὑποτιμήσας —.

deletis interpretis verbis πωλῶν τόν. Cuiusmodi annotationes non uno in loco Athenaei de margine in textum sunt illatae. Ita VI. p. 166 c. Βαλλίων interpretatus aliquis est verbis ἀσωτότατος ἄνθρωπος. X. p. 441 d. ad ἀσπάζομαι γραῦν σφίγγα adscriptum πρὸς ἐμὲ ὡς αἰνίγματα λέγει. XI. p. 474 b. κυκνοκάνθαρος etsi intellectu non difficile explanatum est verbis ἐξ ἀμφοτέρων τούτων κεκεραμευμένος. Ibid. p. 484 f. delenda esse quae post Χῖον ἐκ Λακαινῶν sequuntur κυλίκων μέθυ ἡδέως καὶ φίλως suo loco demonstrabimus. Qualia ab librariis et lectioribus ludibunda manu marginibus olim allita saepe ab criticis serio emendantur et ad metra revocantur. Palmam in hoc genere tulerunt qui Ionis tragici verba esse sibi persuaserunt οἷον καθημερινήν VI. p. 258 f. 267 f V. 5. παρατιθοῦ] Scribe παρατίθου. 269 d. V. 9. Librorum scriptura δένδρη fraudi fuit Eustathio p. 1433, 47.

# *ΕΚ ΤΟΥ Α*

1 Ἀθήναιος μὲν ὁ τῆς βίβλου πατήρ· ποιεῖται δὲ τὸν λόγον πρὸς Τιμοκράτην. δειπνοσοφιστὴς δὲ ταύτῃ τοὔνομα. ὑπόκειται δὲ τῷ λόγῳ Λαρήνσιος Ῥωμαῖος, ἀνὴρ τῇ τύχῃ περιφανής, τοὺς κατὰ πᾶσαν παιδείαν ἐμπειροτάτους ἐν τοῖς ἑαυτοῦ δαιτυμόνας ποιούμενος. ἐν οἷς οὐκ ἔσθ' οὕτινος τῶν καλλίστων οὐκ ἐμνημόνευσεν. ἰχθῦς τε γὰρ τῇ βίβλῳ ἐνέθετο καὶ τὰς τούτων χρείας καὶ τὰς τῶν ὀνομάτων ἀναπτύξεις, καὶ λαχάνων γένη παντοῖα καὶ ζώων παντοδα-
b πῶν, καὶ ἄνδρας ἱστορίας συγγεγραφότας καὶ ποιητὰς καὶ ὅλως σοφούς, καὶ ὄργανα μουσικὰ καὶ σκωμμάτων εἴδη μυρία καὶ ἐκπωμάτων διαφοράς, καὶ πλούτους βασιλέων διηγήσατο καὶ νηῶν μεγέθη, καὶ ὅσα ἄλλα οὐδ' ἂν εὐχερῶς ἀπομνημονεύσαιμι, ἢ ἐπιλίποι με ἡ ἡμέρα κατ' εἶδος διεξερχόμενον. καὶ ἔστιν ἡ τοῦ λόγου οἰκονομία μίμημα τῆς τοῦ δείπνου πολυτελείας καὶ ἡ τῆς βίβλου διασκευὴ τῆς ἐν τῷ λόγῳ παρασκευῆς. τοιοῦτον ὁ θαυμαστὸς οὗτος τοῦ λόγου οἰκονόμος Ἀθήναιος ἥδιστον λογόδειπνον εἰσηγεῖται, κρείττων τε αὐτὸς ἑαυτοῦ γινόμενος, ὥσπερ οἱ Ἀθήνησι ῥήτορες, ὑπὸ τῆς ἐν τῷ λέγειν θερμότητος πρὸς τὰ
c ἑπόμενα τῆς βίβλου βαθμηδὸν ὑπεράλλεται.

2. Οἱ δ' ἐν τῷ δείπνῳ δῆθεν ἐπιδημήσαντες δειπνοσοφισταὶ ἦσαν Μασούριος, νόμων ἐξηγητὴς καὶ πάσης παιδείας οὐ παρέργως ἐπιμέλειαν ποιούμενος, Μόνος ποιητής,

---

*ΕΚ ΤΟΥ Α*] ἐκ τῶν Ἀθηναίου δειπνοσοφιστῶν βιβλίου πρώτου V. Βίβλος ἡ λεγομένη δειπνοσοφιστής B. Βίβλος ἡ λεγομένη δειπνοσοφιστής. Ἀθηναίου ἐκ τοῦ ά βιβλίου C.

1 a. τιμοκράτη VL. ἐχεκράτην BC. ἐχικράτην D. δειπνοσοφιστής] δειπνοσοφισταὶ Schweigh. τοὔνομα] τὸ ὄνομα BC. Λαρήνσιος Basil. L. λαρίνσιος BCV. ἑαυτοῦ] αὐτοῦ C. ὅλως] ὅλους B.

1 b. διαφοράς] διαφορῶν C.

1 c. Μασούριος] μανσούριος BC. μόνος ποιητὴς BCD. μόνιος ποιητὴς VL. In C duo puncta superne posita, qui in hoc libro menforum index esse solet.

ἀνὴρ καὶ κατὰ τὴν ἄλλην παιδείαν οὐδενὸς δεύτερος καὶ τὴν ἐγκύκλιον οὐ παρέργως ἐζηλωκώς· ἕκαστον γὰρ ὧν ἐπεδείκνυτο ὡς μόνον τοῦτο ἠσκηκὼς ἐφαίνετο, τοιαύτη πολυμαθείᾳ ἐκ παίδων συνετράφη· ἰάμβων δὲ ἦν ποιητὴς οὐδενὸς δεύτερος, φησὶ, τῶν μετ᾽ Ἀρχίλοχον ποιητῶν. παρῆν δὲ καὶ Πλούταρχος καὶ Λεωνίδης ὁ Ἠλεῖος καὶ Αἰμι-
d λιανὸς ὁ Μαυρούσιος καὶ Ζωίλος, γραμματικῶν οἱ χαριέστατοι. φιλοσόφων δὲ παρῆσαν Ποντιανὸς καὶ Δημόκριτος οἱ Νικομηδεῖς, πολυμαθείᾳ πάντας ὑπερηκοντικότες· Φιλάδελφός τε ὁ Πτολεμαεύς, ἀνὴρ οὐ μόνον ἐν φιλοσόφῳ θεωρίᾳ τεθραμμένος, ἀλλὰ καὶ κατὰ τὸν ἄλλον βίον ἐξητασμένος. τῶν δὲ κυνικῶν εἷς ἦν, ὃν Κύνουλκον καλεῖ· ᾧ οὐ μόνον δύο κύνες ἀργοὶ εἵποντο ὡς τῷ Τηλεμάχῳ ἐκκλησιάζοντι, ἀλλὰ τῶν Ἀκταίωνος πολὺ πλείονες. ῥητόρων τε ἦν ἄγυρις τῶν κυνικῶν κατ᾽ οὐδὲν ἀπολειπομένη· ὧν κατέτρεχε μετὰ καὶ τῶν ἄλλων ὅσοι τι ἐφθέγγοντο Οὐλπιανὸς ὁ Τύριος, ὃς διὰ τὰς συνεχεῖς ζητήσεις, ἃς ἀνὰ πᾶσαν
e ὥραν ποιεῖται ἐν ταῖς ἀγυιαῖς, περιπάτοις, βιβλιοπωλείοις, βαλανείοις, ἔσχεν ὄνομα τοῦ κυρίου διασημότερον, Κειτούκειτος. οὗτος ὁ ἀνὴρ νόμον εἶχε μηδενὸς ἀποτρώγειν πρὶν εἰπεῖν „κεῖται, ἢ οὐ κεῖται;“ οἷον εἰ κεῖται ὥρα ἐπὶ τοῦ τῆς ἡμέρας μορίου, καὶ εἰ ὁ μέθυσος ἐπὶ ἀνδρὸς, εἰ ἡ μήτρα κεῖται ἐπὶ τοῦ ἐδωδίμου βρώματος, εἰ σύαγρος κεῖται τὸ σύνθετον ἐπὶ τοῦ συός. ἰατρῶν δὲ παρῆσαν Δάφνος Ἐφέσιος, ἱερὸς τὴν τέχνην καὶ κατὰ τὰ ἤθη, τῶν Ἀκαδημαϊκῶν λόγων οὐ παρέργως ἁπτόμενος· Γαληνός τε ὁ Περγαμηνὸς, ὃς τοσαῦτ᾽ ἐκδέδωκε συγγράμματα φιλόσοφά τε καὶ ἰατρικὰ ὡς πάντας ὑπερβαλεῖν τοὺς πρὸ αὐ-

---

1 d. πολυμαθείᾳ] πολυμαθίᾳ B. Πτολεμαεὺς L. πτολεμαιεὺς V. κύνες ἀργοὶ] Odyss. β, 11. κατέτρεχε] κατέτρεχον C.

1 e. βιβλιοπωλείοις] βιβλιοπόλοις BC. Κειτούκειτος — τοῦ συός affert Suidas in δειπνοσοφισταὶ et Κειτούκειτος. εἶχε] εἶχεν ἴδιον Suidas. καὶ εἰ ὁ μέθυσος ἐπὶ ἀνδρὸς addita ex Suida. εἰ ἡ μήτρα BCD. ἡ μήτρα Suidas in δειπνοσοφισταὶ, καὶ ἡ μήτρα in Κειτούκειτος. εἰ εἰ μὴ V. ἢ εἰ μήτρα L. τοῦ ἐδωδίμου βρώματος Suidas: libri τῶν ἐδωδίμων βρωμάτων. De μήτρᾳ agitur III. p. 96 f., de συαγρῷ IX. p. 401., sed ὥραν et μέθυσον frustra quaeras. τοσαῦτ᾽] τοσαῦτα B.

f τοῦ, καὶ κατὰ τὴν ἑρμηνείαν οὐδενὸς ὢν τῶν ἀρχαίων ἀδυνατώτερος· Ῥουφῖνός τε ὁ Νικαεύς. μουσικὸς δὲ παρῆν Ἀλκείδης ὁ Ἀλεξανδρεύς. καὶ ἦν ὁ κατάλογος οὗτος στρατιωτικὸς, φησὶ, μᾶλλον ἢ συμποτικός.

3. Δραματουργεῖ δὲ τὸν διάλογον ὁ Ἀθήναιος ζήλῳ Πλατωνικῷ· οὕτως γοῦν ἄρχεται.

2 ΤΙΜΟΚΡΑΤΗΣ. ΑΘΗΝΑΙΟΣ.

Αὐτὸς, ὦ Ἀθήναιε, μετειληφὼς τῆς καλῆς ἐκείνης συνουσίας τῶν νῦν ἐπικληθέντων δειπνοσοφιστῶν, ἥτις ἀνὰ τὴν πόλιν πολυθρύλητος ἐγένετο, ἢ παρ' ἄλλου μαθὼν τοῖς ἑταίροις διεξῄεις; ΑΘΗΝ. Αὐτὸς, ὦ Τιμόκρατες, μετασχών. ΤΙΜ. Ἆρ' οὖν ἐθελήσεις καὶ ἡμῖν τῶν καλῶν ἐπικυλικείων λόγων μεταδοῦναι

—τρὶς δ' ἀπομαξαμένοισι θεοὶ διδόασιν ἄμεινον,

b ὥς πού φησιν ὁ Κυρηναῖος ποιητὴς — ἢ παρ' ἄλλου τινὸς ἡμᾶς ἀναπυνθάνεσθαι δεῖ;

4. Εἶτα εἰσβάλλει μετ' ὀλίγον εἰς τὸν τοῦ Λαρηνσίου ἔπαινον, καὶ λέγει ὡς ὑπὸ φιλοτιμίας πολλοὺς τῶν ἀπὸ παιδείας συναθροίζων οὐ μόνοις τοῖς ἄλλοις, ἀλλὰ καὶ λόγοις εἱστία, τὰ μὲν προβάλλων τῶν ἀξίων ζητήσεως, τὰ δὲ ἀνευρίσκων, οὐκ ἀβασανίστως οὐδ' ἐκ τοῦ παρατυχόντος τὰς ζητήσεις ποιούμενος, ἀλλ' ὡς ἔνι μάλιστα μετὰ κριτικῆς τινος καὶ Σωκρατικῆς ἐπιστήμης, ὡς πάντας θαυμάζειν τῶν ζητήσεων τὴν τήρησιν. λέγει δ' αὐτὸν καὶ καθεσταμένον ἐπὶ τῶν ἱερῶν εἶναι καὶ θυσιῶν ὑπὸ τοῦ πάντ' ἀρίστου βασιλέως Μάρκου, καὶ μὴ ἔλαττον τῶν πατρίων τὰ τῶν Ἑλλήνων μεταχειρίζεσθαι. καλεῖ δὲ αὐτὸν καὶ Ἀστεροπαῖόν τινα, ἐπ' ἴσης ἀμφοτέρων τῶν φωνῶν προϊστάμενον. λέγει δ' αὐτὸν καὶ ἔμπειρον εἶναι ἱερουρ-

---

2 a. Αὐτὸς] ΤΙ αὐτὸς V repetito Timocratis nomine. πολυθρύλητος] Scribebatur πολυθρύλλητος. ἑταίροις Casaubonus: libri ἑτέροις. ἐπικυλικείων VL. ἐπικυλικίων BC. ἀπομαξαμένοισι] ἀποδεξαμένοισι C altero superscripto.

2 b. Κυρηναῖος ποιητὴς] Callimachum intelligit Bentleius, cui est fragm. 180., per errorem ἀπομαξομένοισι ex Athenaeo afferenti: Schweighaeuserus Eratosthenem, qui Κυρηναῖος ποιητὴς dicitur II. p. 36 e. Λαρηνσίου Basil. L. λαρινσίου BV.

2 c. πάντ' ἀρίστου] πάντα ἀρίστου BC. ἱερουργιῶν codices:

γιῶν τῶν νομισθεισῶν ὑπό τε τοῦ τῆς πόλεως ἐπωνύμου Ῥωμύλου καὶ Πομπιλίου Νουμᾶ, καὶ ἐπιστήμονα νόμων πολιτικῶν. πάντα δὲ ταῦτα μόνον ἐξευρεῖν ἐκ παλαιῶν
d ψηφισμάτων καὶ δογμάτων τηρήσεως, ἔτι δὲ νόμων συνα-
3 γωγῆς, οὓς ἔτι διδάσκουσιν, ὡς τὰ Πινδάρου ὁ κωμῳδιοποιὸς Εὔπολίς φησιν, ἤδη κατασεσιγασμένων ὑπὸ τῆς τῶν πολλῶν ἀφιλοκαλίας. ἦν δέ, φησί, καὶ βιβλίων κτῆσις αὐτῷ ἀρχαίων Ἑλληνικῶν τοσαύτη ὡς ὑπερβάλλειν πάντας τοὺς ἐπὶ συναγωγῇ τεθαυμασμένους, Πολυκράτην τε τὸν Σάμιον καὶ Πεισίστρατον τὸν Ἀθηναίων τυραννήσαντα, Εὐκλείδην τε τὸν καὶ αὐτὸν Ἀθηναῖον καὶ Νικοκράτην τὸν Κύπριον, ἔτι δὲ τοὺς Περγάμου βασιλέας, Εὐριπίδην τε τὸν ποιητήν, Ἀριστοτέλην τε τὸν φιλόσοφον, καὶ τὸν τὰ τούτων
b διατηρήσαντα βιβλία Νηλέα· παρ' οὗ πάντα, φησί, πριάμενος ὁ ἡμεδαπὸς βασιλεὺς Πτολεμαῖος, Φιλάδελφος δὲ ἐπίκλην, μετὰ τῶν Ἀθήνηθεν καὶ τῶν ἀπὸ Ῥόδου εἰς τὴν καλὴν Ἀλεξάνδρειαν μετήγαγε. διόπερ ἐκεῖνα τῶν Ἀντιφάνους ἐρεῖ τις εἰς αὐτὸν

Ἀεὶ δὲ πρὸς Μούσαισι καὶ λόγοις πάρει,
ὅπου τε σοφίας ἔργον ἐξετάζεται.
Ἀγλαΐζεται δὲ καὶ
μουσικᾶς ἐν ἀώτῳ·
οἷα παίζομεν φίλαν
ἄνδρες ἀμφὶ θαμὰ τράπεζαν,

c κατὰ τὸν Θηβαῖον μελοποιόν. καὶ ἐπὶ τὰς ἑστιάσεις δὲ παρακαλῶν, πατρίδα, φησί, τὴν Ῥώμην πᾶσιν ἀποφαίνει. τίς γὰρ τὰ οἴκοι ποθῇ τούτῳ ξυνών, ἀναπεπταμένην

---

ἱεροεργιῶν VL. ῥωμύλου] ῥωμίλου B. πομπιλλίου VL. πομπηίου codices.

2 d. συναγωγῆς C compendiosa scriptura. συναγωγὴν VL.

3 a. κατασεσιγασμένων L. κατασεσιγασμένους V. ἑλληνικῶν BCD. ἑλληνικῶν τε VL. πολυκράτην BCD. πολυκράτη VL. νικοκράτην BCD. νικοκράτη VL. ἔτι δὲ] Legebatur ἔτι τε. ἀριστοτέλην BCD. ἀριστοτέλη VL. τούτων] τούτου Casaubonus.

3 b. ὅπου τε σοφίας VL. ὅπου σοφίας BCD. φίλαν ἄνδρες] φίλ' ἄνδρες B. Θηβαῖον μελοποιὸν] Pindar. Olymp. I, 22.

3 c. πᾶσιν] πᾶσαν B. Legebatur ποθεῖ. „*In C videtur esse*

ἔχοντι τοῖς φίλοις τὴν οἰκίαν; κατὰ γὰρ τὸν κωμῳδιοποιὸν Ἀπολλόδωρον,

Εἰς οἰκίαν ὅταν τις εἰσίῃ φίλου,
ἔστιν θεωρεῖν, Νικοφῶν, τὴν τοῦ φίλου
εὔνοιαν εὐθὺς εἰσιόντα τὰς θύρας.
ὁ θυρωρὸς ἱλαρὸς πρῶτόν ἐστιν, ἡ κύων
ἔσανε καὶ προσῆλθεν, ὑπήντησέ τις,
d δίφρον εὐθέως ἔθηκε, κἂν μηδεὶς λέγῃ
μηδέν.

5. Τοιούτους ἔδει καὶ τοὺς λοιποὺς εἶναι πλείους· ὡς τοῖς γε μὴ τοῦτο ποιοῦσιν ἐρεῖ τις „Τί μικρολογεῖς; πλεῖαί τοι οἴνου κλισίαι. δαίνυ δαῖτα γέρουσι θάλειαν· ἔοικέ τοι.“ τοιοῦτος ἦν τῇ μεγαλοψυχίᾳ ὁ μέγας Ἀλέξανδρος. Κόνων δὲ τῇ περὶ Κνίδον ναυμαχίᾳ νικήσας Λακεδαιμονίους καὶ τειχίσας τὸν Πειραιᾶ, ἑκατόμβην τῷ ὄντι θύσας καὶ οὐ ψευδωνύμως, πάντας Ἀθηναίους εἱστίασεν. Ἀλκιβιάδης δὲ
e Ὀλύμπια νικήσας ἅρματι πρῶτος καὶ δεύτερος καὶ τέταρτος, εἰς ἃς νίκας καὶ Εὐριπίδης ἔγραψεν ἐπινίκιον, θύσας Ὀλυμπίῳ Διὶ τὴν πανήγυριν πᾶσαν εἱστίασε. τὸ αὐτὸ ἐποίησε καὶ Λεώφρων Ὀλυμπίασιν, ἐπινίκιον γράψαντος τοῦ Κείου Σιμωνίδου. Ἐμπεδοκλῆς δ' ὁ Ἀκραγαντῖνος ἵπποις Ὀλύμπια νικήσας, Πυθαγορικὸς ὢν καὶ ἐμψύχων ἀπεχόμενος, ἐκ σμύρνης καὶ λιβανωτοῦ καὶ τῶν πολυτελε-

---

κωθῇ.“ Schweigh. ἔχοντι] ἔχοντα BCD. κωμῳδιοποιὸν] κωμικὸν BCD. ἔστιν] ἔστι B. εἰσιόντα BC. εἰσιόντι VL. ἔσανε] ἔσηνε Toupius ad Theocrit. vol. II. p. 328. „ἔσανε C. sed videtur primum ἔσηνε dare voluisse librarius.“ Schweigh. Post προσῆλθεν aliqua omissa videntur. ὑπάντησέ τις C. ὑπήντησέ τις L. ὑπάντησέ τις V. ὑπαντήσας δέ τις Grotius in Excerptis p. 807.

3 d. πλείους] πλουσίους Adamus. μικρολογεῖς] μικρολογεῖ Schweigh. πλεῖαί τοι — ἔοικέ τοι] Vid. Iliad. ι, 70. 71. η, 475. ὁ μέγας Ἀλέξανδρος — Χῖον κεράμιον affert Suidas in Ἀθήναιος. Idem in Ἀλέξανδρος, ubi eadem repetuntur, Cononis victoriam Alexandro tribuit.

3 e. Εὐριπίδης ἔγραψεν ἐπινίκιον] Partim servatum a Plutarcho in Alcibiade p. 196. B. (c. 11.) πανήγυριν πᾶσαν BCD. πανήγυριν ἅπασαν VL, Suidas. Λεώφρων Casaubonus. Λεόφρων libri et Suidas. Ὀλυμπίασιν] Scribebatur Ὀλυμπιάσιν.

στάτων ἀρωμάτων βοῦν ἀναπλάσας διένειμε τοῖς εἰς τὴν f πανήγυριν ἀπαντήσασιν, ὁ δὲ Χῖος Ἴων τραγῳδίαν νικήσας Ἀθήνησιν ἑκάστῳ τῶν Ἀθηναίων ἔδωκε Χῖον κεράμιον.

Τοῦ γάρ τις ἄλλου πρὸς θεῶν [περ] οὕνεκα
εὔξαιτο πλουτεῖν εὐπορεῖν τε χρημάτων
ἢ τοῦ δύνασθαι παραβοηθεῖν τοῖς φίλοις,
σπείρειν τε καρπὸν Χάριτος, ἡδίστης θεῶν;
τοῦ μὲν πιεῖν γὰρ καὶ φαγεῖν τὰς ἡδονὰς
ἔχομεν ὁμοίας· οὐχὶ τοῖς λαμπροῖσι δὲ
δείπνοις τὸ πεινῆν παύεται,

Ἀντιφάνης φησίν.

Ὅτι Ξενοκράτης ὁ Χαλκηδόνιος καὶ Σπεύσιππος ὁ Ἀκαδημαϊκὸς καὶ Ἀριστοτέλης συμποτικοὺς νόμους ἔγραψαν.

4 Ἀλλὰ μὴν καὶ ὁ Ἀκραγαντῖνος Γελλίας, φιλόξενος ὢν καὶ πάντας πολυωρῶν, πεντακοσίοις ἱππεῦσιν ἐκ Γέλας ποτὲ καταλύσασιν ὡς αὐτὸν χειμῶνος ὥρᾳ ἔδωκεν ἑκάστῳ χιτῶνα καὶ ἱμάτιον.

---

3 f. κεράμιον Suidas in Ἀθήναιος et qui eadem narrat scholiastes Aristophanis Pac. 835. κεράμειον libri et Suidas in Χῖον. τοῦ γάρ τις VL. τοῦ δὲ γάρ τις CD. τοῦ δε γάρ τις B. θεῶν περ οὕνεκα VL. θεῶν οὕνεκα B et cod. Paris. 3056, qui nobis est D, in schedis Brunckii. Nihil annotavit Schweigh., ut ne hoc quidem exploratum habeamus utrum περ ullius libri fide nitatur, an ex editoris Veneti coniectura ut alia multa profectum sit. Porsonus vel τοῦ γάρ τις ἄλλου, πρὸς θεῶν, πάτερ, οὕνεκ᾽ ἂν vel τοῦ δ᾽ ἄν τις ἄλλου, πρὸς θεῶν, πάτερ, οὕνεκα. Reisigius in comment. de ἄν particula p. 133. τοῦ γάρ τις ἄλλου, πρὸς θεῶν, φέρ᾽, οὕνεκα. Recte Porsonus et Dobraeus in Add. ad Aristoph. p. (103.) ἂν desiderant: sed male Porsonus anapaestum intulit ab tragicis horum versuum numeris alienum. Quum περ particula fide careat, scribendum videtur τοῦ γάρ τις ἄλλου πρὸς θεῶν ἂν οὕνεκα. V. 3. παραβοηθεῖν L. περιβοηθεῖν V. V. 5. καὶ φαγεῖν] καὶ τοῦ φαγεῖν B. V. 6. οὐχὶ τοῖς λαμπροῖσι δὲ Porsonus. οὐχὶ δὲ τοῖς λαμπροῖσι γὰρ libri. Ὅτι Ξενοκράτης — ἔγραψαν accesserunt ex C et Corseliano apud Schottum Obs. Hum. I, 6. p. 9. βασιλικοὺς libri, quod in C ut mendosum notatur. συμποτικοὺς Schweigh.: vid. V. p. 186 b.

4 a. ὁ Ἀκραγαντῖνος — ἱμάτιον affert Suidas in Ἀθήναιος et Τελλίας. Γελλίας Casaubonus ex Diodoro XIII. 83. et aliis. τελλίας libri et Suidas et Eustathius p. 1471, 57. πολυωρῶν Turnebus: conf. V. p. 211 b. Libri πυλωρῶν. Suidas et Eustathius totum hoc καὶ π. πολ. et ἐκ Γέλας omittunt. ἐκ Γέλας VL et Diodorus. ἐ

6. Ὁ τρεχέδειπνος, φησὶ σοφιστής. Κλέαρχός φησι Χάρμον τὸν Συρακόσιον εὐτρεπίσθαι στιχίδια καὶ παροιμίας εἰς ἕκαστον τῶν ἐν τοῖς δείπνοις παρατιθεμένων. εἰς μὲν τὸν ἰχθὺν

Ἥκω λιπὼν Αἰγαῖον ἁλμυρὸν βάθος.

εἰς δὲ τοὺς κήρυκας

Χαίρετε κήρυκες, Διὸς ἄγγελοι.

εἰς δὲ τὴν χορδὴν

b Ἑλικτὰ κοὐδὲν ὑγιές.

εἰς δὲ τὴν ὠνθυλευμένην τευθίδα

Σοφὴ σοφὴ σύ.

εἰς δὲ τὸ ἐν τοῖς ἑψητοῖς ὡραῖον

Οὐκ ἀπ᾽ ἐμοῦ σκεδάσεις ὄχλον;

εἰς δὲ τὴν ἀποδεδαρμένην ἔγχελυν

Οὐ προκαλυπτομένα βοστρυχώδεα.

τοιούτους πολλούς φησι τῷ Λαρηνσίου παρεῖναι δείπνῳ ὥσπερ συμβολὰς κομίζοντας τὰ ἀπὸ τῶν στρωματοδέσμων γράμματα. φησὶ δὲ καὶ ὅτι ὁ Χάρμος εἰς ἕκαστον τῶν παρατιθεμένων ἔχων τι πρόχειρον, ὡς προείρηται, ἐδόκει
c τοῖς Μεσσηνίοις πεπαιδευμένος εἶναι, ὡς καὶ Καλλιφάνης, ὁ τοῦ Παραβρύκοντος κληθεὶς, ἀρχὰς ποιημάτων πολλῶν ἐκγραψάμενος, ἀνειλήφει μέχρι τριῶν καὶ τεσσάρων στίχων, πολυμαθείας δόξαν προσποιούμενος. πολλοὶ δὲ καὶ

---

ἐγίλας CD. εἰς γέλας B. Ὁ] Ὅτι Schweigh. φησι add. L: om. V. Χάρμον] Eadem narrat Suidas in Ἀθήναιος et Χάρμος. Συρακόσιον] Scribebatur Συρακούσιον. συρρακούσιον B. εὐτρεπίσθαι BC. εὐτρεπίσαι VL. Ἥκω] Euripides Troad. 1. Χαίρετε] Iliad. α, 334.

4 b. Ἑλικτὰ] Euripidea Andromach. 448. Σοφὴ] Ibidem 245. Οὐκ] Nescio quo auctore Casaubonus Homeri versum esse dicat Οὐκ ἀπ᾽ ἐμοῦ σκεδάσεις ὄχλον ταλαπείριε πρέσβυ, qui non est Homericus. Οὐ] Euripides Phoeniss. 1499. Pors. οὐ προκαλυπτομένα βοστρυχώδεος ἁβρὰ παρηΐδος, ubi βοτρυώδεος poscente metro recte restituunt critici. In Oreste 1262. Pors. quum alia sunt emendanda tum βοστρύχων in βοτρύων mutandum. Λαρηνσίου Basileensis et L. λαρενσίου V. λαρίνσου BCD. στρωματοδέσμων L. στρωματοδεσμένων V. ὁ Χάρμος] ὁ om. C. Μεσσηνίοις] μεσηνίοις B.

4 c. ποιημάτων πολλῶν] καὶ λόγων addit Suidas in Καλλιφάνης. ἐκγραφάμενος BC. ἐγγραψάμενος VL. ἀνειλήφει] ἀνειλήφη

ἄλλοι διὰ στόματος εἶχον τὰς ἐν τῷ Σικελικῷ μυραίνας, τὰς πλωτὰς ἐγχέλεις, τῶν Παχυνικῶν θύννων τὰς ἠτριαίας, τοὺς ἐν Μήλῳ ἐρίφους, τοὺς ἐν Συμαίθῳ κεστρέας· καὶ τῶν ἀδόξων δὲ τὰς πελωρίδας κόγχας, τὰς ἐκ Λιπάρας
d μαινίδας, τὴν Μαντινικὴν γογγυλίδα, τὰς ἐκ Θηβῶν βουνιάδας, καὶ τὰ παρ' Ἀσκραίοις τεῦτλα. Κλεάνθης δὲ ὁ Ταραντῖνος, ὥς φησι Κλέαρχος, πάντα παρὰ τοὺς πότους ἔμμετρα ἔλεγε, καὶ Πάμφιλος δὲ ὁ Σικελὸς, ὡς ταῦτα

Ἔγχει πιεῖν μοι, καὶ τὸ πέρδικος σκέλος.
Ἀμίδα δότω τις· ἢ πλακοῦντά τις δότω.

Τὸν βίον, φησὶν, εὐσταθεῖς, οὐκ ἐγχειρογάστορες. „Γυργάθους ψηφισμάτων φέροντες“ Ἀριστοφάνης φησίν.

7. Ὅτι Ἀρχέστρατος ὁ Συρακόσιος ἢ Γελῷος ἐν τῇ
e ὡς Χρύσιππος ἐπιγράφει Γαστρονομίᾳ, ὡς δὲ Λυγκεὺς καὶ Καλλίμαχος Ἡδυπαθείᾳ, ὡς δὲ Κλέαρχος Δειπνολογίᾳ, ὡς δ' ἄλλοι Ὀψοποιίᾳ — ἐπικὸν δὲ τὸ ποίημα, οὗ ἡ ἀρχὴ

Ἱστορίης ἐπίδειγμα ποιούμενος Ἑλλάδι πάσῃ —

φησὶ

Πρὸς δὲ μιᾷ πάντας δειπνεῖν ἁβρόδαιτι τραπέζῃ.
ἔστωσαν δ' ἢ τρεῖς ἢ τέσσαρες οἱ ξυνάπαντες,
ἢ τῶν πέντε γε μὴ πλείους· ἤδη γὰρ ἂν εἴη
μισθοφόρων ἁρπαξιβίων σκηνὴ στρατιωτῶν.

ἀγνοεῖ δ' ὅτι οἱ ἐν τῷ Πλάτωνος συσσιτίῳ ὀκτὼ καὶ

---

C. παχυνικῶν C „implicato sed non ambiguo scripturae nexu“ Schweigh. παχυνῶν B. παχύνου VL. θύννων] θυήνων BCD. Συμαίθῳ] Σκυάθῳ (imo Σκιάθῳ) Casaubonus comparatis Clemente Alex. Paedag. II, 1. p. 103. et Polluce VI, 63. ἀδόξων ut mendosum notat C.

4 d. Ἀριστοφάνης] In Daetalensibus apud Pollucem X, 158. εἰ μὴ δικῶν τε γύργαθος ψηφισμάτων τε θωμός. Συρακόσιος] Scribebatur Συρακούσιος. Γελῷος] γελοῖος scripto ad latus φ CD. γελοῖος φ̃ B. ἐπιγράφει BCD. ἐπιγραφομένῃ VL.

4 e. Λυγκεὺς] λύγγὲς B. Καλλίμαχος] In Πίνακι παντοδαπῶν συγγραμμάτων, ut Bentleio visum p. 471. Κλέαρχος] Κλέαρχος ὁ Σολεὺς Suidas in Ἀθήναιος et Χάρμος. Ὀψοποιίᾳ] Ὀψολογίαν dixit Suidas ibidem. φησὶ] Hos versus attulit Eustathius p. 1376, 42. qui ἐν μιᾷ — ξύμπαντες — ἁρπαξιβίων. ἢ τέσσαρες] ἢ ἓξ C. ἢ τῶν πέντε γε μὴ πλείους] Conf. XV. p. 671 a. συσσιτίῳ] συσιτίῳ B. συμποσίῳ Suidas in Ἀθήναιος. ὀκτὼ L. οἵ τινες V. εἰκοσιοκτὼ ἦσαν δαιτυμόνες Suidas.

f εἴκοσι ἦσαν. „Οὗτοι δὲ τὰ δεῖπνα τῶν ἐν τῇ πόλει ἀφορῶσι καὶ πέτονται δεξιῶς ἐπὶ ταῦτ᾽ ἄκλητοι" Ἀντιφάνης φησί. καὶ ἐπάγει „οὓς ἐκ κοινοῦ ἔδει τρέφειν τὸν δῆμον,
5 ἀεὶ θ᾽ ὥσπερ

Ὀλυμπίασί φασι ταῖς μυίαις ποιεῖν,
βοῦν τοῖς ἀκλήτοις προκατακόπτειν πανταχοῦ."

8. Τὰ μὲν θέρεος, τὰ δὲ γίγνεται ἐν χειμῶνι, φησὶν ὁ Συρακόσιος ποιητής. οὐχ ἅμα μὲν οὖν πάντα παρασκευάζεσθαι δυνατὸν, λέγεσθαι δὲ ῥᾴδιον. Ὅτι δείπνων ἀναγραφὰς πεποίηνται ἄλλοι τε καὶ Τιμαχίδας ὁ Ῥόδιος δι᾽ ἐπῶν ἐν ἕνδεκα βιβλίοις ἢ καὶ πλείοσι, καὶ Νουμήνιος Ἡρακλεώτης, ὁ Διεύχους τοῦ ἰατροῦ μαθητής,
b καὶ Ματρέας ὁ Πιταναῖος ὁ παρῳδὸς, καὶ Ἡγήμων ὁ Θάσιος ὁ ἐπικληθεὶς Φακῇ, ὃν τῇ ἀρχαίᾳ κωμῳδίᾳ τινὲς ἐντάττουσιν. Ὅτι Ἀρτεμίδωρος ὁ ψευδαριστοφάνειος ὀψαρτυτικὰς λέξεις συνήγαγε. τοῦ Φιλοξένου δὲ τοῦ Λευκαδίου Δείπνου Πλάτων ὁ κωμῳδιοποιὸς μέμνηται

Ἐγὼ δ᾽ ἐνθάδ᾽ ἐν τῇ ᾽ρημίᾳ
τουτὶ διελθεῖν βούλομαι τὸ βιβλίον
πρὸς ἐμαυτόν. Β. ἔστι δ᾽, ἀντιβολῶ σε, τοῦτο τί;

---

4 f. οὗτοι δὲ] οὖτ δὲ B. οὗτοι δὲ τῶν ἐν τῇ πόλει | τὰ δεῖπν᾽ Salmasius et Porsonus. ταῦτ᾽] Libri ταῦτα. ἄκλητοι] ἀκλήτοις CD. ἐπάγει] συνάγει membranae Casauboni. κοινοῦ BCD. κοινῶν VL.

5 a. Ὀλυμπίασι Schweigh. Scribebatur Ὀλυμπιάσι. ταῖς μυίαις BCD. τὰς μυίας VL. τοῖς ἀκλήτοις BCD. τοὺς ἀκλήτους VL. γίγνεται] Scribebatur γίνεται. Συρακόσιος (scribebatur Συρακούσιος) ποιητὴς] Theocritus XI, 58. Ἀλλὰ τὰ μὲν —. Νουμήνιος] Numenium Ὀψαρτυτικῶν scriptorem facit Suidas in Τιμαχίδας. Ματρέας] Legebatur Μητρέας. μετρέας C. Vid. ad 19 d. Suidas μαστρέας. Μάτρων Schweigh.

5 b. Φακῇ] φακῇ C et Suidas. τῇ ἀρχαίᾳ κωμῳδίᾳ] Vid. XV. p. 699 a. Ὅτι Ἀρτεμίδωρος — συνήγαγε addita ex C. habuit Suidas in Ἀρτεμίδωρος et Τιμαχίδας. Πλάτων] ἐν Φάωνι, ut colligitur ex IV. p. 146 f. et VII. p. 325 a. κωμῳδιοποιὸς] κωμικὸς BCD. V. 1. δ᾽] δ᾽ ὢν Porsonus. Semel moneo personarum notas in libris nusquam adscriptas esse. Earum notatarum auctores ego memorare inutile duxi ubi nihil haec res nec difficultatis nec dubitationis haberet. τῇ ᾽ρημίᾳ] Libri τῇ ἐρημίᾳ.

Α. Φιλοξένου καινή τις ὀψαρτυσία.
Β. ἐπίδειξον αὐτὴν ἥτις ἐστίν. Α. ἄκουε δή.
„Ἄρξομαι ἐκ βολβοῖο, τελευτήσω δ' ἐπὶ θύννον."
Β. ἐπὶ θύννον; οὐκοῦν τῆς τελευταίας πολὺ
κράτιστον ἐνταυθὶ τετάχθαι τάξεως.
Α. „Βολβοὺς μὲν σποδιᾷ δαμάσας καταχύσματι δεύσας
„ὡς πλείστους διάτρωγε· τὸ γὰρ δέμας ἀνέρος ὀρθοῖ.
„καὶ τάδε μὲν δὴ ταῦτα· θαλάσσης δ' ἐς τέκν' ἄνειμι."

εἶτα μετὰ μικρὸν

Οὐδὲ λοπὰς κακόν ἐστιν· ἀτὰρ τὸ τάγηνον ἄμεινον
οἶμαι.

καὶ μετ' ὀλίγα

Ὀρφῶν, αἰολίαν συνόδοντά τε καρχαρίαν τε
μὴ τέμνειν, μή σοι νέμεσις θεόθεν καταπνεύσῃ,
d ἀλλ' ὅλον ὀπτήσας παράθες, πολλὸν γὰρ ἄμεινον.
πουλύποδος πλεκτὴ δ' ἂν ἐπεὶ λήψῃ κατὰ καιρὸν,
ἑφθὴ τῆς ὀπτῆς, ἢν ᾖ μείζων, πολὺ κρείττων·
ἢν ὀπταὶ δὲ δύ' ὦσ', ἑφθῇ κλαίειν ἀγορεύω.
τρίγλη δ' οὐκ ἐθέλει νεύρων ἐπιήρανος εἶναι·
παρθένου Ἀρτέμιδος γὰρ ἔφυ καὶ στύματα μισεῖ.
σκορπίος αὖ — Β. παίσειέ γέ σου τὸν πρωκτὸν ὑπελθών.

---

V. 6. ἄρξομαι ἐκ L. ἄρξομαι δ' ἐκ BV et Eustathius p. 1164, 25.
V. 7. Libri τῆς τελευτῆς πολύ. Casaubonus vel τῆς τελευταίας πολὺ vel τῆς τελευτῆς παρὰ πολύ.

5 c. V. 8. ἐνταυθὶ] Libri ἐνταῦθα. Casaubonus ἐνταυθοῖ.
V. 9. σποδιᾷ BCD. σποδιῇ VL. V. 10. Libri omnes δέμας ἀνορθοῖ, neque aliter Eustathius legisse videtur qui p. 1283, 33. scribat *Πλάτων ὁ κωμικὸς εἰπὼν περὶ βολβοῦ, ὃς πολὺς ἐν Ἀθήναις φύεται, ὅτι τὸ δέμας ἀνορθοῖ, τουτέστι τὸ αἰδοῖον ἐντείνει.* Casaubonus δέμας ἀνδρὸς ἀνορθοῖ. Ego δέμας ἀνέρος ὀρθοῖ. Post v. 10. C addit ἢ ψωλὴ δέμας ἐστί. τὸ τάγηνον ἄμεινον] Eustathius p. 1862, 20. ταγήνου δὲ χρῆσις ἐν τῷ ἀτάρ τοι τὸ τάγηνον ἄριστον. οἶμαι delendum videtur. „ὀλίγα *videtur indicare compendium scripturae in cod C.*" Schweigh. Legebatur ὀλίγον.

5 d. V. 4. πουλύποδος] πολύποδος BCD. ἐπεὶ λήψῃ] ἐπιλήψῃ BCD. λήψῃ aperte vitiosum, neque ἂν particula ferenda. Vide annotationem. V. 6. δὲ δύ' ὦσ'] δὲ δύ' ὦσιν B. V. 7. 8 repetit VII. p. 325 a. V. 8. στύματα L. στύμματα BV. V. 9 Post αὖ alius personae indicem addidit Elmsleius ad Acharn. 9

9. Ἀπὸ τούτου τοῦ Φιλοξένου καὶ Φιλοξένειοί τινες πλακοῦντες ὠνομάσθησαν. περὶ τούτου Χρύσιππός φησιν „Ἐγὼ κατέχω τινὰ ὀψοφάγον ἐπὶ τοσοῦτον ἐκπεπτωκότα τοῦ μὴ ἐντρέπεσθαι τοὺς πλησίον ἐπὶ τοῖς γινομένοις ὥστε φανερῶς ἐν τοῖς βαλανείοις τήν τε χεῖρα συνεθίζειν πρὸς τὰ θερμὰ, καθιέντα εἰς ὕδωρ θερμὸν, καὶ τὸ στόμα ἀναγαργαριζόμενον θερμῷ, ὅπως δηλονότι ἐν τοῖς θερμοῖς δυσκίνητος ᾖ. ἔφασαν γὰρ αὐτὸν καὶ τοὺς ὀψοποιοῦντας ὑποποιεῖσθαι, ἵνα θερμότατα παρατιθῶσι, καὶ μόνος καταναλίσκῃ αὐτὸς, τῶν λοιπῶν συνακολουθεῖν μὴ δυναμένων.“ τὰ δ' αὐτὰ καὶ περὶ τοῦ Κυθηρίου Φιλοξένου ἱστοροῦσι καὶ Ἀρχύτου καὶ ἄλλων πλειόνων, ὧν τις παρὰ Κρωβύλῳ τῷ κωμικῷ φησιν

Ἐγὼ δὲ πρὸς τὰ θερμὰ ταῦθ' ὑπερβολῇ
τοὺς δακτύλους δήπουθεν Ἰδαίους ἔχω,
καὶ τὸν λάρυγγ' ἥδιστα πυριῶ τεμαχίοις.
Β. κάμινος, οὐκ ἄνθρωπος.

Κλέαρχος δέ φησι Φιλόξενον προλουόμενον περιέρχεσθαι τὰς οἰκίας, ἀκολουθούντων αὐτῷ παίδων καὶ φερόντων ἔλαιον, οἶνον, γάρον, ὄξος καὶ ἄλλα ἡδύσματα· ἔπειτα εἰσιόντα εἰς τὰς ἀλλοτρίας οἰκίας τὰ ἑψόμενα τοῖς ἄλλοις ἀρτύειν ἐμβάλλοντα ὧν ἐστι χρεία, εἶθ' οὕτως ἀνακάψαντα εὐωχεῖσθαι. οὗτος εἰς Ἔφεσον καταπλεύσας, εὑρὼν

---

p. 116. παίσειέ γε BC. παύσειέ γε VL. Ἀπὸ τούτου τοῦ — κάμινος, οὐκ ἄνθρωπος] Suidas in ὀψοφάγος et Τιμαχίδας.

5 e. ἐπὶ τοῖς γινομένοις BCDL. ἐπὶ τοῦτο γινομένους V. Suidas ὀψοφάγος ἐπὶ τοσοῦτον ὥστε φανερῶς —. παρατιθῶσι L. περιτιθῶσι V.

5 f. καὶ περὶ CD et Suidas. περὶ VL. Philoxenum Cytherium omittit Suidas. V. 1. ταῦθ'] ταῦτα B. V. 2. Ἰδαίους libri et Suidas in Ἰδαίους, ὀψοφάγος et Τιμαχίδας. ἰδίλους V. V. 3. λάρυγγ'] φάρυγγ' Suidas in ὀψοφάγος et Τιμαχίδας. πυριῶ] πυρειῶ BCD. τεμαχίοις L et Suidas in Τιμαχίδας. τεμμαχίοις V. τεμμαχείοις B. τεμάχοις Suidas in ὀψοφάγος. τεμαχείῳ D. προλουόμενον L et Suidas in Φιλόξενος Λευκαδίου. προλούμενον V. περιέρχεσθαι] ἐν τῇ πατρίδι καὶ ἄλλαις πόλεσι περιέρχεσθαι Suidas.

6 a. οἶνον om. Suidas. γάρον ὄξος C et Suidas. γὰρ ὄξος BD. καὶ ὄξος VL. εἰς τὰς ἀλλοτρίας οἰκίας τὰ ἑψόμενα BCD, Suidas. εἰς τὸν ἀλλότριον οἶκον τὰ ἑψημένα VL. ἀνακάψαντα L et Mss. Casauboni, quibuscum consentire CD in annotatione ait

τὴν ὀψοπωλίαν κενὴν, ἐπύθετο τὴν αἰτίαν· καὶ μαθὼν ὅτι πᾶν εἰς γάμους συνηγόρασται, λουσάμενος παρῆν ἄκλητος ὡς τὸν νυμφίον. καὶ μετὰ τὸ δεῖπνον ᾄσας ὑμέναιον οὗ ἡ ἀρχὴ „Γάμε θεῶν λαμπρότατε“ πάντας ἐψυχαγώγη-
b σεν. ἦν δὲ διθυραμβοποιός. καὶ ὁ νυμφίος „Φιλόξεν (εἶπε) καὶ αὔριον ὧδε δειπνεῖς;“ καὶ ὁ Φιλόξενος „Ἄ ὄψον (ἔφη) μὴ πωλῇ τις.“

10. Θεόφιλος δέ φησιν „Οὐχ ὥσπερ Φιλόξενον τὸ Ἐρύξιδος· ἐκεῖνος γὰρ, ὡς ἔοικεν, ἐπιμεμφόμενος τὴν φύσιν εἰς τὴν ἀπόλαυσιν ηὔξατό ποτε γεράνου τὴν φάρυγγα σχεῖν· ἀλλὰ πολὺ μᾶλλον ἵππον ὅλως ἢ βοῦν ἢ κάμηλον ἢ ἐλέφαντα δεῖ σπουδάζειν γενέσθαι. οὕτω γὰρ αἱ ἐπιθυμίαι καὶ αἱ ἡδοναὶ πολλῷ μείζους καὶ σφοδρότεραι· πρὸ γὰρ τὰς δυνάμεις ποιοῦνται τὰς ἀπολαύσεις.“ Κλέαρχος δ
c Μελάνθιόν φησι τοῦτ᾽ εὔξασθαι λέγων „Τιθωνοῦ Μελάνθιος ἔοικε βουλεύσασθαι βέλτιον. ὁ μὲν γὰρ ἀθανασίας ἐπιθυμήσας ἐν θαλάμῳ κρέμαται, πάντων ὑπὸ γήρως ἐστερημένος τῶν ἡδέων, Μελάνθιος δὲ τῶν ἀπολαύσεων ἐρῶ ηὔξατο τῆς μακραύχενος ὄρνιθος τὸν τράχηλον ἔχειν, ἵν ὅτι πλεῖστον τοῖς ἡδέσιν ἐνδιατρίβῃ.“ ὁ αὐτός φησι Πίθυλλον τὸν τένθην καλούμενον οὐ περιγλωττίδα μόνο ὑμενίνην φορεῖν, ἀλλὰ καὶ προσελυτροῦν τὴν γλῶτταν πρὸ
d τὰς ἀπολαύσεις· καὶ τέλος ἰχθὺν τρίβων ἀπεκάθαιρεν αὐτήν. μόνος δ᾽ οὗτος τῶν ἀπολαυστικῶν καὶ δακτυλήθρα ἔχων ἐσθίειν λέγεται τὸ ὄψον, ἵν᾽ ὡς θερμότατον ὁ τρισάθλιος ἀναδιδῷ τῇ γλώττῃ. ἄλλοι δὲ φίλιχθυν τὸν Φιλόξενον φασίν· Ἀριστοτέλης δὲ φιλόδειπνον ἁπλῶς, ὃς κα

---

Schweigh., sed in Addendis ἀνακάμψαντα in C perspicue scriptu affirmat. ἀνακύμψαντα etiam BV. Suidas κἀθ᾽ οὕτως εἰς ἑαυτὸν κ φαντα εὐωχεῖσθαι. Brunckius ἀνακύψαντα. ὀψοπωλίαν] ὀψόπωλ Suidas.

6 b. δειπνεῖς] δειπνήσεις Suidas. πολλῷ μείζους] πολλαὶ με ζους B.

6 c. κρέμαται L. κρέμεται V. μακραύχενος] μακραυχένου B. Πίθυλλον] Eadem Suidas in περιγλωττίς et Πίθυλλος. προσελ τροῦν] προσεχυτροῦν C. γλῶτταν Suidas. Scribebatur γλῶσσαν.

6 d. θερμότατον Suidas in δακτυλήθρα et περιγλωττίς et Πίθυλλο Legebatur θερμότατα. φίλιχθυν τὸν BCD. φίλιχθυν καὶ αὐτ VL. „Φιλόξενον] *Eryxidis filium: vide Plutarchi Sympos.* IV,

γράφει που ταῦτα „Δημηγοροῦντες ἐν τοῖς ὄχλοις κατατρίβουσιν ὅλην τὴν ἡμέραν ἐν τοῖς θαύμασι, καὶ πρὸς τοὺς ἐκ τοῦ Φάσιδος ἢ Βορυσθένους καταπλέοντας, ἀνεγνωκότες οὐδὲν πλὴν εἰ τὸ Φιλοξένου Δεῖπνον οὐχ ὅλον."

11. Φανίας δέ φησιν ὅτι Φιλόξενος ὁ Κυθήριος ποιητής, περιπαθὴς ὢν τοῖς ὄψοις, δειπνῶν ποτε παρὰ Διονυσίῳ, ὡς εἶδεν ἐκείνῳ μὲν μεγάλην τρίγλαν παρατεθεῖσαν, ἑαυτῷ δὲ μικράν, ἀναλαβὼν αὐτὴν εἰς τὰς χεῖρας πρὸς τὸ οὖς προσήνεγκε. πυθομένου δὲ τοῦ Διονυσίου τίνος ἕνεκεν τοῦτο ποιεῖ, εἶπεν ὁ Φιλόξενος ὅτι γράφων τὴν Γαλάτειαν βούλοιτό τινα παρ' ἐκείνης τῶν κατὰ Νηρέα πυθέσθαι· τὴν δὲ ἠρωτημένην ἀποκεκρίσθαι διότι νεωτέρα ἁλοίη· διὸ μὴ παρακολουθεῖν· τὴν δὲ τῷ Διονυσίῳ παρατεθεῖσαν, πρεσβυτέραν οὖσαν, εἰδέναι πάντα σαφῶς ἃ βούλεται μαθεῖν. τὸν οὖν Διονύσιον γελάσαντα ἀποστεῖλαι αὐτῷ τὴν τρίγλαν τὴν παρακειμένην αὐτῷ. συνεμέθυε δὲ τῷ Φιλοξένῳ ἡδέως ὁ Διονύσιος. ἐπεὶ δὲ τὴν ἐρωμένην Γαλάτειαν ἐφωράθη διαφθείρων, εἰς τὰς λατομίας ἐνεβλήθη· ἐν αἷς ποιῶν τὸν Κύκλωπα συνέθηκε τὸν μῦθον εἰς τὸ περὶ αὐτὸν γενόμενον πάθος, τὸν μὲν Διονύσιον Κύκλωπα ὑποστησάμενος, τὴν δ' αὐλητρίδα Γαλάτειαν, [ατ]τὸν δ' Ὀδυσσέα.

12. Ἐγένετο δὲ κατὰ τοὺς Τιβερίου χρόνους ἀνήρ τις Ἀπίκιος, πλουσιώτατος τρυφητής, ἀφ' οὗ πλακούντων

---

p. 668. C." Reinesius. φασὶν L. φησὶν BV. τοῦ Φάσιδος] τῆς φάσιδος B.

αι

6 e. Φανίας L. φανίας B. φαινίας CV. Φανίας ἢ Φαινίας inquit Suidas, ut utraque scriptura usitata fuisse videatur. δειπνῶν ποτε] δειπνεῖ ποτε B. ἑαυτῷ] αὐτῷ Suidas in Φιλόξενος. τὴν δὲ [ ] et Suidas. τὴν δεσπότιν B. τὴν δεσπότην D. τὴν δέ ποτε VL. [ἠρωτ]ημένην] ἐρομένην Suidas. ἀποκεκρίσθαι Suidas. Libri οὐκ [ἀπο]κεκρίσθαι. διότι νεωτέρα ἁλοίη] ὅτι νεώτερος οὖσα ἁλοίη Suidas.

6 f. Διονυσίῳ] διονύσῳ B. εἰδέναι] ἰδέναι B. Suidas τὴν δὲ [παρακ]ειμένην τῷ Διονυσίῳ πρεσβυτέραν οὖσαν πάντα εἰδέναι ἃ βούλεται [μα]θεῖν. τὸν οὖν Διονύσιον γελάσαντα ἀποστεῖλαι αὐτῷ τὴν τρίγλαν. τὴν τρίγλαν BC. τὴν τρίγλην VL. τὴν παρακειμένην αὐτῷ [C]D. τὴν περὶ παρ' αὐτῷ V. τὴν παρ' αὐτῷ L.

7 a. αὐτὸν] αὐτὸν CD.

γένη πολλὰ Ἀπίκια ὀνομάζεται. οὗτος ἱκανὰς μυριάδας καταναλώσας εἰς τὴν γαστέρα ἐν Μιντούρναις — πόλις δὲ Καμπανίας — διέτριβε τὰ πλεῖστα, καρίδας ἐσθίων πο-
b λυτελεῖς, αἳ γίνονται αὐτόθι ὑπέρ τε τὰς ἐν Σμύρνῃ μέγισται καὶ τοὺς ἐν Ἀλεξανδρείᾳ ἀστακούς. ἀκούσας οὖν καὶ κατὰ Λιβύην γίνεσθαι ὑπερμεγέθεις, ἐξέπλευσεν οὐδ' ἀναμείνας μίαν ἡμέραν. καὶ πολλὰ κακοπαθήσας κατὰ τὸν πλοῦν, ὡς πλησίον ἧκε τῶν τόπων, πρὶν ἐξορμῆσαι τῆς νεὼς — πολλὴ δ' ἐγεγόνει παρὰ Λίβυσι φήμη τῆς ἀφίξεως αὐτοῦ — προσπλεύσαντες ἁλιεῖς προσήνεγκαν αὐτῷ τὰς καλλίστας καρίδας. ὁ δ' ἰδὼν ἐπύθετο εἰ μείζους ἔχουσιν· εἰπόντων δὲ μὴ γίνεσθαι ὧν ἤνεγκαν, ὑπομνησθεὶς τῶν ἐν
c Μιντούρναις, ἐκέλευσε τῷ κυβερνήτῃ τὴν αὐτὴν ὁδὸν ἐπὶ Ἰταλίαν ἀναπλεῖν μηδὲ προσπελάσαντι τῇ γῇ. Ἀριστόξενος δ' ὁ Κυρηναῖος φιλόσοφος, ὁ ὄντως μετελθὼν τὴν πάτριον φιλοσοφίαν, ἀφ' οὗ καὶ κωλήν τις καλεῖται Ἀριστόξενος ἰδίως σκευαζόμενος, ὑπὸ τῆς ἀνυπερβλήτου τρυφῆς καὶ τὰς ἐν τῷ κήπῳ γινομένας θριδακίνας οἰνομέλιτι ἐπότιζεν ἑσπέρας, καὶ ὑπὸ τὴν ἕω λαμβάνων χλωροὺς ἔχειν ἔλεγε πλακοῦντας ὑπὸ τῆς γῆς ἀναπεμπομένους αὐτῷ.
d 13. Τραϊανῷ δὲ τῷ αὐτοκράτορι ἐν Παρθίᾳ ὄντι καὶ τῆς θαλάσσης ἀπέχοντι ἡμερῶν παμπόλλων ὁδὸν Ἀπίκιος ὄστρεα νεαρὰ διεπέμψατο, ὑπὸ σοφίας αὐτοῦ τεθησαυρισμένα· καὶ οὐχ ὡς Νικομήδει τῷ Βιθυνῶν βασιλεῖ ἐπιθυμήσαντι ἀφύης — μακρὰν δὲ καὶ οὗτος ἦν τῆς θαλάσσης — μάγειρός τις μιμησάμενος τὸ ἰχθύδιον παρέ-

---

ἐν Μιντούρναις — πόλις δὲ Καμπανίας —] ἐν Κιντούροις τῆς Γαλατίας Suidas in Ἀπίκιος et Κιντούροις. πόλις δὲ] πόλει δὲ C.

7 b. αὐτόθι ὑπέρ] αὖθις ὑπέρ B. τε τὰς] Legebatur γε τὰς. καλλίστας καρίδας L. καλλίστας ἀκαρίδας BCDV. εἰ μείζους] εἰ μὴ μείζους Porsonus.

7 c. κωλήν τις] κωλίστις B. Ἀριστόξενος] Ἀριστοξένειος Casaubonus. ὑπὸ τῆς — ἀναπεμπ. αὐτῷ] Suidas in Ἀριστόξενος Κυρηναῖος. αὐτῷ] Scribebatur αὐτῷ.

7 d. Παρθίᾳ] παρθύα B. Πάρθοις Suidas in ὄστρεα. παμπόλλων] πολλῶν Suidas. ὄστρεα] ὄστρα B. αὐτοῦ BC. αὐτῷ VL omittit Suidas. τῷ Βιθυνῶν βασιλεῖ Suidas in ἀφύα. Libri τῷ βιθυνῷ τῷ βασιλεῖ. τῆς θαλάσσης] τῆς θαλάττης Suidas.

θηκεν ὡς ἀφύας. ὁ γοῦν παρ᾽ Εὔφρονι τῷ κωμικῷ μαγειρός φησιν

Ἐγὼ μαθητὴς ἐγενόμην Σωτηρίδου,
ὃς ἀπὸ θαλάττης Νικομήδει δώδεκα
ὁδὸν ἀπέχοντι πρῶτος ἡμερῶν ποτε
ἀφύης ἐπιθυμήσαντι χειμῶνος μέσου
παρέθηκε νὴ Δί᾽, ὥστε πάντας ἀνακραγεῖν.
Β. πῶς δὲ δυνατὸν τοῦτ᾽ ἐστί; Α. θήλειαν λαβὼν
γογγυλίδα, ταύτην ἔτεμε λεπτὰ καὶ μακρά,
τὴν ὄψιν αὐτῆς τῆς ἀφύης μιμούμενος,
ἀποζέσας, ἔλαιον ἐπιχέας, ἅλας
δοὺς μουσικῶς, μήκωνος ἐπιπάσας ἄνω
κόκκους μελαίνης τὸν ἀριθμὸν δώδεκα,
περὶ τὴν Σκυθίαν ἔλυσε τὴν ἐπιθυμίαν.
καὶ Νικομήδης, γογγυλίδα μασώμενος,
ἀφύης τότ᾽ ἔλεγε τοῖς φίλοις ἐγκώμιον.
οὐδὲν ὁ μάγειρος τοῦ ποιητοῦ διαφέρει·
ὁ νοῦς γάρ ἐστιν ἑκατέρῳ τούτων τέχνη.

14. Ὅτι περὶ Περικλέους φησὶν Ἀρχίλοχος ὁ Πάριος ποιητὴς ὡς ἀκλήτου ἐπεισπαίοντος εἰς τὰ συμπόσια,

---

V. 2. θαλάττης] Scribebatur θαλάσσης.

7 e. V. 3. πρῶτος BCD. πρῶτον VL. V. 5. παρέθηκεν ἡδείας BC. παρέθηκεν ἡδεῖς VL. „in D ἡδέας esse videtur." Schweigh. ἡδέας exemplari suo adscripsit Brunckius, qui libro D usus est. παρέθηκε νὴ Δί᾽ Meinekius ad Menandrum p. XX. V. 6—12. Apud Suidam in ἀφύαι scriptum: θήλειαν λαβὼν γογγυλίδα ταύτην ἔτεμεν εἰς μακρὰ καὶ λεπτὰ τὴν ὄψιν τῆς ἀφύης μιμούμενος ἐπιζέσας ἔλαιον ἐπιχέας ἅλας. μήκωνας ἐπιπάσας. ἔλυσε τὴν ἐπιθυμίαν. V. 7. ταύτην ἔτεμε λεπτὰ τὴν ὄψιν BCD. ταύτην ἔτεμεν εἰς λέπτα σφόδρα τὴν ὄψιν VL. Veram scripturam Suida duce restituerunt Porsonus et Elmsleius ad Acharn. 301. p. 32. V. 9. ἀποζέσας BC. ἀποζέσαι VL. V. 10. ἐπιπάσας C. ἐπιπάσσας VL. V. 11. δώδεκα V. δέκα L, quod retinuit Schweigh. de codd. tacens. Qui ex B mihi enotavit ἀριθμὸν, videtur voluisse ἀριθμὸν δώδεκα: nam in ἀριθμὸν nihil varietatis est. Porsonus κόκκους μελαίνης τετταράκοντα τὸν ἀριθμόν. V. 12. ἔγλυσε V. ἔκλυσε Basileensis. ἔλυσε L. ἔπαυσε Porsonus.

7 f. V. 13. μασώμενος] Scribebatur μασσώμενος. περὶ ante

*Μυκονίων δίκην. δοκοῦσι δ' οἱ Μυκόνιοι διὰ τὸ πένεσθαι καὶ λυπρὰν νῆσον οἰκεῖν ἐπὶ γλισχρότητι καὶ πλεονεξίᾳ*
8 *διαβάλλεσθαι. τὸν γοῦν γλίσχρον Ἰσχόμαχον Κρατῖνος Μυκόνιον καλεῖ „Πῶς ἂν Ἰσχομάχου γεγονὼς Μυκονίου φιλόδωρος ἂν εἴης;“*

*Ἀγαθὸς πρὸς ἀγαθοὺς ἄνδρας ἑστιασόμενος ἧκον. κοινὰ γὰρ τὰ τῶν φίλων.*

*Πολλὸν δὲ πίνων καὶ χαλίκρητον μέθυ,*
** * * ὧν οὔτε τῖμον * * εἰσήνεγκας **
*οὔτε μὴν κληθεὶς * * * ἦλθες, οἷα δὴ φίλος·*
b *ἀλλά σ' ἡ γαστὴρ νόον τε καὶ φρένας παρήγαγεν*
*εἰς ἀναιδίην,*

*Ἀρχίλοχός φησιν.*

---

*Περικλέους* om. B. *Μυκονίων*] Qui quater deinceps ex libris restituti sunt *Μυκόνιοι* in L *Μυκώνιοι* scribuntur. V primo et secundo loco *μυκωνίων* [illegible] *μυκώνιοι*, tertio *μυκόνιον*, quarto *μυκονίου*. *δίκην*] *δίκᾳ* V. Suidas in *εἰσπέπαικεν* allato Aristophanis loco quodam *καὶ αὖθις*, inquit, *Μυκονίων δίκην ἐπεισπέπαικεν εἰς τὰ συμπόσια.* *νῆσον*] *νηῶν* B.

8 a. *Ἰσχόμαχον*] *ἰσχνόμαχον* B. Cratini verba Meinekius ad Menandrum p. 8. sic ad metrum revocabat

*Καὶ πῶς ἂν Ἰσχομάχου σὺ γεγονὼς Μυκονίου* – –
*φιλόδωρος ἂν εἴης;*

*Ἀγαθὸς — φίλων*] *Παροιμία* marg. C. *ἀγαθὸς πρὸς* BC. *ἀγαθὸς ἂν πρὸς* VL. Eustathius p. 1148, 35. *καὶ παροιμίαν ποιεῖ τὴν „Ἀκλητὶ κωμάζουσιν ἐς φίλους φίλοι“ καὶ τὸ „Ἀγαθὸς πρὸς ἀγαθοὺς ἄνδρας ἑστιασόμενος ἧκον,“ μή τινα τῖμον εἰσενεγκὼν, εἰπεῖν κατ' Ἀρχίλοχον, ἀλλὰ δηλονότι ἀσύμβολον δεῖπνον εὑρών. καὶ ἔστιν ὁ τῖμος κατὰ τὸ ὠνὴ ὦνος, χολὴ χόλος. ὁμοία δὲ παροιμία καὶ τὸ „Κοινὰ τὰ τῶν φίλων.“*

Archilochi versus (fr. 88. Gaisford. p. 318.) in V sic scripti *Πολλὸν δὲ πίνων καὶ χαλίκρητον μεθύων* (*μέθυ* Casaubonus) *οὔτ' ἔτι τῖμον* (*οὔτε τι τίμον* L. *οὔτε τῖμον* B. „*τι post οὔτε* om. *CD.*“ Schweigh.) *εἰσήνεγκους* (*εἰσήνεγκας* L et codd.) *οὐδὲ* (*οὔτε* Casaubonus) *μὴν κληθεὶς ἦλθες, οἷα δὴ φίλος. ἀλλά σε γαστὴρ νῶν* (*νόον* BCD) *τε καὶ φρένας παρήγαγεν εἰς ἀναιδείην.* Porsonus lacunas sic explet

*ἐσθίων θ' ὧν οὔτε τῖμον οὔτιν' εἰσενήνοχας,*
*οὔτε μὴν κληθεὶς ἐς ἡμᾶς ἦλθες, οἷα δὴ φίλος·*
*ἀλλά σ' ἡ γαστὴρ νόον τε καὶ φρένας παρήγαγεν*
*εἰς ἀναίδειαν.*

Versu secundo *ἐφ' ἡμᾶς* Porsonus in Miscellaneis Kiddianis p. 232.

Εὔβουλος ὁ κωμικός φησί που

*Εἰσὶν ἡμῖν τῶν κεκλημένων δύο*
*ἐπὶ δεῖπνον ἄμαχοι, Φιλοκράτης καὶ Φιλοκράτης.*
*ἕνα γὰρ ἐκεῖνον ὄντα δύο λογίζομαι,*
*μεγάλους, μᾶλλον δὲ τρεῖς.*
*ὅν φασι παρακληθέντ' ἐπὶ δεῖπνον πρὸς φίλου τινὸς*
*εἰπόντος αὐτῷ τοῦ φίλου, ὁπηνίκ' ἂν*
c *εἴκοσι ποδῶν μετροῦντι τὸ στοιχεῖον ᾖ,*
*ἥκειν, ἕωθεν αὐτὸν εὐθὺς ἡλίου*
*μετρεῖν ἀνέχοντος· μακροτέρας δ' οὔσης ἔτι*
*πλεῖν ἢ δυοῖν ποδοῖν παρεῖναι τῆς σκιᾶς·*
*ἔπειτα φάναι μικρὸν ὀψιαίτερον*
*δι' ἀσχολίαν ἥκειν, παρόνθ' ἅμ' ἡμέρᾳ.*

*Ἀσυμβόλου δείπνου γὰρ ὅστις ὑστερεῖ,*
*τοῦτον ταχέως νόμιζε καὶ τάξιν λιπεῖν,*

Ἄμφις φησὶν ὁ κωμικός. Χρύσιππος δέ φησιν

*Ἀσύμβολον κώθωνα μὴ παραλίμπανε.*
d *Κώθων δ' οὐ παραλειπτὸς ἀσύμβολος, ἀλλὰ διωκτός.*

Ἀντιφάνης δέ φησι

*Βίος θεῶν γάρ ἐστιν, ὅταν ἔχῃς ποθὲν*
*τἀλλότρια δειπνεῖν, μὴ προσέχων λογίσμασι.*

---

Versu postremo scribendum fuit ἀναιδῆν: de qua forma dictum ab Elmsleio ad Medeam p. 176.

8 b. V. 1. *Εἰσὶν*] *Πάρεισιν* Iacobsius p. 6. V. 2. *Φιλοκράτης καὶ Φιλοκράτης* L cum Turnebo et Mureto. *φιλοκράτης καὶ φιλοκτήτης* BCDV. V. 5. *φασί ποι κληθέντ'* BC. *φασὶ παρακληθέντ'* VL. Aptius videtur *φασί ποτε κληθέντ'*, quod coniecit Schweigh. *πρὸς*] *ὡς* BC. *φίλου τινὸς* BVL. *φίλου αὐτοῦ τινος* C. *φίλου .... τινὸς* D. V. 4—6. in brevius contraxit epitome. quare parum probabilis Porsoni coniectura est

*ὅν φασι παρακληθέντ' ἐπὶ δεῖπνον πρὸς τινὸς*
*εἰπόντος αὐτῷ τῶν φίλων —.*

8 c. V. 10. *πλεῖν*] *πλέον* C. V. 11. *ἔπειτα φάναι*] *φάναι δ' ἔπειτα* Porsonus. Quidni maluit *ἔπειτα δὲ φάναι*? Sed hic quoque, ut in locis plurimis priorum librorum, coniecturis abstinendum, quoniam non constat quid aut omiserit aut mutaverit epitomes scriptor. V. 12. *ἥκειν παρόνθ'* Hermannus de metris p. 165. Libri *παρόνθ' ἥκειν*. *Χρύσιππος*] *χρύσιππον* BCD. *Ἀσύμβολον*] Hunc versum Porsonus transposuit ante illa *Ἀσυμβόλου δείπνου*. *παραλίμπανε* et *παραλειπτὸς* L. *περιλίμπανε* et *περιληπτὸς* V.

καὶ πάλιν „Μακάριος ὁ βίος, ᾧ δεῖ μ᾽ ἀεὶ καινὸν πόρον εὑρίσκειν, ὡς μάσημα ταῖς γνάθοις ἔχω.“ ταῦτα οἴκοθεν ἔχων εἰς τὸ συμπόσιον ἦλθον καὶ προμελετήσας ἵνα κἀγὼ
e τὸ στεγανόμιον κομίζων παραγένωμαι. „Ἄκαπνα γὰρ αἰὲν ἀοιδοὶ θύομεν.“

Ὅτι τὸ μονοφαγεῖν ἐστιν ἐν χρήσει τοῖς παλαιοῖς. Ἀντιφάνης

Μονοφαγεῖς ἤδη τι καὶ βλάπτεις ἐμέ.

Ἀμειψίας

Ἔρρ᾽ ἐς κόρακας μονοφάγε καὶ τοιχωρύχε.

## Περὶ τοῦ τῶν ἡρώων καθ᾽ Ὅμηρον βίου.

15. Ὅτι Ὅμηρος ὁρῶν τὴν σωφροσύνην οἰκειοτάτην ἀρετὴν οὖσαν τοῖς νέοις καὶ πρώτην, ἔτι δὲ ἁρμόττουσαν καὶ πάντων τῶν καλῶν χορηγὸν οὖσαν, βουλόμενος ἐμφῦσαι
f πᾶσιν αὐτὴν ἀπ᾽ ἀρχῆς καὶ ἐφεξῆς, ἵνα τὴν σχολὴν καὶ τὸν ζῆλον ἐν τοῖς καλοῖς ἔργοις ἀναλίσκωσι, καὶ ὦσιν εὐεργετικοὶ καὶ κοινωνικοὶ πρὸς ἀλλήλους, εὐτελῆ κατεσκεύασε πᾶσι τὸν βίον καὶ αὐτάρκη, λογιζόμενος τὰς ἐπιθυμίας καὶ τὰς ἡδονὰς ἰσχυροτάτας γίνεσθαι περὶ ἐδωδὴν καὶ πόσιν, τοὺς δὲ διαμεμενηκότας ἐν εὐτελείᾳ εὐτάκτους καὶ περὶ τὸν ἄλλον βίον

---

8 d. μακάριος ὁ βίος ᾧ δεῖ] μακάριος ᾧ βίος ᾧ δεῖ CD. ὁ βίος ᾧ δεῖ] ὁ βίος· οὐ δεῖ Casaubonus. παραγένωμαι L. περιγένωμαι V

8 e. αἰὲν BC. αἰεὶ VL. τοῖς παλαιοῖς] τῆς πα B. Περὶ τοῦ τῶν ἡρώων καθ᾽ ὅμηρον βίου habent BCV: om. DL. In C rubr scripta. Omnis hic de institutis Homericis locus ex Dioscoridi νόμοις Ὁμηρικοῖς sumptus est, quod compertum habemus ex Suid in Ὅμηρος, unde potiorem lectionis varietatem enotavi. Ὅτι Ὅμηρος ὁρῶν] Ὅτι Διοσκουρίδης ἐν τοῖς παρ᾽ Ὁμήρῳ νόμοις φησὶν ὁ ποιητὴς ὁρῶν Suidas. ἁρμόττουσαν BCD et Suidas. ἁρμόζουσαν VL. ἐμφῦσαι πάλιν αὐτὴν V. πάλιν ἐμφῦσαι αὐτὴν Suida. ἐμφῦσαι πᾶσιν αὐτὴν L, quacum consentiunt CD, si vera narr Schweighaeuserus, cuius mihi fidem dubiam reddit B, ex qu diserte enotatum ἐμφῦσαι πάλιν αὐτήν.

8 f. ἐν τοῖς Suidas. ἐπὶ τοῖς DVL. τοῖς C. Legebatur κοινωνικοὶ Suidas Kusteri: κοινωνοὶ ed. Mediolanensis. γίνεσθαι περὶ] γίνεσθαι καὶ πρώτας, ἔτι τε (δὲ Schweigh.) καὶ ἐμφύτους οὔσας περὶ Suidas.

γίνεσθαι ἐγκρατεῖς. ἁπλῆν οὖν ἀπέδωκε τὴν δίαιταν πᾶσι καὶ τὴν αὐτὴν ὁμοίως βασιλεῦσιν, ἰδιώταις, νέοις, πρεσβύ-
9 ταις, ὀπτὰ παρατιθεὶς πᾶσι κρέα, καὶ ταῦτα ὡς ἐπὶ τὸ πολὺ βόεια, ἔν τε ἑορταῖς καὶ γάμοις καὶ ἄλλῃ συνόδῳ, καὶ οὐ θρῖα καὶ κανδύλην καὶ ἄμητας μελίπηκτά τε τοῖς βασιλεῦσιν ἐξαίρετα παρατίθησιν Ὅμηρος, ἀλλ᾽ ἀφ᾽ ὧν εὖ ἕξειν ἔμελλον τὸ σῶμα καὶ τὴν ψυχήν. Αἴαντα γοῦν μετὰ τὴν μονομαχίαν νώτοισι βοῶν γέραιρεν ὁ Ἀγαμέμνων. καὶ Νέστορι δ᾽ ἤδη ὄντι γηραιῷ καὶ Φοίνικι δὲ κρέας ὀπτὸν δίδωσι, καὶ Ἀλκίνῳ δὲ τῷ τὸν τρυφερὸν ᾑρημένῳ βίον,
b ἀφιστῶν ἡμᾶς τῶν ἀτάκτων ἐπιθυμιῶν. καὶ Μενέλαος δὲ τοὺς τῶν παίδων γάμους ποιῶν Τηλεμάχῳ νῶτα βοὸς παρέθηκεν ὀπτὰ, τά ῥά οἱ γέρας πάρθεσαν αὐτῷ. καὶ Νέστωρ δὲ βόας θύει Ποσειδῶνι παρὰ τῇ θαλάττῃ διὰ τῶν φιλτά-

---

ἀπέδωκε B. Legebatur ἀποδέδωκε consentiente Suida, qui ἐφ᾽ ᾧ καὶ ἁπλῆν ἀποδέδωκε.

9 a. πρεσβύταις] Suidas: πρεσβύταις, λέγων, Παρὰ δὲ ξυστὴν ἐτάνυσσε τράπεζαν· σῖτον δ᾽ αἰδοίη ταμίη παρέθηκε φέρουσα (Odyss. η, 174.). δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας (Odyss. α, 141.). καὶ τούτων ὀπτῶν καὶ ὡς ἐπὶ τὸ πολὺ βοείων. (Conf. Eustathium p. 1724, 50.) παρὰ δὲ ταῦτα οὔτε ἐν ἑορταῖς οὔτ᾽ ἐν γάμοις οὔτ᾽ ἐν ἄλλῃ συνόδῳ παρατίθησιν οὐδὲν, καίτοι πολλάκις τὸν Ἀγαμέμνονα ποιήσας ἑστιῶντα τοὺς ἀρίστους (ἀριστέας Porsonus). Μενέλαός τε τοὺς Ἑρμιόνης γάμους ποιεῖται τῆς θυγατρὸς καὶ τοῦ υἱοῦ· καὶ τοῦ Τηλεμάχου πρὸς αὐτὸν παραγενομένου νῶτα βοὸς παρέθηκεν ἀείρας ὄπτ᾽ ἐν χερσὶν ἑλών, τά ῥά οἱ γέρα παρέθεσαν αὐτῷ (Odyss. δ, 64.). οὐ γὰρ θρύα —.

θρῖα] θρία VL. κανδύλην] κάνδυλον Suidas. Αἴαντα γοῦν] Legebatur Αἴαντα οὖν. Suidas καὶ Αἴαντα. νώτοισι γέραιρεν] Iliad. η, 321. καὶ Νέστορι — δίδωσι] Suidas: καὶ τῷ Νέστορι γηραιῷ ὄντι κρέας ὀπτὸν βοὸς δίδωσι. βοὸς non convenit locis Homericis. Νέστορι] Odyss. γ, 33. Φοίνικι] Iliad. ι, 206—223. τῷ τὸν om. Suidas. ᾑρημένῳ] ᾑρημένον CD.

9 b. ἀφιστῶν ἡμᾶς] σπουδάζων ἡμᾶς ἀποστῆσαι Suidas. καὶ Μενέλαος — πάρθεσαν αὐτῷ hic om. Suidas, qui supra 9 a. haec auctiora habet. νῶτα BCD. νῶτον VL. Vid. Odyss. δ, 65. et infra 13 f.

καὶ Νέστωρ — καὶ τοὺς μνηστῆρας δὲ] Suidas: καὶ Νέστορα δὲ καὶ παρὰ τῇ θαλάσσῃ τῷ Ποσειδῶνι κεχαρισμένην τινὰ θυσίαν ἐπιτελοῦντα καὶ πολλοὺς ἔχοντα, τάδε παρακελευόμενον, Ἀλλ᾽ ἄγ᾽ ὁ μὲν πεδίονδ᾽ ἐπὶ βοῦν ἴτω, καὶ τὰ ἑξῆς. καὶ Ἀλκίνους δὲ τοὺς τρυφερωτάτους ἑστιῶν Φαίακας καὶ τὸν Ὀδυσσέα ξενίζων, ἐπιδεικνύμενος αὐτῷ τὴν τοῦ κήπου κατασκευὴν καὶ τῆς οἰκίας καὶ τὸν αὐτοῦ βίον, τοιαύτας παρατίθεται τραπέζας (Odyss. θ, 59.). καὶ τοὺς μνηστῆρας —. καὶ Νέστωρ] Odyss.

των καὶ οἰκειοτάτων τέκνων, βασιλεὺς ὢν καὶ πολλοὺς ἔχων ὑπηκόους. ὁσιωτάτη γὰρ αὕτη ἡ θυσία θεοῖς καὶ προσφιλεστέρα ἡ διὰ τῶν οἰκείων καὶ εὐνουστάτων ἀνδρῶν. καὶ τοὺς μνηστῆρας δὲ ὑβριστὰς ὄντας καὶ πρὸς ἡδονὰς ἀνειμέ-
c νους οὔτε ἰχθῦς ἐσθίοντας ποιεῖ οὔτε ὄρνιθας οὔτε μελίπηκτα, περιελὼν παντὶ σθένει τὰς μαγειρικὰς μαγγανείας καὶ τά, ὡς ὁ Μένανδρός φησιν, ὑποβινητιῶντα βρώματα, καὶ τὸ παρὰ πολλοῖς λασταυροκάκκαβον καλούμενον βρῶμα, ὥς φησι Χρύσιππος, οὗ ἡ κατασκευὴ περιεργοτέρα.

16. Πρίαμος δὲ παρὰ τῷ ποιητῇ καὶ ὀνειδίζει τοῖς υἱοῖς ἀναλίσκουσι τὰ μὴ νενομισμένα,

Ἀρνῶν ἠδ' ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες.

Φιλόχορος δὲ ἱστορεῖ καὶ κεκωλῦσθαι Ἀθήνησιν ἀπέκτου
d ἀρνὸς μηδένα γεύεσθαι, ἐπιλιπούσης ποτὲ τῆς τῶν ζώων τούτων γενέσεως. Ἑλλήσποντον δὲ Ὅμηρος ἰχθυόεντα προσαγορεύων καὶ τοὺς Φαίακας πλωτικωτάτους ποιῶν καὶ ἐν τῇ Ἰθάκῃ εἰδὼς λιμένας πλείους καὶ νήσους προσεχεῖς πολλάς, ἐν αἷς ἰχθύων ἐγίνετο πλῆθος καὶ ἀγρίων ὀρνίθων, καὶ εἰς εὐδαιμονίαν δὲ καταριθμῶν τὸ τὴν θάλασσαν ἰχθῦς παρέχειν, ὅμως τούτων οὐδὲν οὐδένα ποιεῖ προσφερόμενον. καὶ μὴν οὐδ' ὀπώραν παρατίθησί τινι, καί-
e περ οὖσαν πολλήν, καὶ ἥδιστα ταύτης μνημονεύων καὶ πάντα χρόνον παρασκευάζων ἀθάνατον. Ὄγχνη γάρ φησιν ἐπ' ὄγχνῃ, καὶ τὰ ἑξῆς. ἀλλὰ μὴν οὐδὲ στεφανουμένους οὐδὲ μυρουμένους ποιεῖ, ὥσπερ οὐδὲ θυμιῶντας, ἀλλὰ πάν-

---

γ, 5. καὶ τοὺς μνηστῆρας — βρῶμα] Excerpsit haec Eustathius p. 1724, 51.

9 c. ἰχθῦς] ἰχθύας Suidas. μαγγανείας] Huc usque Suidas. Μένανδρος] In Trophonio: vid. IV. p. 132 f. XII. p. 517 a apud Meinekium p. 160. πολλοῖς] τοῖς πολλοῖς Casaubonus contra libros et Eustathium. λασταυροκάκκαβον Eustathius et Suidas in h. v. Scribebatur λασταυροκάκαβον. βρῶμα] ἔδεσμα Eustathius. Χρύσιππος] ἐν τῷ περὶ καλοῦ καὶ ἡδονῆς, auctore Suida. Ἀρνῶν] Iliad. ω, 262. Φιλόχορος] Vid. IX. p. 375 c.

9 d. ἐπιλιπούσης Eustathius p. 1348, 60. Legebatur ἐπιλειπούσης. Ἑλλήσποντον] Vid. IV. p. 157 b. Ὅμηρος] Iliad. ι, 360. προσφερόμενον L. προφερόμενον V.

9 e. ὄγχνη — ὄγχνῃ BCD. ὄχνη — ὄχνῃ VL. Vid. ad 24 f. φησιν] Odyss. η, 120. θυμιῶντας] θυμιῶντας B.

των τούτων ἀπολύων τοὺς ἀνθρώπους εἰς εὐτέλειαν καὶ
αὐτάρκειαν ἐξαιρεῖται τοὺς πρὸ τοῦ. καὶ θεοῖς δὲ ἁπλῆν
ἀποδίδωσι δίαιταν νέκταρ καὶ ἀμβροσίαν. καὶ τοὺς ἀνθρώ-
f πους δὲ ποιεῖ τιμῶντας αὐτοὺς ἀπὸ τῆς διαίτης, ἀφελὼν
λιβανωτὸν καὶ σμύρναν καὶ στεφάνους καὶ τὴν περὶ ταῦτα
τρυφήν. καὶ τῆς ἁπλῆς δὲ ταύτης διαίτης οὐκ ἀπλήστως
ἀπολαύοντας παρίστησιν, ἀλλ' ὡς οἱ κράτιστοι τῶν ἰα-
τρῶν ἀφαιροῦσι τὰς πλησμονάς.

*Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,*

καὶ τὴν ἐπιθυμίαν πληρώσαντες οἱ μὲν ἐξώρμων ἐπὶ με-
10 λέτην ἀθλητικήν, δίσκοισι τερπόμενοι καὶ αἰγανέαις, τῇ
παιδιᾷ τὰ πρὸς σπουδὴν ἐκμελετῶντες· οἱ δὲ κιθαρῳ-
δῶν ἠκροῶντο τὰς ἡρωικὰς πράξεις ἐν μέλει καὶ ῥυθμῷ
ποιούντων.

17. Διὸ οὐδὲν θαυμαστὸν τοὺς οὕτω τεθραμμένους
ἀφλεγμάντους εἶναι τὰ σώματα καὶ τὰς ψυχάς. ἐνδεικνύ-
μενος οὖν καὶ τὴν εὐταξίαν ὡς ὑγιεινόν ἐστι καὶ εὔχρηστον
καὶ κοινόν, τὸν σοφώτατον Νέστορα πεποίηκε Μαχάονι
τῷ ἰατρῷ τετρωμένῳ τὸν δεξιὸν ὦμον προσφέροντα οἶνον,
ταῖς φλεγμοναῖς ἐναντιώτατον ὄντα — καὶ τοῦτον Πράμνειον,
b ὃν ἴδμεν παχὺν καὶ πολύτροφον — οὐ διψήσεως ἄκος, ἀλλ'
ἐμφορήσεως ἕνεκα· πεπωκότι γοῦν παρακελεύεται συνεχῶς
τοῦτο ποιεῖν· „Σὺ μὲν (φησὶ) καθήμενος πῖνε·“ καὶ ἐπι-
ξύοντα τυρὸν αἴγειον, ἐπὶ δὲ κρόμυον ποτοῦ ὄψον, ἵνα

---

ἀπολύων] „ἀπολυόμενος videtur esse in C.“ Schweigh. ἐλευθερίαν VL. εὐθερίαν Turnebi margo. εὐτέλειαν Porsonus collatis p. 8 f. (ἐν εὐτελείᾳ εὐτάκτους) et 9 a. Idem Plutarchi locum apposuit II. p. 461 c. ἐθιστέον οὖν τὸ σῶμα δι' εὐτελείας πρὸς εὐκολίαν αὔταρκες ἑαυτῷ γινόμενον. ἐξαιρεῖται C et Porsonus. Legebatur ἐξαιρέται. τοὺς προτοῦ Porsonus et Schweigh. τοὺς πρώτου vel τοὺς πρωτοῦ C. τοὺς βασιλεῖς ἀποκαθίστησι VL. τοὺς cum lacuna BD.

9 f. ἀφαιροῦσι BCD. ἀφαιρεῖ VL. Αὐτὰρ] Odyss. α, 150. δίσκοισι] Odyss. δ, 626. ρ, 168.

10 a. τοὺς οὕτω] οὓς οὕτω B. Νέστορα πεποίηκε] Il. λ, 505. 637. προσφέροντα B. προφέροντα VL.

10 b. παχὺν] [illegible]ὴν B. Σὺ μὲν] Iliad. ξ, 5. καθήμενος πῖνε καὶ VL. καθησόμενος καὶ BCD. ἐπιξύοντα] Iliad. λ, 639. ἐπὶ δὲ] Iliad. λ, 630. ποτοῦ BCD. ποτῷ VL. Vid. ad 24 f.

πλεῖον πίνῃ, καίτοι ἀλλαχοῦ λέγων τὸν οἶνον ἐκλύειν τὴν ἰσχὺν καὶ ἀπογυιοῦν. περὶ δὲ τοῦ Ἕκτορος Ἑκάβη, οἰομένη μένειν αὐτὸν τὸ καταλειπόμενον τῆς ἡμέρας, παρακαλεῖ πιεῖν σπείσαντα, προτρεπομένη εἰς θυμηδίαν. ὁ δ' ὑπερ-
c τίθεται, πρὸς πρᾶξιν ἐξιών. καὶ ἡ μὲν ἀπερισπάστως ἐπαινεῖ τὸν οἶνον, ὁ δὲ μετὰ ἄσθματος ἥκων ἀπωθεῖται· καὶ ἡ μὲν ἀξιοῖ σπείσαντα πιεῖν, ὁ δὲ καθημαγμένος ἀσεβὲς ἡγεῖτο. οἶδε δὲ ὁ Ὅμηρος καὶ τὸ ὠφέλιμον καὶ τὸ σύμμετρον τοῦ οἴνου, οἷς τὸν χανδὸν ἕλκοντα αὐτὸν βλάπτεσθαι φησί. καὶ κράσεων δὲ γένη διάφορα ἐπίσταται· οὐκ ἂν γὰρ Ἀχιλλεὺς τὸ ζωρότερον κεραίρειν διέστειλε, μὴ οὔσης τινὸς καθημερινῆς κράσεως. ἴσως οὖν οὐκ ἐγίνωσκεν αὐτὸν εὐδιαφόρητον ἄνευ στερεμνίου σιτίου μίγματος; ὃ τοῖς ἰατροῖς
d διὰ τὴν τέχνην ἐστὶ δῆλον. τοῖς γοῦν καρδιακοῖς μετὰ οἴνου σιτῶδές ἀναμίσγουσί τι πρὸς κατοχὴν τῆς δυνάμεως. ἀλλ' ἐκεῖνος τῷ μὲν Μαχάονι μετ' ἀλφίτου καὶ τυροῦ δέδωκε τὸν οἶνον, τὸν δ' Ὀδυσσέα ποιεῖ συνάπτοντα τὴν ἀπὸ τῶν σιτίων καὶ οἴνων ὠφέλειαν·

Ὃς δέ κ' ἀνὴρ οἴνοιο κορεσσάμενος καὶ ἐδωδῆς.

τῷ δὲ κωθωνιζομένῳ δίδωσι τὸν ἡδύποτον, οὕτω καλέσας αὐτόν·

Ἐν δὲ πίθοι οἴνοιο παλαιοῦ ἡδυπότοιο.

18. Ποιεῖ δὲ Ὅμηρος καὶ τὰς κόρας καὶ τὰς γυναῖκας
e λουούσας τοὺς ξένους, ὡς οὔτε φλεγμονὴν οὔτε ἀκρα-

---

ἀλλαχοῦ] Iliad. ζ, 265. ἀπογυιοῦν] ἀπογυιῶν B. Ἑκάβη] Iliad. ζ, 258. μένειν] Malim μενεῖν.

10 c. ἀπωθεῖται. C. ἀπωθεῖται B. ἀποθεῖται D. ἀπωθεῖ VL. χανδὸν ἕλκοντα] ὅς ἄν μιν χανδὸν ἕλῃ Odyss. φ, 294. Post βλάπτεσθαι C addit ἐν ὀδ. „cum adhaerescente nescio quo scripturae nexu: quae valent ἐν Ὀδυσσείᾳ." Schweigh. ζωρότερον] Iliad. ι, 203. κεραίρειν L. κεραίρεις V. δις . . D. δει B. „διέστε C cum mendae nota superne adposita." Schweigh. δεῖν ἔλεγε VL. Restitui διέστειλε ex Eustathio p. 1398, 1. κράσεως] κολάσεως C.

10 d. Μαχάονι] Iliad. λ. 640. σιτίων] σίτων C. Ὃς δέ] Iliad. τ, 167. κωθωνιζομένῳ δίδωσι] κώθωνι δίδωσι B. Ἐν δέ] Odyss. β, 340. ubi vid. Eustathium p. 1449, 8. Ὅμηρος] Odyss. δ, 49. 252. ζ, 210. κ, 364.

10 e. λουούσας CD. λοούσας VL. ἀκρασίαν τῶν BCD. ἀκρασίαν πασχόντων τῶν VL.

σίαν τῶν εὖ βεβιωκότων καὶ σωφρόνως ἁπτομένας. ἀρχαῖον δὲ τοῦτο ἔθος. λούουσι γοῦν καὶ αἱ Κωκάλου θυγατέρες, ὡς νενομισμένον, τὸν Μίνω παραγενόμενον εἰς Σικελίαν. τῆς μέθης δὲ κατατρέχων ὁ ποιητὴς τὸν τηλικοῦτον Κύκλωπα ὑπὸ μικροῦ σώματος διὰ ταύτην ἀπολλύμενον παρίστησι καὶ Εὐρυτίωνα τὸν κένταυρον· τούς τε παρὰ Κίρκῃ λέοντας ποιεῖ καὶ λύκους, ταῖς ἡδοναῖς ἐπα-
f κολουθήσαντας. τὸν δὲ Ὀδυσσέα σώζει τῷ Ἑρμοῦ λόγῳ πεισθέντα· διὸ καὶ ἀπαθὴς γίνεται. Ἐλπήνορα δὲ πάροινον ὄντα καὶ τρυφερὸν καταχρημνίζει. καὶ Ἀντίνοος δὲ λέγων πρὸς Ὀδυσσέα „Οἶνός σε τρώει μελιηδὴς“ αὐτὸς οὐκ ἀπείχετο τοῦ πώματος· διὸ καὶ τρωθεὶς ἀπώλετο ἔτι κρατῶν τὸ ποτήριον. ποιεῖ δὲ καὶ τοὺς Ἕλληνας ἐν τῷ ἀπόπλῳ μεθύοντας, διὸ καὶ στασιάζοντας· ὅθεν καὶ ἀπόλ-
11 λυνται. ἱστορεῖ δὲ καὶ τὸν δεινότατον Αἰνείαν τῶν Τρώων ἐν τῷ βουλεύεσθαι, διὰ τὴν ἐν τῇ μέθῃ παρρησίαν καὶ τὰς ἀπειλὰς ἃς Τρωσὶν ὑπέσχετο οἰνοποτάζων, ὑπομείναντα τὴν Ἀχιλλέως ὁρμὴν καὶ μικροῦ παραπολλύμενον. καὶ Ἀγαμέμνων δὲ λέγει που περὶ αὐτοῦ

Ἀλλ᾽ ἐπεὶ ἀασάμην φρεσὶ λευγαλέῃσι πιθήσας,
ἢ οἴνῳ μεθύων, ἤ μ᾽ ἔβλαψαν θεοὶ αὐτοί.

εἰς τὴν αὐτὴν τιθεὶς πλάστιγγα τὴν μέθην τῇ μανίᾳ. — οὕτω δὲ τὰ ἔπη ταῦτα προηνέγκατο Διοσκουρίδης ὁ Ἰσο-
b κράτους μαθητής. — καὶ ὁ Ἀχιλλεὺς δ᾽ ὀνειδίζων τῷ Ἀγαμέμνονί φησιν „Οἰνοβαρές, κυνὸς ὄμματ᾽ ἔχων.“

---

ἀπολλύμενον] ἀπολλόμενον B. Εὐρυτίωνα] Odyss. φ, 295. ἐπακολουθήσαντας BC. παρακολουθήσαντας VL.

10 f. Ἐλπήνορα] Odyss. κ, 552. Οἶνός σε] Odyss. φ, 293. τρωθεὶς] Odyss. χ, 8. πώματος D. πόματος VL. ἀπώλετο L. ἀπώλλυεν V.

11 a. Αἰνείας] Iliad. υ, 84. Ἀγαμέμνων δὲ λέγει L. ἀγαμέμνονα λέγοντα V. αὐτοῦ] αὐτοῦ BCD. αὐτῆς VL. Ἀλλ᾽ ἐπεὶ — πιθήσας] Iliad. ι, 119. ἀασάμην] ἀχοκὴν ut mendosum notatum C, ἐν φρεσὶ BD. ἢ οἴνῳ — αὐτοί] Hunc versum post Iliad. τ, 137. (ἀλλ᾽ ἐπεὶ ἀασάμην καί μευ φρένας ἐξέλετο Ζεύς) inseruisse Dioscoridem tradit Eustathius p. 1176, 11. μανίᾳ] θεομηνίᾳ Eustathius p. 1176, 13. δὲ τὰ ἔπη] δὲ καὶ τὰ ἔπη C.

11 b. Οἰνοβαρὲς] Iliad. α, 225.

Ταῦτ' εἶπε τὸ Θετταλὸν σόφισμα, ἤτοι ὁ ἐκ Θετταλίας σοφιστής. παίζει δ' ἴσως πρὸς τὴν παροιμίαν ὁ Ἀθήναιος.

19. Ὅτι τροφαῖς ἐχρῶντο ἥρωες παρ' Ὁμήρῳ πρῶτον μὲν τῷ καλουμένῳ ἀκρατίσματι, ὃ λέγει ἄριστον· οὗ ἅπαξ μέμνηται ἐν Ὀδυσσείᾳ „Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
c ἐντύνοντ' ἄριστον κειαμένω πῦρ." καὶ ἅπαξ ἐν Ἰλιάδι

Ἐσσυμένως τε πένοντο καὶ ἐντύνοντο ἄριστον.

λέγει δὲ τὸ πρωινὸν ἔμβρωμα, ὃ ἡμεῖς ἀκρατισμὸν καλοῦμεν, διὰ τὸ ἐν ἀκράτῳ βρέχειν καὶ προσίεσθαι ψωμούς. ὡς Ἀντιφάνης „Ἄριστον ἐν ὅσῳ ὁ μάγειρος ποιεῖ," εἶτ' ἐπάγει

Συνακρατίσασθαι πῶς ἔχεις μετ' ἐμοῦ;

καὶ Κάνθαρος

Οὐκοῦν ἀκρατισώμεθ' αὐτοῦ. Β. μηδαμῶς·
ἐν Ἰσθμῷ γὰρ ἀριστήσομεν.

Ἀριστομένης

d Ἀκρατιοῦμαι μικρόν· εἶθ' ἥξω πάλιν,
ἄρτου δὶς ἢ τρὶς ἀποδακών.

Φιλήμων δέ φησιν ὅτι τροφαῖς τέτταρσιν ἐχρῶντο οἱ παλαιοί, ἀκρατίσματι, ἀρίστῳ, ἑσπερίσματι, δείπνῳ. τὸν μὲν οὖν ἀκρατισμὸν διανηστισμὸν ἔλεγον, τὸ δ' ἄριστον δορπηστόν, τὸ δὲ δεῖπνον ἐπιδορπίδα. ἔστι δ' ἡ τάξις καὶ παρ' Αἰσχύλῳ τῶν ὀνομάτων ἐν οἷς ὁ Παλαμήδης πεποίηται λέγων „Καὶ ταξιάρχας καὶ στρατάρχας καὶ ἑκα-

---

σόφισμα ἤτοι ὁ C. σόφισμα η ὁ BD. σόφισμα ὁ VL. „ὁ ἐκ Θετταλίας — ὁ Ἀθήναιος] Haec ab grammatico aliquo adscripta sunt" Reinesius. Videntur epitomes scriptori deberi. πρῶτον μὲν om. C. Ὀδυσσείᾳ] π, 2.

11 c. Ἰλιάδι] ω, 124. Ἐσσυμένως τε πένοντο] ἐσσυμένους πένοντο B. ἐσσυμένως ἐπένοντο apud Homerum. πως — ἐμοῦ. VL. πῶς — ἐμοῦ; Casaubonus. οὔκουν ἀκρατισόμεθα V. οὐκοῦν ἀκρατισώμεθ' (ἀκρατισώμεθα B.) L. αὐτοῦ μηδαμῶς L. ἀντὶ τοῦ μηδαμῶς V. Aristomenis versum priorem habet Eustathius 1791, 37.

11 d. τροφαῖς (τροφῆς B.) δ' ἐχρῶντο BC. τροφαῖς ἐχρῶντο VL. Φιλήμων τροφαῖς τέσσαρσι χρῆσθαί φησι Eustathius. Conf. V. p. 193 a. καὶ ταξιάρχας — ἑκατοντάρχας ἔταξα Haec omisit Eustathius

e τοντάρχας ἔταξα. σῖτον δ' εἰδέναι διώρισα· ἄριστα, δεῖπνα,
δόρπα δ' αἱρεῖσθαι τρίτα.“ τῆς δὲ τετάρτης τροφῆς οὕ-
τως Ὅμηρος μέμνηται „Σὺ δ' ἔρχεο δειελιήσας.“ ὃ κα-
λοῦσί τινες δειλινὸν, ὅ ἐστι μεταξὺ τοῦ ὑφ' ἡμῶν λεγο-
μένου ἀρίστου καὶ δείπνου. καὶ ἄριστον μέν ἐστι τὸ ὑπὸ
τὴν ἕω λαμβανόμενον, δεῖπνον δὲ τὸ μεσημβρινὸν, ὃ ἡμεῖς
ἄριστον, δόρπον δὲ τὸ ἑσπερινόν. μήποτε δὲ καὶ συνωνυμεῖ
τὸ ἄριστον τῷ δείπνῳ. ἐπὶ γὰρ τῆς πρωινῆς που τροφῆς
ἔφη „Οἱ δ' ἄρα δεῖπνον ἕλοντο, ἀπὸ δ' αὐτοῦ θωρήσ-
f σοντο.“ μετὰ γὰρ τὴν ἀνατολὴν εὐθὺς δειπνοποιησάμενοι
προέρχονται εἰς τὴν μάχην.

20. Εὐωχοῦνται δὲ παρ' Ὁμήρῳ καθήμενοι. οἴονται
δέ τινες καὶ ἑκάστῳ τῶν δαιτυμόνων κατ' ἄνδρα παρα-
κεῖσθαι τράπεζαν. τῷ γοῦν Μέντῃ, φασὶν, ἀφικομένῳ πρὸς
Τηλέμαχον τῶν τραπεζῶν παρακειμένων ξεστὴ παρετέθη
τράπεζα. οὐκ ἔστι δὲ τοῦτο ἐμφανῶς τοῦ προκειμένου κα-
τασκευαστικόν· δύναται γὰρ ἡ Ἀθηνᾶ ἀπὸ τῆς Τηλεμάχου
τραπέζης δαίνυσθαι. παρ' ὅλην δὲ τὴν συνουσίαν παρέ-
12 κειντο αἱ τράπεζαι πλήρεις, ὡς παρὰ πολλοῖς τῶν βαρ-
βάρων ἔτι καὶ νῦν ἔθος ἐστὶ, κατηρεφέες παντοίων ἀγα-
θῶν, κατὰ Ἀνακρέοντα. μετὰ δὲ τὴν ἀναχώρησιν αἱ δμωαὶ
ἀπὸ μὲν σῖτον πολὺν ἤρεον καὶ τράπεζαν καὶ δέπα. ἰδιάζον
δὲ τὸ παρὰ Μενελάῳ εἰσάγει συμπόσιον. δειπνήσαντας γὰρ

---

locis quattuor. Coniecturas suas exposuit Valckenarius ad Phoeniss. p. 204. Wesselingio ad Herodot. III, 157. probatas.

11 e. τρίτα] τρία Eustathius p. 1358, 4. 1432, 5. 1791, 45. sed idem p. 242, 22. τὸ δὲ παρ' Αἰσχύλῳ, ἄριστα, δεῖπνα δόρπα δ' αἱρεῖσθαι τρία, ἢ μάλιστα τρίτα κατὰ τοὺς παλαιοὺς, κακῶς ῥηθῆναι κρίνουσιν οἱ παλαιοί. Idem omisso τρία sive τρίτα haec verba attulit p. 1833, 4. Ὅμηρος] Odyss. ρ, 599. Vid. V. p. 193 a b. δεῖπνον δὲ τὸ BCD. δεῖπνον δὲ VL. Οἱ δ' ἄρα] Iliad. θ, 53. 54. ἕλοντο recte B: nam duorum versuum fragmenta sunt. Scribebatur ἕλοντ'.

11 f. προέρχονται BCD. προήρχοντο VL. δαιτυμόνων] δαιτυκόνων B. ξεστὴ] Odyss. α, 138. δαίνυσθαι L. δαίνυσθαι BV.

12 a. κατηρεφέες L. κατηρεφὲς V. ἀπὸ μὲν] Odyss. τ, 61.
λὺ
πολὺν ἤρεον] πολὺν ἤρεον C. πο ἤρεον B. πάλιν ἦρον VL. δέπα BCD. δέπας VL. Μενελάῳ] Odyss. δ, 65. 213.

ποιεῖ ὁμιλοῦντας, εἶτ᾽ ἀπονιψαμένους ποιεῖ πάλιν δειπνοῦντας, καὶ δόρπου ἐξαῦτις μεμνημένους μετὰ τὸν κλαυθμόν. τῷ δὲ μὴ αἴρεσθαι τὰς τραπέζας ἐναντιοῦσθαι δοκεῖ τὸ ἐν Ἰλιάδι

b Ἔσθων καὶ πίνων, ἔτι καὶ παρέκειτο τράπεζα.

ἀναγνωστέον οὖν οὕτω.

Ἔσθων καὶ πίνων ἔτι, καὶ παρέκειτο τράπεζα·

ἢ τὸν καιρὸν αἰτιᾶσθαι τὸν παρόντα δεῖ. πῶς γὰρ ἦν πρέπον τῷ Ἀχιλλεῖ πενθοῦντι παρακεῖσθαι τράπεζαν, καθάπερ τοῖς εὐωχουμένοις, παρ᾽ ὅλην τὴν συνουσίαν; παρετίθεντο δὲ οἱ μὲν ἄρτοι σὺν τοῖς κανοῖς, τὰ δὲ δεῖπνα κρέα μόνον ἦν ὀπτά. „Ζωμὸν δὲ οὐκ ἐποίει Ὅμηρος θύων βοῦς,

οὐδ᾽ ἧψεν κρέα

c οὐδ᾽ ἐγκέφαλον· ὤπτα δὲ καὶ τὰς κοιλίας.

οὕτω σφόδρ᾽ ἦν ἀρχαῖος.“

Ἀντιφάνης φησί.

21. Καὶ τῶν κρεῶν δὲ μοῖραι ἐνέμοντο. ὅθεν εἴσας φησὶ τὰς δαῖτας, ἀπὸ τῆς ἰσότητος. τὰ γὰρ δεῖπνα δαῖτας ἔλεγον ἀπὸ τοῦ δατεῖσθαι, οὐ μόνον τῶν κρεῶν διανεμομένων, ἀλλὰ καὶ τοῦ οἴνου·

Ἤδη μὲν δαιτὸς κεκορήμεθα θυμὸν ἐΐσης.

καὶ

Χαῖρ᾽ Ἀχιλεῦ, δαιτὸς μὲν ἐΐσης οὐκ ἐπιδευεῖς.

ἐκ τούτων δ᾽ ἐπείσθη Ζηνόδοτος δαῖτα ἐΐσην τὴν ἀγαθὴν
d λέγεσθαι. ἐπεὶ γὰρ ἡ τροφὴ τῷ ἀνθρώπῳ ἀγαθὸν ἀναγκαῖον ἦν, ἐπεκτείνας, φησὶν, εἴρηκεν ἐΐσην. ἐπεὶ οἱ πρῶτοι ἄνθρωποι, οἷς δὴ οὐ παρῆν ἄφθονος τροφὴ, ἄρτι φαινομένης, ἀθρόον ἐπ᾽ αὐτὴν ἰόντες βίᾳ ἥρπαζον καὶ

---

Ἰλιάδι] ἰλιάδι ω CD: unde Schweigh. Ἰλιάδος ω. (v. 476.)

12 b. ἧψεν] Scribebatur ἧψε.

12 c. Ἤδη] Odyss. θ, 98. θυμὸν] Libri δαιτὸς. Correctum ex Homero. Χαῖρ᾽] Iliad. ι, 225.

12 d. ἀγαθὸν ἀναγκαῖον Eustathius p. 1401, 56. et Favorinus in ἐΐση, ἀγαθὸν omisso ἀναγκαῖον Suidas in δαιτί. ἀγαθὴ ἀνα cum lacuna V. ἀγαθὴ ἀναγκαῖον L et correctus C „in quo prius ἀγαθὸ fuisse videtur.“ Schweigh. ἦν] τὴν C. παρῆν] παρῇ B. ἄφθονος ἡ τροφὴ Suidas.

ἀφῃροῦντο τοὺς ἔχοντας· καὶ μετὰ τῆς ἀκοσμίας ἐγίνοντο
καὶ φόνοι. ἐξ ὧν εἰκὸς λεχθῆναι καὶ τὴν ἀτασθαλίαν,
ὅτι ἐν ταῖς θαλίαις τὰ πρῶτα ἐξημάρτανον οἱ ἄνθρωποι
εἰς ἀλλήλους. ὡς δὲ παρεγένετο αὐτοῖς πολλὴ ἐκ τῆς Δή-
e μητρος, διένεμον ἑκάστῳ ἴσην, καὶ οὕτως εἰς κόσμον ἦλθε
τοῖς ἀνθρώποις τὰ δόρπα. διὸ ἄρτου τε ἐπίνοια πέμματός
τε εἰς ἴσον διαμεμοιραμένου, καὶ τοῖς διαπίνουσιν ἄλεισα·
καὶ γὰρ ταῦτα εἰς ἴσον χωροῦντα ἐγίνετο. ὥστε ἡ τροφὴ
δαὶς ἐπὶ τῷ δαίεσθαι λέγεται, ὅ ἐστι διαμοιρᾶσθαι ἐπ'
ἴσης· καὶ ὁ τὰ κρέα ὀπτῶν δαιτρὸς, ἐπεὶ ἴσην ἑκάστῳ
μοῖραν ἐδίδου. καὶ ἐπὶ μόνων ἀνθρώπων δαῖτας λέγει ὁ
ποιητὴς, ἐπὶ δὲ θηρίων οὐκ ἔτι. ἀγνοῶν δὲ ταύτης τῆς
φωνῆς τὴν δύναμιν Ζηνόδοτος ἐν τῇ κατ' αὐτὸν ἐκδόσει
f γράφει

Αὐτοὺς δ' ἑλώρια τεῦχε κύνεσσιν,
οἰωνοῖσί τε δαῖτα,

τὴν τῶν γυπῶν καὶ τῶν ἄλλων οἰωνῶν τροφὴν οὕτω καλῶν,
μόνου ἀνθρώπου χωροῦντος τὸ ἴσον ἐκ τῆς πρόσθεν βίας.
13 διὸ καὶ μόνου τούτου ἡ τροφὴ δαίς· καὶ μοῖρα τὸ ἑκάστῳ
διδόμενον. οὐκ ἔφερον δὲ οἴκαδε παρ' Ὁμήρῳ οἱ δαιτυμό-
νες τὰ λειπόμενα, ἀλλὰ κορεσθέντες κατέλιπον παρ' οἷς ἦν
ἡ δαίς· καὶ ἡ ταμία λαβοῦσα εἶχεν, ἵνα, ἄν τις ἀφίκηται
ξένος, ἔχοι δοῦναι αὐτῷ.

22. Καὶ ἰχθύσι δὲ Ὅμηρος ποιεῖ χρωμένους τοὺς τότε
καὶ ὄρνισι. κατὰ γοῦν τὴν Θρινακίαν οἱ Ὀδυσσέως ἑταῖροι
θηρεύουσιν

Ἰχθῦς ὄρνιθάς τε φίλας θ' ὅ τι χεῖρας ἵκοιτο
γναμπτοῖς ἀγκίστροισιν.

---

μετὰ τῆς ἀκοσμίας L et Suidas. μετὰ ἀκοσμίας V. σὺν ἀκοσμίᾳ Eustathius p. 1401, 58. ἐγίνοντο B, Suidas et Eustathius. Legebatur ἐγένοντο. πολλὴ] πολλὴ τροφὴ Eustathius.

12 e. ἦλθε] προῆλθε Eustathius. ἴσον] Scribebatur ἶσον, hic et paullo inferius bis. διαμεμοιραμένου BCD. διαμεμοιραμένων VL. ζηνόδοτος B. Legebatur ὁ Ζηνόδοτος.

12 f. κύνεσσιν] κύνεσιν B. μόνου L. μόνον V. πρόσθεν BCD. προ[illegible]ῆς VL.

13 a. παρ' ὁμήρῳ οἱ BC. οἱ παρ' ὁμήρῳ VL. Ἰχθῦς] Odyss. μ, 331. ubi θ' abest.

οὐ γὰρ ἐν τῇ Θρινακίᾳ ἐκεχάλκευτο τὰ ἄγκιστρα, ἀλλ' ἐπε-
b φέροντο ἐν τῷ πλῷ δηλονότι· ὥστε ἦν αὐτοῖς θήρας ἰχθύων ἐπιμέλεια καὶ τέχνη. εἰκάζει δὲ καὶ τοὺς ὑπὸ Σκύλλης ἁρπαζομένους Ὀδυσσέως ἑταίρους ἰχθύσι προμήκει ῥάβδῳ ἁλισκομένοις καὶ θύραζε ῥιπτομένοις. οὕτω καὶ ταύτην τὴν τέχνην ἀκριβοῖ μᾶλλον τῶν τοιαῦτα προηγουμένως ἐκδεδωκότων ποιήματα ἢ συγγράμματα, Καικίλιον λέγω τὸν Ἀργεῖον καὶ Νουμήνιον τὸν Ἡρακλεώτην, Παγκράτην τὸν Ἀρκάδα, Ποσειδώνιον τὸν Κορίνθιον, καὶ τὸν ὀλίγῳ πρὸ ἡμῶν
c γενόμενον Ὀππιανὸν τὸν Κίλικα. τοσούτοις γὰρ ἐνετύχομεν ἐποποιοῖς Ἁλιευτικὰ γεγραφόσι· καταλογάδην δὲ τῷ Σελεύκου τοῦ Ταρσέως καὶ Λεωνίδου τοῦ Βυζαντίου. οὐ μνημονεύει δὲ τοιαύτης ἐδωδῆς ἐπὶ τῶν δείπνων ὡς οὐκ οἰκείας νομιζομένης τῆς τροφῆς τοῖς ἐν ἀξιώμασιν ἥρωσι κειμένοις, ὡς οὐδὲ τῆς τῶν νεογνῶν ἱερείων. οὐ μόνον δὲ ἰχθύσιν, ἀλλὰ καὶ ὀστρείοις ἐχρῶντο, καίτοι τῆς τούτων ἐδωδῆς οὐ πολὺ ἐχούσης τὸ ὠφέλιμον καὶ ἡδὺ, ἀλλὰ κἂν τῷ βυθῷ
d κατὰ βάθος κειμένων. καὶ οὐκ ἔστιν εἰς ταῦτα ἄλλῃ τινὶ τέχνῃ χρήσασθαι ἢ δύντα κατὰ βυθοῦ.

Ἦ μάλ' ἐλαφρὸς ἀνὴρ ὃς ῥεῖα κυβιστᾷ,
ὃν καὶ λέγει πολλοὺς ἂν κορέσαι τήθεα διφῶντα.

23. Ἑκάστῳ δὲ τῶν δαιτυμόνων παρ' Ὁμήρῳ παράκειται πο[τήριον. Δημοδόκῳ] γοῦν παρατίθεται κάνεον

---

οὐ γὰρ — ἁλισκομένοις] Eustathius p. 1724, 55.

13 b. ἐπιμέλεια L. ἐπιμέλια B. ἐπιμελεία V. Σκύλλης] Odyss. μ, 251. ἰχθύσι — ἁλισκομένοις — ῥιπτομένοις] ἰχθῦς (ἰχθύας B) — ἁλισκομένους — ῥιπτομένους BCD. dativo utitur Eustathius. ἢ συγγράμματα BC. ἢ καὶ συγγράμματα VL. Καικίλιον Reinesius et Schweigh. Καίκλον L. και κλ V. Κικίλιον dicit Suidas in Κικίλιος. παγκράτην C. Legebatur Παγκράτιον. Παγκράτης etiam Suidae dicitur l. l. et Athenaeo alibi.

13 c. καταλογάδην δὲ τῷ] καταλογαδήνωδὲ τῷ B. Βυζαντίου] Suidas Ἀγαθοκλέα Ἀτράκιον addit. νομιζομένης] νομιζομένοις B. ἱερείων] ἱρείων B.

13 d. Ἦ μάλ'] Iliad. π, 745. παράκειται πο λὺ γοῦν B. (quod vel πολὺ vel πολὺν est: vide quae ex eodem libro enotavi ad 12 a.) παράκειται πολ' γοῦν CD. παράκειται παντὶ γοῦν VL. „Sequor membranas et scribo παράκειται ποτήριον παντὶ γοῦν" Casaubonus. παράκειται

καὶ τράπεζα καὶ δέπας, πιεῖν, ὅτε θυμὸς ἀνώγοι. ἐπιστέφονται δὲ ποτοῖο οἱ κρητῆρες, ἤτοι ὑπερχειλεῖς οἱ κρατῆρες ποιοῦνται, ὥστε διὰ τοῦ ποτοῦ ἐπιστεφανοῦσθαι. καὶ
e ταῦτα ἔπρασσον πρὸς οἰωνοῦ τιθέμενοι. κοῦροι δὲ διανέμουσι πᾶσιν, ἐπαρξάμενοι δεπάεσσι. τὸ δὲ πᾶσιν, οὐ τοῖς ποτηρίοις, ἀλλὰ τοῖς ἀνδράσιν. Ἀλκίνους γοῦν τῷ Ποντονόῳ φησὶ „Μέθυ νεῖμον πᾶσιν ἀνὰ μέγαρον.“ καὶ ἑξῆς ἐπάγει

Νώμησεν δ' ἄρα πᾶσιν, ἐπαρξάμενος δεπάεσσιν.

εἰσὶ δὲ καὶ τοῖς ἀρίστοις κατὰ δεῖπνα τιμαί. Τυδείδης
f γοῦν καὶ κρέασι καὶ πλείοις δεπάεσσι τιμᾶται, καὶ Αἴας νώτοισι διηνεκέεσσι γεραίρεται, καὶ οἱ βασιλεῖς δὲ τοῖς αὐτοῖς. „Νῶτα βοὸς, τά ῥά οἱ πάρθεσαν αὐτῷ·“ Μενελάῳ δηλονότι. καὶ Ἰδομενέα δὲ καὶ Ἀγαμέμνονα πλείονι δέπαϊ τιμᾷ. καὶ Σαρπηδὼν δὲ παρὰ Λυκίοις τοῖς αὐτοῖς τιμᾶται, καὶ ἕδρῃ καὶ κρέασιν. ἦν δέ τις αὐτοῖς καὶ διὰ τῆς προπόσεως ἀσπασμός. οἱ γοῦν θεοὶ χρυσέοις δεπάεσσι δειδέχατ' ἀλλήλους, ἤτοι ἐδεξιοῦντο, προπίνοντες ἑαυτοῖς ταῖς
11 a δεξιαῖς. καί τις δὲ δείδεκτ' Ἀχιλλέα· ἀντὶ τοῦ ἐδεξιοῦτο, ὅ ἐστι προέπινεν αὐτῷ τῇ δεξιᾷ διδοὺς τὸ ποτήριον. ἐδωροῦντο δὲ καὶ ἀπὸ τῆς αὐτῶν μοίρας οἷς ἐβούλοντο· ὡς

---

ποτήριον. Δημοδόκῳ γοῦν Schweigh., in cuius emendatione hoc saltem certissimum est quod Demodoci nomen addit: vid. Odyss. θ, 69. ἀνώγοι] ἀνώγει CD. ἐπιστέφονται] Iliad. α, 470. et alibi.

13 e. πρὸς οἰωνοῦ τιθέμενοι] Eustathius p. 1402, 64. πᾶσιν, ἐπαρξάμενοι] Iliad. α, 471. Ποντονόῳ L. ποντονόμῳ V. Μέθυ] Odyss. η, 179. μέθυ νεῖμον πᾶσιν L ut apud Homerum est. μέθυ δὴ νεῖμον πᾶσιν C. μέθυ δὴ ῥὰ πᾶσιν BD. μέθυ δὴ πᾶσιν V. Νώμησεν] Odyss. η, 183. Τυδείδης] Iliad. θ, 162. Αἴας] Iliad. η, 321.

13 f. γεραίρεται] γεραίρει C. Νῶτα] Odyss. δ, 65. Μενελάῳ] μενέλαος C. δηλονότι. καὶ Ἰδομενέα δὲ καὶ Ἀγαμέμνονα L. δηλονότι. καὶ ἀγαμέμνονα V. πλείονι δέπαϊ] Imo πλείῳ δέπαϊ. Vid. Iliad. δ, 262. Σαρπηδὼν] Iliad. μ, 310. λυκίοις BCD. λυκίων VL. προπόσεως] πόσεως C. χρυσέοις] Iliad. δ, 3. δειδέχατ'] δειδέχετ' B. ἑαυτοῖς] ἑαυτοὺς B.

14 a. δείδεκτ'] Iliad. ι, 224. τῆς αὐτῶν Schweigh. Legebatur τῶν αὐτῶν. Eustathius p. 1606, 16. παλαιὸν ἔθος ἕκαστον ἀπὸ τῆς αὐτοῦ μοίρας δωρεῖσθαι οἷς ἐβούλετο. ἐβούλοντο C. ἠβού-

Ὀδυσσεὺς νώτου ἀποπροταμὼν οὗ αὐτῷ παρέθεντο, τῷ Δημοδόκῳ.

24. Ἐχρῶντο δ' ἐν τοῖς συμποσίοις καὶ κιθαρῳδοῖς καὶ ὀρχησταῖς· ὡς οἱ μνηστῆρες. καὶ παρὰ Μενελάῳ ἐμέλπετο θεῖος ἀοιδός· δύω δὲ κυβιστητῆρες μολπῆς ἐξάρχοντες ἐδίνευον. μολπῆς δὲ ἀντὶ τοῦ παιδιᾶς. σῶφρον δέ τι
b ἦν τὸ τῶν ἀοιδῶν γένος καὶ φιλοσόφων διάθεσιν ἐπέχον. Ἀγαμέμνων γοῦν τὸν ἀοιδὸν καταλείπει τῇ Κλυταιμνήστρᾳ φύλακα καὶ παραινετῆρά τινα. ὃς πρῶτον μὲν ἀρετὰς γυναικῶν διερχόμενος ἐνέβαλλέ τινα φιλοτιμίαν εἰς καλοκαγαθίαν, εἶτα διατριβὴν παρέχων ἡδεῖαν ἀπεπλάνα τὴν διάνοιαν φαύλων ἐπινοιῶν. διὸ Αἴγισθος οὐ πρότερον διέφθειρε τὴν γυναῖκα πρὶν τὸν ἀοιδὸν ἀποκτεῖναι ἐν νήσῳ ἐρήμῃ. τοιοῦτός ἐστι καὶ ὁ παρὰ τοῖς μνηστῆρσιν ἀείδων ἀνάγκῃ, ὃς τοὺς ἐφεδρεύοντας τῇ Πηνελόπῃ ἐβδελύτ-
c τετο. κοινῶς δέ που πάντας τοὺς ἀοιδοὺς αἰδοίους τοῖς ἀνθρώποις εἶναί φησι,

Τοὔνεκ' ἄρα σφέας
οἴμας Μοῦσ' ἐδίδαξε, φίλησέ τε φῦλον ἀοιδῶν.

ὁ δὲ παρὰ Φαίαξι Δημόδοκος ᾄδει Ἄρεος καὶ Ἀφροδίτης συνουσίαν, οὐ διὰ τὸ ἀποδέχεσθαι τὸ τοιοῦτον πάθος, ἀλλ' ἀποτρέπων αὐτοὺς παρανόμων ὀρέξεων, εἰδὼς ἐν τρυφερῷ τινι βίῳ τεθραμμένους, κἀντεῦθεν ὁμοιότατα τοῖς τρόποις αὐτῶν τὰ πρὸς ἀνάπαυσιν προσφέρων. καὶ τοῖς
d μνηστῆρσιν ᾄδει πρὸς τὴν αὐτῶν βουλὴν ὁ Φήμιος νόστον Ἀχαιῶν. καὶ αἱ Σειρῆνες δὲ ᾄδουσι τῷ Ὀδυσσεῖ τὰ μάλιστα αὐτὸν τέρψοντα καὶ τὰ οἰκεῖα τῇ φιλοτιμίᾳ αὐτοῦ

---

λοντο VL. νώτου ἀποπροταμὼν] Odyss. θ, 475. παρὰ Μενελάῳ] Odyss. δ, 17. κυβιστητῆρες L. κυβιστῆρες BC. κυβιτῆρες V. μολπῆς δὲ ἀντὶ BCD. μολπῆς ἀντὶ VL.

14 b. Ἀγαμέμνων] Odyss. γ, 267. γοῦν VL. οὖν BCD. φύλακα καὶ] φυλάξαι καὶ B. ἀείδων] Phemius Odyss. α, 154.

14 c. κοινῶς L. κοινοὺς BV. τοὔνεκ' ἄρα] Odyss. θ, 480. ubi οὕνεκ'. Δημόδοκος] Odyss. θ, 266. προσφέρων BCD. προφέρων VL.

14 d. βουλὴν] βούλησιν Porsonus. ὁ Φήμιος] Odyss. α, 326. Σειρῆνες] Odyss. μ, 184. τέρψοντα] τέρψαντα C.

καὶ πολυμαθείᾳ λέγουσαι. „Ἴσμεν“ γάρ φασι „τά τ᾽ ἄλλα
καὶ ὅσσα γένηται ἐν χθονὶ πολυβοτείρῃ.“

25. Ὀρχήσεις δ᾽ εἰσὶ παρ᾽ Ὁμήρῳ αἱ μέν τινες τῶν
κυβιστητήρων, αἱ δὲ διὰ τῆς σφαίρας· ἧς τὴν εὕρεσιν
Ἀγαλλὶς ἡ Κερκυραία γραμματικὴ Ναυσικάᾳ ἀνατίθησιν,
ὡς πολίτιδι χαριζομένη, Δικαίαρχος δὲ Σικυωνίοις, Ἵππα-
e σος δὲ Λακεδαιμονίοις ταύτην τε καὶ τὰ γυμνάσια πρώ-
τοις. ταύτην δὲ μόνην τῶν ἡρωίδων Ὅμηρος παράγει σφαι-
ρίζουσαν. διαβόητοι δὲ ἐπὶ σφαιρικῇ Δημοτέλης, ὁ Θεόγνι-
δος τοῦ Χίου σοφιστοῦ ἀδελφός, καί τις Χαιρεφάνης· ὃς
ἀσελγεῖ τινι νέῳ παρακολουθῶν οὐ διελέγετο μέν, ἐκώλυε
δὲ πράττειν τὸν νεανίσκον. εἰπόντος δὲ ὅτι „Χαιρέφανες,
ἐὰν παύσῃ ἀκολουθῶν, πάντα σοι ἔσται παρ᾽ ἡμῶν,“
„Ἐγὼ δ᾽ ἂν (ἔφη) σοὶ διαλεχθείην;“ „Τί οὖν (εἶπε)
f παρακολουθεῖς;“ „Χαίρω σε θεωρῶν (ἔφη), τὸ δὲ ἦθος
οὐ δοκιμάζω.“

Ὅτι τὸ φούλλικλον καλούμενον, ἦν δὲ ὡς ἔοικε σφαι-
ρίον τι, εὗρεν Ἀττικὸς Νεαπολίτης παιδοτρίβης, γυμνασίας
ἕνεκα Πομπηίου Μάγνου. τὸ δὲ καλούμενον διὰ τῆς σφαί-
ρας ἁρπαστὸν φαινίνδα ἐκαλεῖτο, ὃ ἐγὼ πάντων μάλιστα
ἀσπάζομαι.

26. Πολὺ δὲ τὸ σύντονον καὶ καματηρὸν τῆς περὶ
τὴν σφαιριστικὴν ἁμίλλης τό τε κατὰ τοὺς τραχηλισμοὺς
ῥωμαλέον. Ἀντιφάνης

---

*πολυμαθείᾳ*] *πολυμαθίᾳ* B. *φασι*] *φησι* B. *ὅσσα*] *ὅσα* B. *γένηται* BCD. *γίνεται* VL. *κυβιστητήρων* L et Suidas in *ὄρχησις*. *κυβιστήρων* V et libri scripti et Suidas in *χορείαν*. *Ἀγαλλὶς*] *Ἀναγαλλὶς* Suidas in h. v. et in *ὄρχησις*. *Ἀνάγαλις* Suidas in *σφαῖρα*. *Κερκυραία*] *κερκυρέα* B. *Ναυσικάᾳ*] *ναυσικᾷ* V. *Ναυσικαΐ* L.

14 e. *σφαιρικῇ*] *σφαιριστικῇ* Toupius Emend. vol. II. p. 227. *Θεόγνιδος*] *Θεοκρίτου* Iacobsius p. 9. *σοι ἔσται*] *σοι ἔσται σοι* B.

14 f. *Ὅτι τὸ — Μάγνου* om. VL. habent C et codex Corselianus A. Schotti Obs. hum. I, 6. p. 9., sed supra 14 d. post *Σικυωνίοις* inserta, unde huc transtulit Schweigh. *Ὅτι*] *τι* codex Corselianus. *φούλλικλον* Porsonus. *φουάλικλον* uterque codex. *σφαιρίον τι*] *σφαιρικόν τι* codex Corselianus. Schweigh. *σφαιρισκόν τι*, quod codice C confirmari ait. *φαινίνδα*] *φαίνινδα* C constanter. *φενίνδα* et *Φενέστιος* Etymol. M. *Ἀντιφάνης — ὡς ἔχω*] Haec ex C accesserunt.

Οἴμοι κακοδαίμων, τὸν τράχηλον ὡς ἔχω.
διηγεῖται δὲ τὴν φαινίνδα παιδιὰν οὕτως Ἀντιφάνης

15 Σφαῖραν λαβὼν
τῷ μὲν διδοὺς ἔχαιρε, τὸν δ' ἔφευγ' ἅμα,
τοῦ δ' ἐξέκρουσε, τὸν δ' ἀνέστησεν πάλιν,
κλαγκταῖσι φωναῖς.
Ἔξω, μακρὰν, παρ' αὐτὸν, ὑπὲρ αὐτὸν, κάτω,
ἄνω, βραχεῖαν ἀπόδοσιν ἐγκαταστρέφει.

ἐκαλεῖτο δὲ φαινίνδα ἀπὸ τῆς ἀφέσεως τῶν σφαιριζόντων ἢ ὅτι εὑρετὴς αὐτῆς, ὥς φησιν Ἰόβας ὁ Μαυρούσιος, Φαινέστιος ὁ παιδοτρίβης. καὶ Ἀντιφάνης „Φαινίνδα παίζων
b ἧεις ἐν Φαινεστίου." ἐφρόντιζον δὲ εὐρυθμίας οἱ σφαιρίζοντες. Δαμόξενος γοῦν φησι

Νεανίας τις ἐσφαίριζεν εἷς
ἐτῶν ἴσως * * * ἑπτακαίδεκα,
Κῷος· θεοὺς γὰρ φαίνεθ' ἡ νῆσος φέρειν.
ὃς ἐπεί ποτ' ἐμβλέψειε τοῖς καθημένοις,
ἢ λαμβάνων τὴν σφαῖραν, ἢ διδοὺς, ἅμα
πάντες ἐβοῶμεν,
ἥ τ' εὐρυθμία τό τ' ἦθος ἡ τάξις θ' ὅση
ἐν τῷ τι πράττειν ἢ λέγειν ἐφαίνετο,
πέρας τι κάλλους, ἄνδρες· οὔτ' ἀκήκοα

---

διηγεῖται] διηγεῖτο B.

15 a. ἐξέκρουσε] ἐξέκρουσεν B. κλαγκταῖσι L. κλακταῖσι V. Ἔξω] Hunc et sequentem versum ex cod. Corseliano edidit Schottus l. l. et habet C. ὑπὲρ αὐτὸν om. Corsel. βραχεῖαν] ταχεῖαν Schottus. ἐγκαταστρέφει] καταστρέφει Porsonus. ἢ ὅτι BCD et libri Casauboniani. ὅ τε VL. αὐτῆς B. Legebatur αὐτοῦ. Libri ἧεις ἐν. ἧεν ἐς Valckenarius ad Phoeniss. p. 384. Vid. Elmsleium in diario classico fasc. XVII. p. 51. παίζων ἧας ἐκ Φαινεστίου Porsonus in Adversariis p. 309.

15 b. Δαμόξενος] Scribebatur Δημόξενος. γοῦν] Legebatur οὖν. V. 1. εἷς BCD. ὢν VL. V. 2. ἴσως ἑπτακαίδεκα] ἴσως ἑκκαίδεκ' ἢ 'πτακαίδεκα Porsonus collatis Athenaeo III. p. 127 d. et Dione Chrysost. XXI. p. 272. (506.) V. 6. ἐβοῶμεν] ἐβοῶμεν, ὥσπερ ἐκ κελεύσματος explet Porsonus. V. 7. ἥ τ' εὐρυθμία Porsonus. Legebatur ἡ δ' εὐρυθμία. τό τ' ἦθος VL et Porsonus. τὸ δὲ ἦθος BCD. ἡ τάξις θ' ὅση Porsonus. Legebatur ἥ τε (ἣ δὲ BC.) τάξις ὅση. V. 8. πράττειν ἢ λέγειν Casaubonus. Libri λέγειν ἢ πράττειν. V. 9. πέρας τι Porsonus. τέρας ἔτι C. πέρας ἔτι VL. Vid. Valckenar. annot. crit. ad loca quaedam N. T. p. 332.

ἔμπροσθεν οὐθ' ἑόρακα τοιαύτην χάριν.
κακὸν ἄν τι μεῖζον ἔλαβον, εἰ πλείω χρόνον
ἔμεινα· καὶ νῦν δ' οὐχ ὑγιαίνειν μοι δοκῶ.

ἐσφαίριζε δ' οὐκ ἀηδῶς καὶ Κτησίβιος ὁ Χαλκιδεὺς φιλόσοφος· καὶ πολλοὶ διὰ τὴν σφαιρικὴν αὐτῷ συναπεδύοντο τῶν Ἀντιγόνου τοῦ βασιλέως φίλων. συνέγραψε δὲ περὶ σφαιριστικῆς Τιμοκράτης ὁ Λάκων.

27. Οἱ Φαίακες δὲ παρ' Ὁμήρῳ καὶ ἄνευ σφαίρας ὠρχοῦντο. καὶ ὀρχοῦνταί που ἀνὰ μέρος πυκνῶς· τοῦτο γάρ ἐστι τὸ „Ταρφέ' ἀμειβόμενοι·" ἄλλων ἐφεστώτων καὶ ἐπικροτούντων τοῖς λιχανοῖς δακτύλοις, ὅ φησι ληκεῖν. οἶδε δὲ ὁ ποιητὴς καὶ τὴν πρὸς ᾠδὴν ὄρχησιν. Δημοδόκου γοῦν ᾄδοντος κοῦροι πρωθῆβαι ὠρχοῦντο. καὶ ἐν τῇ Ὁπλοποιίᾳ δὲ παιδὸς κιθαρίζοντος ἄλλοι ἐναντίοι ἀλλήλοισι μολπῇ τε ὀρχηθμῷ τε ἔσκαιρον. ὑποσημαίνεται δὲ ἐν τούτοις ὁ ὑπορχηματικὸς τρόπος, ὃς ἤνθησεν ἐπὶ Ξενοδήμου καὶ Πινδάρου. καὶ ἔστιν ἡ τοιαύτη ὄρχησις μίμησις τῶν ὑπὸ τῆς λέξεως ἑρμηνευομένων πραγμάτων· ἣν παρίστησι γινομένην Ξενοφῶν ὁ καλὸς ἐν τῇ Ἀναβάσει ἐν τῷ παρὰ Σεύθῃ τῷ Θρᾳκὶ συμποσίῳ. φησὶ γοῦν „Ἐπειδὴ σπονδαὶ ἐγένοντο καὶ ἐπαιώνισαν, ἀνέστησαν πρῶτοι Θρᾷ-

---

15 c. V. 10. ἑόρακα] Libri ἑώρακα. V. 12. καὶ νῦν δ'] καὶ νῦν γ' Porsonus. ὁ χαλκιδεὺς B. Aberat ὁ. πολλοὶ] πολλὰ CD. σφαιρικὴν] σφαιριστικὴν Schweigh. Ταρφέ'] Odyss. θ, 379.

15 d. κοῦροι] Odyss. θ, 262. ἄλλοι ἐναντίοι ἀλλήλοισι μολπῇ Schweigh.: vid. Iliad. λ, 67. ἄλλοι ἐν μολπῇ BD. ἄλλοι ἐναντίοισι μολπῇ C. ἄλλοι ἐν μανίᾳ μολπῇ V. ἄλλοι δ' ὁμαρτῇ μολπῇ L. μολπῇ τε ὀρχηθμῷ] μολπῇ τ' ἰυγμῷ Iliad. σ, 572. ἔσκαιρον] L.. εὔκαιρον BV. Eustathius p. 1596, 15. κιθαρίζοντος γὰρ ἐκεῖ (ἐν τῇ Ὁπλοποιίᾳ) παιδὸς χαίρουσιν (σκαίρουσιν ex Athenaeo Valckenarius) ἄλλοι μολπῇ καὶ ὀρχηθμῷ. ἐν οἷς ὑποσημαίνεται, φασί, τὸ ὑπορχηματικὸν εἶδος, ἀνθῆσαν ἐπὶ Ξενοδήμου καὶ Πινδάρου. τῆς λέξεως ἑρμηνευομένων πραγμάτων] τοῦ λέξεως ἑρμηνευομε πραγματείας B. Brunckius in margine τῆς ... τοῦ λέγοντος ἑρμηνευομένης πραγματείας, quae vel omnia vel partim ex D petita videntur.

15 e. ἐν τῇ Ἀναβάσει] VI. 1, 5. — 11. παρὰ Σεύθῃ τῷ Θρᾳκὶ] Immo apud Corylam Paphlagonem. σπονδαὶ] σπονδιακὰ C. ... πάντες ἀνέκραγον] οἱ συνδειπνοῦντες παφλαγόνες C inter versus adest.

κες καὶ πρὸς αὐλὸν ὠρχοῦντο σὺν ὅπλοις καὶ ἥλλοντο
ὑψηλά τε καὶ κούφως καὶ ταῖς μαχαίραις ἐχρῶντο· τέλος δ'
ὁ ἕτερος τὸν ἕτερον παίει, ὡς πᾶσι δοκεῖν πεπληγέναι τὸν
ἄνδρα. ὁ δ' ἔπεσε τεχνικῶς πως, καὶ πάντες ἀνέκραγον.
καὶ ὁ μὲν σκυλεύσας τὰ ὅπλα τοῦ ἑτέρου ἐξῄει ᾄδων Σι-
f τάλκαν, ἄλλοι δὲ τῶν Θρακῶν τὸν ἕτερον ἐξέφερον ὡς
τεθνηκότα· ἦν δὲ οὐδὲν πεπονθώς. μετὰ τοῦτον Αἰνιᾶνες
καὶ Μάγνητες ἀνέστησαν, οἳ ὠρχοῦντο τὴν καρπαίαν κα-
λουμένην ἐν τοῖς ὅπλοις. ὁ δὲ τρόπος τῆς ὀρχήσεως ἦν,
ὁ μὲν παραθέμενος τὰ ὅπλα σπείρει καὶ ζευγηλατεῖ πυκνὰ
μεταστρεφόμενος ὡς φοβούμενος, λῃστὴς δὲ προσέρχεται·
ὁ δὲ ἐπὰν προΐδηται, ἁρπάσας τὰ ὅπλα μάχεται πρὸ τοῦ
ζεύγους ἐν ῥυθμῷ πρὸς τὸν αὐλόν· καὶ τέλος ὁ λῃστὴς
16 δήσας τὸν ἄνδρα τὸ ζεῦγος ἀπάγει, ἐνίοτε δὲ καὶ ὁ ζευ-
γηλάτης τὸν λῃστήν· εἶτα παρὰ τοὺς βοῦς δήσας, ὀπίσω
τὼ χεῖρε δεδεμένον ἐλαύνει.“ καί τις, φησὶ, τὸ Περσικὸν
ὠρχεῖτο καὶ κροτῶν τὰς πέλτας ὤκλαζε καὶ ἐξανίστατο·
καὶ ταῦτα πάντα ῥυθμῷ πρὸς τὸν αὐλὸν ἐποίει. καὶ Ἀρ-
κάδες δὲ, φησὶν, ἀναστάντες ἐξοπλισάμενοι ᾖεσαν ἐν ῥυθμῷ
πρὸς τὸν ἐνόπλιον ῥυθμὸν αὐλούμενοι καὶ ἐνωπλίσαντο
καὶ ὠρχήσαντο.

28. Ἐχρῶντο δὲ καὶ αὐλοῖς καὶ σύριγξιν ἥρωες. ὁ
γοῦν Ἀγαμέμνων αὐλῶν συρίγγων τ' ἐνοπὴν ἀκούει. εἰς
b δὲ τὰ συμπόσια οὐ παρήγαγε· πλὴν ἐν τῇ Ὁπλοποιίᾳ γά-
μων γινομένων αὐλῶν μνημονεύει. τοῖς δὲ βαρβάροις ἀπο-
δίδωσι τοὺς αὐλούς· παρὰ Τρωσὶ γοῦν ἦν αὐλῶν συρίγ-
γων τ' ἐνοπή. ἔσπενδον δὲ ἀπὸ τῶν δείπνων ἀναλύοντε[s]

---

Σιτάλκαν] σιδάλκαν C.

15 f. καρπαίαν B. καρπαῖαν VL. πρὸ τοῦ ζεύγους B et Xe[no]phontis libri. Legebatur πρὸ ζεύγους.

16 a. ῥυθμῷ BC. ῥαθύμως V. ἐν ῥυθμῷ L et Xenophon. τὸν αὐλὸν L et Xenophon. τὸν ῥυθμὸν BCV. ἐνόπλιον] ἐνόπλοις

ἐνωπλίσαντο] ἐπαιώνισαν Xenophon in libris vulgatis: na[m] optimi duo ἐνώπλισαν. αὐλῶν] Iliad. κ, 13. ἐνοπὴν C ἐνοπὰς B. ἐνοπῆς VL.

16 b. Ὁπλοποιίᾳ] Iliad. σ, 495. Τρωσὶ γουν] Legebat[ur] Τρωσὶν οὖν. ἔσπενδον — ἑρμηνείαν] Eustathius p. 1471, 19.

καὶ τὰς σπονδὰς ἐποιοῦντο Ἑρμῇ καὶ οὐχ, ὡς ὕστερον, Διὶ τελείῳ. δοκεῖ γὰρ Ἑρμῆς ὕπνου προστάτης εἶναι. σπένδουσι δ' αὐτῷ καὶ ἐπὶ ταῖς γλώσσαις ἐκ τῶν δείπνων c ἀπιόντες. προσνέμονται δ' αὐτῷ αἱ γλῶσσαι διὰ τὴν ἑρμηνείαν. οἶδε δ' Ὅμηρος καὶ ποικίλας ἐδωδάς. λέγει γοῦν ἐδωδὴν παντοίην καὶ ὄψα οἷα ἔδουσι διοτρεφέες βασιλῆες. οἶδε δὲ καὶ πᾶσαν τὴν νῦν πολυτέλειαν. οἴκων μὲν οὖν λαμπρότατος ὁ Μενελάου. τοιαύτην δέ τινα ὑφίσταται τῇ κατασκευῇ καὶ λαμπρότητι Πολύβιος Ἴβηρός τινος βασιλέως οἰκίαν· ὃν καὶ ἐζηλωκέναι λέγει τὴν τῶν Φαιάκων τρυφήν, πλὴν τοῦ τοὺς κρατῆρας ἐν μέσῳ τῆς οἰκίας ἑστάναι πλήρεις οἴνου κριθίνου ἀργυροῦς ὄντας καὶ χρυσοῦς. d Ὅμηρος δὲ τοπογραφῶν καὶ τὴν Καλυψοῦς οἰκίαν ἐκπλήττει τὸν Ἑρμῆν. ἀπολαυστικὸς δέ ἐστι παρ' αὐτῷ καὶ ὁ τῶν Φαιάκων βίος· „Αἰεὶ γὰρ ἡμῖν δαίς τε φίλη κίθαρίς τε" καὶ τὰ ἑξῆς. * * * * ἃ ἔπη Ἐρατοσθένης οὕτω γεγράφθαι φησὶν

Οὐ γὰρ ἔγωγέ τι φημὶ τέλος χαριέστερον εἶναι
ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κακότητος ἀπούσης,
δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ.

e κακότητος ἀπούσης, φάσκων, τῆς ἀφροσύνης. ἀδύνατον γὰρ μὴ φρονίμους εἶναι Φαίακας, οἳ μάλα φίλοι εἰσὶ θεοῖσιν, ὥς ἡ Ναυσικάα φησί.

29. Καὶ οἱ μνηστῆρες δὲ παρ' αὐτῷ πεσσοῖσι προπά-

---

Ἑρμῇ] Odyss. η, 137. οὐχ ὡς ὕστερον] οὐχ' ὕστερον B.

16 c. ἐδωδὴν παντοίην] Odyss. ζ, 76. ὄψα οἷα] Odyss. γ, 480. λαμπρότατος ὁ] λαμπρότητα ὁ B. ὁ Μενελάου] Odyss. δ, 43. 71. τοιαύτην Schweigh. Legebatur τοιοῦτον. Πολύβιος] Apud Schweigh. inter fragm. XXXIV. 9, 14. vol. IV. p. 643. τρυφὴν] τροφὴν BCD.

16 d. τοπογραφῶν] Odyss. ε, 64. Αἰεὶ γὰρ] Αἰεὶ δ' Odyss. θ, 248. Lacunam post ἑξῆς ab me notatam recte explet Schweigh. addita καὶ et loci Homerici (Odyss. ι, 5.— 7.) scriptura vulgata, quae ab Eratosthenea sic differt ut ἔχῃ κατὰ δῆμον ἅπαντα scriptum sit. Ἐρατοσθένης] Vid. Eustath. p. 1612, 18. οὕτω γεγράφθαι BC. οὕτω δεῖν γεγράφθαι VL. φησὶν] φασὶν B. ἢ ὅταν] ἢ ὅτε B. ἀκουάζοντες ἀοιδοῦ B.

16 e. ὁ ναυσικράτης libri. ἡ Ναυσικάα recte Schweigh.: vid. Odyss. ζ, 203. πεσσοῖσι] Odyss. α, 107. ποσσοῖσι B.

ϱοιθε θυϱάων ἐτέϱποντο, οὐ παϱὰ τοῦ Μεγαλοπολίτου
Διοδώϱου ἢ Θεοδώϱου μαθόντες τὴν πεττείαν, οὐδὲ τοῦ
Μυτιληναίου Λέοντος τοῦ ἀνέκαθεν Ἀθηναίου, ὃς ἀήττη-
f τος ἦν κατὰ τὴν πεττευτικὴν, ὥς φησι Φανίας. Ἀπίων δὲ
ὁ Ἀλεξανδϱεὺς καὶ ἀκηκοέναι φησὶ παϱὰ τοῦ Ἰθακησίου
Κτήσωνος τὴν τῶν μνηστήϱων πεττείαν οἵα ἦν. ὀκτὼ γάϱ
φησι καὶ ἑκατὸν ὄντες οἱ μνηστῆϱες διετίθεσαν ψήφους
ἐναντίας ἀλλήλαις, ἴσας πϱὸς ἴσας τὸν ἀϱιθμὸν, ὅσοιπεϱ
ἦσαν καὶ αὐτοί. γίνεσθαι οὖν ἑκατέϱωθεν τέσσαϱας καὶ
πεντήκοντα. τὸ δ᾽ ἀνὰ μέσον τούτων διαλιπεῖν ὀλίγον
κενόν· ἐν δὲ τῷ μεταιχμίῳ τούτῳ μίαν τιθέναι ψῆφον,
17 ἣν καλεῖν μὲν αὐτοὺς Πηνελόπην, σκοπὸν δὲ ποιεῖσθαι εἴ
τις βάλλοι ψήφῳ ἑτέϱᾳ· καὶ κληϱουμένων τὸν λαχόντα
στοχάζεσθαι ταύτης. εἰ δέ τις τύχοι καὶ ἐκκϱούσειε πϱόσω
τὴν Πηνελόπην, ἀποτίθεσθαι τὴν ἑαυτοῦ εἰς τὴν τῆς βλη-
θείσης καὶ ἐξωσμένης χώϱαν, ἐν ᾗ πϱότεϱον ἦν· καὶ πά-
λιν στάντα τὴν Πηνελόπην, ἐν ᾧ τὸ δεύτεϱον ἐγένετο
χωϱίῳ, ἐντεῦθεν βαλεῖν [τὴν ἑαυτοῦ]. εἰ δὲ τύχοι ἄνευ τοῦ
μηδεμιᾶς τῶν ἄλλων ψαῦσαι νικᾶν, καὶ ἐλπίδας ἔχειν πολ-
b λὰς γαμήσειν αὐτήν. τὸν δὲ Εὐϱύμαχον πλείστας εἰληφέναι
ταύτῃ τῇ παιδιᾷ καὶ εὔελπιν εἶναι τῷ γάμῳ. οὕτω δὲ διὰ
τὴν τϱυφὴν τὰς χεῖϱας οἱ μνηστῆϱες ἔχουσιν ἁπαλὰς ὡς
μηδὲ τὸ τόξον ἐντεῖναι δύνασθαι. πολυτελεῖς δ᾽ αὐτοῖς καὶ
οἱ διακονούμενοι.

---

Μεγαλοπολίτου] μεγάλου CD. Θεοδώϱου L. θεοξένου V. Φανίας V. φανείας C. Φαινίας L.

16 f. Ἀπίων — εὔελπιν εἶναι τῷ γάμῳ] Eustathius p. 1426, 1… καὶ ἀκηκοέναι C. ἀκηκοέναι VL. παϱὰ] πεϱὶ B. ὀκ… γάϱ φησι καὶ ἑκατὸν] ν΄ γάϱ φησι καὶ ϱ΄ B. vid. Odyss. π, 247.—25…

17 a. βάλλοι B et ex D Brunckius. βάλοι VL. κληϱουμέ… BCD. κληϱουμένον V. κλήϱου μὲν L. κληϱουμένων ἐκείνων Eustathius. τύχοι] τύχη B. τὴν Πηνελόπην] τὴν ψῆφον Πηνελόπην Eustathi… ἑαυτοῦ C. αὐτοῦ V. αὑτοῦ L. καὶ πάλιν cet.] καὶ στάντα ἐκεῖ πά… βάλλειν Eustathius. Brunckius annotavit καὶ ἐκεῖ στάντα, πάλιν … Πηνελόπην βάλλειν ἐν ᾧ τὸ δεύτεϱον ἐγένετο χωϱίῳ· εἰ δὲ τύχοι — στάντα] ἱστάντα vel στήσαντα Coraës. τὴν ἑαυτοῦ C. Legebat… τὴν ἑτέϱαν. τύχοι] τύχη BCD.

17 b. εἰληφέναι] εἰληφέναι τοιαύτας νίκας Eustathius. παιδ… παιδιᾷ νίκας Brunckius. τὰς χεῖϱας] Odyss. φ, 150.

Δυνατωτάτη δὲ παρ᾽ Ὁμήρῳ καὶ ἡ τῶν μύρων εὐωδία·
Οὗ καὶ κινυμένοιο Διὸς ποτὶ χαλκοβατὲς δῶ
ἔμπης εἴς γαῖάν τε καὶ οὐρανὸν ἵκετ᾽ ἀϋτμή.

καὶ στρωμνὰς δὲ οἶδε διαπρεπούσας. τοιαύτας γοῦν Ἀρήτη Ὀδυσσεῖ ὑποστρωννύειν κελεύει, καὶ Νέστωρ αὐχεῖ πρὸς Τηλέμαχον πολλῶν τοιούτων εὐπορεῖν.
c

30. Τῶν δ᾽ ἄλλων ποιητῶν ἔνιοι τὰς καθ᾽ αὐτοὺς πολυτελείας καὶ ῥᾳθυμίας ἀνέπεμπον ὡς οὔσας καὶ κατὰ τὰ Τρωικά. Αἰσχύλος γοῦν ἀπρεπῶς που παράγει μεθύοντας τοὺς Ἕλληνας, ὡς καὶ τὰς ἀμίδας ἀλλήλοις περικαταγνύναι. λέγει γοῦν

Ὅδ᾽ ἐστὶν ὅς ποτ᾽ ἀμφ᾽ ἐμοὶ βέλος
γελωτοποιὸν, τὴν κάκοσμον οὐράνην,
ἔρριψεν οὐδ᾽ ἥμαρτε· περὶ δ᾽ ἐμῷ κάρᾳ
πληγεῖσ᾽ ἐναυάγησεν ὀστρακουμένη,
d χωρὶς μυρηρῶν τευχέων πνέουσ᾽ ἐμοί.

καὶ Σοφοκλῆς δὲ ἐν Ἀχαιῶν συνδείπνῳ

Ἀλλ᾽ ἀμφὶ θυμῷ τὴν κάκοσμον οὐράνην
ἔρριψεν οὐδ᾽ ἥμαρτε· περὶ δ᾽ ἐμῷ κάρᾳ
κατάγνυται τὸ τεῦχος οὐ μύρου πνέον.
ἐδειματούμην δ᾽ οὐ φίλης ὀσμῆς ὕπο.

Εὔπολις δὲ τὸν πρῶτον εἰσηγησάμενον τὸ τῆς ἀμίδος ὄνομα ἐπιπλήττει λέγων

Μισῶ λακωνίζειν, ταγηνίζειν δὲ κἂν πριαίμην.
πολλὰς δ᾽ οἶμαι νῦν βεβινῆσθαι.

---

δὲ παρ᾽] παρ᾽ B. Οὗ καὶ] Τοῦ καὶ Iliad. ξ, 173. οὗ καὶ κικυμένοιο VL. οὗ κινουμένου BCD. δῶ BVL. δῶμα CD. τοιαύτας γοῦν] Legebatur τοιαύτας οὖν. Ἀρήτη] Odyss. η, 335. ὑποστρωννύειν BCD. ὑποστρωμνύναι VLA

17 c. Νέστωρ] Odyss. γ, 349. εὐπορεῖν] ἀπορεῖν C. Αἰσχύλος γοῦν] Legebatur Αἰσχύλος οὖν. Aeschyli et Sophoclis fragmenta ex Athenaeo affert Eustathius p. 1828, 28. μεθύοντας] μεθύοντες B. V. 1. ἐστὶν] ἔστ᾽ ἐκεῖνος Iacobsius p. 11. V. 2. οὐράνην ex Aeschylo memorant Pollux X, 44. et grammaticus MS. in Brunckii lexico Sophocleo p. 719. V. 3. ἥμαρτε] ἥμαρτεν B.

17 d. Σοφοκλῆς δὲ ἐν] σοφοκλῆς ἐν B. συνδείπνῳ Ἀλλ᾽ ἀμφὶ] δείπνῳ ἀμφὶ B. V. 3. πνέον] πλέον Eustathius p. 1828, 31. V. 4. ὀσμῆς] ὀδμῆς Eustathius. δὲ τὸν πρῶτον εἰσηγησάμενον L. δὲ πρῶτος εἰσηγησάμενος V. εἰσηγησάμενον] εἰσηγησάμην B. V. 2. πολλὰς] πολλοὺς Schweigh. comparato Aristoph. Equit. v. 877.

e ὅς δὲ πρῶτος ἐξεῦρεν τὸ πρῶτ' ἐπιπίνειν.
πολλήν γε λακκοπρωκτίαν ἐπίσταθ' ἡμῖν εὑρών.
εἶεν, τίς εἶπεν ἀμίδα πάμπρωτος μεταξὺ πίνων;
Παλαμηδικόν γε τοῦτο τοὐξεύρημα καὶ σοφόν σου.

παρ' Ὁμήρῳ δὲ οἱ ἀριστεῖς κοσμίως δειπνοῦσιν ἐν Ἀγαμέμνονος. εἰ δ' ἐν Ὀδυσσείᾳ φιλονεικοῦσιν Ἀχιλλεὺς καὶ Ὀδυσσεύς, καὶ Ἀγαμέμνων χαῖρε νόῳ, ἀλλ' ὠφέλιμοι αἱ φιλοτιμίαι, ζητούντων εἰ λόγῳ ἢ μάχῃ αἱρεθῆναι δεῖ τὸ
f Ἴλιον. ἀλλ' οὐδ' ὅτε μνηστῆρας εἰσάγει μεθύοντας, οὐδὲ τότε τοιαύτην ἀκοσμίαν εἰσήγαγεν ὡς Σοφοκλῆς καὶ Αἰσχύλος πεποιήκασιν, ἀλλὰ πόδα βόειον ἐπὶ τὸν Ὀδυσσέα ῥιπτούμενον.

31. Καθέζονται δ' ἐν τοῖς συνδείπνοις οἱ ἥρωες, οὐ κατακέκλινται. τοῦτο δὲ καὶ παρ' Ἀλεξάνδρῳ τῷ βασιλεῖ ἐνίοτε ἦν, ὥς φησι Δοῦρις. ἑστιῶν γοῦν ποτε ἡγεμόνας εἰς ἑξακισχιλίους ἐκάθισεν ἐπὶ δίφρων ἀργυρῶν καὶ κλιν-

---

17 e. V. 3. 4. Elmsleius in Museo critico Cantabrig. fasc. IV. p. 473. *Α.* * * * τίς δὲ πρῶτος ἐξηῦρεν τὸ πρῴ 'πιπίνειν; | *Β.* πολλήν γε λακκοπρωκτίαν ἡμῖν ἐπίστασ' εὑρών. De compotationibus matutinis comparat Batonem Athenaei III. p. 103 c. VII. p. 279 a. et Aristophanem Av. 131. Lys. 1064. V. 3. ἐξεῦρεν B. Scribebatur ἐξεῦρε. V. 4. πολλήν γε λακκοπρωκτίαν ἴστω βροτοῖσιν εὑρών. Porsonus in Miscellaneis p. 233. V. 5. ἀμίδα πάμπρωτος] „*Legendum* ἀμίδα παῖ, πρῶτος —. *Vide Epicratem* VI. *p.* 262 *d. Hanc emendationem occupavit aliquis: fieri potest ut a Porsono acceperim.*" Kidd. ad Porsoni Miscellan. p. 390. V. 6. σοφόν σου BCD. σοφόν VL. παρ' B et Brunckius fortasse ex D. Legebatur οἱ παρ'. οἱ ἀριστεῖς Brunckius. Legebatur ἀριστεῖς. δειπνοῦσιν] Iliad. β, 402. et alibi. εἰ δ' ἐν L et Eustathius p. 1586, 38. ἐν V. Ὀδυσσείᾳ] θ, 75. Ὀδυσσεὺς καὶ Ἀγαμέμνων] ὀδυσσεὺς ὁ ἀγαμέμνων B. Eustathius Ὀδυσσεύς, ἀλλ' ὁ βασιλεὺς χαῖρε νόῳ, ἐπεὶ ὠφέλιμοι —. εἰ λόγῳ Eustathius. Legebatur λόγῳ.

17 f. εἰσάγει L. εἰσάγῃ V. πόδα βόειον] Odyss. υ, 299. ῥιπτούμενον BCD. ῥιπτόμενον VL. δοῦρις. τετρακοσίους οὖν ποτὲ ἡγεμόνας ἑστιῶν ἐκάθισεν VL. δοῦρις, ἑστιῶν οὖν ποτὲ ἡγεμόνας ἐ ἐκάθισεν BD. δοῦρις, ἑστιῶν οὖν ποτε ἡγεμόνας εἰς ϛ ἐκάθισεν C. „*Eustathius numerum hic positum mire amplificat:* λέγεται ὡς καὶ Ἀλέξανδρός ποτε εἰς ἑξακισχιλίους ἡγεμόνας ἐκάθισεν. *Invenimus etiam nos in quibusdam MSS. loco vocis* ἑστιῶν *sic.,* εἰς ϛζ, *hoc est sexies mille et septem.*" Casaub. „*Quod post* ϛ *Casaubonus ait positam esse litteram* ζ, *fallitur.*

18 τήρων; ἁλουργοῖς περιστρώσας ἱματίοις. Ἡγήσανδρος δέ φησιν οὐδὲ ἔθος εἶναι ἐν Μακεδονίᾳ κατακλίνεσθαί τινα ἐν δείπνῳ, εἰ μή τις ἔξω λίνων ὗν κεντήσειεν· ἕως δὲ τότε καθήμενοι ἐδείπνουν. Κάσανδρος γοῦν πέντε καὶ τριάκοντα ὢν ἐτῶν ἐδείπνει παρὰ τῷ πατρὶ καθήμενος, οὐ δυνάμενος τὸ ἆθλον ἐκτελέσαι, καίπερ ἀνδρεῖος γεγονὼς καὶ κυνηγὸς ἀγαθός.

Ἐς τὸ πρέπον δὲ Ὅμηρος ἀφορῶν τοὺς ἥρωας οὐ παρήγαγεν ἄλλο τι δαινυμένους ἢ κρέα, καὶ ταῦτα ἑαυτοῖς σκευάζοντας. οὐ γὰρ ἔχει γέλωτα οὐδ᾽ αἰσχύνην ὀψαρτύοντας
b ταῖς αὐτοὺς καὶ ἕψοντας ὁρᾶν. ἐπετήδευον γὰρ τὴν αὐτοδιακονίαν καὶ ἐκαλλωπίζοντο, φησὶ Χρύσιππος, τῇ ἐν τούτοις εὐστροφίᾳ. Ὀδυσσεὺς γοῦν δαιτρεῦσαί τε καὶ πῦρ νῆσαι οἷος οὐκ ἄλλος δεξιὸς εἶναι φησί. καὶ ἐν Λιταῖς δὲ Πάτροκλος καὶ Ἀχιλλεὺς πάντα εὐτρεπίζει. καὶ Μενελάου δὲ τελοῦντος γάμους ὁ νυμφίος Μεγαπένθης οἰνοχοεῖ. νῦν δὲ ἐπὶ τοσοῦτον ἐκπεπτώκαμεν ὡς κατακεῖσθαι δαινύμενοι.

32. Προσφάτως δὲ καὶ τὰ βαλανεῖα παρῆκται, τὴν ἀρχὴν οὐδὲ ἔνδον τῆς πόλεως ἐώντων εἶναι αὐτά. ὧν τὸ
c βλαπτικὸν Ἀντιφάνης δηλοῖ

Εἰς μακαρίαν τὸ λουτρόν· ὡς διέθηκέ με.
ἑφθὸν κομιδῇ πεποίηκεν, ἀποκναίσειεν ἂν
κἂν ὁστισοῦν μου λαβόμενος τοῦ δέρματος.
οὕτω στερεόν τι πρᾶγμα θερμόν ἐσθ᾽ ὕδωρ.

---

*Erat illa figura non ζ, sed nexus scripturae quo indicatur* ους, *superne a dextro latere ad* ς *appositus, ut in nostro codice C.*" Schweigh. Neque hoc accurate dixit Casaubonus εἰς ςζ scriptum esse loco vocis ἑστιῶν. Haud dubie enim libri illi ἑστιῶν post δοῦρις exhibent, ut BCD. οὖν in γοῦν mutavi.

18 a. *λίνων ὗν κεντήσειεν*] λίνων κεντήσειεν B. *γοῦν*] Legebatur οὖν. *δαινυμένους*] δαιννυμένους B. ἑαυτοῖς BCD. αὐτοῖς VL. *σκευάζοντας*] σκευάζονται C. ὀψαρτύοντας L. ὀψαρτοῦντας V.

18 b. *Ὀδυσσεὺς*] Odyss. ο, 323. νῆσαι V. νῆσαι L. *Λιταῖς*] Iliad. ι, 202. *Μεγαπένθης*] Odyss. ο, 141. Vid. IV. p. 180 c.

18 c. V. 2. πεποίηκεν B. Scribebatur πεποίηκ᾽. *ἀποκναίσειεν*] ἀποκνίσειεν C. V. 3. κἂν Porsonus. Legebatur καί. V. 4. στερεόν τι Casaubonus. Libri στερεὸν. Hermippi v. 1. libri

Ἕρμιππος

Μὰ τὸν Δί᾽ οὐ μέντοι μεθύειν τὸν ἄνδρα χρὴ
τὸν ἀγαθὸν οὐδὲ θερμολουτεῖν, ἃ σὺ ποιεῖς.

ηὔξηται δὲ καὶ ἡ τῶν ὀψοποιῶν περιεργία καὶ ἡ τῶν μυρεψῶν· ὥστ᾽ οὐδ᾽ ἂν κολυμβᾶν εἰς κολυμβήθραν μύ-
d ρου ἀρκεῖσθαί τις ἂν δύναιτο, φησὶν Ἄλεξις. ἀνθοῦσι δὲ καὶ αἱ τῶν περὶ τὰ πέμματα δημιουργίαι καὶ αἱ περὶ τὰς συνουσίας περιεργίαι, ὥστ᾽ ἐπιτεχνᾶσθαι σπόγγους ὑποτίθεσθαι· ἐπακτικὸν γὰρ εἶναι τὸ τοιοῦτον πρὸς ἀφροδισίων πλῆθος. Θεόφραστος δ᾽ οὕτω φησί τινας ὀχευτικὰς δυνάμεις εἶναι ὡς καὶ μέχρι ἑβδομήκοντα συνουσιῶν ἐπιτελεῖν καὶ τὸ τελευταῖον αὐτοῖς αἷμα ἀποκρίνεσθαι. Φύλαρχος δὲ Σανδρόκυττόν φησι τὸν Ἰνδῶν βασιλέα Σε-
e λεύκῳ μεθ᾽ ὧν ἔπεμψε δώρων ἀποστελεῖν τινας δυνάμεις στυτικὰς τοιαύτας, ὡς ὑπὸ τοὺς πόδας τιθεμένας τῶν συνουσιαζόντων οἷς μὲν ὁρμὰς ἐμποιεῖν ὀρνίθων δίκην, οὓς δὲ καταπαύειν. ηὔξηται δὲ νῦν καὶ ἡ τῆς μουσικῆς διαστροφὴ, καὶ ἡ περὶ τὰς ἐσθήσεις καὶ ὑποδέσεις ἐπήκμασε πολυτέλεια.

33. Ὅμηρος δὲ τὴν τοῦ μύρου φύσιν εἰδὼς οὐκ εἰσήγαγε μύροις ἀλειφομένους τοὺς ἥρωας, πλὴν τὸν Πάριν ἐν οἷς φησὶ „Κάλλεϊ στίλβων·“ ὡς καὶ Ἀφροδίτη κάλλει τὰ πρόσωπα καθαίρει. ἀλλ᾽ οὐδὲ στεφανουμένους εἰσάγει,
f καίτοι τῷ ἐκ τῆς μεταφορᾶς ὁμοιώματι σημαίνεται ὅτι ᾔδει τὸν στέφανον. φησὶ γοῦν

---

μὰ δί᾽. μὰ τὸν Δί᾽ Porsonus. ἀλλὰ μὰ Δί᾽. Iacobsius p. 12. περιεργία] περιεργεία B.

18 d. Θεόφραστος] Hist. Pl. IX. 18, 9. p. 328. ὀχευτικὰς δυνάμεις] ὀχευτικοὺς omisso δυνάμεις C. μέχρι B. μέχρις VL. ἑβδομήκοντα] ο B. σανδρόκυττον BCD. σανδρόκυπτον V. Σανδρόκοττον Casaubonus edidit comparato Strabone XV. p. 702. 724. ed. Cas. (1000, 1. 1007, 23. 1026, 26. Falc.), ubi libri quidam Σαδρόκοττος. Androcottus dicitur Appiano Syriac. c. 55. p. 619. ubi vid. Schweigh. vol. III. p. 575.

18 e. στυτικὰς Casaubonus. Libri στυπτικάς. τιθεμένας] τιθέμενος B. Κάλλεϊ στίλβων] Iliad. γ, 392. Ἀφροδίτη] Odyss. σ, 192.

*Νῆσος ἣν πέρι πόντος ἀπείριτος ἐστεφάνωτο.*

καὶ

*Πάντῃ γάρ σε στέφανος πολέμοιο δέδηε.*

παρατηρητέον δὲ καὶ ὅτι ἐν μὲν Ὀδυσσείᾳ ἀπονιζομένους τὰς χεῖρας ποιεῖ πρὶν μεταλαβεῖν τροφῆς, ἐν Ἰλιάδι δὲ τοῦτο ποιοῦντας οὐκ ἔστιν εὑρεῖν. σχολαζόντων γὰρ βίος ὁ ἐν Ὀδυσσείᾳ καὶ διὰ τὴν εἰρήνην τρυφώντων· διὸ οἱ ἐνταῦθα ἐθεράπευον τὸ σῶμα διὰ λουτρῶν καὶ καταγιμ-
19 μάτων. διὰ τοῦτο καὶ ἀστραγαλίζουσιν ἐν ταύτῃ τῇ πολιτείᾳ καὶ ὀρχοῦνται καὶ σφαιρίζουσιν. Ἡρόδοτος δὲ οὐ καλῶς εἴρηκεν ἐπὶ Ἄτυος διὰ λιμὸν εὑρεθῆναι τὰς παιδιάς· πρεσβεύει γὰρ τοῖς χρόνοις τὰ ἡρωικά. οἱ δ᾽ ἐν τῇ Ἰλιακῇ πολιτείᾳ μονονοὺ βοῶσι

*Κλῦθ᾽ ἀλαλὰ, πολέμου θύγατερ,*
*ἐγχέων προοίμιον.*

34. Ὅτι Ἀριστόνικον τὸν Καρύστιον, τὸν Ἀλεξάνδρου τοῦ βασιλέως συσφαιριστὴν, Ἀθηναῖοι πολίτην ἐποιήσαντο διὰ τὴν τέχνην καὶ ἀνδριάντα ἀνέστησαν. τὰς γὰρ βα-

---

18 f. νῆσος ἣν BCD. νῆσον ἣν VL. νῆσον τὴν Odyss. κ, 195. ἐστεφάνωτο] ἐστεφάνωται Homerus. Πάντῃ] Iliad. ν, 736. γάρ σε στέφανος BC. Legebatur γὰρ στέφανος. γάρ σε περὶ στέφανος Homerus. πολέμοιο] πολέμοις BCD. δέδηε B cum Homero. δέδη V. δεδήει L. παρατηρητέον — ἡρωικά] Ad haec respexit Eustathius p. 1401, 39.—42. ὅτι ἐν μὲν ὀδυσσείᾳ ἀπονιζομένους CD. ὅτι ἐν μὲν ὀδυσσείᾳ ἀπονιζόμενον B. ὅταν ὀδυσσεία ἀπονιζόμενον VL. ποιεῖ BCD. ποιῇ VL. διὰ λουτρῶν καὶ κατανιμμάτων] λουτροῖς καὶ κατανίσμασι Eustathius. Ἡρόδοτος] I, 94.

19 a. „μονονοὺ non perspicue est in C." Schweigh. Κλῦθ᾽] Eadem poetae nescio cuius verba afferunt Plutarchus vol. II. p. 483 d. Herodianus περὶ μονήρους λέξεως 39, 7. qui illa ἐγχέων προοίμιον non habent, et Eustathius p. 994, 59. Vid. Valckenar. ad Phoeniss. p. 120. Κλῦθ᾽] κλῦσθ᾽ BCD. ἀλαλὰ Herodianus et Eustathius. ἀλλὰ BCD. ἀλάλα VL. contra disertum Herodiani praeceptum. θύγατερ] θυγάτηρ Herodianus. ἐγχέων L. εὐχέων V. συσφαιριστὴν Suida in σφαῖρα et χορείαν auctore editum. σφαιριστὴν libri consentiente Suida in ὄρχησις et Eustathio p. 1601, 41. qui inepte Ἀλέξανδρον τὸν Καρύστιον σφαιριστὴν memorat. ἐποιήσαντο Coraës. Legebatur ἐποίησαν. Eustathius πολίτην ποιησάμενοι. ἀνέστησαν Schweigh. Legebatur ἀνέστασαν. Eustathius ἀνδριάντας ἐκείνῳ ἀναστήσαντες. Vid. 19 e.

b ναύσους τέχνας Ἕλληνες ὕστερον περὶ πλείστου μᾶλλον ἐποιοῦντο ἢ τὰς κατὰ παιδείαν γινομένας ἐπινοίας. Ἑστιαιεῖς γοῦν καὶ Ὠρεῖται Θεοδώρου τοῦ ψηφοκλέπτου ἐν θεάτρῳ χαλκῆν εἰκόνα ἀνέθηκαν ψῆφον κρατοῦσαν, ὡς δ' αὔτως Μιλήσιοι Ἀρχελάου τοῦ κιθαριστοῦ. ἐν δὲ Θήβαις Πινδάρου μὲν οὐκ ἔστιν εἰκὼν, Κλέωνος δὲ τοῦ ᾠδοῦ, ἐφ' ἧς ἐπιγέγραπται

Πυθέα υἱὸς ὅδ' ἐστὶ Κλέων Θηβαῖος ἀοιδὸς,
ὃς πλείστους θνητῶν ἀμφέθετο στεφάνους
c κρατὸς ἐπὶ σφετέρου καί οἱ κλέος οὐρανόμηκες.
χαῖρε Κλέων, Θήβας πατρίδ' ἐπευκλεΐσας.

ὑπὸ τούτου τὸν ἀνδριάντα, ὅτε Ἀλέξανδρος τὰς Θήβας κατέσκαπτε, φησὶ Πολέμων φεύγοντά τινα χρυσίον εἰς τὸ ἱμάτιον κοῖλον ὂν ἐνθέσθαι, καὶ συνοικιζομένης τῆς πόλεως ἐπανελθόντα εὑρεῖν τὸ χρυσίον μετὰ ἔτη τριάκοντα. Ἡρόδοτος δὲ ὁ λογόμιμος, ὥς φησιν Ἡγήσανδρος, καὶ Ἀρχέλαος ὁ ὀρχηστὴς παρὰ Ἀντιόχῳ τῷ βασιλεῖ μάλιστα
d ἐτιμῶντο τῶν φίλων. ὁ δὲ πατὴρ αὐτοῦ Ἀντίοχος τοὺς Σωστράτου τοῦ αὐλητοῦ υἱεῖς σωματοφύλακας ἐπεποίητο.

35. Ἐθαυμάζετο δὲ παρ' Ἕλλησι καὶ Ῥωμαίοις Ματρέας ὁ πλάνος ὁ Ἀλεξανδρεύς. ὃς ἔλεγε καὶ θηρίον τρέφειν ὃ αὐτὸ ἑαυτὸ κατεσθίει· ὡς καὶ ζητεῖσθαι μέχρι νῦν τὸ Ματρέου θηρίον τί ἐστιν. ἐποίησε δ' οὗτος καὶ παρὰ τὰς Ἀριστοτέλους ἀπορίας καὶ ἀνεγίνωσκε δημοσίᾳ διὰ τί ὁ ἥλιος δύνει μὲν, κολυμβᾷ δ' οὔ, καὶ διὰ τί οἱ σπόγγοι συμπίνουσι μὲν, συγκωθωνίζονται δ' οὔ, καὶ τὰ τετρά-
e δραχμα καταλλάττεται μὲν, ὀργίζεται δ' οὔ. Ἀθηναῖοι δὲ

---

19 b. ἑστιαιεῖς B et Eustathius p. 1601, 49. Legebatur Ἱστιαιεῖς. γοῦν] Legebatur οὖν.

19 c. σφετέρου C. σφετέρης VL. „*In D terminatio vocis dubie expressa.*“ Schweigh. τούτου BCD. τοῦτον VL. κατέσκαπτε] κατασκάπτων B. χρυσίον] χρόνον C. συνοικιζομένης] συνοικιζόμενον B.

19 d. Ἐθαυμάζετο δέ] δὲ om. C. πλάνος] λαοπλάνος dicitur Suidae in *Ματρέας*. Athenaei narrationem respicit Eustathius p. 1382, 40. Ματρέου] μητρέου B. μετρέου D apud Schweigh. ad 5 a. παρὰ] περὶ Suidas.

19 e. καταλλάττεται L. καταλλάττεσθαι V.

Ποθεινῷ τῷ νευροσπάστῃ τὴν σκηνὴν ἔδωκαν, ἀφ᾽ ἧς ἐνεθουσίων οἱ περὶ Εὐριπίδην. Ἀθηναῖοι δὲ καὶ Εὐρυκλείδην ἐν τῷ θεάτρῳ ἀνέστησαν μετὰ τῶν περὶ Αἰσχύλον. ἐθαυμάζετο δὲ καὶ Ξενοφῶν ὁ θαυματοποιὸς, ὃς μαθητὴν κατέλιπε Κρατισθένη τὸν Φλιάσιον· ὃς πῦρ τε αὐτόματον ἐποίει ἀναφύεσθαι καὶ ἄλλα πολλὰ φάσματα ἐτεχνᾶτο, ἀφ᾽ ὧν ἐξίστα τῶν ἀνθρώπων τὴν διάνοιαν.
f τοιοῦτος ἦν καὶ Νυμφόδωρος ὁ θαυματοποιὸς, ὃς προσκρούσας Ῥηγίνοις, ὥς φησι Δοῦρις, εἰς δειλίαν αὐτοὺς ἔσκωψε πρῶτος. Εὔδικος δὲ ὁ γελωτοποιὸς ηὐδοκίμει μιμούμενος παλαιστὰς καὶ πύκτας, ὥς φησιν Ἀριστόξενος. Στράτων δ᾽ ὁ Ταραντῖνος ἐθαυμάζετο τοὺς διθυράμβους μιμούμενος· τὰς δὲ κιθαρῳδίας οἱ περὶ τὸν ἐξ Ἰταλίας
20 Οἰνώναν· ὃς καὶ Κύκλωπα εἰσήγαγε τερετίζοντα καὶ ναυαγὸν Ὀδυσσέα σολοικίζοντα, ὁ αὐτός φησι. Διοπείθης δὲ ὁ Λοκρὸς, ὥς φησι Φανόδημος, παραγενόμενος εἰς Θήβας καὶ ὑποζωννύμενος οἴνου κύστεις μεστὰς καὶ γάλακτος, καὶ ταύτας ἀποθλίβων, ἀνιμᾶν ἔλεγεν ἐκ τοῦ στόματος. τοιαῦτα ποιῶν ηὐδοκίμει καὶ Νοήμων ὁ ἠθ * *. ἔνδοξοι δ᾽ ἦσαν καὶ παρ᾽ Ἀλεξάνδρῳ θαυματοποιοὶ Σκύμνος ὁ Ταραντῖνος, Φιλιστίδης ὁ Συρακόσιος, Ἡράκλειτος ὁ

---

νευροσπάστῃ Coraës et Schweigh. Legebatur νευροσπάστῳ. „*In C extremam vocalem librarius suo more praetermisit.*" Schweigh. Hoc est, opinor, compendio indicavit. ἀφ᾽ ἧς] ἐφ᾽ ἧς Coraës et Schweigh. *Ἀθηναῖοι δὲ καὶ Ε. — Αἰσχύλον* primus addidit Casaubonus ex suis libris, et habent BCD.

19 f. Ἀριστόξενος] In libro de tragica saltatione ut Ionsio visum de script. hist. philos. p. 91.

20 a. „*καὶ ναυαγὸν Ὀδυσσέα σολοικίζοντα. Haec lectio vetus, quam fide bona restituimus.*" Casaubonus. Consentiunt haud dubie BCD. *καὶ ναῦκον * ναυσικάα ὀδυσσέα σολοικίζοντα* V. *τοιαῦτα — ὁ ἠθ* om. VL. „*Post στόματος praeferunt membranae, τοιαῦτα ποιῶν ηὐδοκίμει καὶ . . . : . . ὁ ἠθ . . . . .*" Casaubonus. *τοιαῦτα ποιῶν ηὐδοκίμει καὶ νοη ὁ ἠθ ἔνδοξοι* B. *τοιαῦτα ποιῶν ηὐδοκίμει καὶ νοήμων ὁ ἠθ ἔνδοξοι* C. *τοιαῦτα ποιῶν ηὐδοκίμει καὶ νοη ὁ ηει ἔνδοξοι* D. „*νοήμων in C satis perspicue, licet compendiose in fine scriptum.*" Schweigh. De illo ἠθ idem in annotatione „*C*" inquit „*ἠθαλῆ aut aliquid simile, voce per compendium in fine scripta; nescio an Ἰθακήσιος.*" et in addendis „*abbreviata vox ut mendosa notata est ab ipso librario.*" Συρακόσιος] Scribebatur Συρακούσιος.

Μυτιληναῖος. γεγόνασι δὲ καὶ πλάνοι ἔνδοξοι, ὧν Κηφισό-
b δωρος καὶ Πανταλέων. Φιλίππου δὲ τοῦ γελωτοποιοῦ Ξε-
νοφῶν μνημονεύει.

36. Ὅτι οἰκουμένης δῆμον τὴν Ῥώμην φησί. λέγει δὲ καὶ ὅτι οὐκ ἄν τις σκοποῦ πόρρω τοξεύων λέγοι τὴν Ῥώμην πόλιν ἐπιτομὴν τῆς οἰκουμένης· ἐν ᾗ συνιδεῖν ἔστιν οὕτως πάσας τὰς πόλεις ἱδρυμένας, καὶ κατ᾽ ἰδίαν δὲ τὰς πολλάς, ὡς Ἀλεξανδρέων μὲν τὴν χρυσῆν, Ἀντιοχέων δὲ τὴν καλήν, Νικομηδέων δὲ τὴν περικαλλῆ, προσέτι τε

Τὴν λαμπροτάτην πόλεων πασῶν ὁπόσας ὁ Ζεὺς ἀναφαίνει,
c τὰς Ἀθήνας λέγω. ἐπιλείποι δ᾽ ἄν με οὐχ ἡμέρα μία ἐξα-
ριθμούμενον τὰς ἐν τῇ Ῥωμαίων οὐρανοπόλει Ῥώμῃ ἀριθμουμένας πόλεις, ἀλλὰ πᾶσαι αἱ κατὰ τὸν ἐνιαυτὸν ἀριθμούμεναι, διὰ τὸ πλῆθος. καὶ γὰρ ὅλα ἔθνη ἀθρόως αὐτόθι συνῴκισται, ὡς τὸ Καππαδοκῶν καὶ Σκυθῶν καὶ Ποντικῶν καὶ ἄλλων πλειόνων. οὗτοι οὖν πάντες, ὁ σύμπας δῆμος τῆς οἰκουμένης, τὸν ἐφ᾽ ἡμῖν, φησί, φιλόσοφον ὀρχηστὴν Μέμφιν ἐκάλεσαν ἀπαρχαΐζοντες τὴν διὰ τοῦ σώματος αὐτοῦ κίνησιν τῇ τῶν πόλεων ἀρχαιοτέρᾳ καὶ βασιλικωτέρᾳ, περὶ ἧς Βακχυλίδης φησὶ

d Τὴν ἀχείμαντόν τε Μέμφιν καὶ δονακώδεα Νεῖλον.

Οὗτος τὴν Πυθαγόρειον φιλοσοφίαν ἐπιδείκνυσιν ἥτις ἐστὶ,

---

Κηφισόδωρος] Κηφισσόδωρος Eustathius p. 1382, 40.

20 b. φιλίππου BCD. φιλιππίδου VL. Ξενοφῶν] Sympos. c. 1. et 4. Ὅτι] ὅρος BCD. Ὅρα ὅτι Schweigh. (Conf. 47 a.) Satis erat ὅρα. σκοποῦ] σκοπῇ B. τοξεύων λέγοι Casauboni membranae. τοξεύων λέγει BC. τοξεύοι λέγων VL. τοξεύων etiam D, qui non constat utrum λέγοι an λέγει praebeat. ῥώμην BC. ῥωμαίων VL. ἐπιτομὴν τῆς οἰκουμένης] Galenus vol. V. p. 585, 51. ed. Basil. μετὰ τὸ τριακοστὸν καὶ δεύτερον ἔτος ἐν Ῥώμῃ διέτριψα, πόλει τοσοῦτον ἀνθρώπων πλῆθος ἐχούσῃ ὥστε πένεσθαι Πολέμωνα τὸν ῥήτορα τῆς οἰκουμένης ἐπιτομὴν αὐτὴν εἰπόντα. Νικομηδέων] νικομηδαίων B. περικαλλῆ] περικαλέα B. Τὴν λαμπροτάτην] Comici versus. πόλεων πασῶν] πόλιν πᾶσαν B.

20 c. με] Legebatur γε. Σκυθῶν] Σύρων Boettiger in Sabina p. 446. ἐφ᾽ ἡμῖν BCD. ἐφ᾽ ἡμῶν VL. τῇ — ἀρχαιοτέρᾳ — βασιλικωτέρᾳ L. τῷ — ἀρχαιοτέρῳ — βασιλικωτέρῳ V.

20 d. δονακώδεα Νεῖλον] Eustathius p. 864, 21.

μετὰ σιωπῆς πάνθ' ἡμῖν ἐμφανίζων σαφέστερον ἢ οἱ τὰς τῶν λόγων τέχνας ἐπαγγελλόμενοι διδάσκειν.

37. Τῆς δὲ κατὰ τοῦτον ὀρχήσεως τῆς τραγικῆς καλουμένης πρῶτος εἰσηγητὴς γέγονε Βάθυλλος Ἀλεξανδρεὺς, ὅν φησι νομίμως ὀρχήσασθαι Σέλευκος. τοῦτον τὸν Βάθυλλόν φησιν Ἀριστόνικος καὶ Πυλάδην, οὗ ἐστι καὶ σύγγραμμα
e περὶ ὀρχήσεως, τὴν Ἰταλικὴν ὄρχησιν συστήσασθαι ἐκ τῆς κωμικῆς, ἣ ἐκαλεῖτο κόρδαξ, καὶ τῆς τραγικῆς, ἣ ἐκαλεῖτο ἐμμέλεια, καὶ τῆς σατυρικῆς, ἣ ἐλέγετο σίκιννις — διὸ καὶ οἱ σάτυροι σικιννισταὶ — ἧς εὑρετὴς Σίκιννός τις βάρβαρος. οἱ δέ φασιν ὅτι Κρὴς ἦν ὁ Σίκιννος. ἦν δὲ ἡ Πυλάδου ὄρχησις ὀγκώδης παθητική τε καὶ πολύκοπος, ἡ δὲ Βαθύλλειος ἱλαρωτέρα· καὶ γὰρ ὑπόρχημά τι τοῦτον διατίθεσθαι. Σοφοκλῆς δὲ πρὸς τῷ καλὸς γεγενῆσθαι τὴν ὥραν ἦν καὶ
f ὀρχηστικὴν δεδιδαγμένος καὶ μουσικὴν ἔτι παῖς ὢν παρὰ Λάμπρῳ. μετὰ γοῦν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν περὶ τρόπαιον γυμνὸς ἀληλιμμένος ἐχόρευσε μετὰ λύρας· οἱ δὲ ἐν ἱματίῳ φασί. καὶ τὸν Θάμυριν διδάσκων αὐτὸς ἐκιθάρισεν· ἄκρως δὲ ἐσφαίρισεν, ὅτε τὴν Ναυσικάαν καθῆκε. τῆς δὲ Μέμφιδος ὀρχήσεως ἤρα καὶ Σωκράτης ὁ σοφὸς, καὶ πολλάκις καταλαμβανόμενος ὀρχούμενος, ὥς φησι Ξενοφῶν,
21 ἔλεγε τοῖς γνωρίμοις παντὸς εἶναι μέλους τὴν ὄρχησιν γυμνάσιον. ἔταττον γὰρ τὸ ὀρχεῖσθαι ἐπὶ τοῦ κινεῖσθαι καὶ ἐρεθίζεσθαι. Ἀνακρέων „Καλλίκομοι κοῦραι Διὸς ὠρχήσαντ'.

---

σαφέστερον ἢ οἱ] σαφῶς ἢ οἱ B. Βάθυλλος — Σίκιννος] Excerpsit Eustathius p. 1942, 3.—8. ἀλεξανδρεὺς BCD cum Eustathio. ὁ ἀλεξανδρεὺς VL. φησιν Ἀριστόνικος καὶ] φησι ἀριστ καὶ B. καὶ] καὶ τὸν B. πυλάδης VL. Πυλάδην Casaubonus et Pontanus ad Macrob. Saturn. II, 7. πυλα^δ B. Etiam in CD compendio scriptum.

20 e. εὑρετὴς] εὑρετῆς B. Σίκιννός τις] μίκιννός τις BV. Σίκιννός τις primum editum in Basil. πολύκοπος] πολυπρόσωπος Plutarchus vol. II. p. 711 e.

20 f. ἱματίῳ] ἱματίοις C. φασί L. φησί BV. Θάμυριν L. θάμυριν V. ἐκιθάρισεν] ἐκιθάριζεν B. καθῆκε Casaubonus. Legebatur ἔθηκε. Ξενοφῶν] Sympos. 2, 16.

21 a. Anacreontis et Ionis loca affert Eustathius p. 1942, 4.

*ἐλαφρῶς.“ Ἴων*

*Ἐκ τῶν ἀέλπτων μᾶλλον ὤρχησεν φρένας.*

38. *Ἕρμιππος δέ φησι Θεόφραστον παραγίνεσθαι εἰς τὸν περίπατον καθ᾽ ὥραν λαμπρὸν καὶ ἐξησκημένον, εἶτα καθίσαντα διατίθεσθαι τὸν λόγον οὐδεμιᾶς ἀπεχόμενον κι-*
b *νήσεως οὐδὲ σχήματος ἑνός. καί ποτε ὀψοφάγον μιμούμενον ἐξείραντα τὴν γλῶσσαν περιλείχειν τὰ χείλη.*

*Ἔμελε δὲ αὐτοῖς καὶ τοῦ κοσμίως ἀναλαμβάνειν τὴν ἐσθῆτα καὶ τοὺς μὴ τοῦτο ποιοῦντας ἔσκωπτον. Πλάτων ἐν Θεαιτήτῳ „Πάντα δυναμένους ὀξέως τε καὶ τορῶς διακονεῖν, ἀναβάλλεσθαι δ᾽ οὐκ ἐπισταμένους ἐπιδέξι᾽ ἐλευθερίως, οὐδ᾽ ἁρμονίαν λόγων λαβόντα ὀρθῶς ὑμνῆσαι θεῶν τε καὶ ἀνθρώπων εὐδαιμόνων βίον.“ Σαπφὼ περὶ Ἀνδρο-*
c *μέδας σκώπτει „Τίς δ᾽ ἀγροιῶτίς τοι θέλγει νόον, οὐκ ἐπισταμένη τὰ βράκεα ἕλκειν ἐπὶ τῶν σφυρῶν;“ Φιλέταιρος „Ἀμφὶ στέρνοις φᾶρος οὐ καθήσεις, τάλαν, μηδ᾽ ἀγροίκως*

---

*ὤρχησεν*] Scribebatur *ὤρχησε.* *ἀπεχόμενον*] *ἀπεχόμενος* B.

21 b. *ἑνός* BCD. *τινός* VL. *ἐξείραντα* Kusterus apud Schweigh. Legebatur *ἐξάραντα.* *Ἔμελε*] *ἔμελλε* B et Suidas in *ἀναλαμβάνειν.*

*Πλάτων ἐν Θεαιτήτῳ*] P. 175 e. HSt. *ἀναβάλλεσθαι*] *ἀναλαβέσθαι* Suidas in *ἀναλαμβάνειν* et *ἐπιδεξιελευθέρως.* *δ᾽ οὐκ* Suidas. *δὲ οὐκ* VL. *ἐπιδεξιελευθερίως* V. *ἐπιδέξια ἐλευθέρως* L. *ἐπιδεξιελευθέρως* Suidas. *ἐπιδ᾽ ἐξελευθερίας* B. Schweigh. qui *ἐπιδέξια ἐλευθερίως* edidit, „*ἐλευθερίως*“ inquit „*restitui ex CDV.*“ Immo scribendum *ἐπιδέξι᾽ ἐλευθερίως.* *οὐδ᾽ ἁρμονίαν* B. *οὐδὲ ἁρμονίαν* VL et Suidas altero loco. *οὐδὲ γὰρ ἁρμονίαν* Suidas in *ἀναλαμβάνειν.* *λαβόντα* B. *λαβόντας* Suidas. *λαμβάνοντας* V. *λαβόντος* L. *λαβόντας* ex CD affert Schweigh., sed in addendis *λαβόντα* ex C, ut ne de D quidem fides ei haberi possit. *ὑμνῆσαι*] *ὑπαντῆσαι* Suidas.

21 c. *τῆς δ᾽ ἀγριώτατον θέλγει νόον. οὐκ ἐπισταμένης τὰ βράκεα ἕλκεν ἐπὶ τῶν σφυρῶν* V. *τὶς* (*τίς* codd.) *δ᾽ ἀγριῶτις* (*ἀγροιῶτις* BC et Eustathius p. 1916, 49.) *τοι* (*τοι* om. Eustathius: ex libris cum Casaub. editione collatis nihil diversitatis enotatum.) *θέλγει νόον, οὐκ ἐπισταμένη τὰ βράκεα ἕλκεν* (*ἕλκειν* BC et Eustathius) *ἐπὶ τῶν σφυρῶν* L. „*Sapphus verba, τίς ἀγροιῶτίς τοι θέλγει νόον; emendata nobis ex membranis et Eustathio.*“ Casaub. Maximus Tyrius VIII. (XXIV. vol. I. p. 479. Reisk.) ex Sapphone affert *Τὶς δ᾽ ἀγροιῶτιν ἐπεμμένα* („*malim ἐπειμένα vel ἐπαμμένα, dorice pro ἐφημμένα.*“ Casaub.) *στολήν.* *φιλέταιρας. ἀμφὶ στέρνοις φᾶρος* CD. *φιλέταιρος. ἀμφιστέρνοις φᾶρος* B. *φιλαίτερος ἢ ἄμφις καλλιστέρνων φάρος* V. *Φιλέταιρος, ἢ Ἄμφις, Ἀμφίβαλλε στέρνοις φᾶρος·* L. „*Secuti sumus scriptam lectio-*

ἄνω γόνατος ἀμφέξει;“ Ἕρμιππος δέ φησι Θεόκριτον τὸν Χῖον ὡς ἀπαίδευτον μέμφεσθαι τὴν Ἀναξιμένους περιβολήν· Καλλίστρατός τε ὁ Ἀριστοφάνειος Ἀρίσταρχον ἐν συγγράμματι κακῶς εἴρηκεν ἐπὶ τῷ μὴ εὐρύθμως ἀμπέχεσθαι, φέροντός τι καὶ τοῦ τοιούτου πρὸς παιδείας ἐξέτασιν. διὸ καὶ Ἄλεξίς φησιν

d Ἓν γὰρ νομίζω τοῦτο τῶν ἀνελευθέρων
εἶναι, τὸ βαδίζειν ἀρρύθμως ἐν ταῖς ὁδοῖς,
ἐξὸν καλῶς. οὗ μήτε πράττεται τέλος
μηδεὶς γὰρ ἡμᾶς μήτε τιμὴν δόντα δεῖ
ἑτέρων λαβεῖν, φέρει δὲ τοῖς μὲν χρωμένοις
δόξης τιν᾽ ὄγκον, τοῖς δ᾽ ὁρῶσιν ἡδονήν,
κόσμον δὲ τῷ βίῳ, τὸ τοιοῦτον γέρας
τίς οὐκ ἂν αὑτῷ κτῷτο φάσκων νοῦν ἔχειν;

---

nem, Ἀμφίβαλλε στέρνοις φάρος. alii libri καλλιστέρνῳ φάρος οὐ καθήσεις τάλαν. Turnebo placebat, κάτω πτερνῶν φ. propter sequentia ἄνω γόνατος.“ Casaubonus. Eustathius p. 1164, 36. σκώπτων τις ἀρρυθμίαν ἐνδύσεώς φησιν Ἀμφίβαλλε στέρνοις φᾶρος. οὐ καθίσεις τάλαν, μηδ᾽ ἀγροίκως ἄνω γόνατος ἀμφέξῃ. δοκεῖ γὰρ ὁ σκωπτόμενος ψιλὰ ἐνδύσεως προφαίνειν τὰ σκέλη, ἔχειν δὲ καὶ τὸ προκόλπιον ἀπόλυτον. καὶ ὅρα τὸ ἀμφέξῃ, ἤγουν ἐνδύσῃ, ἐκ τοῦ ἀμπέχω ἀμφέξω ἀμφέξομαι. ἀμφέξει BCD. ἀμφέξῃ VL. περιβολήν· Καλλ.] περιβολὴν καὶ καλλ. B. quod recte habet τε aut deleto aut in δὲ mutato.

21 d. Alexidis versus affert Suidas in ἀναλαμβάνειν. V. 1. τοῦτο] τοῦτον B. V. 2. ἀρρύθμως] ἀρύθμως BCD. ἀρρύθμους Suidas. V. 3.—8. Ἐξὸν καλῶς οὗ μήτε πράττεται τέλος Μηδεὶς ἡμᾶς μήτε μὴν δόντας δι᾽ ἑτέρων λαβεῖν. Φέρει δὲ τοῖς μὲν χρωμένοισιν εὖ δόξης (χρωμένοις δόξης B.) τιν᾽ ὄγκον, τοῖς δ᾽ ὁρῶσιν ἡδονήν, Κόσμον (κόσμιον B.) δὲ τῷ βίῳ. τὸ τοιοῦτον γέρας Τίς οὐκ ἂν κτῶτ᾽ αὐτῷ (κτῶτο αὐτῷ BCD, nisi quod D αὑτῷ. ἂν αὑτῷ κτῷτο L.) φάσκων νοῦν ἔχειν VL. Apud Suidam sic scriptum: ἐξ ὢν (ἐξὸν MSS. Paris. ap. Kusterum) καλῶς οὐ μήποτε πράττεται τέλος. μηδὲν γὰρ ἡμᾶς. μήτε δὲ ἑτέρων λαβεῖν τιμὴν δόντας. φέρει δὲ τοῖς μὲν χρωμένοις δόξης τιν᾽ ὄγκον. τοῖς δ᾽ ὁρῶσιν, ἡδονήν. κόσμον δὲ τῷ βίῳ τὸ τοιοῦτον γέρας. τίς οὐκ ἂν αὐτὸ κτῶτο φάσκων νοῦν ἔχειν. Eustathius p. 1164, 32. Ἄλεξις εἰπὼν ἕν τι νομίζειν τῶν ἀνελευθέρων εἶναι τὸ βαδίζειν ἀρρύθμως ἐν ταῖς ὁδοῖς. φέρει δέ, φησίν, ἡ εὐρυθμία τοῖς μὲν χρωμένοις δόξης τιν᾽ ὄγκον, τοῖς δ᾽ ὁρῶσιν ἡδονήν, κόσμον δὲ τῷ βίῳ. Quibus inter se comparatis restitui veram scripturam. δεῖ etiam Casaubonus et alii viderunt, in ceteris ab vero aberrantes. μήτε τιμὴν δόντα δεῖ Ἑτέρῳ λαβεῖν Dobraeus ad Aristophanis Plut. 25 6. p. 30.

39. Καὶ Αἰσχύλος δὲ οὐ μόνον ἐξεῦρε τὴν τῆς στολῆς
e εὐπρέπειαν καὶ σεμνότητα, ἣν ζηλώσαντες οἱ ἱεροφάνται καὶ δᾳδοῦχοι ἀμφιέννυνται, ἀλλὰ καὶ πολλὰ σχήματα ὀρχηστικὰ αὐτὸς ἐξευρίσκων ἀνεδίδου τοῖς χορευταῖς. Χαμαιλέων γοῦν πρῶτον αὐτόν φησι σχηματίσαι τοὺς χοροὺς ὀρχηστοδιδασκάλοις οὐ χρησάμενον, ἀλλὰ καὶ αὐτὸν τοῖς χοροῖς τὰ σχήματα ποιοῦντα τῶν ὀρχήσεων, καὶ ὅλως πᾶσαν τὴν τῆς τραγῳδίας οἰκονομίαν εἰς ἑαυτὸν περιιστᾶν. ὑπεκρίνετο γοῦν μετὰ τοῦ εἰκότος τὰ δράματα. Ἀριστοφάνης γοῦν — παρὰ
f δὲ τοῖς κωμικοῖς ἡ περὶ τῶν τραγικῶν ἀπόκειται πίστις — ποιεῖ αὐτὸν Αἰσχύλον λέγοντα

Τοῖσι χοροῖς αὐτὸς τὰ σχήματ' ἐποίουν.

καὶ πάλιν

Τοὺς Φρύγας οἶδα θεωρῶν,
ὅτε τῷ Πριάμῳ συλλυσόμενοι τὸν παῖδ' ἦλθον τεθνεῶτα,
πολλὰ τοιαυτὶ καὶ τοιαυτὶ καὶ δεῦρο σχηματίσαντας.

καὶ Τέλεσις δέ, ἢ Τελέστης, ὁ ὀρχηστοδιδάσκαλος πολλὰ ἐξεύρηκε σχήματα, ἄκρως ταῖς χερσὶ τὰ λεγόμενα δεικνυούσαις. Φίλλις ὁ Δήλιος μουσικὸς τοὺς ἀρχαίους φησὶ κιθαρῳδοὺς κινήσεις ἀπὸ μὲν τοῦ προσώπου μικρὰς φέρειν, ἀπὸ
22 ποδῶν δὲ πλείους, ἐμβατηρίους καὶ χορευτικάς. Ἀριστοκλῆς γοῦν φησιν ὅτι Τελέστης ὁ Αἰσχύλου ὀρχηστὴς οὕτως ἦν τεχνίτης ὥστε ἐν τῷ ὀρχεῖσθαι τοὺς Ἑπτὰ ἐπὶ Θήβας φανερὰ ποιῆσαι τὰ πράγματα δι' ὀρχήσεως. φασὶ δὲ καὶ ὅτι οἱ ἀρχαῖοι ποιηταὶ Θέσπις, Πρατίνας, Κρατῖνος, Φρύνιχος ὀρχησταὶ ἐκαλοῦντο διὰ τὸ μὴ μόνον τὰ ἑαυτῶν

---

21 e. γοῦν VL. οὖν BCD. Ἀριστοφάνης] Φερεκράτης?

21 f. αὐτὸν BCV. αὐτὸν τὸν L. Scribebatur σχήματα et παῖδα. οἶδα L. οἶδε V. συλλυσόμενοι VL. συλλισσόμενοι B. συλλησόμενοι CD. ἢ L. ἡ V. Τελέστης hic et infra Casaubonus. Libri τελεστής. δεικνυούσαις] δεικνυούσας B Φίλλις — χορευτικάς accesserunt ex C et Corseliano apud Schottum Obs. human. I. 6. p. 9. Φίλλις] Sic etiam alibi apud Athenaeum scriptum. Suidas Φύλλις. Δήλιος Schottus. δείλιος uterque liber. φέρειν C. φέρεται Corsel.

22 a. γοῦν] οὖν BC. φασὶ δὲ] φησὶ δὲ (Athenaeus aut Aristoteles) Schweigh. Θέσπις Casaubonus. Legebatur Θεσπίας. Θεσπείας D. Κρατῖνος] Καρκῖνος Bentleius de Phalar. p. 278. ed. Lips. ὀρχησταὶ C. Legebatur ὀρχηστικοί.

δράματα ἀναφέρειν εἰς ὄρχησιν τοῦ χοροῦ, ἀλλὰ καὶ ἔξω τῶν ἰδίων ποιημάτων διδάσκειν τοὺς βουλομένους ὀρχεῖσθαι. μεθύων δὲ ἐποίει τὰς τραγῳδίας Αἰσχύλος, ὥς φησι Χαμαιλέων. Σοφοκλῆς γοῦν ὠνείδιζεν αὐτῷ ὅτι εἰ καὶ τὰ δέοντα ποιεῖ, ἀλλ᾽ οὐκ εἰδώς γε.

40. Ὀρχήσεις δὲ ἐθνικαὶ αἵδε· Λακωνικαὶ Τροιζήνικαὶ Ἐπιζεφύριοι Κρητικαὶ Ἰωνικαὶ Μαντινιακαί, ἃς προκρίνει Ἀριστόξενος διὰ τὴν τῶν χειρῶν κίνησιν. οὕτως δ᾽ ἦν ἔνδοξον καὶ σοφὸν ἡ ὄρχησις ὥστε Πίνδαρος τὸν Ἀπόλλωνα ὀρχηστὴν καλεῖ·

Ὀρχήστ᾽ ἀγλαΐας ἀνάσσων, εὐρυφάρετρ᾽ Ἄπολλον.

καὶ Ὅμηρος δὲ ἢ τῶν τις Ὁμηριδῶν ἐν τοῖς εἰς Ἀπόλλωνα ὕμνοις φησίν

Ἀπόλλων
φόρμιγγ᾽ ἐν χείρεσσιν ἔχων χάριεν κιθάριζε
c καλὰ καὶ ὕψι βιβάς.

Εὔμηλος δὲ ὁ Κορίνθιος ἢ Ἀρκτῖνος τὸν Δία ὀρχούμενόν που παράγει λέγων

Μέσσοισιν δ᾽ ὠρχεῖτο πατὴρ ἀνδρῶν τε θεῶν τε.

Θεόφραστος δὲ πρῶτόν φησιν Ἄνδρωνα τὸν Καταναῖον

---

Σοφοκλῆς] Vid. X. p. 428 f. γοῦν] Legebatur οὖν.

22 b. ὀρχήσεις — καὶ Χρυσίππου] Eadem ex Athenaeo tradidit Eustathius p. 1602, 22.—29. Τροιζήνικαὶ] τροιζηνιακαὶ Eustathius in editione Romana: τροιζήνικαὶ in Basileensi (Odyss. 316, 50.). Μαντινιακαὶ] μαντινειακαὶ Eustathius. μαντικαὶ B. Πίνδαρος] Fragm. 115. p. 628. Boeckh. ἀπόλλωνα BC. ἀπόλλω VL. Ὀρχήστ᾽] Libri ὀρχηστά. εὐρυφάρετρ᾽] Eustathius p. 52, 13. διὸ καὶ Πίνδαρος εὐρυφαρέτραν αὐτὸν (τὸν Ἀπόλλωνα) λέγει. Ὅμηρος δὲ ἢ] ὅμηρος ἢ B. τῶν τις Ὁμηριδῶν Eustathius p. 1602, 25. Legebatur τῶν Ὁμηριδῶν τις. εἰς Ἀπόλλωνα] V. 515. χείρεσσιν L. χείρεσ᾽ V. χείρεσσ᾽ Eustathius. χάριεν] χαρίεν Eustathius. ἐρατὸν κιθαρίζων libri Homerici.

22 c. ὁ Κορίνθιος ἢ Ἀρκτῖνος Schweigh. ex VII. p. 277 d. Legebatur ἢ Ἀρκτῖνος ὁ Κορίνθιος. „In C est Εὔμηλος δὲ ὁ Κορίνθιος, quum demum verba ἢ Ἀρκτῖνος, primum omissa, superne super ὁ Κορίνθιος rubris literis, ut solitus est ille librarius ubi aliquid omissum supplet, adposita.“ Schweigh. Eustathius καί τις ἕτερος posuit. Μέσσοισιν δ᾽ ὠρχεῖτο] μέσσοισι δ᾽ ὀρχεῖτο Eustathius. μέσσοισι δ᾽ ὠρχεῖτο B. Θεόφραστος] In libro de musica ut Schneiderus conjecit vol. V. p. 200. πρῶτόν φησιν BCD. φησὶ πρῶτον VL.

αὐλητὴν κινήσεις καὶ ῥυθμοὺς ποιῆσαι τῷ σώματι αὐλοῦντα· ὅθεν σικελίζειν τὸ ὀρχεῖσθαι παρὰ τοῖς παλαιοῖς· μεθ᾽ ὃν Κλεόλαν τὸν Θηβαῖον. ὀρχησταὶ δὲ ἔνδοξοι Βολβὸς μὲν παρὰ Κρατίνῳ καὶ Καλλίᾳ, Ζήνων δὲ ὁ Κρὴς
d ὁ πάνυ Ἀρταξέρξῃ προσφιλέστατος παρὰ Κτησίᾳ. Ἀλέξανδρος δὲ ἐν τῇ πρὸς Φιλόξενον ἐπιστολῇ μέμνηται Θεοδώρου καὶ Χρυσίππου.

41. Ὅτι τὸ μουσεῖον ὁ Φλιάσιος Τίμων ὁ σιλλογράφος τάλαρόν πού φησιν ἐπισκώπτων τοὺς ἐν αὐτῷ τρεφομένους φιλοσόφους, ὅτι ὥσπερ ἐν πανάγρῳ τινὶ σιτοῦνται καθάπερ οἱ πολυτιμότατοι ὄρνιθες·

Πολλοὶ μὲν βόσκονται ἐν Αἰγύπτῳ πολυφύλῳ
βιβλιακοὶ χαρακεῖται, ἀπείριτα δηριόωντες
Μουσέων ἐν ταλάρῳ.

e Ἕως ἂν τῆς λογοδιαρροίας ἀπαλλαγῶσιν οὗτοι οἱ τραπεζορήτορες, οἳ ὑπὸ γλωσσαλγίας ἐπιλελῆσθαί μοι δοκοῦσι καὶ τοῦ Πυθικοῦ χρησμοῦ, ὃν ἀναγράφει Χαμαιλέων

Εἴκοσι τὰς πρὸ κυνὸς καὶ εἴκοσι τὰς μετέπειτα
οἴκῳ ἐνὶ σκιερῷ Διονύσῳ χρῆσθαι ἰητρῷ.

καὶ Μνησίθεος δὲ Ἀθηναῖος Διόνυσον ἰατρόν φησι τὴν Πυθίαν χρῆσαι τιμᾶν Ἀθηναίοις. φησὶ δὲ καὶ Ἀλκαῖος ὁ Μυτιληναῖος ποιητὴς

Οἴνῳ πνεύμονα τέγγε· τὸ γὰρ ἄστρον περιτέλλεται·
f ἡ δ᾽ ὥρη χαλεπή· πάντα δὲ διψᾷ ὑπὸ καύματος.

---

Κλεόλαν τὸν Porsonus. κλεόλαντον BCD. κλεόφαντον VL.

22 d. Ὅτι τὸ μουσεῖον] ὅτι τὸ ἀθήνῃσι τὸ ἐν πρυτανείῳ μουσεῖον C. Affert haec de Timone Eustathius p. 1488, 61. V. 1. πολυφύλῳ] πολυφύλλῳ B et Eustathius. V. 2. βιβλιακοὶ χαρακεῖται] βιβλιακῇ χαρακίται Eustathius. V. 3. Μουσέων] μουσάων CD et Eustathius.

22 e. ἕως ἂν τῆς λογοδιαρροίας L. ὡς αὐτῆς λογοδηρίας V. In mente hunc locum habuit Eustathius p. 1632, 18. ἵνα εἴη τραπεζορήτωρ καὶ αὐτὸς ἀσκούμενος λογοδιάρροιαν. χρῆσθαι] Scribebatur χρῶσθαι. χρῆσθε Eusebius Praepar. Evang. V, 30. ἰητρῷ BCD. ἰατρῷ VL. Μνησίθεος] Vid. ad II. p. 36 b. Οἴνῳ — καύματος] Vid. ad X. p. 430 b. Verba Οἴνῳ πνεύμονα τέγγε affert Eustathius p. 1612, 14. περιτέλλεται L. πυρὶ τέλλεται V.

22 f. πάντα δὲ διψᾷ ὑπὸ L. πάντα δὲ δι ὑπὸ V. πάντα δ᾽ ἐδί ὑπὸ B. πάντα δ᾽ ἐδ ὑπὸ D. πάντα δ᾽ ἐδίψουν ὑπὸ C.

καὶ ἀλλαχοῦ

*Πίνωμεν, τὸ γὰρ ἄστρον περιτέλλεται.*

Εὔπολίς τε τὸν Καλλίαν φησὶν ἀναγκάζεσθαι ὑπὸ Πρωταγόρου πίνειν, ἵνα

*πρὸ τοῦ κυνὸς τὸν πνεύμον᾽ ἔκλυτον φορῇ.*

ἡμῖν δ᾽ οὐ μόνον ὁ πνεύμων ἀπεξήρανται, κινδυνεύει δὲ καὶ ἡ καρδία. καίτοι Ἀντιφάνης λέγει

*Τὸ δὲ ζῆν εἰπέ μοι*
*τί ἐστί; τὸ πίνειν φήμ᾽ ἐγώ.*

3 *Ὁρᾷς παρὰ ῥείθροισι χειμάρροις ὅσα*
*δένδρων ἀεὶ τὴν νύκτα καὶ τὴν ἡμέραν*
*βρέχεται μέγεθος καὶ κάλλος οἷα γίγνεται,*
*τὰ δ᾽ ἀντιτείνονθ᾽ οἱονεὶ δίψαν τινὰ*
*ἢ ξηρασίαν σχόντ᾽ αὐτόπρεμν᾽ ἀπόλλυται.*

οὕτω τούτοις, φησί, κυνολογήσασιν ἐδόθη πιεῖν. εἴρηται δὲ τὸ βρέχειν καὶ ἐπὶ τοῦ πίνειν. Ἀντιφάνης

*Δεῖ γὰρ φαγόντας δαψιλῶς βρέχειν.*

Εὔβουλος „Σίκων ἐγὼ βεβρεγμένος ἥκω καὶ κεκωθωνισμένος. Β. πέπωκας οὗτος; Α. πέπωκ᾽ ἐγὼ μὰ Δία Μενδαῖον."

---

περιτέλλεται L. πυρὶ τέλλεται V. Εὔπολις] Plutarchus vol. II. p. 699 a. Εὔπολιν μὲν γάρ, εἰ βούλει, πάρες ἐν Κόλαξιν εἰπόντα „Πίνειν γὰρ ὁ Πρωταγόρας ἐκέλευεν, ἵνα πρὸ τοῦ κυνὸς τὸν πλεύμον᾽ (πνεύμον᾽. Macrobius VII, 15.) ἔκλυρον φορῇ. Ad eundem Eupolidis et ad Alcaei qui praecedit locum spectat idem p. 1047 d. Antiphanis verba alii sic in versus diviserunt Τὸ δὲ | ζῆν εἰπέ μοι — ἐγώ.

23 a. Ὁρᾷς — ἀπόλλυται] Si Antiphanis hi versus sunt, ex alio certe loco quam praecedentia sumpta videntur. Eustathius p. 1612, 15. δοκῶν ἐπαινεῖν Ἀντιφάνους ἀπορίαν, τὸ δὲ ζῆν εἰπέ μοι τί ἐστιν; λύσις, τὸ πίνειν φήμ᾽ ἐγώ. καὶ παρῳδίαν ἐκείνην ἐκ τῶν τοῦ Σοφοκλέους, Ὁρᾷς κ. τ. ἑ. Ὁρᾷς] Sophocles Antigona v. 712.

*Ὁρᾷς παρὰ ῥείθροισι χειμάρροις ὅσα*
*δένδρων ὑπείκει, κλῶνας ὡς ἐκσώζεται,*
*τὰ δ᾽ ἀντιτείνοντ᾽ αὐτόπρεμν᾽ ἀπόλλυται.*

γίγνεται] Scribebatur γίνεται. σχόντ᾽ Grotius in Excerptis p. 635. Libri et Eustathius ἔχοντ᾽. ἐπὶ τοῦ] ἐπὶ τῷ B. In Eubuli verbis, quae non sunt integra allata, trium senariorum fines facile agnoscas, Σίκων ἐγὼ et κεκωθωνισμένος et πέπωκ᾽ ἐγώ. quarti initium fortasse hoc fuit καὶ μὰ Δία Μενδαῖον. βεβρεγμένος ἥκω] Grammaticus Hermanni p. 323.

42. Ὅτι τὸ ἀναπίπτειν κυρίως ἐπὶ ψυχῆς ἐστιν, οἷον ἀθυμεῖν, ὀλιγωρεῖν. Θουκυδίδης πρώτῃ „Νικώμενοι ἐπ' ἐλάχιστον ἀναπίπτουσι.“ Κρατῖνος δ' ἐπὶ ἐρετῶν χρῆται τῇ λέξει „Ῥοθίαζε κἀνάπιπτε.“ καὶ Ξενοφῶν ἐν Οἰκονομικῷ „Διὰ τί ἄλυποι ἀλλήλοις εἰσὶν οἱ ἐρέται; ἢ ὅτι ἐν τάξει μὲν κάθηνται, ἐν τάξει δὲ προνεύουσιν, ἐν τάξει δὲ ἀνα-
c πίπτουσιν;“ ἀνακεῖσθαι δὲ φαμὲν ἐπὶ ἀνδριάντος. ὅθεν τοὺς ἐπὶ κατακειμένων χρωμένους τῇ λέξει διέσυρον. Δίφιλος „Ἐγὼ δ' ἕως μέν τινος ἀνεκείμην.“ πρὸς ὃν δυσχεραίνων ὁ ἑταῖρός φησιν „Ἀνάκεισο.“ Φιλιππίδης „Καὶ δειπνῶν ἀεὶ ἀνακείμενος παρ' αὐτόν.“ καὶ ἐπάγει „Πότερον ἀνδριάντα εἱστίᾳ;“ κατακεῖσθαι δὲ λέγεται καὶ κατακεκλίσθαι, ὡς ἐν Συμποσίοις Ξενοφῶν καὶ Πλάτων. Ἄλεξις

Ὡς ἔστι κατακεῖσθαι πρὸ δείπνου συμφορά·
οὔτε γὰρ ὕπνος δήπουθεν οὐδὲν ἂν λάβοι
d οὔθ' ἂν λέγῃ τις οὐδαμῶς μάθοιμεν ἄν·
ὁ νοῦς γάρ ἐστι τῆς τραπέζης πλησίον.

ἔστι δὲ εὑρεῖν καὶ ἐπὶ τῆς ἐννοίας ταύτης σπανίως τὸ ἀνακεῖσθαι. σάτυρος παρὰ Σοφοκλεῖ τοῦτό φησιν „Ἐπικαιόμενος τῷ Ἡρακλεῖ ἀνακειμένῳ μέσον εἰς τὸν αὐχέν' εἰσαλοίμην.“ Ἀριστοτέλης ἐν Τυρρηνῶν Νομίμοις „Οἱ δὲ Τυρρηνοὶ δειπνοῦσι μετὰ τῶν γυναικῶν ἀνακείμενοι ὑπὸ τῷ αὐτῷ ἱματίῳ.“ Θεόπομπος

e Ἐπίνομεν μετὰ ταῦτα
κατακείμενοι μαλακώτατ' ἐπὶ τρικλινίῳ,
Τελαμῶνος οἰμώζοντες ἀλλήλοις μέλη.

---

23 b. ἐπὶ ψυχῆς BCD et Suidas in ἀναπίπτειν. ἐπὶ ψυχὴν V1 Θουκυδίδης πρώτῃ] Cap. 70. νικώμενοι ἀναπίπτουσιν affert grammaticus Hermanni p. 323. κἀνάπιπτε] καὶ ἀνάπιπτε B. ῥοθιάζ καὶ ἀναπίπτει Eustathius p. 1641, 8. ἐν Οἰκονομικῷ] VIII, προνεύουσιν L. προνέουσιν BV. προνεύουσιν Eustathius p. 1641,

23 c. ἀνακεῖσθαι — εἱστίᾳ] Eustathius p. 1404, 6. Conf. Suidas in ἀνακεῖσθαι et κατακεκλεῖσθαι (κατακεκλίσθαι). ἀνεκείμην] κατεκείμην Eustathius. ὁ ἑταῖρος] Fortasse ὁ ἕτερος. ὁ ἀκούων Eustathius. κατακεκλίσθαι] ἐπὶ τῆς τραπέζης addit Suidas.

23 d. οὔθ' ἂν Iacobsius p. 14. Legebatur οὐδ' ἄν. σπανίως] πολλάκις Suidas in ἀνακεῖσθαι. παρὰ] περὶ CD. Σοφοκλεῖ] „Fortasse in Hercule ad Taenarum.“ Brunck. p. 679. fr. 37. Τυρρηνῶν] τυρρηνοῖς C. Τυρρηνοὶ] τυρηνοὶ B.

23 e. Ἐπίνομεν μετὰ ταῦτα] Μετὰ ταῦτ' ἐπίνομεν Toup. in appen

Φιλωνίδης „Κατάκειμαι, ὡς ὁρᾶτε, δεκάπαλαι.“ Εὐριπίδης Κύκλωπι

Ἀνέπτυσε φάρυγγος αἰθέρ' ἐξανιεὶς βαρύν.

Ἄλεξις

Μετὰ ταῦτ' ἀναπίεσειν
ἐκέλευον αὐτὴν παρ' ἐμέ.

43. Ὅτι τὸ πάσασθαι ἐπὶ τοῦ ἀπογεύσασθαι τίθεται. φησὶ γοῦν Φοίνιξ πρὸς Ἀχιλλέα „Οὐκ ἔθελες ἅμ' ἄλλῳ ἐνὶ μεγάροισι πάσασθαι.“ καὶ ἀλλαχοῦ „Εὖθ' οἱ σπλάγχν' ἐπάσαντο.“ τῶν γὰρ σπλάγχνων ἀπογεύονται μόνον ὡς ἂν ὀλίγων πολὺς ὅμιλος. καὶ ὁ Πρίαμος δὲ πρὸς Ἀχιλλέα φησὶ „Νῦν δὴ καὶ σίτου πασάμην.“ οἰκεῖον γὰρ τοῦ τηνικάδε ἀτυχήσαντος ἀπογεύσασθαι μόνον· εἰς κόρον γὰρ ἐλθεῖν οὐκ εἴα τὸ πένθος. διὸ καὶ ὁ τὸ σύνολον οὐ γευσάμενος τροφῆς κεῖτ' ἄσιτος, ἄπαστος. ἐπὶ δὲ τῶν ἀποπληρουμένων οὐδέποτε λέγει τὸ πάσασθαι, ἀλλ' ὁπόσα δηλοῖ κόρον· „Αὐτὰρ ἐπεὶ σίτου τάρφθεν καὶ ἐδητύος ἐξ ἔρον ἕντο.“ οἱ δὲ νεώτεροι καὶ ἐπὶ τοῦ πληρωθῆναι τιθέασι τὸ πάσασθαι. Καλλίμαχος „Μύθου δὲ πασαίμην ἥδιον.“ Ἐρατοσθένης

Ὀπταλέα κρέα
ἐκ τέφρης ἐπάσαντο, τά τ' ἀγρώσσοντες ἕλοντο.

44. „Ποτίκολλον ἅτε ξύλον παρὰ ξύλῳ“ φησὶν ὁ Θηβαῖος μελοποιός.

---

ad Theocrit. XV, 98. p. 28. Κύκλωπι] V. 409. φάρυγγος] φάρυγγος Porsonus ad Aristoph. Equit. 523. p. 92. ἐξανιεὶς] ἐξανιεὶς recte Porsonus ibidem. ἐξιεὶς Euripidis libri.

23 f. Οὐκ] Iliad. ι, 486. ἐπεὶ οὐκ ἐθέλεσκες ἅμ' ἄλλῳ Οὔτ' ἐς δαῖτ' ἰέναι οὔτ' ἐν μεγάροισι πάσασθαι. ἔθελες] ἤθελον B. ἔθελον CD. ἐνὶ] ἐν B. Εὖθ' οἱ] Odyss. γ, 9. ἐπάσαντο L. ἐπάσαντο BV. μόνον Casaubonus. Libri μόνων.

24 a. Νῦν δὴ] Iliad. ω, 641. - κόρον γὰρ ἐλθεῖν] κόρον ἐλθεῖν C. Legebatur κεῖται ἄσιτος. κεῖτ' ἄσιτος BC recte: vide Odyss. δ, 788. Αὐτὰρ ἐπεὶ σίτου τάρφθεν] Odyss. ζ, 99. cetera ex aliis locis Homericis. Αὐτὰρ ἐπεὶ σίτου τάρφθεν. καὶ Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο L. Καλλίμαχος] Fragm. 261. p. 533.

24 b. Μύθου] Θύμου Ruhnkenius. ποτίκολλον CV et haud dubie alii etiam libri. ποτικολλῶν L. Vid. ad VI. p. 248 d. ὁ Θηβαῖος μελοποιός] Fragm. 280. p. 684. Boeckh.

Ἔτι περὶ τοῦ τῶν ἡρώων βίου.

Ὅτι Σέλευκός φησι τὴν παρ' Ὁμήρῳ δαῖτα θάλειαν στοιχείων μεταθέσει δίαιταν εἶναι· τὸ δὲ ἀπὸ τοῦ δαίσασθαι λέγειν βιαιότερον ἐστι.

Ὅτι Καρύστιος ὁ Περγαμηνὸς ἱστορεῖ τὰς Κερκυραίας γυναῖκας ἔτι καὶ νῦν σφαιριζούσας ᾄδειν. σφαιρίζουσι δὲ παρ' Ὁμήρῳ οὐ μόνον ἄνδρες, ἀλλὰ καὶ γυναῖκες. καὶ δίσκοις δὲ καὶ ἀκοντίοις μετά τινος συμμετρίας ἐχρῶντο·

c Δίσκοισιν τέρποντο καὶ αἰγανέῃσιν ἱέντες.

τὸ γὰρ τερπνὸν τὴν κακοπάθειαν κουφίζει. καὶ ἐπὶ κυνηγεσίᾳ δὲ ἐξίασιν οἱ νέοι πρὸς μελέτην τῶν πολεμικῶν κινδύνων καὶ ἐπὶ θήρας παντοίας· ἀφ' ὧν ῥωμαλεώτεροι καὶ ὑγιεινότεροι διετέλουν, ὡς ὅτε πυργηδὸν σφέας αὐτοὺς ἀρτύνουσι καὶ ἀντίον ἱστάμενοι ἀκοντίζουσιν. ἴσασι δὲ καὶ λουτρὰ ἄκη πόνων παντοῖα, κόπον μὲν θαλάττῃ λύοντες, ἣ μάλιστα τοῖς νεύροις ἐστὶ πρόσφορος· ἀναχαλῶντες
d δὲ ταῖς ἐμβάσεσι τὰς τῶν μυῶν συντάσεις, εἶτ' ἐπαλείφοντες λίπα, πρὸς τὸ μὴ ξηρανθέντος τοῦ ὕδατος ἀπεσκληρυμμένα γίνεσθαι τὰ σώματα. οἱ γοῦν ἀπὸ τῆς σκοπιῆς ἐπανελθόντες ἱδρῶ πολλὸν ἀπενίζοντο θαλάσσῃ, κνήμας ἠδὲ λόφον ἀμφί τε μηρούς. καὶ οὕτως ἀναψύξαντες ἐς ἀσαμίνθους βάντες εὐξέστας λούσαντο, καὶ ἀλειψάμενοι λίπ' ἐλαίῳ δείπνῳ ἐφιζανέτην. ἔστι καὶ τρόπος ἕτερος καμάτων λύσεως ἐκ τῶν κατὰ κεφαλῆς καταιονήσεων·

---

Ἔτι — βίου addita ex BC. Ὅτι Καρύστιος — ᾄδειν addita ex C et Corseliano apud Schottum Obs. human. I. c. 6. p. 9.

24 c. Δίσκοισιν (δίσκοισι B.)] Odyss. δ, 626. κυνηγεσίᾳ] κυνηγέσια Casaubonus. ἐξίασιν] Scribebatur ἐξιᾶσιν. πυργηδὸν] Iliad. μ, 43. παντοῖα V, libri scripti et Eustathius p. 1481, 57. παντοίων L. λύοντες] λούοντες CD et Eustathius p. 824, 36. sed λύοντες idem p. 1481, 58. ἀνυχαλῶντες L et Eustathius utroque in loco. ἀναχαιῶντες V.

24 d. λίπα L. et Eustathius. λίπος V. ξηρανθέντος L ex Eustathio p. 1481, 59.: ῥανθέντος BCDV et Eustathius p. 824, 37 ἀπεσκληρυμμένα] ἀπεσκληρυμένα L. ἀπεσκληρημένα C. ἀπεσκληρύνθαι τὰ σώματα Eustathius p. 1481, 59. sed κατεσκληρυμένα γενέσθαι τὰ σώματα idem p. 824, 37. σκοπιῆς] σκοπῆς B. ἱδρῶ] Iliad κ, 572. μηρούς] μακρούς BCD.

Θυμῆρες κεράσασα κατὰ κρατός τε καὶ ὤμων.

αἱ γὰρ ἐμβάσεις περικεχυμένου πανταχόθεν τοῖς πόροις τοῦ ὕδατος φράττουσι τὴν τῶν ἱδρώτων ἔκκρισιν, καθάπερ ἂν εἴ τις ἠθμὸς εἰς ὕδωρ βληθῇ· διέξεισι γὰρ οὐδὲν, εἰ μή τις αὐτὸν μετεωρίσας τοῖς πόροις ἀναψυχὴν καὶ διέξοδον εἰς τὸ ἔξω παράσχῃ, ὡς Ἀριστοτέλης εἴρηκεν ἐν τοῖς φυσικοῖς προβλήμασι ζητῶν Διὰ τί οἱ ἱδροῦντες, ἐπὰν ἔλθωσιν εἰς θερμὸν ἢ ψυχρὸν ὕδωρ, οὐκ ἔτι ἱδροῦσιν, ἕως πάλιν ἐπανέλθωσιν ἀπὸ τῶν ἐμβάσεων.

45. Παρετίθετο δὲ τοῖς ἥρωσι δειπνοῦσι καὶ λάχανα. ὅτι δὲ οἴδασι τὰς λαχανείας δῆλον ἐκ τῶν παρὰ νείατον ὄρχον κοσμητῶν πρασιῶν. ἀλλὰ μὴν καὶ τοῖς κακοχυμοτάτοις κρομύοις ἐχρῶντο· „Ἐπὶ δὲ κρόμυον ποτῷ ὄψον.“ ἐπιμελουμένους δὲ αὐτοὺς εἰσάγει καὶ τῶν ἀκροδρύων· „Ὄγχνη γὰρ ἐπ᾽ ὄγχνῃ που γηράσκει, σῦκον δ᾽ ἐπὶ σύκῳ.“ διὸ καὶ τῶν δένδρων τὰ μὲν καρποφόρα καλὰ προσαγορεύει· „Ἔνθα δένδρεα καλὰ πεφύκει, ὄγχναι καὶ ῥοιαὶ καὶ μηλέαι.“ τὰ δ᾽ εἰς ξυλείαν εὔθετα μακρὰ, τοῖς ἐπιθέτοις τὰς χρήσεις διαστέλλων·

Ἔνθα δένδρεα μακρὰ πεφύκει,
κλήθρη τ᾽ αἴγειρός τ᾽, ἐλάτη τ᾽ ἦν οὐρανομήκης.

ἀρχαιοτέρα δ᾽ ἦν καὶ τῶν Τρωικῶν ἡ τούτων χρῆσις. Τάνταλος γοῦν οὐδὲ θανὼν ἀπαλλάττεται τῆς τούτων

---

θυμῆρες] Odyss. κ, 362.

24 e. πανταχόθεν] πάντοθεν Eustathius p. 1481, 61. et Suidas in καταιονοῦσι. βληθῇ BC et Eustathius. Legebatur βληθείη. Suidas βληθείς. οὐδὲν Schweigh. tacito. Scribebatur οὐθὲν consentiente B. εἰ BCD et Eustathius. ἢν VL. τοῖς ἥρωσι L. ἥρωσι V. Vid. ad 25 c.

24 f. παρὰ νείατον] Odyss. η, 127. καὶ τοῖς κακοχυμωτάτοις VL. καὶ ἐγκακοχυμοτάτοις C. Ex B enotatum κακοχυμοτάτοις τοῖς κρομύοις, ut non appareat utrum τοῖς articulo ante κακοχ. careat necne.

ἐπὶ δὲ] Iliad. λ, 630. ποτοῦ BCD. ποτῷ VL. Vid. ad 10 b.

Ὄγχνη] Odyss. η, 115. ὄγχνῃ — ὄγχνῃ B. Scribebatur ὄχνη — ὄχνῃ. Vid. ad 9 e.

25 a. Ἔνθα] ἔνθα δὲ δένδρεα μακρὰ Odyss. η, 114. ὄγχναι καὶ B. Scribebatur ὄχναι καί. ἔνθα BC. ἔνθεν VL. ὅθι Odyss. ι, 238. Τάνταλος] Odyss. λ, 582. γοῦν] Legebatur οὖν ἀπαλλάττεται BCD et Eustathius p. 1701, 10. ἀπηλλάττετο VL.

b ἐπιθυμίας· εἴπερ ὁ κολάζων αὐτὸν θεὸς, προσειὼν, καθάπερ οἱ τὰ ἄλογα τῶν ζώων τοῖς θαλλοῖς ἄγοντες, τοὺς τοιούτους καρποὺς, ἀποκρούεται αὐτὸν τῆς ἀπολαύσεως, ὅτε τῆς ἐλπίδος ἐγγὺς ἔλθοι. καὶ Λαέρτην δ᾽ Ὀδυσσεὺς ἀναμιμνήσκει ὧν ἔδωκεν αὐτῷ παιδὶ ὄντι· „Ὄγχνας μοι δῶκας τρισκαίδεκα" καὶ τὰ ἑξῆς.

46. Ὅτι δὲ καὶ ἰχθῦς ἤσθιον Σαρπηδὼν δῆλον ποιεῖ ὁμοιῶν τὴν ἅλωσιν παναγρου δικτύου θήρᾳ. καίτοι Εὔβουλος κατὰ τὴν κωμικὴν χάριν φησὶ παίζων

c Ἰχθὺν δ᾽ Ὅμηρος ἐσθίοντ᾽ εἴρηκε ποῦ
τίνα τῶν Ἀχαιῶν; κρέα δὲ μόνον ὤπτων, ἐπεὶ
ἕψοντά γ᾽ οὐ πεποίηκεν αὐτῶν οὐδένα.
ἀλλ᾽ οὐδὲ μίαν ἄλλην ἑταίραν εἶδέ τις
αὐτῶν, ἑαυτοὺς δ᾽ ἔδεφον ἐνιαυτοὺς δέκα.
πικρὰν στρατείαν δ᾽ εἶδον, οἵτινες πόλιν
μίαν λαβόντες εὐρυπρωκτότεροι πολὺ
τῆς πόλεος ἀπεχώρησαν ἧς εἷλον τότε.

οὐδὲ τὸν ἀέρα δ᾽ οἱ ἥρωες τοῖς ὄρνισιν εἴων ἐλεύθερον,
d παγίδας καὶ νεφέλας ἐπὶ ταῖς κίχλαις καὶ πελειάσιν ἱστάντες. ἐγυμνάζοντο δὲ πρὸς ὀρνεοθηρευτικὴν, καὶ τὴν πελειάδα τῇ μηρίνθῳ κρεμάντες ἀπὸ νηὸς ἱστοῦ καὶ τοξεύοντες ἐκηβόλως εἰς αὐτὴν, ὡς ἐν τῷ ἐπιταφίῳ δηλοῦται. παρέλιπε δὲ τὴν χρῆσιν τῶν λαχάνων καὶ ἰχθύων καὶ

---

25 b. εἴπερ ὁ] εἴπερ καὶ B. προσειὼν — τοὺς τοιούτους καρποὺς Casaubonus. προσιὼν — τοῖς τοιούτοις καρποῖς libri et Eustathius. θαλλοῖς] θαλοῖς C. ἀποκρούεται VL et Eustathius. ἀποκρύψαι BCD. ὄγχνας B. Scribebatur ὄχνας. Locus est Odyss. ω, 339. Σαρπηδὼν] Iliad. ε, 487. τὴν ἅλωσιν] „MSS. sunt qui legant τὴν ἅλωνα." Casaub. τὴν ἅλωνα B.

25 c. V. 1. Ἰχθῦν δ᾽ Ὅμηρος Grotius in Excerptis p. 659. ἰχθῦν δὲ ποῦ γ᾽ ὅμηρος VL. ἰχθῦν δέ που ὅμηρος B. εἴρηκε ποῦ Grotius. εἴρηκέ γε VL. εἴρηκε BCD. V. 2. τίνα] Scribebatur τινὰ. Eustathius p. 1720, 30. ἰ. δὲ ποῦ Ὅ. ἐσθ. εἴρηκέ τινα. V. 3. 4. οὐδένα ἄλλου B. V. 4. ἄλλην] ἀλλ᾽ B. V. 5. αὐτῶν om. C, habent BD. ἑαυτοὺς] αὐτοὺς BCD. V. 6. στρατείαν] στρατίαν B. V. 8. πόλεος] Libri πόλεως. δ᾽ οἱ Schweigh. Aberat οἱ. Vid. ad 24 e.

25 d. ἱστάντες] Odyss. χ, 302. ἐν τῷ ἐπιταφίῳ] Iliad. ψ, 852. παρέλιπε] παρέλιπον B.

τῶν ὀρνίθων διά τε τὴν λιχνείαν καὶ προσέτι τὴν ἐν ταῖς σκευασίαις ἀπρέπειαν, ἐλάττω κεκρικὼς ἡρωικῶν καὶ θείων ἔργων. ὅτι δὲ καὶ ἑφθοῖς ἐχρῶντο κρέασιν ἐμφανίζει ἐν οἷς λέγει „Ὡς δὲ λέβης ζεῖ, κνίσῃ μελδόμενος ἁπαλοτρε-
e φέος σιάλοιο.“ καὶ ὁ κατ᾽ Ὀδυσσέως ἀφεθεὶς ποὺς βοὸς τούτου σημεῖον· πόδα γὰρ βόειον οὐδεὶς ὀπτᾷ. καὶ τὸ „Κρειῶν δὲ πίνακας παρέθηκεν ἀείρας παντοίων“ οὐ μόνον τὴν τῶν κρεῶν ἐξαλλαγὴν δηλοῖ, ὡς ὀρνίθεια, χοίρεια, ἐρίφεια, βόεια λέγων, ἀλλὰ τὴν σκευασίαν ὡς ποικίλην ἔχοντα καὶ οὐ μονοειδῆ, ἀλλὰ περιττήν. ὡς ἀνακύπτειν τὰς Σικελικὰς καὶ Συβαριτικὰς καὶ Ἰταλικὰς τραπέζας,
f ἤδη δὲ καὶ Χίας. μαρτυροῦνται γὰρ καὶ Χῖοι οὐκ ἔλαττον τῶν προειρημένων ἐπὶ ὀψαρτυτικῇ. Τιμοκλῆς

Χῖοι πολὺ
ἄριστ᾽ ἀνευρήκασιν ὀψαρτυτικήν.

κοιμῶνται δὲ μετὰ γυναικῶν παρ᾽ Ὁμήρῳ οὐ μόνον οἱ νέοι, ἀλλὰ καὶ οἱ γέροντες, Φοῖνιξ τε καὶ Νέστωρ. μόνῳ Μενελάῳ οὐ συνέζευκται γυνή, διὰ γυναῖκα γαμετὴν ἡρπασμένην τὴν στρατείαν πεποιημένῳ.

47. „Παλαιὸν μὲν οἶνον, ἄνθεα δ᾽ ὕμνων νεωτέρων“ Πίνδαρος ἐπαινεῖ. Εὔβουλος δέ φησιν

Ἄτοπον δὲ τὸν μὲν οἶνον εὐδοκιμεῖν ἀεὶ
παρὰ ταῖς ἑταίραις τὸν παλαιόν, ἄνδρα δὲ
μὴ τὸν παλαιόν, ἀλλὰ τὸν νεώτερον.

16 τὸ αὐτὸ δὲ καὶ Ἄλεξις σχεδὸν ἀπαραλλάκτως, τοῦ σφόδρα μόνου κειμένου ἀντὶ τοῦ ἀεί. ὄντως δὲ ὁ παλαιὸς οἶνος οὐ πρὸς ἡδονὴν μόνον, ἀλλὰ καὶ πρὸς ὑγίειαν προσφορώτε-

---

Ὡς δὲ] Iliad. φ, 362. κνίσῃ] Scribebatur κνίσσῃ. μελδόμενος] μελδομένη C.

25 e. Ὀδυσσέως] ὀδυσέως B. ποὺς βοὸς] Odyss. υ, 299. τούτου σημεῖον C. τοῦτο σημαίνει VL. τούτου σημαίνει B. πόδα γὰρ βόειον] Grammaticus Hermanni p. 324. καὶ πόδα βόειον οὐδεὶς ὀπτᾷ Δίφιλός φησιν ὁ Ἀθηναῖος. Fort. ὀπτᾷ, ὥς φησιν ὁ Ἀθήναιος. Κρειῶν] Odyss. α, 141. λέγων] λέγον Schweigh. Ἰταλικὰς] ἰατρικὰς B.

25 f. Τιμοκλῆς — ὀψαρτυτικήν om. V. addidit L. Φοῖνιξ τε] Scribebatur Φοῖνξ τε. γυνὴ om. C. Πίνδαρος] Olymp. VIII, 73. ἄτοπον δὲ BCD. ἄτοπόν τε VL. ἄτοπόν γε Eustathius p. 1422, 48.

26 a. δὲ ὁ παλαιὸς BCD et Eustathius p. 1449, 16. δὲ παλαιὸς

ρος. πέσσει τε γὰρ μᾶλλον τὰ σῖτα καὶ λεπτομερὴς ὢν
εὐανάδοτός ἐστι, δύναμίν τε τοῖς σώμασιν ἐμποιεῖ, τὸ αἷμά
τε ἐνερευθὲς καὶ εὐανάδοτον κατασκευάζει καὶ τοὺς ὕπνους
ἀταράχους παρέχει. ἐπαινεῖ δὲ Ὅμηρος τὸν ἐπιδεχόμενον
ἱκανὴν κρᾶσιν, ὡς τὸν τοῦ Μάρωνος. ἐπιδέχεται δὲ πλείω
b κρᾶσιν ὁ παλαιὸς οἶνος διὰ τὸ μᾶλλον θερμὸς γίνεσθαι
παλαιούμενος. ἔνιοι δὲ καὶ τὴν Διονύσου φυγὴν εἰς τὴν
θάλασσαν οἰνοποιίαν σημαίνειν φασὶ πάλαι γνωριζομένην.
ἡδὺν γὰρ εἶναι τὸν οἶνον, παρεγχεομένης θαλάσσης. ἐπαι-
νῶν δὲ Ὅμηρος τὸν μέλανα οἶνον πολλάκις αὐτὸν καὶ
αἴθοπα καλεῖ. δυναμικώτατος γάρ ἐστι καὶ μένων ἐν ταῖς
ἕξεσι τῶν πινόντων πλεῖστον χρόνον. Θεόπομπος δέ φησι
παρὰ Χίοις πρώτοις γενέσθαι τὸν μέλανα οἶνον, καὶ τὸ
φυτεύειν δὲ καὶ θεραπεύειν ἀμπέλους Χίους πρώτους, μα-
c θόντας παρ' Οἰνοπίωνος τοῦ Διονύσου, ὃς καὶ συνῴκισε
τὴν νῆσον, τοῖς ἄλλοις ἀνθρώποις μεταδοῦναι. ὁ δὲ λευ-
κὸς οἶνος ἀσθενὴς καὶ λεπτός. ὁ δὲ κιρρὸς πέττει ῥᾷον,
ξηραντικὸς ὤν.

48. Περὶ Ἰταλικῶν οἴνων φησὶν ὁ παρὰ τούτῳ τῷ
σοφιστῇ Γαληνός. ὁ Φαλερῖνος οἶνος ἀπὸ ἐτῶν δέκα ἐστὶ
πότιμος καὶ ἀπὸ πεντεκαίδεκα μέχρι εἴκοσιν· ὁ δ' ὑπὲρ
τοῦτον ἐκπίπτων τὸν χρόνον κεφαλαλγικὸς καὶ τοῦ νευρώ-
δους καθάπτεται. εἴδη δ' αὐτοῦ δύο, ὁ αὐστηρὸς καὶ
ὁ γλυκάζων. οὗτος δὲ τοιοῦτος γίνεται, ὅταν ὑπὸ τὸν
d τρυγητὸν νότοι πνεύσωσι, παρ' ὃ καὶ μελάντερος γίνε-
ται. ὁ δὲ μὴ οὕτω τρυγηθεὶς αὐστηρός τε καὶ τῷ χρώ-
ματι κιρρός. καὶ τοῦ Ἀλβανοῦ δὲ οἴνου εἴδη δύο, ὁ μὲν
γλυκάζων, ὁ δ' ὀμφακίας. ἀμφότεροι δὲ ἀπὸ πεντεκαίδεκα
ἐτῶν ἀκμάζουσι. Συρρεντῖνος δὲ ἀπὸ πέντε καὶ εἴκοσιν

---

VL. δύναμίν τε BCD et Eustathius. δύναμιν δὲ VL. ἐνερευ-
θὲς] ἐνέρευθες Eustathius p. 1449, 18. Ὅμηρος] Odyss. ι, 197.

26 b. Διονύσου φυγὴν] Iliad. ζ, 135. παρεγχεομένης] παρεγχεό-
μενον B. Οἰνοπίωνος] οἰνοποίωνος B.

26 c. συνῴκισε] συνῴκησε B. πέττει CD. πέπτει VL.
ξηραντικὸς BCD. ξηραντικώτερος VL. φησὶν ὁ παρὰ BCD. φησὶ παρὰ
VL. μέχρι εἴκοσιν B. Scribebatur μέχρις εἴκοσιν.

26 d. Συρρεντῖνος] συρεντῖνος BCD constanter.

ἐτῶν ἄρχεται γίνεσθαι πότιμος. ὢν γὰρ ἀλιπὴς καὶ λίαν ψαφαρὸς μόλις πεπαίνεται· καὶ παλαιούμενος σχεδὸν μόνοις ἐστὶν ἐπιτήδειος τοῖς χρωμένοις διηνεκῶς. ὁ δὲ Ῥηγῖνος
e τοῦ Συρρεντίνου λιπαρώτερος ὢν χρήσιμος ἀπὸ ἐτῶν πεντεκαίδεκα. χρήσιμος καὶ ὁ Πριουέρνος, λεπτομερέστερος ὢν τοῦ Ῥηγίνου ἥκιστά τε καθαπτόμενος κεφαλῆς. τούτῳ ἐμφερὴς ὁ Φορμιανὸς, ταχὺ δὲ ἀκμάζει, καὶ λιπαρώτερός ἐστιν αὐτοῦ. βράδιον δ' ἀκμάζει ὁ Τριφολῖνος, ἔστι δὲ τοῦ Συρρεντίνου γεωδέστερος. ὁ δὲ Στατανὸς τῶν πρώτων ἐστὶν οἴνων, ἐμφερὴς τῷ Φαλερίνῳ, κουφότερος, οὐ πληκτικός. ὁ Τιβουρτῖνος λεπτὸς, εὐδιάπνευστος, ἀκμάζων ἀπὸ
f ἐτῶν δέκα· κρείττων δὲ γίνεται παλαιούμενος. ὁ Λαβικανὸς, ἡδὺς καὶ λιπαρὸς τῇ γεύσει, μεταξὺ Φαλερίνου καὶ Ἀλβανοῦ· ἡ δὲ αὐτοῦ πόσις ἀπὸ ἐτῶν δέκα. ὁ Γαυρανὸς δὲ καὶ ὀλίγος καὶ κάλλιστος, προσέτι τε εὔτονος καὶ παχὺς, Πραινεστίνου δὲ καὶ Τιβουρτίνου λιπαρώτερος. ὁ Μαρσικὸς δὲ πάνυ αὐστηρὸς, εὐστόμαχος δέ. γίνεται δὲ καὶ περὶ τὴν Καμπανίας Κύμην ὁ καλούμενος Οὐλβανὸς, κοῦφος, πότιμος ἀπὸ ἐτῶν πέντε. ὁ Ἀγκωνιτανὸς χρηστὸς, λιπαρὸς,
27 ποσ * * * ὁ Βυξεντῖνος ἐμφερῶς ἔχει τῷ Ἀλβανῷ τῷ

---

μόνοις Brunckius. Legebatur μόνος. „μόνον D. puto et C, quamquam de hoc quidem haud satis sum certus.“ Schweigh.

26 e. βράδιον] βραδέως B. Τριφολῖνος] τριφαλῖνος C. Στατανὸς] στάτανος CD. στά (ος / ταν) B. σετῖνος VL. φαλερίνῳ BCD. φαλέρνῳ VL.

26 f. ἡδὺς καὶ BCD. ἡδὺς VL. φαλερίνου CD. φαλερινοῦ B. φαλέρνου VL. ἡ δὲ αὐτοῦ πόσις] ὁ δὲ ἄρχεται τῆς πόσεως C. δέκα] ι BC. ὁ Γαυρανὸς] ὁ Γαύρανος L. ἀ γαύρανος C. ἀγ γαύρανος B. ἀγγαύρανος DV. εὔτονος] εὔγονος C. δὲ καὶ Τιβ.] δὲ τιβ. B. δὲ πάνυ C. πάνυ VL. κοῦφος πότιμος Schweigh. Libri πότιμος κοῦφος. πέντε] ε B. Ἀγκωνιτανὸς L. ἀσ νιτάνος BV. ἀ νιτάνος C. λιπαρὸς πος ὁ BV. λιπαρὸς πο ὁ C. λιπαρός πως ὁ L. Indicavi lacunam. Tale quid scriptum fuisse videtur, λιπαρὸς, πόσεως ἄρχεται ἀπὸ ἐτῶν *, vel λιπαρὸς, πότιμος ἀπὸ ἐτῶν *.

27 a. βυξεντῖνος BCD. βικεντῖνος VL. ἐμφερῶς Schweigh. Legebatur ἐμφερὲς, quae vox in C capite truncata et in fine ambigue scripta.

ὀμφακίᾳ· ἔστι δὲ δυνάμει καὶ εὐστόμαχος. ὁ Οὐελίτερνος δὲ ἡδὺς πινόμενος, εὐστόμαχος· ἴδιον δ᾽ αὐτοῦ τὸ μὴ δοκεῖν ἀπαρέγχυτος εἶναι· ἐμφαίνει γὰρ ὡς ἐμμεμιγμένου αὐτῷ ἑτέρου. ὁ Καληνὸς κοῦφος, τοῦ Φαλερίνου εὐστομαχώτερος. εὐγενὴς δὲ καὶ ὁ Καίκουβος, πληκτικός, εὔτονος· παλαιοῦται δὲ μετὰ ἱκανὰ ἔτη. ὁ Φουνδανὸς εὔτονος, πολύτροφος, κεφαλῆς καὶ στομάχου ἅπτεται· διὸ οὐ πολὺς
b ἐν συμποσίοις πίνεται. πάντων δὲ τούτων ὁ Σαβῖνος κουφότερος, ἀπὸ ἐτῶν ἑπτὰ ἐπιτήδειος πίνεσθαι μέχρι πεντεκαίδεκα. ὁ δὲ Σιγνῖνος μέχρι ἐτῶν ἓξ χρήσιμος, παλαιωθεὶς δὲ πολὺ χρησιμώτερος. ὁ Νουμεντανὸς ἀκμάζει ταχὺ καὶ ἀπὸ ἐτῶν πέντε πότιμός ἐστιν· ἔστι δ᾽ οὔτε λίαν ἡδὺς οὔτε λεπτός. ὁ Σπωλητῖνος οἶνος καὶ πινόμενος ἡδὺς καὶ τῷ χρώματι χρυσίζει. Καπυανὸς κατὰ πολλὰ τῷ Συρρεντίνῳ παρεμφερής. ὁ Βαρβῖνος λίαν αὐστηρὸς καὶ ἀεὶ
c ἑαυτοῦ κρείττων γίνεται. εὐγενὴς καὶ ὁ Καυκῖνος καὶ τῷ Φαλερίνῳ ἐμφερής. ὁ Βενεφρανὸς εὐστόμαχος καὶ κοῦφος. ὁ ἐν Νεαπόλει Τρεβελλικὸς εὔκρατος τῇ δυνάμει, εὐστόμαχος, εὔστομος. ὁ Ἔρβουλος ἐν ἀρχῇ μέν ἐστι μέλας, μετ᾽ οὐ πολλὰ δὲ ἔτη λευκὸς γίνεται· ἔστι δὲ λίαν κοῦφος καὶ τρυφερός. ὁ Μασσαλιήτης καλός· ὀλίγος δὲ γίνεται, παχύς, σαρκώδης. Ταραντῖνος δὲ καὶ οἱ ἀπὸ τοῦ κλίματος

---

τῷ ὀμφακίᾳ. ἔστι δὲ Schweigh. τῷ ὀμφακίας ἔστι δὲ CD. Ex B enotatem ὀμφακίας ἔ δὲ, ut de articulo nobis non constet. Legebatur τὸ ὀμφακίας εἶναι. ἔστι δὲ. δυνάμει CD. Legebatur δυνατὸς. Vide annotationem. ὁ Οὐελίτερνος Schweigh. ὁ οὐέντερνος BCD. ὁ οὐέτερος VL. „In membranis reperio ὁ οὐεστῖνος. — in quibusdam codicibus scriptum ὁ οὐέντερος." Casaubonus. φαλερίνου CD. φαλερινοῦ B. φαλέρνου VL. Καίκουβος] κέκουβος B.

27 b. μέχρι B. Scribebatur μέχρις. πεντεκαίδεκα] ἑ καὶ ι B. Σιγνῖνος] σίγνινος C. μέχρι] Scribebatur μέχρις. Νουμεντανὸς] νουμεντιάνος V. Νουμεντᾶνος L. σπωλητῖνος BCD. σπολετῖνος V. Σπολητῖνος L. οἶνος BC. δὲ οἶνος VL. Καπυανὸς] ἀκουανὸς BCD. συρεντίνῳ παρεμφερὴς BCD. συῤῥεντίνῳ ἐμφερὴς VL.

27 c. Καυκῖνος] Καυλῖνος Hermolaus Barbarus. φαλερίνῳ BCDL. φαλέρνῳ V. ἐμφερὴς libri omnes: παρεμφερὴς per errorem editio Casauboni, quem apertum est non hic, sed in superiore loco παρεμφερὴς ex suis libris restitutum ivisse. Βενεφρανὸς] Scribebatur Βενεφράνος. Τρεβελλικὸς] τρεβιλλικὸς BCD. μασσαλιήτης BCD. μασσαλιώτης VL.

τούτου πάντες ἁπαλοὶ, οὐ πλῆξιν, οὐ τόνον ἔχοντες, ἡδεῖς,
d εὐστόμαχοι. ὁ δὲ Μαμερτῖνος ἔξω μὲν τῆς Ἰταλίας γίνεται· καὶ γινόμενος ἐν Σικελίᾳ καλεῖται Ἰωτάλινος. ἡδὺς δ᾽ ἐστὶ, κοῦφος, εὔτονος.

Ὅτι παρ᾽ Ἰνδοῖς τιμᾶται δαίμων, ὥς φησι Χάρης ὁ Μυτιληναῖος, ὃς καλεῖται Σοροάδειος· ἑρμηνεύεται δὲ Ἑλλάδι φωνῇ οἰνοποιός.

49. Ὅτι Ἀντιφάνης που ὁ χαρίεις τὰ ἐξ ἑκάστης πόλεως ἰδιώματα οὕτω καταλέγει

Ἐξ Ἤλιδος μάγειρος, ἐξ Ἄργους λέβης,
Φλιάσιος οἶνος, ἐκ Κορίνθου στρώματα,
ἰχθῦς Σικυῶνος, Αἰγίου δ᾽ αὐλητρίδες,
e τυρὸς Σικελικὸς,
μύρον ἐξ Ἀθηνῶν, ἐγχέλεις Βοιώτιαι.

Ἕρμιππος δ᾽ οὕτως

Ἔσπετε νῦν μοι Μοῦσαι Ὀλύμπια δώματ᾽ ἔχουσαι,
ἐξ οὗ ναυκληρεῖ Διόνυσος ἐπ᾽ οἴνοπα πόντον
ὅσσ᾽ ἀγάθ᾽ ἀνθρώποις δεῦρ᾽ ἤγαγε νηὶ μελαίνῃ.
ἐκ μὲν Κυρήνης καυλὸν καὶ δέρμα βόειον·
ἐκ δ᾽ Ἑλλησπόντου σκόμβρους καὶ πάντα ταρίχη·
ἐκ δ᾽ αὖ Ἰταλίας χόνδρον καὶ πλευρὰ βόεια·
καὶ παρὰ Σιτάλκου ψώραν Λακεδαιμονίοισι·
καὶ παρὰ Περδίκκου ψεύδη ναυσὶν πάνυ πολλαῖς.
f αἱ δὲ Συράκουσαι σῦς καὶ τυρὸν παρέχουσι.

---

27 d. Ἰωτάλινος] Vide annotationem. ὁ χαρίεις] ὁ χαρίης B. Antiphanis fragmentum attulit Eustathius p. 970, 54. Ἄργους] ἔργου B. Σικυῶνος] σικυώνιος B.

27 e. ἐγχέλεις Βοιώτιαι] Legebatur ἐγχέλυς Βοιώτιαι. Conf. Antiphanem VII. p. 295 c. Ἕρμιππος] In Φορμοφόροισι vide ad v. 20. Ex versibus novem prioribus quaedam affert Eustathius p. 261, 6. οὕτως] οὕτω B. V. 1. Ἔσπετε] versus Homericus Iliad. β, 484. et alibi. V. 3. ἀγάθ᾽ ἀνθρώποις] ἀγάθ᾽ ἐν ἀνθρώποις B. V. 6. ἐκ δ᾽ αὖ] ἐκ δ᾽ αὖτ᾽ Iacobsius ad Anthol. Palat. vol. III. p. 1027. V. 7. ψώραν BCD. ψώρας VL. Λακεδαιμονίοισι] λακεδαιμονίοις B. V. 8. παρὰ Περδίκκου] περὶ περδίκκου C, non Eustathius. παρὰ περδίκου VL. ψεύδη Schweigh. Legebatur ψευδῆ. ψεύδεα Eustathius. ναυσὶν] ναυσὶ B et Eustathius.

27 f. V. 9. σῦς καὶ τυρὸν] καταλέγει (ὁ Ἕρμιππος) ὡς αἱ Συράκουσαι σῖτον καὶ τυρὸν παρέχουσι Eustathius. παρέχουσι L.

*καὶ Κερκυραίους ὁ Ποσειδῶν ἐξολέσειε*
*ναυσὶν ἐπὶ γλαφυραῖς, ὅτι ἄνδιχα θυμὸν ἔχουσι.*
*ταῦτα μὲν ἐντεῦθεν. ἐκ δ' Αἰγύπτου τὰ κρεμαστὰ*
*ἱστία καὶ βύβλους· ἀπὸ δ' αὖ Συρίας λιβανωτόν.*
*ἡ δὲ καλὴ Κρήτη κυπάριττον τοῖσι θεοῖσιν·*
*ἡ Λιβύη δ' ἐλέφαντα πολὺν παρέχει κατὰ πρᾶσιν·*
*ἡ Ῥόδος ἀσταφίδας τε καὶ ἰσχάδας ἡδυονείρους.*
*αὐτὰρ ἀπ' Εὐβοίας ἀπίους καὶ ἴφια μῆλα·*
*ἀνδράποδ' ἐκ Φρυγίας, ἀπὸ δ' Ἀρκαδίας ἐπικούρους.*
*αἱ Παγασαὶ δούλους καὶ στιγματίας παρέχουσι.*
28 *τὰς δὲ Διὸς βαλάνους καὶ ἀμύγδαλα σιγαλόεντα*
*Παφλαγόνες παρέχουσι· τὰ γάρ τ' ἀναθήματα δαιτός·*
*Φοινίκη καρπὸν φοίνικος καὶ σεμίδαλιν·*
*Καρχηδὼν δάπιδας καὶ ποικίλα προσκεφάλαια.*

50. *Πίνδαρος δ' ἐν τῇ εἰς Ἱέρωνα Πυθικῇ ᾠδῇ*
*Ἀπὸ Ταϋγέτοιο μὲν Λάκαιναν*
*ἐπὶ θηρσὶ κύνα τρέχειν πυκινώτατον ἑρπετόν.*
*Σκύριαι δ' ἐς ἄμελξιν γάλακτος*
*αἶγες ἐξοχώταται.*
*ὅπλα δ' ἀπ' Ἄργεος· ἅρμα*
*Θηβαῖον· ἀπὸ τῆς ἀγλαοκάρπου*

---

*παρέχουσαι* BCDV. V. 10. 11. affert Eustathius p. 1582, 19. V. 11. *ὅτι ἄνδιχα* Meinekius. *ὅτι δίχα* libri et Eustathius. *ὅτι δὴ δίχα* Casaubonus. Poterat *ὁτιὴ δίχα*. V. 17. *Εὐβοίας*] *εὐβοίης* BD. V. 19. *Παγασαὶ* L. *ταγασαὶ* V. V. 20.21. Eustathius p. 1404, 4.

28 a. V. 20. ex Hermippi *Φορμοφόροις* (*φορμόροις* codex) affert Hesychius in *Διὸς βάλανοι*, omissa *δέ*. *ἀμύγδαλα σιγαλόεντα* nominato Hermippo interpretatur Eustathius p. 1280, 49., non nominato p. 542, 23. 728, 41. V. 21. *τὰ γάρ τ'*] *τὰ γὰρ* B. et Eust. p. 1404, 5. Vid. Odyss. *α*, 152. V. 22. *Φοινίκη καρπὸν* Iacobsius ad Antholog. Palat. vol. III. p. 577. *φοινίκη δ' αὖ καρπὸν* BCDV. *Φοινίκη αὖ καρπὸν* L. V. 23. *δάπιδας*] *δάπητας* BD. *δάπεδας* C. *Πίνδαρος*] Fragm. 33. p. 599. Boeckh.
V. 1. 2. *Λάκαιναν — ἑρπετόν* affert Eustathius p. 1822, 5.
V 1. *ταϋγέτου μὲν* VL. *ταυγέτου ὁ μὲν* B. *ταυγέτοιο μὲν* C. V. 2. *τρέχειν*] *τρέφειν* Eustathius. V. 3. *Σκύριαι* L. *σκίριας* (sic) V.
V. 4. *ἐξοχώταται* BC. Legebatur *ἐξοχώτατοι*. V. 6. Legebatur *Θηβαίων ἀπὸ γᾶς ἀγλαοκάρπου. Σικελίας δ' ὄχημα —*. *Θηβαῖον* C. *ἀπὸ τῆς ἀγλαοκαρποὺς* C. *ἀπὸ τῆς ἀγλαοκάρπου* BD. *σικελίας ὄχημα* BCD.

b *Σικελίας ὄχημα δαιδάλεον ματεύειν.*

Κριτίας δὲ οὕτως·

*Κότταβος ἐκ Σικελῆς ἐστι χθονὸς, ἐκπρεπὲς ἔργον,*
*ὃν σκοπὸν ἐς λατάγων τόξα καθιστάμεθα.*
*εἶτα δ' ὄχος Σικελὸς, κάλλει δαπάνῃ τε κράτιστος.*
*Θεσσαλικὸς δὲ θρόνος, γυίων τρυφερωτάτη ἕδρα.*
*εὐναίου δὲ λέχους ἔξοχα κάλλος ἔχει*
*Μίλητός τε Χίος τ' ἔναλος πόλις Οἰνοπίωνος.*
*Τυρσηνὴ δὲ κρατεῖ χρυσότυπος φιάλη,*
c *καὶ πᾶς χαλκὸς ὅτις κοσμεῖ δόμον ἔν τινι χρείᾳ.*
*Φοίνικες δ' εὗρον γράμματα λεξίλογα.*
*Θήβη δ' ἁρματόεντα δίφρον συνεπήξατο πρώτη·*
*φορτηγοὺς δ' ἀκάτους Κᾶρες, ἁλὸς ταμίαι.*
*τὸν δὲ τροχοῦ γαίης τε καμίνου τ' ἔκγονον εὗρε,*
*κλεινότατον κέραμον, χρήσιμον οἰκονόμον,*
*ἡ τὸ καλὸν Μαραθῶνι καταστήσασα τρόπαιον.*

καὶ ἐπαινεῖται ὄντως ὁ Ἀττικὸς κέραμος. Εὔβουλος δέ φησι „Κνίδια κεράμια, Σικελικὰ βατάνια, Μεγαρικὰ πι-
d θάκνια." Ἀντιφάνης δὲ „Νᾶπυ Κύπριον, καὶ σκαμωνίας

---

τῆς Schweighaeusero in ταῖς mutandum, mihi delendum videtur. V. 7. δαιδάλεον] δαίδαλον Hermannus.

28 b. οὕτως] οὕτω B. V. 1. Σικελῆς ἐστι χθονὸς ἐκπρεπὲς ἔργον L reposuit ex XV. p. 666 b. σικελῆς χθονὸς ἐκπρεπὲς εἰς ἔργον BCDV. V. 2. ὃν σκοπὸν om. B. λατάγων] λατάμων B. libri λαταγῶν 666. V. 3. Σικελὸς] σικελικὸς B. κάλλει δαπάνῃ τε κράτιστος Casaubonus. καλλιδαπάνη τε κρατίστη VL. κρατίστη] κράτιστος C, quod etiam Casaubonus se invenisse ait. κράτιστε D. V. 4. γυίων τρυφερωτάτη] γυιωτρυφερωτάτη B. V. 5. εὐναίου L: εὐναῖον V. ἔξοχα om. BCD. V. 6. Οἰνοπίωνος] οἰνοποίωνος B. V. 7. τυρσηνὴ BCD. τυρσηνὴν VL.

28 c. V. 9. ὅτις] ὅστις B. V. 10. γράμματα λεξίλογα Schweigh. Libri γράμματ' ἀλεξίλογα, in quo interpretando operam perdit Eustathius p. 1771, 46. V. 12. ἀκάτους Κᾶρες ἁλὸς] ἀκάτους ἁλὸς B. V. 13. τροχοῦ Casaubonus. Libri τροχόν. γαίης] γαίας BCD. τ' ἔκγονον] τέ γόνον B. V. 15. Μαραθῶνι] μαραθῶνος CD. κεράμια L. κεράμεια BCV. βατάνια] βοτάνια C.

28 d. In Antiphanis versibus numerorum vincula servavit Pollux VI, 67.

*Καὶ νᾶπυ Κύπριον καὶ σκαμωνίας ὀπὸν,*

ῥαὸν, κάρδαμον Μιλήσιον, κρόμμυον Σαμοθρᾴκιον, καυλὸν ἐκ Καρχηδόνος καὶ σίλφιον, θύμον Ὑμήττιον, ὀρίγανον Τενέδιον."

51. "Ὅτι ὁ Περσῶν βασιλεὺς τὸν Χαλυβώνιον μόνον οἶνον ἔπινεν· ὅν φησι Ποσειδώνιος κἀν Δαμασκῷ τῆς Συρίας γίνεσθαι Περσῶν αὐτόθι καταφυτευσάντων τὰς ἀμπέλους. ἐν δὲ Ἴσσῃ, τῇ κατὰ τὸν Ἀδρίαν νήσῳ, Ἀγαθαρχίδης φησὶν οἶνον γίνεσθαι ὃν πᾶσι συγκρινόμενον
e καλλίω εὑρίσκεσθαι. Χίου δὲ οἴνου καὶ Θασίου μέμνηται Ἐπίλυκος „Χῖος καὶ Θάσιος ἠθημένος." καὶ ἀντίδοτον δὲ Θάσιον ἔγχει·

ὃ γὰρ λαβόν μου καταφάγῃ τὴν καρδίαν,
ὅταν πίω τοῦτ᾽, εὐθὺς ὑγιὴς γίγνεται·
Ἀσκληπιὸς κατέβρεξε.

---

καὶ κάρδαμον Μιλήσιον καὶ κρόμμυον
Σαμοθρᾴκιον, καὶ καυλὸν ἐκ Καρχηδόνος
καὶ σίλφιον, θύμον τε τῶν Ὑμηττίων.

Quibus Porsonus ex Athenaeo addit ὀρίγανόν τε Τενέδιον. Affert autem Pollux hos versus non ex Antiphane, sed ex Eubuli Glauco fabula. In Athenaeo si quod est erratum, quum is et Eubulo et Antiphane testibus utatur, haec maxime probabilis correctio videtur ut horum nominum sedes commutentur. Νᾶπυ]. Scribebatur νάπυ hic et apud Pollucem. Κύπριον] Legebatur Κύπρου. „Κύπριον videtur esse in C." Schweigh. σκαμμωνίας L. σκαμωνίας BV. κρόμμυον] κρόμυον L. κρόμυ B. κρόμιον V. Χαλυβώνιον] Χαλυδώνιος dicitur Suidae, ubi litterarum ordo non impedit quominus Χαλυβώνιος restituatur. κἀν Δαμασκῷ] Eustathius p. 1499, 64. ἱστόρηται γὰρ ὅτι ὁ Περσῶν βασιλεὺς τὸν Χαλυβώνιον μόνον οἶνον ἔπινεν, ἐν Δαμασκῷ τῆς Συρίας γενόμενον Περσῶν αὐτόθι καταφυτευσάντων ἀμπέλους. Ἴσσῃ L. ἴσῃ V.

28 e. καὶ ἀντίδοτον — κατέβρεξε accesserunt ex marginibus codicum Corseliani apud Schottum Obs. human. I. 6. p. 9. et C. „In C super ἐπίλυκος est signum, quod refertur ad ea quae in interiori ora minutis rubris litteris scripta leguntur." Schweigh. καὶ ἀντίδοτον δὲ] „Lege καὶ Ἀντίδοτος δὲ, scil. φησί. Antidoti comici nomen leviter corruptum latere apud Athenaeum aiebat Porsonus, si recte memini; forsan hunc ipsum locum volebat." Kidd. ad Porsoni Miscell. p. 390. καὶ ἀντίδοτον δὲ θάσιον ἔγχει C. καὶ ἀντίδοτον καὶ ἔγχει θάσιον Corselianus. ὃ γὰρ C. ὁ γὰρ Corselianus. ὃ γὰρ ἂν Iacobsius p. 24. λαβόν Schweigh. et Iacobsius. Libri λαβών. καταφάγῃ Iacobsius. καταφάγει C. καταφαγεῖν Corselianus. γίνεται C. γίνομαι

„Οἶνος Λέσβιος, ὃν αὐτὸς ἐποίησεν ὁ Μάρων μοι δοκεῖ,
φησὶ Κλέαρχος.

Λεσβίου πώματος
οὐκ ἔστιν ἄλλος οἶνος ἡδίων πιεῖν

φησὶν Ἄλεξις.

Θασίοις οἰναρίοις καὶ Λεσβίοις
τῆς ἡμέρας τὸ λοιπὸν ὑποβρέχει μέρος
καὶ νωγαλίζει.

ὁ αὐτὸς

Ἡδὺς ὁ Βρόμιος τὴν ἀτέλειαν Λεσβίου
ποιῶν τὸν οἶνον εἰσάγουσιν ἐνθάδε·
ὃς ἂν εἰς ἑτέραν ληφθῇ δ' ἀποστέλλων πόλιν,
κἂν κύαθον, ἱερὰν ἐγγράφω τὴν οὐσίαν.

Ἔφιππος

Φιλῶ γε Πράμνιον οἶνον Λέσβιον.
Πολλὴ δὲ Λεσβία σταγὼν ἐκπίνεται
ἄγαν.

Ἀντιφάνης

Ἔστιν ὄψον χρηστὸν, ἐπαγωγὸν πάνυ,
οἶνός τε Θάσιος καὶ μύρον καὶ στέμματα.
Ἐν πλησμονῇ γὰρ Κύπρις, ἐν δὲ τοῖς κακῶς
πράσσουσιν οὐκ ἔνεστιν Ἀφροδίτη βροτοῖς.

Εὔβουλος

Θάσιον ἢ Χῖον λαβὼν
ἢ Λέσβιον γέροντα νεκταροσταγῆ.

---

Corselianus. Κλέαρχος] Clearchi dictum affert Eustathius p. 1623, 47. Λεσβίου] Ὅτι ὁ λέσβιος οἶνος ἡδίων τῶν ἄλλων πάντων, φησὶν ἄλεξις marg. exterior C. πώματος] πόματος libri. δὲ πόματος Porsonus. οἰναρίοις καὶ Λεσβίοις Porsonus. Legebatur καὶ Λεσβίοις οἰναρίοις. Vid. II. p. 47 d. V. 1. Ἡδὺς] Ἡδύς γ' Porsonus. Λεσβίου] Λεσβίοις Casaubonus. Λέσβιον Porsonus.

28 f. V. 3. ὃς ἂν εἰς Porsonus. ὃς δ' ἂν εἰς VL. ληφθῇ δ' ἀποστέλλων Porsonus. ληφθῇ ἀποστέλλων BCD. ληφθῇ γ' ἀποστέλλων VL. V. 4. κύαθον L. κύσθον V. ἐγγράφω BCD. ἐγγράφον V. ἐγγράφων L. ἐγγράφομεν Porsonus ad Arist. Nub. 1072. p. 42. Πράμνιον] τράμνιον B. Πολλὴ δὲ] Haec ex alio loco. Ἔστιν] Παρέστιν Iacobsius p. 26. Ἐν πλησμονῇ — βροτοῖς.] Separavi ab praecedentibus. Vide VI. p. 270 c.

μέμνηται δὲ οὗτος καὶ Ψιθίου οἴνου

„Οἶνον γάρ με Ψίθιον γεύσας
ἡδὺν ἄκρατον, διψῶντα λαβὼν
ὄξει παίει πρὸς τὰ στήθη.

καὶ Ἀναξανδρίδης „Χοῦς κεκραμένος Ψιθίου."

29 52. Ὅτι Ἀριστοφάνους τὰς δευτέρας Θεσμοφοριαζούσας Δημήτριος ὁ Τροιζήνιος Θεσμοφοριασάσας ἐπιγράφει. ἐν ταύτῃ ὁ κωμικὸς μέμνηται Πεπαρηθίου οἴνου

Οἶνον δὲ πίνειν οὐκ ἐάσω Πράμνιον,
οὐ Χῖον, οὐχὶ Θάσιον, οὐ Πεπαρήθιον,
οὐδ' ἄλλον ὅστις ἐπεγερεῖ τὸν ἔμβολον.

Εὔβουλος

Ὁ Λευκάδιος πάρεστι καὶ Μιλήσιος
οἰνίσκος οὕτω πότιμος.

Ἀρχεστράτου τοῦ δειπνολόγου

b Εἶθ' ὁπόταν πλήρωμα Διὸς σωτῆρος ἕλησθε,
ἤδη χρὴ γεραὸν, πολιὸν σφόδρα κρᾶτα φοροῦντα
οἶνον, ὑγρὰν χαίταν λευκῷ πεπυκασμένον ἄνθει,
πίνειν, ἐκ Λέσβου περικύμονος ἐκγεγαῶτα.
τόν τ' ἀπὸ Φοινίκης ἱερᾶς τὸν Βύβλιον αἰνῶ·
οὐ μέντοι κείνῳ γε παρεξισῶ αὐτόν. ἐὰν γὰρ
ἐξαίφνης αὐτοῦ γεύσῃ, μὴ πρόσθεν ἐθισθεὶς,
εὐώδης μέν σοι δόξει τοῦ Λεσβίου εἶναι
c μᾶλλον· ἔχει γὰρ τοῦτο χρόνου διὰ μῆκος ἄπλατον·
πινόμενος δ' ἥσσων πολλῷ. κεῖνος δὲ δοκήσει
οὐχ οἴνῳ σοι ἔχειν ὅμοιον γέρας, ἀμβροσίᾳ δέ.
εἰ δέ τινες σκώπτουσιν ἀλαζονοχαυνοφλύαροι,
ὡς ἥδιστος ἔφυ πάντων Φοινίκιος οἶνος,
οὐ προσέχω τὸν νοῦν αὐτοῖς.
ἔστι δὲ καὶ Θάσιος πίνειν γενναῖος, ἐὰν ᾖ

---

ψιθίου — ψίθιον — ψιθίου BCD. ψυ — VL.

29 a. V. 2. οὐχὶ Θάσιον] Scribebatur οὐ Θάσιον. V. 3. ἐπεγερεῖ Brunckius p. 248. Libri ἐπεγείρει. Μιλήσιος L. μιλέσσιος BCD. μιλήσσιος V. οὕτω BCV. οὔπω L.

29 b. V. 2. κρᾶτα φοροῦντα Casaubonus. Libri κρατοφοροῦντα. V. 3. ὑγρὰν χαίταν Brunckius. Libri ὑγρᾷ χαίτᾳ. V. 5. τόν τ' ἀπὸ — ἱερᾶς B. τὸν δ' ἀπὸ — ἱρᾶς VL. βίβλιον C. κύκλιον B. Legebatur Βύβλινον. V. 6. ἐὰν] ἂν B. V. 13. Scribebatur ἄδιστος.

πολλαῖς πρεσβεύων ἐτέων περικαλλέσιν ὥραις.
οἶδα δὲ κἀξ ἄλλων πόλεων βοτρυοσταγῆ ἔρνη ·
εἰπεῖν αἰνῆσαί τε, καὶ οὔ με λέληθ᾽ ὀνομῆναι·
ἀλλ᾽ οὐδὲν τἄλλ᾽ ἐστὶν ἁπλῶς πρὸς Λέσβιον οἶνον.
ἀλλά τινες χαίρουσιν ἐπαινοῦντες τὰ παρ᾽ αὐτοῖς.

53. Φοινικίου δὲ οἴνου μέμνηται καὶ Ἔφιππος
Κάρυα, ῥόας, φοίνικας, ἕτερα νώγαλα,
σταμνάριά τ᾽ οἴνου * * τοῦ Φοινικικοῦ.

καὶ πάλιν

Φοινικίνου βῖκός τις ὑπανεῴγνυτο.

μνημονεύει αὐτοῦ καὶ Ξενοφῶν Ἀναβάσει. Μενδαίου δὲ Κρατῖνος

Νῦν δ᾽ ἢν ἴδῃ Μενδαῖον ἡβῶντ᾽ ἀρτίως
οἰνίσκον, ἕπεται κἀκολουθεῖ, καὶ λέγει
Οἴμ᾽ ὡς ἁπαλὸς καὶ λευκός· ἆρ᾽ οἴσει τρία;

e Ἕρμιππος δέ που ποιεῖ τὸν Διόνυσον πλειόνων μεμνημένον

Μενδαίῳ μὲν ἐνουροῦσιν θεοὶ αὐτοὶ
στρώμασιν ἐν μαλακοῖς. Μάγνητα δὲ μειλιχόδωρον
καὶ Θάσιον, τῷ δὴ μήλων ἐπιδέδρομεν ὀδμή,
τοῦτον ἐγὼ κρίνω πολὺ πάντων εἶναι ἄριστον

---

29 c. V. 16. πρεσβεύων ἐτέων περικαλλέσιν Porsonus. Libri et Eustathius p. 1449, 13. πρεσβεύων ἐτέρου (ἐτέρου om. L.) οἴνου περικαλλέσιν. V. 19. οὐδὲν] Scribebatur οὐθὲν. V. 20. αὐτοῖς] Scribebatur αὐτοῖς.

29 d. φοινικίου CD. φοίνικος VL. Ἔφιππος] II. p. 47 d. ex Antiphanis Busiride affertur Βότρυς, ῥόας, φοίνικας, ἕτερα νώγαλα. et II, p. 57 e. ex Ephippo Σταμνάριά τ᾽ οἴνου μικρὰ τοῦ Φοινικικοῦ, | ὑπέρια, τοιαῦθ᾽ ἕτερα πολλὰ παίγνια. ῥόας] Scribebatur ῥοιάς. φοίνικας] Legebatur φοινίκια. „Scripturae compendium quod est in C φοίνικας significat.“ Schweigh. νώγαλα Casaubonus. Libri νωγαλίσματα. οἴνου] Adde μικρὰ ex 57. Φοινικίνου] Legitur hic versus in fragmento Ephippi ex Ephebis XIV. p. 642 e. ubi libri φοινίκου. Casaubonus utrubique voluit Φοινικικοῦ. ὑπανεῴγνυτο C et 642. Legebatur ἐπανεῴγνυται. Ξενοφῶν Ἀναβάσει] II. 3, 14. δὲ κρατῖνος BD. δὲ ὁ κρατῖνος VL. ἢν] Scribebatur ἂν. ἴδῃ BCD. ἴδοι VL. κἀκολουθεῖ L. κἀκολουθῶν V. λέγει] λέγεται C.

29 e. V. 1. ἐνουροῦσι καὶ θεοὶ VL. ἐνουροῦσιν καὶ τοὶ θεοὶ Casaubonus. Ego καὶ delendum putavi. V. 3. ὀδμὴ] ὀδμὴν B.

μέμνηται δὲ οὗτος καὶ Ψιθίου οἴνου

Οἶνον γάρ με Ψίθιον γεύσας
ἡδὺν ἄκρατον, διψῶντα λαβὼν
ὄξει παίει πρὸς τὰ στήθη.

καὶ Ἀναξανδρίδης „Χοῦς κεκραμένος Ψιθίου."

29 52. Ὅτι Ἀριστοφάνους τὰς δευτέρας Θεσμοφορι σας Δημήτριος ὁ Τροιζήνιος Θεσμοφοριασάσας ἐπιγ( ἐν ταύτῃ ὁ κωμικὸς μέμνηται Πεπαρηθίου οἴνου

Οἶνον δὲ πίνειν οὐκ ἐάσω Πράμνιον,
οὐ Χῖον, οὐχὶ Θάσιον, οὐ Πεπαρήθιον,
οὐδ' ἄλλον ὅστις ἐπεγερεῖ τὸν ἔμβολον.

Εὔβουλος

Ὁ Λευκάδιος πάρεστι καὶ Μιλήσιος
οἰνίσκος οὕτω πότιμος.

Ἀρχεστράτου τοῦ δειπνολόγου

b Εἶθ' ὁπόταν πλήρωμα Διὸς σωτῆρος ἔλησθ·
ἤδη χρὴ γεραὸν, πολιὸν σφόδρα κρᾶτα φορ·
οἶνον, ὑγρὰν χαίταν λευκῷ πεπυκασμένον ἄ·
πίνειν, ἐκ Λέσβου περικύμονος ἐκγεγαῶτα.
τόν τ' ἀπὸ Φοινίκης ἱερᾶς τὸν Βύβλιον αι
οὐ μέντοι κείνῳ γε παρεξισῶ αὐτόν. ἐὰν γ·
ἐξαίφνης αὐτοῦ γεύσῃ, μὴ πρόσθεν ἐθισθ·
εὐώδης μέν σοι δόξει τοῦ Λεσβίου εἶναι
c μᾶλλον· ἔχει γὰρ τοῦτο χρόνου διὰ μῆκος
πινόμενος δ' ἥσσων πολλῷ. κεῖνος δὲ δοκ·
οὐκ οἴνῳ σοι ἔχειν ὅμοιον γέρας, ἀμβροσί
εἰ δέ τινες σκώπτουσιν ἀλαζονοχαυνοφλύα·
ὡς ἥδιστος ἔφυ πάντων Φοινίκιος οἶνος,
οὐ προσέχω τὸν νοῦν αὐτοῖς.
ἔστι δὲ καὶ Θάσιος πίνειν γενναῖος, ἐὰν

---

ψιθίου — ψίθιον — ψιθίου BCD. ψυ — VL.

29 a. V. 2. οὐχὶ Θάσιον] Scribebatur οὐ Θάσιον. γερεῖ Brunckius p. 248. Libri ἐπεγείρει. Μιλήσι· BCD. μιλήσσιος V. οὕτω BCV. οὔπω L.

29 b. V. 2. κρᾶτα φοροῦντα Casaubonus. Libri V. 3. ὑγρὰν χαίταν Brunc· ·ῷ χαίτᾳ. τ' ἀπὸ · ·ν δ' ἀπὸ βύβλ. Legeb· V. 6 ·. Scri·

; πα-
ησαν-
ὶ τὸν
ος, ὁ
ος, ὡς

ν πρό-

Ἄμφις

ιος. ἔστι
κὺς οὔτε
ων δια-
ους φησὶ
αι σκλη-
ν οἴνοις,
υθοσμίᾳ
ησὶ Ση-
ἀφ᾽ οὗ
εῖν. ἐκα-
ἐν αὐτῇ
ἐχίνων,
ν, καὶ

υ V.
φακοῖς
Pramnio
Πράμνειος
ν ἢ ὄρος
πρῶτον
διὰ τοῦ
κόν· νῦν
Πράμνεος

ικίᾳ Sui-
as.
] ἀφ᾽
n. C.

τῶν ἄλλων οἴνων μετ' ἀμύμονα Χῖον ἄλυπον.
ἔστι δέ τις οἶνος, τὸν δὴ σαπρίαν καλέουσι,
οὗ καὶ ἀπὸ στόματος στάμνων ὑπανοιγομενάων
ὄζει ἴων, ὄζει δὲ ῥόδων, ὄζει δ' ὑακίνθου
f ὀσμὴ θεσπεσία, κατὰ πᾶν δ' ἔχει ὑψιρεφὲς δῶ
ἀμβροσία καὶ νέκταρ ὁμοῦ. τοῦτ' ἐστὶ τὸ νέκταρ.
τούτου χρὴ παρέχειν πίνειν ἐν δαιτὶ θαλείῃ
τοῖσιν ἐμοῖσι φίλοις, τοῖς δ' ἐχθροῖς ἐκ Πεπαρήθου.

φησὶ δὲ Φανίας ὁ Ἐρέσιος Μενδαίους τοὺς βότρυς ἐπὶ τῇ ἀμπέλῳ ῥαίνειν τῷ ἐλατηρίῳ· διὸ γίνεσθαι τὸν οἶνον μαλακόν.

54. Ὅτι Θεμιστοκλῆς ὑπὸ βασιλέως ἔλαβε δωρεὰν τὴν Λάμψακον εἰς οἶνον, Μαγνησίαν δ' εἰς ἄρτον, Μυοῦντα δ' εἰς ὄψον, Περκώτην δὲ καὶ τὴν Παλαίσκηψιν εἰς στρωμνὴν καὶ ἱματισμόν. ἐκέλευσε δὲ τούτῳ στολὴν φορεῖν βαρβαρικήν, ὡς καὶ Δημαράτῳ, δοὺς τὰ πρότερον ὑπάρχοντα, καὶ στολὴν γάμβριον προσθείς, ἐφ' ᾧτε μηκέτι Ἑλληνικὸν ἱμάτιον περιβάληται. καὶ Κῦρος δὲ ὁ μέγας Πυθάρχῳ τῷ Κυζικηνῷ φίλῳ ὄντι ἐχαρίσατο ἑπτὰ πόλεις, ὥς φησιν ὁ Βαβυλώνιος Ἀγαθοκλῆς, Πήδασον, Ὀλύμπιον, Καμάντιον, Σκῆπτρα, Ἀρτύψον, Τορτύρην. ὁ δ' εἰς ὕβριν,

---

τῷ δὴ — ὀδμὴ affert Eustathius p. 1633, 56. V. 6. — 10. Eustathius p. 1449, 10. V. 6. οἶνος τὸν] Legebatur οἶνος ὄν. V. 7. ὑπανοιγομενάων Casaubonus. ἀνοιγομενάων VL. ἀνοιγομένων B et Eustathius. V. 8. ἴων L. ὅων V.

29 f. V. 9. ὀσμὴ] Aut hic oportuit ὀδμὴ aut v. 3. ὀσμή. ὑψιρεφὲς] ὑψερεφὲς B et Eustathius. V. 11. παρέχειν πίνειν VL. παρέχειν ἀεὶ πίνειν BCD. ut coniecturam facere liceat τοῦ παρέχειν ἀεὶ πίνειν. ἐν δαιτὶ θαλείῃ ad Homeri exemplum dedi. ἐν τῇ θαλείᾳ BCD. ἐν τῆσι θαλείης VL. Φανίας] φαινίας C. Ἐρέσιος L. ἐρέσσιος V. Μυοῦντα] μ νοῦντα B. περκώτην BC et Eustathius p. 840, 49. περκώπην VL. παλαίσκηψιν Eustathius. Scribebatur Παλαισκῆψιν.

30 a. στολὴν γάμβριον] γάμβρειος στολὴ Suidas ex hoc loco ut videtur. προσθεὶς] προθεὶς B. ἐφ' ᾧτε] ἐφῶτε V. Κῦρος] Eadem omissis urbium nominibus narrat Eustathius p. 840, 48.

Πήδασον] πήδατον B. καμάντιον libri. Ἀχαμάντιον Turnebus. Κάμαν, Τίον Casaubonus. Ἀχαμάντιον, Τίον Casaubonus in addendis. Ἀρτύψον] ?

φασὶ, καὶ ἄνοιαν προελθὼν τυραννεῖν ἐπεχείρησε τῆς πατρίδος, στρατιὰν συναγαγών. καὶ οἱ Κυζικηνοὶ ἐξορμήσαντες ἐπ᾽ αὐτὸν ἐβοηδρόμουν, πρόκροσσοι φερόμενοι ἐπὶ τὸν κίνδυνον. τιμᾶται δὲ παρὰ Λαμψακηνοῖς ὁ Πρίαπος, ὁ
b αὐτὸς ὢν τῷ Διονύσῳ, ἐξ ἐπιθέτου καλούμενος οὕτως, ὡς θρίαμβος καὶ διθύραμβος.

Ὅτι Μυτιληναῖοι τὸν παρ᾽ αὐτοῖς γλυκὺν οἶνον πρόδρομον καλοῦσιν, ἄλλοι δὲ πρότροπον.

55. Θαυμάζεται δὲ καὶ ὁ Ἰκάριος οἶνος. ὡς Ἄμφις

Ἐν Θουρίοις τοὔλαιον, ἐν Γέλᾳ φακοί,
Ἰκάριος οἶνος, ἰσχάδες Κιμώλιαι.

γίνεται δὲ ἐν Ἰκάρῳ, φησὶν Ἐπαρχίδης, ὁ Πράμνιος. ἔστι δὲ οὗτος γένος τι οἴνου· καὶ ἔστιν οὗτος οὔτε γλυκὺς οὔτε
c παχύς, ἀλλ᾽ αὐστηρὸς καὶ σκληρὸς καὶ δύναμιν ἔχων διαφέρουσαν· οἵῳ Ἀριστοφάνης οὐχ ἥδεσθαι Ἀθηναίους φησὶ λέγων τὸν Ἀθηναίων δῆμον οὔτε ποιηταῖς ἥδεσθαι σκληροῖς καὶ ἀστεμφέσιν, οὔτε Πραμνίοις σκληροῖσιν οἴνοις, συνάγουσι τὰς ὀφρῦς τε καὶ τὴν κοιλίαν, ἀλλ᾽ ἀνθοσμίᾳ καὶ πέπονι νεκταροσταγεῖ. εἶναι γὰρ ἐν Ἰκάρῳ φησὶ Σῆμος Πράμνον πέτραν καὶ παρ᾽ αὐτῇ ὄρος μέγα, ἀφ᾽ οὗ τὸν Πράμνιον οἶνον, ὃν καὶ φαρμακίτην τινὰς καλεῖν. ἐκα-
d λεῖτο δὲ ἡ Ἴκαρος πρότερον Ἰχθυόεσσα, διὰ τὸ ἐν αὐτῇ τῶν ἰχθύων πλῆθος, ὡς καὶ Ἐχινάδες ἀπὸ τῶν ἐχίνων, καὶ Σηπιὰς ἄκρα ἀπὸ τῶν περὶ αὐτὴν σηπιῶν, καὶ

---

30 b. Πρίαπος] πρίηπος C. καλούμενος L. καλουμένου V. πρότροπον Casaubonus. Libri πρότροπον ἢ πρόδρομον. φακοί] φακῆ II. p. 67 b. Πράμνιος] Scribebatur Πράμνειος. De Pramnio multa ex hoc loco petiit Eustathius p. 871, 18. Qui in Πράμνειος constanter diphthongum tenuit. οἱ δέ φασι, inquit, πέτραν ἢ ὄρος οἰνοφόρον ἐν Ἰκάρῳ τῇ νήσῳ εἶναι, Πράμνην καλουμένην, ἐν ᾗ πρῶτον ἔφυ ἄμπελος, ἀφ᾽ ἧς ὁ οἶνος Πράμνειος. καίτοι τούτῳ τῷ λόγῳ διὰ τοῦ ι ὤφειλεν ἔχειν τὴν γραφὴν, ὡς ὁ Θάσιος καὶ ὁ Σάμιος, οἷα τοπικόν· νῦν δὲ οὕτω στερεῶς ἔχει τῆς διὰ τοῦ διφθόγγου γραφῆς ὥστε καὶ Πράμνεος ὑπό τινων λέγεται, ὡς χρύσεος χρύσειος καὶ τὰ τοιαῦτα.

30 c. ἀλλ᾽ ἀνθοσμίᾳ] ἀλλ᾽ ὀσμίᾳ B. ἐν Ἰκάρῳ] ἐν νικίᾳ Suidas in Πράμνιος. Σῆμος] ὁ Δήλιος ἐν τρίτῃ add. Suidas. Πράμνον ex Suida dedi. Legebatur Πράμνιον. ἀφ᾽ οὗ] ἀφ᾽ ἧς Suidas omissis καὶ παρ᾽ αὐτῇ ὄρος μέγα. οἶνον ὃν] ὃν om. C.

Λαγοῦσσαι νῆσοι ἀπὸ τῶν ἐν αὐταῖς λαγωῶν, καὶ ἕτεραι Φυκοῦσσαι καὶ Λοπαδοῦσσαι ἀπὸ τῶν παραπλησίων. προσαγορεύεται δὲ, φησὶν Ἐπαρχίδης, ἡ ἄμπελος ἡ τὸν Ἰκάριον Πράμνιον φέρουσα ὑπὸ τῶν ξένων μὲν Ἱερὰ, ὑπὸ δὲ τῶν Οἰνραίων Διονυσιάς. Οἰνόη δὲ πόλις ἐν τῇ νήσῳ ἐστί. Δίδυμος δὲ Πράμνιόν φησιν οἶνον ἀπὸ πραμνίας ἀμπέλου
e οὕτω καλουμένης, οἱ δὲ ἰδίως τὸν μέλανα, ἔνιοι δὲ ἐν τῷ καθόλου τὸν πρὸς παραμονὴν ἐπιτήδειον, οἱονεὶ παραμένιον ὄντα, οἱ δὲ τὸν πραΰνοντα τὸ μένος, ἐπεὶ οἱ πιόντες προσηνεῖς.

56. Ἐπαινεῖ Ἄμφις καὶ τὸν ἐξ Ἀκάνθου πόλεως οἶνον λέγων

Ποδαπὸς σύ; φράσον. Β. Ἀκάνθιος. Α. εἶτα, πρὸς θεῶν,
οἴνου πολίτης ὢν κρατίστου στρυφνὸς εἶ,
καὶ τοὔνομ' αὐτὸ τῆς πατρίδος ἐν τοῖς τρόποις
ἔχεις, τὰ δ' ἤθη τῶν πολιτῶν οὐκ ἔχεις.

f Κορινθίου οἴνου Ἄλεξις μνημονεύει ὡς σκληροῦ

Οἶνος ξενικὸς παρῆν· ὁ γὰρ Κορίνθιος
βασανισμός ἐστι.

καὶ Εὐβοϊκοῦ δὲ „Πολὺν πιὼν Εὐβοϊκὸν οἶνον." Ἀρχίλοχος τὸν Νάξιον τῷ νέκταρι παραβάλλει· ὅς καί πού φησιν

Ἐν δορὶ μέν μοι μᾶζα μεμαγμένη, ἐν δορὶ δ' οἶνος
Ἰσμαρικός. πίνω δ' ἐν δορὶ κεκλιμένος.

---

30 d. Λαγοῦσσαι] λαγοῦσαι B. λαγωῶν BC. λαγῶν VL. φυκοῦσσαι C. φυκοῦσαι VL. Λοπαδοῦσσαι Schweigh. Λοπαδοῦσαι C. λεπαδοῦσαι BV. Λαπαδοῦσαι L. Πράμνιον] πράμνειον B. Οἰνοαίων Casaubonus. οἰνοίων BC. οἰνοέων VL et Eustathius p. 871, 21. Πράμνιον] πράμνειον B.

30 e. ἐν τῷ καθόλου C. ἐν τῷ καθόλου πάντα Eustathius p. 871, 23. ἐν τῇ καθόλου DVL. οἱονεὶ] οἷον δὲ C. ὡς οἱονεὶ Eustathius. παραμένιον BCDVL. παραμένειον Eustathius et Casauboni editiones secunda et tertia. V. 1. σύ Elmsleius ad Eurip. Bacch. 654. p. 94. Legebatur εἰ.

30 f. Κορίνθιος] κορίνθια B. κορινθία CD. πιὼν] ποιῶν CD. Ἀρχίλοχος] Fragm. 45. p 311. Gaisford. μοι om. C. μᾶζα] Libri μάζα. μεμαγμένη] μεμιγμένη B. Ἰσμαρικός] ἰσμαρινὸς B.

Στράττις δὲ τὸν Σκιάθιον ἐπαινεῖ·

Οἶνος κοκκύζει τοῖς ὁδοιπόροις πιεῖν,
μέλας Σκιάθιος, ἴσον ἴσῳ κεκραμένος.

31 Ἀχαιὸς δὲ τὸν Βίβλινον „Ἐδεξιοῦτο Βιβλίνου μέθυος ἐκπώματι.“ καλεῖται δ' οὕτως ἀπό τινος χωρίου οὕτω προσαγορευομένου. φησὶ δὲ Φιλύλλιος ὅτι „Παρέξω Λέσβιον, Χῖον σαπρὸν, Θάσιον, Βίβλινον, Μενδαῖον, ὥστε μηδένα κραιπαλᾶν.“ Ἐπίχαρμος δὲ ἀπό τινων ὀρῶν Βιβλίνων φησὶν αὐτὸν ὠνομάσθαι. Ἀρμενίδας δὲ τῆς Θρᾴκης φησὶν εἶναι χώραν τὴν Βιβλίαν, ἣν αὖθις Τισάρην καὶ Οἰσύμην προσαγορευθῆναι. ἐπιεικῶς δὲ ἡ Θρᾴκη ἐθαυμάζετο ὡς ἡδύοι-
b νος καὶ συνόλως τὰ πλησίον αὐτῆς χωρία.

Νῆες δ' ἐκ Λήμνοιο παρέστασαν οἶνον ἄγουσαι.

Ἵππυς δὲ ὁ Ῥηγῖνος τὴν εἰλεὸν καλουμένην ἄμπελον βιβλίαν φησὶ καλεῖσθαι· ἥν Πόλλιν τὸν Ἀργεῖον, ὃς ἐβασίλευσε Συρακοσίων, πρῶτον εἰς Συρακούσας κομίσαι ἐξ Ἰταλίας. εἴη ἂν οὖν ὁ παρὰ Σικελιώταις γλυκὺς καλούμενος Πόλλιος ὁ Βίβλινος οἶνος. ἐν τῷ χρησμῷ, φησὶν, ὁ θεὸς ηὐτομάτισε

Πῖν' οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις,

---

κοκκύζει] κοκκίζει BCD. Ἀχαιὸς] ἀχαιοὶ BCD.

31 a. Βιβλίνου Casaubonus. βιβλίου VL. μέθυος Casaubonus. μέθης VL. μέθους BD. Mirer ego si C cum VL hic consentiat. καλεῖται δὲ οὕτως] καλεῖτο δ' οὕτως B. ἐκαλεῖτο? φησὶ δὲ BCD. φησὶ δὲ καὶ VL. Φιλύλλιος Ruhnkenius ad Timaeum p. 167. φιλυανὸς BCD. φιλῖνος VL. In Philyllii verbis trium senariorum reliquias agnosco, primi Παρέξω Λέσβιον, secundi Χῖον — Βίβλινον, tertii Μενδαῖον — κραιπαλᾶν. σαπρὸν C. Πασ * V. „H. Stephanus compendium veteris codicis, quem Romae diligenter contulit cum editis, σαπρὸν significare existimabat.“ Casaubonus p. 70. σα πξ R. πα B, quomodo in D scriptum esse videtur, ex quo Villebrunius παξ attulit. Turnebi editio Πάσσαπρον. μηδένα clare scriptum in B, compendiose in C. Legebatur μηδὲν. αὖθις Τισάρην] Ἀντισάρην ἢ Τισάρην Casaubonus. Ἀντισάρην Berkelius ad Stephanum Byzant. in Ἀντίσαρα.

31 b. τὰ πλησίον] τὰ ἀπὸ πλησίον C. Νῆες] Iliad. η, 467. Ἵππυς B. Legebatur Ἱππίας. Συρακοσίων] Scribebatur Συρακουσίων. Συρακούσας] συρακόσας C. οἶνος. ἐν τῷ χρησμῷ φησὶν ὁ θεὸς ηὐτομάτισεν πῖν' C. Legebatur οἶνος. χρησμός Πῖν'.

c οὐδ' ἱερὰν Ὑπέραν, ὅθι κ' ἄτρυγον οἶνον ἔπινες.

ὠνομάζετο δὲ παρὰ Τροιζηνίοις, ὥς φησιν Ἀριστοτέλης ἐν τῇ αὐτῶν πολιτείᾳ, ἄμπελος Ἀνθηδονιὰς καὶ Ὑπεριὰς ἀπὸ Ἄνθου τινὸς καὶ Ὑπέρου, ὡς καὶ Ἀλθηφιὰς ἀπὸ Ἀλθηφίου τινός, ἑνὸς τῶν Ἀλφειοῦ ἀπογόνων.

57. Ἀλκμὰν δέ που ἄπυρον οἶνον καὶ ἄνθεος ὀσδοντά φησι τὸν ἐκ Πέντε λόφων, ὅς ἐστι τόπος Σπάρτης ἀπέχων στάδια ἑπτά· καὶ τὸν ἐκ Δενθιάδων, ἐρύματός τινος, καὶ τὸν ἐκ Καρύστου, ὅς ἐστι πλησίον Ἀρκαδίας, καὶ τὸν ἐξ Οἰνοῦντος, καὶ τὸν ἐξ Ὀνόγλων καὶ Σταθμῶν.
d χωρία δὲ ταῦτα τὰ καὶ πλησίον Πιτάνης. φησὶ γοῦν „Οἶνον δ' Οἰνουντιάδην, ἢ Δένθιν, ἢ Καρύστιον, ἢ Ὄνογλιν, ἢ Σταθμίταν.“ ἄπυρον δὲ εἶπε τὸν οὐχ ἑψημένον· ἐχρῶντο γὰρ ἑφθοῖς οἴνοις. Πολύβιος δὲ διάφορον οἶνον ἐν Καπύῃ φησὶ γίνεσθαι τὸν ἀναδενδρίτην καλούμενον, ᾧ μηδένα συγκρίνεσθαι. Ἀλκίφρων δ' ὁ Μαιάνδριος περὶ τὴν Ἐφεσίαν φησὶν εἶναι ὀρείαν κώμην, τὴν πρότερον μὲν καλουμένην Λητοῦς, νῦν δὲ Λατωρείαν, ἀπὸ Λατωρείας Ἀμα-
e ζόνος· ἐν ᾗ γίνεσθαι τὸν Πράμνιον οἶνον. Τιμαχίδας δὲ ὁ Ῥόδιος ὑπόχυτον τινὰ οἶνον ἐν Ῥόδῳ καλεῖ, παραπλήσιον

---

31 c. ὅθι κ' Schweigh. ὅθι τ' Suidas in Ἀλθηφιάς. Legebatur ὅθι γ'. τῇ αὐτῶν] τῇ αὐτοῦ B. Ἄνθου] Suidas, Ἀνθηδόνιος: ἀπὸ Ἀνθηδόνος οἶνος. Idem, Ἀλθηφιάς: ἡ ἄμπελος, ἀπὸ Ἀλθηφίου τινος. καὶ Ἀνθηδονιὰς καὶ Ὑπεριὰς ἀπὸ Ὑπέρου καὶ Ἀνθηδόνος. Χρησμὸς, Πῖν' — ὅθι τ' ἄτρυγον οἶνον ἔπινες. ἄνθεος ὄσδοντα ex Alcmane affert Eustathius p. 1449, 12. 1633, 51. στάδια C. Legebatur σταδίους. ἑπτά] ξ C. Voluit opinor ζ. καὶ (καὶ om. D.) τὸν ἐκ Καρύστου, ὅς ἐστι πλησίον Ἀρκαδίας huc transposuit Porsonus. Legebantur post Σταθμῖταν.

31 d. φησὶ γοῦν] Legebatur φησὶν οὖν. Οἰνουντιάδην] οἰνουντιάδα B. καρύστιον BCD. παρύστιον VL. Ὄνογλιν] „Hesychius Ὀνιγλιν (Ὀνίγλη Musurus) εἶδος οἴνου, accentu tantum male collocato. Utra scriptura rectior sit, per ι an ο, nescio.“ Porson. Πολύβιος] In fragm. lib. XXXIV. cap. 11, 1. vol. IV. p. 648. Schweigh. ἀναδενδρίτην] ἀνάδριτην B et alteruter librorum CD. Λητοῦς BD et Eustathius p. 871, 25. λητουί aut simile quid C. λητουΐδα V. Λητοΐδα L. νῦν δὲ om. C. Λατωρείαν — Λατωρείας] Λατόρειαν — Λατορείας Eustathius.

31 e. πράμνιον BC. πρύμνειον VL et Eustathius.

τῷ γλυκεῖ. καὶ γλύξις δ' οἶνος καλεῖται ὁ τὸ ἕψημα ἔχων. Πολύζηλος δὲ αὐτίτην καλεῖ οἶνον. Πλάτων δ' ὁ κωμικὸς καπνίαν· κάλλιστος δ' οὗτος γίνεται ἐν Βενεβεντῷ, πόλει Ἰταλίας. ἀμφίας δ' οἶνος ὁ φαῦλος καλεῖται παρὰ Σωσικράτει. ἐχρῶντο δ' οἱ ἀρχαῖοι καὶ πώματί τινι ἐξ ἀρωμάτων κατασκευαζομένῳ, ὃ ἐκάλουν τρίμμα. Θεόφραστος δὲ
f ἐν τῇ περὶ φυτῶν ἱστορίᾳ φησὶν ἐν Ἡραίᾳ τῆς Ἀρκαδίας γίνεσθαι οἶνον ὃς τοὺς μὲν ἄνδρας πινόμενος ἐξίστησι, τὰς δὲ γυναῖκας τεκνούσσας ποιεῖ. περὶ δὲ Κερυνίαν τῆς Ἀχαΐας ἀμπέλου τι γένος εἶναι ἀφ' ἧς τὸν οἶνον ἐξαμβλοῦν ποιεῖν τὰς γυναῖκας τὰς ἐγκύμονας· κἂν τῶν βοτρύων δέ, φησί, φάγωσιν, ἐξαμβλοῦσιν. ὁ δὲ Τροιζήνιος οἶνος ἀγόνους, φησί, ποιεῖ τοὺς πίνοντας. ἐν Θάσῳ δὲ λέγει ὡς αὐτοὶ ποιοῦσιν οἶνόν τινα ὑπνωτικὸν καὶ ἕτερον ἀγρυπνεῖν ποιοῦντα τοὺς πίνοντας.

58. Περὶ δὲ τῆς τοῦ ἀνθοσμίου οἴνου σκευασίας Φανίας ὁ Ἐρέσιός φησι τάδε „Γλεύκει παραχεῖται ἐπὶ χοῦς
32 πεντήκοντα εἷς θαλάσσης, καὶ γίνεται ἀνθοσμίας.“ καὶ πά-

---

γλύξις L. γλύτρις V. τὸ ἕψημα] τὸ ὕψεμα B. Eustathius p. 1385, 14. καὶ τὸ γλυκὺ ἐκ τοῦ γλεῦκος. ὅθεν καὶ γλεῦξις κατὰ Παυσανίαν οἶνος πολὺ ἕψημα ἔχων, ὁ νῦν σίραιος. Vide annotationem. αὐτίτην] „ἀντίτην videtur esse in C.“ Schweigh. ἀντίτην V. Αὐτίτην L. καλεῖ οἶνον BCD. καλεῖ οἶνον ἐν ῥόδῳ VL. Βενεβεντῷ] βενιβέντῳ B. Βενιβεντῷ Suidas in καπνίας et schol. Aristophanis Vesp. 151.

ἀμφίας C. ἄμφι B. Legebatur ἄμφις. Suidas, Ἀμφίας: μέτριος οἶνος. Νικόστρατος Οἰνοποιῷ καὶ Σωσικράτης. ἀμφίας etiam Hesychius.

καλεῖται L. καλεῖσθαι V. κατασκευαζομένῳ] κατασκευαζόμενον B. Θεόφραστος] H. P. IX. 18, 10. p. 324. Schneid.

31 f. Ἡραίᾳ] Ἡρακλείᾳ in Theophrasto; Ἡραίᾳ Aelianus V. H. XIII, 6. τεκνούσσας Brunckius ad Sophoclis Trachin. 308. Scribebatur τεκνούσας. In Theophrasto libri ἀτέκνους. τεκνοποιοὺς Aelianus. Vide annotationem. Κερυνίαν] In Theophrasto libri alii Καρυνίαν, alii Καβυνίαν. Urbinas (vol. V. p. 77.) καμμυνίαν, scriptura inter καμμ et καμβ et καββ ambigua. Κεραυνίαν Aelianus. κἂν] κἂν αἱ κύνες Theophrastus. ὑπνωτικὸν BCD cum Theophrasto. ὑπνητικὸν VL. Φανίας L. φαινίας BV. παραχεῖται BCD; παρεγχεῖται VL. ἐπὶ Turnebus. Legebatur περὶ. χοῦς Porsonus. χόας Turnebus. Legebatur τούς. πεντήκοντα] πέντε Schweigh. qui παρὰ τοὺς πέντε χοῦς εἷς θαλάσσης corrigebat. παρὰ etiam Casaubonus cetera non mutans.

λιν „Ἀνθοσμίας γίνεται ἐκ νέων ἀμπέλων ἰσχυρότερος ἢ ἐκ παλαιῶν." ἑξῆς τέ φησι „Τὰς ὀμφακώδεις συμπατήσαντες ἀπέθεντο καὶ ἀνθοσμίας ἐγένετο." Θεόφραστος δ' ἐν Θάσῳ φησὶ τὸν ἐν τῷ πρυτανείῳ διδόμενον θαυμαστὸν εἶναι τὴν ἡδονήν· ἠρτυμένος γάρ ἐστιν. ἐμβάλλουσι γὰρ εἰς τὰ κεράμια σταῖς μέλιτι φυράσαντες, ὥστε τὴν ὀσμὴν ἀπ' αὐτοῦ, τὴν δὲ γλυκύτητα ἀπὸ τοῦ σταιτὸς λαμβάνειν τὸν οἶνον.
b καὶ ἑξῆς δέ φησιν „Ἐάν τις κεράσῃ σκληρὸν καὶ εὔοσμον μαλακῷ καὶ ἀόσμῳ, καθάπερ τὸν Ἡρακλεώτην καὶ τὸν Ἐρυθραῖον, τοῦ μὲν τὴν μαλακότητα, τοῦ δὲ τὴν εὐοσμίαν παρεχομένου." μυρίνης δὲ οἶνος κεῖται παρὰ Ποσειδίππῳ

Διψηρὸς ἄτοπος ὁ μυρίνης ὁ τίμιος.

καὶ Ἑρμῆς δ' εἶδος πόσεως παρὰ Στράττιδι. Χαιρέας δὲ ἐν Βαβυλῶνι οἶνόν φησι γίνεσθαι τὸν καλούμενον νέκταρ.

Ἦ γὰρ ἔπος τόδ' ἀληθὲς, ὅτ' οὐ μόνον ὕδατος αἶσαν,
c ἀλλά τι καὶ λέσχης οἶνος ἔχειν ἐθέλει.
Οὐ γὰρ ἀπόβλητον Διονύσιον οὐδὲ γίγαρτον

ὁ Κεῖός φησι ποιητής.

---

32 a. ἰσχυρότερος C. ἰσχυρώτερος VL. τὰς ὀμφακώδεις BCD. τοὺς ὀμφακώδεις VL. Θεόφραστος] περὶ ὀσμῶν sect. 51. 52. p. 750. Schneid. τὰ κεράμια BD. τὸ κεράμιον VL. τοὺς κεράμους C. τὴν ὀσμὴν] Recte τὴν μὲν ὀσμὴν in Theophrasto.

32 b. ἐάν τις] Apud Theophrastum, συμβαίνει δὲ τοῦτο καὶ κατὰ τὰς τῶν οἴνων μίξεις, οἷον ἐάν τις —. εὔοσμον recte BV et Theophrastus. ἄοσμον L tacito retentum ab Schweigh. μαλακῷ] μηλ' B. ἀόσμῳ et εὐοσμίαν dedi ex Theophrasto. Legebatur εὐόσμῳ et εὐστομαχίαν. μυρίνης δὲ οἶνος] Legebatur μυρτίτης δὲ ἢ μυρρίνης οἶνος. „*Dubitatio ista orta est ex librariis aut epitomae confectore, non ab Athenaeo, qui scripserat* μυρίνης δὲ οἶνος. *Recte etiam Pollux* μυρίνης VI, 17. *Rem conficit Diphilus* IV. p. 132 c. χαριεῖ πολὺ μᾶλλον ἢ μυρίνην προσεγχέας." Porson. ἄτοπος] ἄποτος Coraës. ὁ μυρίνης Porsonus. Legebatur ὁ μυρρίνης. παρὰ Στράττιδι] Vide X. p. 473 c. Ἦ γὰρ] Ἦν ἄρ' Porsonus. ὅτ' οὐ] ὅτι οὐ B.

32 c. λέσχης L. λεύχης BCDV. Οὐ γὰρ vel οὐδὲν Schweigh. Libri οὐδὲ γάρ. Homericum Iliad. γ, 65. οὔτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικύδεα δῶρα comparat Casaubonus. ὁ Κεῖος ποιητής] Fortasse Simonides. (Fragm. 205. p. 407. Gaisford.) Recte monet Schweigh. tertium tantum versum Simonidis esse videri, priores autem aliunde petitos esse.

59. Τῶν οἴνων ὁ μὲν λευκὸς, ὁ δὲ κιῤῥὸς, ὁ δὲ μέλας. καὶ ὁ μὲν λευκὸς λεπτότατος τῇ φύσει, οὐρητικὸς, θερμὸς, πεπτικός τε ὢν, τὴν κεφαλὴν ποιεῖ διάπυρον· ἀνωφερὴς γὰρ ὁ οἶνος. ὁ δὲ μέλας, ὁ μὴ γλυκάζων, τροφιμώτατος, στυπτικός· ὁ δὲ γλυκάζων καὶ τῶν λευκῶν καὶ τῶν κιῤῥῶν τροφιμώτατος. λεαίνει γὰρ κατὰ τὴν πάροδον, καὶ παχύνων
d τὰ ὑγρὰ μᾶλλον κεφαλὴν ἧττον παρενοχλεῖ. ὄντως γὰρ ἡ τοῦ γλυκέος οἴνου φύσις ἐγχρονίζει περὶ τὰ ὑποχόνδρια καὶ πτυέλου ἐστὶν ἀναγωγὸς, ὡς Διοκλῆς καὶ Πραξαγόρας ἱστοροῦσι. Μνησίθεος δ᾽ ὁ Ἀθηναῖός φησιν „Ὁ μέλας οἶνός ἐστι θρεπτικώτατος, ὁ δὲ λευκὸς οὐρητικώτατος καὶ λεπτότατος, ὁ δὲ κιῤῥὸς ξηρὸς καὶ τῶν σιτίων πεπτικώτερος.“ οἱ δ᾽ ἐπιμελέστερον τεθαλαττωμένοι οἶνοι ἀκραίπαλοί τέ εἰσι
e καὶ κοιλίας λύουσιν, ἐπιδάκνουσί τε τὸν στόμαχον, ἐμφυσήσεις τε ἐνεργάζονται, καὶ συγκατεργάζονται τὴν τροφήν. τοιοῦτος δ᾽ ἐστὶν ὅ τε Μύνδιος καὶ ὁ ἀπὸ Ἁλικαρνασσοῦ. ὁ γοῦν κυνικὸς Μένιππος, ἁλμοπότιν τὴν Μύνδον φησίν. ἱκανῶς δὲ καὶ ὁ Κῶος τεθαλάττωται. καὶ ὁ Ῥόδιος δὲ ἐλάττονος μὲν κεκοινώνηκε θαλάσσης, ὁ δὲ πολὺς αὐτοῦ ἀχρεῖός ἐστιν. ὁ δὲ νησιώτης εἴς τε τοὺς πότους ἐστὶν εὖ πεφυκὼς καὶ πρὸς τὴν καθημερινὴν χρῆσιν οὐκ ἀνοίκειος. ὁ δὲ Κνίδιος αἵματος γεννητικὸς, τρόφιμος, κοιλίαν εὔλυτον κατα-
f σκευάζων· πλείων δὲ πινόμενος ἐκλύει τὸν στόμαχον. ὁ δὲ Λέσβιος στύψιν μικροτέραν ἔχει καὶ μᾶλλον οὐρεῖται. χαριέστερος δ᾽ ἐστὶν ὁ Χῖος, καὶ τοῦ Χίου ὁ καλούμενος Ἀριούσιος. διαφοραὶ δὲ αὐτοῦ εἰσι τρεῖς· ὁ μὲν γὰρ αὐστηρός ἐστιν, ὁ δὲ γλυκάζων, ὁ δὲ μέσος τούτων τῇ γεύσει αὐτόκρατος καλεῖται. ὁ μὲν οὖν αὐστηρὸς εὔστομός ἐστι καὶ μᾶλλον οὐρεῖται, ὁ δὲ γλυκάζων τρόφιμος, πλήσμιος, κοιλίας

---

πεπτικός] πεττικός C. λεαίνει γὰρ] λεαίνει δὲ Schweigh.

32 d. φύσις L. φησὶν V. ἀναγωγὸς] ἀναγωγὴ B. ἀκραίπαλοί τέ εἰσι] ἀκραίπαλοί εἰσι C. κοιλίας BCD. Legebatur κοιλίαν. Vid. ad III. p. 121 d.

32 e. Ἁλικαρνασσοῦ] Scribebatur Ἁλικαρνασοῦ. ἁλμοπότιν] ἁλμόποτιν C. κεκοινώνηκε B et rubro super vulgata scriptura C. Legebatur τετύχηκε. αἵματος] αἵματος χρηστοῦ Schweigh. collata p. 33 a.

32 f. Ἀριούσιος] ἀρυούσιος CD. Ἀρουίσιος Schweigh.

33 *μαλακτικός, ὁ δ' αὐτόκρατος τῇ χρείᾳ μέσος ἐστί. κοινῶς*
*δ' ὁ Χῖος πεπτικὸς, τρόφιμος, αἵματος χρηστοῦ γεννητικὸς,*
*προσηνέστατος, πλήσμιος, διὰ τὸ παχὺς εἶναι τῇ δυνάμει.*
*τῶν δ' οἴνων χαριέστατος ὁ κατὰ τὴν Ἰταλίαν Ἀλβανὸς*
*καὶ ὁ Φαλερνίτης. ὁ δὲ τούτων πεπαλαιωμένος καὶ κεχρονι-*
*κὼς φαρμακώδης ὢν καροῖ λίαν ταχέως. ὁ δὲ Ἀδριανὸς*
*καλούμενος εὔπνους, εὐανάδοτος, ἄλυπος τὸ σύνολον. οἰ-*
*νοποιητέον δὲ αὐτοὺς πρό τινος χρόνου καὶ εἰς ἀναπεπτα-*
b *μένον τόπον θετέον, εἰς τὸ διαπνεῦσαι τὸ παχὺ τῆς δυνάμεως*
*αὐτῶν. χαριέστατος δ' οἶνος εἰς παλαίωσιν ὁ Κερκυραῖος.*
*ὁ δὲ Ζακύνθιος καὶ ὁ Λευκάδιος διὰ τὸ γύψον λαβεῖν καὶ*
*κεφαλὴν ἀδικοῦσιν. ὁ δ' ἀπὸ Κιλικίας Ἀβάτης καλούμενος*
*κοιλίας μόνον ἐστὶ μαλακτικός. Κώῳ δὲ καὶ Μυνδίῳ καὶ*
*Ἁλικαρνασσίῳ καὶ παντὶ τῷ ἱκανῶς τεθαλαττωμένῳ συνᾴδει*
*τὰ σκληρὰ τῶν ὑδάτων, οἷα κρηναῖα καὶ ὄμβρια, ἐὰν ᾖ*
*διυλισμένα καὶ πλείονα χρόνον καθεστάμενα. χρήσιμοι δ'*
c *εἰσὶν οὗτοι Ἀθήνησι καὶ Σικυῶνι· ἐν ταύταις γὰρ σκληρὰ*
*τὰ ὕδατα. τοῖς δὲ θαλασσίοις τῶν οἴνων καὶ τοῖς παρέχουσιν*
*ἱκανωτέραν στύψιν, ἔτι δὲ τῷ Χίῳ καὶ Λεσβίῳ, τὰ ἀποιό-*
*τατα τῶν ὑδάτων εὐθετεῖ.*

60. *Ὦ γλῶσσα, σιγήσασα τὸν πολὺν χρόνον,*
*πῶς δῆτα τλήσει πρᾶγμ' ὑπεξελθεῖν τόδε;*
*ἦ τῆς ἀνάγκης οὐδὲν ἐμβριθέστερον,*
*ὑφ' ἧς τὸ κρυφθὲν ἐκφανεῖς ἀνάκτορον,*

*φησὶ Σοφοκλῆς.*

*Αὐτὸς ἐμαυτοῦ Ἰόλεώς τε καὶ Ἀλκείδης γενήσομαι.* Ὅτι
d *ὁ Μαρεώτης οἶνος ὁ Ἀλεξανδρεωτικὸς τὴν μὲν προσηγορίαν*

---

33 a. *παχὺς* Schweigh. Legebatur *πολὺ*. „*Scripturae compendium quod est in C πολὺς significare potest.*“ Schweigh. *καὶ ὁ* L. *ὁ καὶ ὁ* V. *ὁ καὶ* BCD. *φαλερνίτης* BCD. *φαλέρνος* hoc accentu VL.

33 b. *τὸ παχὺ* BCD et Casauboni *quaedam membranae*. *τὸ πολὺ* VL. *Ἁλικαρνασσίῳ*] Scribebatur *Ἁλικαρνασίῳ*.

33 c. *σκληρὰ* add. L. om. V. *τὰ ὕδατα* BCD. *τὰ τοιαῦτα ὕδατα* VL. *στύψιν ἔτι δὲ τῷ* BCD. *στύψιν τῷ* VL. V. 1. *ὦ γλῶσσα* BCD. *εὖ γλῶσσα* VL. V. 2. *τλήσει*] Scribebatur *τλήσῃ*. *ὑπεξελθεῖν*] Brunckius *ἐπεξελθεῖν*. *Σοφοκλῆς*] Fragm. 38. p. 679. Brunck. *Αὐτὸς — γενήσομαι*] Haec solus habet C in margine interiore rubro adscripta. *Ἰόλεως*] Codex *ἰώλεως*.

ἔχει ἀπὸ τῆς ἐν Ἀλεξανδρείᾳ κρήνης Μαρείας καὶ τῆς παρ' αὐτὴν πόλεως ὁμωνύμου, ἣ πρότερον μὲν ἦν μεγίστη, νῦν δὲ κώμης περιείληφε μέγεθος· τὴν προσηγορίαν λαβοῦσα ἀπὸ Μάρωνος, ἑνὸς τῶν μετὰ Διονύσου τὰς στρατείας πεποιημένων. πολλὴ δὲ ἡ περὶ τὴν γῆν ταύτην ἄμπελος, ἧς καὶ ἡ σταφυλὴ πάνυ βρωθῆναι εὔστομος, καὶ ὁ γινόμενος οἶνος κάλλιστος· λευκός τε γὰρ καὶ ἡδὺς, εὔπνους, εὐανάδοτος, λεπτὸς, κεφαλῆς οὐ καθικνούμενος, διουρητικός.
e τούτου δὲ καλλίων ὁ Ταινιωτικὸς καλούμενος. ταινία δ' ἐστὶν ἐπιμήκης περὶ τοὺς αὐτοὺς τόπους, ἀφ' ἧς οἱ γινόμενοι οἶνοι εἰσὶ μὲν ἠρέμα ὑπόχλωροι, ἐμφαίνοντές τι ἐν αὐτοῖς λιπαρὸν, ὃ κατὰ τὴν τοῦ ὕδατος κρᾶσιν ἀναλύεται κατὰ βραχὺ, ὡς καὶ τὸ μέλι τὸ Ἀττικὸν ἀνακιρνάμενον. οὗτος ὁ Ταινιωτικὸς πρὸς τῷ ἡδὺς εἶναι ἔχει τι καὶ ἀρωματῶδες ἠρέμα ἐπιστῦφον. ἡ δὲ περὶ τὸν Νεῖλον ἄμπελος πλείστη μὲν αὐτὴ,
f ὅσος καὶ ὁ ποταμός. καὶ πολλαὶ τῶν οἴνων αἱ ἰδιότητες κατά τε τὰ χρώματα καὶ τὴν προσφοράν. τούτους δ' ὑπερβάλλει ὁ κατὰ Ἄντυλλαν πόλιν, οὐ μακρὰν οὖσαν Ἀλεξανδρείας, ἧς τοὺς φόρους οἱ τότε βασιλεῖς Αἰγύπτιοί τε καὶ Πέρσαι ταῖς γαμεταῖς ἐδίδοσαν εἰς ζώνας. ὁ δὲ κατὰ τὴν Θηβαΐδα, καὶ μάλιστα ὁ κατὰ τὴν Κόπτον πόλιν, οὕτως ἐστὶ λεπτὸς καὶ ταχέως πεπτικὸς ὡς καὶ τοῖς πυρεταίνουσι διδόμενος μὴ βλάπτειν.

*Σαυτὴν ἐπαινεῖς ὥσπερ Ἀστυδάμας, γύναι.*

14 ἦν δὲ τραγικὸς ποιητὴς ὁ Ἀστυδάμας.

---

33 d. ἔχει B. Legebatur ἔσχεν. κώμης C. Legebatur κώμη. περιείληφε BC. παρείληφε VL. περιειλήφθη D, si Villebrunio fides. μέγεθος CD. με B. μέντοι VL. Eustathius p. 1623, 49. μεγίστη ποτὲ, εἰ καὶ ὕστερον κώμη περιελείφθη. πάνυ βρωθῆναι C. Legebatur βρωθῆναι πάνυ.

33 e. πρὸς τῷ CD. πρὸς τὸ VL. ἐπιστῦφον CD. ἐπιστύφων VL.

33 f. καὶ πολλαὶ τῶν οἴνων αἱ ἰδιότητες L. καὶ πολλοὶ τῶν οἴνων ἰδιάζοντες V. ὁ κατὰ] ὁ om. C. Ἄντυλλαν] Ab aliis scriptoribus Ἄνθυλλα dicitur. λεπτὸς καὶ εὐανάδοτος] λεπτὸς καὶ εὐανάδοτος καὶ λεπτὸς B. ὡς καὶ τοῖς BCD. ὡς τοῖς VL. Σαυτὴν] Philemonis versus apud Suidam in σαυτὴν et alios. Vide Meinekium p. 425.

61. Ὅτι ὁ Θεόπομπος ὁ Χῖος τὴν ἄμπελον ἱστορεῖ εὑρεθῆναι ἐν Ὀλυμπίᾳ παρὰ τὸν Ἀλφειόν· καὶ ὅτι τῆς Ἠλείας τόπος ἐστὶν ἀπέχων ὀκτὼ στάδια, ἐν ᾧ οἱ ἐγχώριοι κατακλείοντες τοῖς Διονυσίοις χαλκοῦς λέβητας τρεῖς κενοὺς παρόντων ἀποσφραγίζονται, καὶ ὕστερον ἀνοίγοντες εὑρίσκουσιν οἴνου πεπληρωμένους. Ἑλλάνικος δέ φησιν ἐν τῇ Πλινθίνῃ πόλει Αἰγύπτου πρώτῃ εὑρεθῆναι τὴν ἄμπελον. διὸ καὶ
b Δίων ὁ ἐξ Ἀκαδημίας φιλοίνους φησὶ καὶ φιλοπότας τοὺς Αἰγυπτίους γενέσθαι· εὑρεθῆναί τε βοήθημα παρ᾽ αὐτοῖς ὥστε τοὺς διὰ πενίαν ἀποροῦντας οἴνου τὸν ἐκ τῶν κριθῶν γενόμενον πίνειν· καὶ οὕτως ἥδεσθαι τοὺς τοῦτον προσφερομένους ὡς καὶ ᾄδειν καὶ ὀρχεῖσθαι καὶ πάντα ποιεῖν ὅσα τοὺς ἐξοίνους γινομένους. Ἀριστοτέλης δέ φησιν ὅτι οἱ μὲν ἀπ᾽ οἴνου μεθυσθέντες ἐπὶ πρόσωπον φέρονται, οἱ δὲ τὸν κρίθινον πεπωκότες ἐξυπτιάζονται τὴν κεφαλήν· ὁ μὲν γὰρ οἶνος καρηβαρικὸς, ὁ δὲ κρίθινος καρωτικός.

c 62. Ὅτι δὲ φίλοινοι Αἰγύπτιοι σημεῖον καὶ τὸ παρὰ μόνοις αὐτοῖς ὡς νόμιμον ἐν τοῖς δείπνοις πρὸ πάντων ἐδεσμάτων κράμβας ἔσθειν ἑφθὰς μέχρι τοῦ δεῦρο παρασκευάζεσθαι. καὶ πολλοὶ εἰς τὰς κατασκευαζομένας ἀμεθύστους προσλαμβάνουσι τὸ τῆς κράμβης σπέρμα. καὶ ἐν ᾧ δ᾽ ἂν ἀμπελῶνι κράμβαι φύωνται, ἀμαυρότερος ὁ οἶνος γίνεται. διὸ καὶ Συβαρῖται, φησὶ Τίμαιος, πρὸ τοῦ πίνειν κράμβας ἤσθιον. Ἄλεξις

Ἐχθὲς ὑπέπινες, εἶτα νυνὶ κραιπαλᾷς.<br>
d κατανύστασον· παύσει γάρ. εἶτά σοι δότω<br>
ῥάφανόν τις ἑφθήν.

---

34 a. Ὅτι ὁ BCD. Aberat ὁ. Conf. III. p. 100 e. 125 a. IV. p. 139 c. στάδια C. Legebatur σταδίους. χαλκοῦς BCD. χαλκοῖς V. χαλκεῖς L. κενοὺς L. καινοὺς BCDV. Πλινθίνῃ] Πλινθύνῃ Eustathius p. 1635, 17. πρώτῃ] πρῶτον Eustathius.

34 b. τε βοήθημα παρ᾽ αὐτοῖς BCD. τε παρ᾽ αὐτοῖς βοήθημα VL. Ἀριστοτέλης] In libro περὶ μέθης. vid. X. p. 447 b. ἐξυπτιάζονται] ἐξυπνιάζονται B.

34 c. μόνοις] μόνου B. ἑφθὰς μέχρι BC. ἑφθὰς καὶ μέχρι VL. ἀμπελῶνι] ἀμπέλῳ C. φύωνται CD. φύονται VL.

34 d. παύσει] Scribebatur παύσῃ. ἑφθὴν L. εὐθὺν V.

Εὔβουλος δέ πού φησι

Γύναι,
ῥάφανόν με νομίσασ' εἰς ἐμὲ σὺ τὴν κραιπάλην
μέλλεις ἀφεῖναι πᾶσαν, ὡς ἐμοὶ δοκεῖς.

ὅτι δὲ τὴν κράμβην ῥάφανον ἐκάλουν οἱ παλαιοὶ Ἀπολλόδωρος δηλοῖ ὁ Καρύστιος

Οἶδ' ὅτι καλοῦμεν ῥάφανον, ἡμεῖς δ' οἱ ξένοι
κράμβην, γυναιξὶ διαφέρειν οἴει δὲ τί;

Ἀναξανδρίδης

Ἐὰν λούσησθε νῦν
ῥάφανόν τε πολλὴν ἐντράγητε, παύσετε
τὸ βάρος, διασκεδᾶτε τὸ προσὸν νῦν νέφος
ἐπὶ τοῦ μετώπου.

Νικοχάρης

Εἰσαύριον ἀντὶ ῥαφάνων ἑψήσομεν
βαλάνιον, ἵνα νῷν ἐξάγῃ τὴν κραιπάλην.

Ἄμφις

Οὐκ ἔστιν, ὡς ἔοικε, φάρμακον μέθης
οὐδὲν τοιοῦτον ὡς τὸ προσπεσεῖν ἄφνω
λύπην τιν'. οὕτως ἐξελαύνει γὰρ σφόδρα
λῆρον ὥστε τὰς ῥαφάνους οὕτω δοκεῖν.

περὶ δὲ τῆς δυνάμεως ταύτης ἣν ἡ κράμβη ποιεῖ ἱστορεῖ καὶ Θεόφραστος, φεύγειν φάσκων καὶ ζῶσαν τὴν ἄμπελον τῆς ῥαφάνου τὴν ὀδμήν.

---

με νομίσασ' BCD. γε κομίσασ' VL. Οἶδ'] εἰ δ' BC. ἡμεῖς] ὑμεῖς Dalecampius. οἴει δὲ τί L. οἴει τι B. οἴῃ δὲ τί V. om. C in quo lacuna post διαφέρειν.

34 e. παύσετε] παύσεται C. Εἰσαύριον δ' Schweigh. βαλάνιον B et Casauboni libri. βαλανεῖον VL. ἵνα νῷν L. ἵν' οὖν V. ἐξάγῃ] Legebatur ἐξάρῃ. λῆρον ὥστε BCD. λήρους (sic) ὥστε V. λήρους ὥστε L. τήνδ' ὥστε λήρους Grotius in Excerptis p. 523., qui hanc Scaligeri emendationem esse ait p. 970. οὕτω] ὄντως Grotius. Θεόφραστος] H. P. IV. 16, 6. p. 173.

# ΕΚ ΤΟΥ Β

35 Τὸ πολὺ τῆς ἡμέρας προσεπιμετρεῖ τῷ ὕπνῳ. οὐκ εἴων με οἱ λόγοι οὓς ἀπεμνημόνευσας, ὄντες ποικίλοι, ὕπνῳ διδόναι σχολήν. οὐκ ἀπὸ σκοποῦ τοξεύειν.

Ὅτι τὸν οἶνον ὁ Κολοφώνιος Νίκανδρος ὠνομάσθαι φησὶν ἀπὸ Οἰνέως·

Οἰνεὺς δ' ἐν κοίλοισιν ἀποθλίψας δεπάεσσιν
οἶνον ἔκλησε.

φησὶ δὲ καὶ Μελανιππίδης ὁ Μήλιος „Ἐπώνυμον δέσποτ' οἶνον Οἰνέως." Ἑκαταῖος δ' ὁ Μιλήσιος τὴν ἄμπελον ἐν
b Αἰτωλίᾳ λέγων εὑρεθῆναι φησὶ καὶ τάδε · „Ὀρεσθεὺς ὁ Δευκαλίωνος ἦλθεν εἰς Αἰτωλίαν ἐπὶ βασιλείᾳ, καὶ κύων αὐτῷ στέλεχος ἔτεκε· καὶ ὃς ἐκέλευσεν αὐτὸ κατορυχθῆναι, καὶ ἐξ αὐτοῦ παῖδα Φύτιον ἐκάλεσε. τούτου δ' Οἰνεὺς ἐγένετο, κληθεὶς ἀπὸ τῶν ἀμπέλων· οἱ γὰρ παλαιοὶ (φησὶν) Ἕλληνες οἴνας ἐκάλουν τὰς ἀμπέλους. Οἰνέως δ' ἐγένετο Αἰτωλός." Πλάτων δ' ἐν Κρατύλῳ ἐτυμολογῶν τὸν οἶνον
c οἰόνουν αὐτόν φησιν εἶναι, διὰ τὸ οἰήσεως ἡμῶν τὸν νοῦν ἐμπιπλᾶν. ἢ τάχα ἀπὸ τῆς ὀνήσεως κέκληται· παρετυμο-

---

Ἀθηναίου ἐκ τοῦ δευτέρου βιβλίου C. ἐκ τοῦ δευτέρου λόγου B, qui mutato numero eandem in relicuorum librorum initiis inscriptionem habet. ἐκ τοῦ βιβλίου δευτέρου V.

35 a. προσεπιμετρεῖ BCDV. προσεπιμετρεῖν L, quae hic interpunctionem delevit, posuit post ποικίλοι. οὐκ ἀπὸ σκοποῦ τοξεύειν addita ex C, in cuius margine rubro scripta leguntur. Νίκανδρος] Fragm. 22. p. 285. Schneid. Affert Suidas in οἶνος. κοίλοισιν] κοίλοις BCD. οἶνον] οἴνην B. Μελανιππίδης] μελανιπίδης B. Μήλιος Fabricius Bibl. Gr. vol. II. p. 129. ed. Harl. Legebatur Μιλήσιος. Vid. ad XIV. p. 651 f. ἐπώνυμον BCDV. Ἐπώνυμος L. ὦ δέσποτ' VL. ὦ om. BCD. In B δέσποτα.

35 b. βασιλείᾳ] βασίλεια BC. αὐτὸ Brunckius. Legebatur αὐτόν. Οἰνεὺς Basil. et L. οἶνος BV. φησὶν om. C. ἐν Κρατύλῳ] P. 406 c. HSt.

λογῶν γὰρ Ὅμηρος τὴν φωνὴν ὧδέ πώς φησιν „Ἔπειτα δὲ καὶ αὐτὸς ὀνήσεαι, αἴ κε πίῃσθα.“ καὶ γὰρ τὰ βρώματα ὀνείατα καλεῖν εἴωθεν ἀπὸ τοῦ ὀνίσκειν ἡμᾶς.

2. Οἶνόν τοι Μενέλαε θεοὶ ποίησαν ἄριστον
θνητοῖς ἀνθρώποισιν ἀποσκεδάσαι μελεδῶνας.

ὁ τῶν Κυπρίων τοῦτό φησι ποιητὴς, ὅστις ἂν εἴη. Δίφιλος δ᾽ ὁ κωμικός φησιν

d Ὦ πᾶσι τοῖς φρονοῦσι προσφιλέστατε
Διόνυσε καὶ σοφώταθ᾽, ὡς ἡδύς τις εἶ·
ὃς τὸν ταπεινὸν μέγα φρονεῖν ποιεῖς μόνος,
τὸν τὰς ὀφρῦς αἴροντα συμπείθεις γελᾶν,
τόν τ᾽ ἀσθενῆ τολμᾶν τι, τὸν δειλὸν θρασύν.

ὁ δὲ Κυθήριος Φιλόξενος λέγει „Εὔρρείτας οἶνος πάμφωνος.“ Χαιρήμων δὲ ὁ τραγῳδὸς παρασκευάζειν φησὶ τὸν οἶνον τοῖς χρωμένοις γέλωτα, σοφίαν, εὐμάθειαν, εὐβουλίαν.
e Ἴων δ᾽ ὁ Χῖός φησιν „Ἄδαμον παῖδα, ταυρωπὸν, νέον οὐ νέον, ἥδιστον πρόπολον βαρυγδούπων ἐρώτων, οἶνον ἀερσίπνοον, ἀνθρώπων πρύτανιν.“ Μνησίθεος δὲ ἔφη

16 Τὸν οἶνον τοὺς θεοὺς

---

35 c. Ὅμηρος] Iliad. ζ, 260. δὲ καὶ] Apud Homerum δέ κ᾽. δὲ καὶ etiam Eustathius p. 640, 63. Οἶνόν τοι] ὁ δὲ Κύπριος ποιητής φησιν οἶνον τοι Suidas in οἶνος. „*In ora antiquorum codd. adscriptum est, testibus Stephano et Levinio*, ὁ τῶν Κυπρίων τοῦτό φησι ποιητὴς, ὅστις ἂν εἴη.“ Casaubonus. Eadem verba in marg. C reperta sunt. Quare post versum alterum inserui.

35 d. V. 1. προσφιλέστατε] προσφιλέστατος C. V. 3. ὃς τὸν — ποιεῖς Lennepius ad Phalarin p. 108. ὅταν — ποιῇς VL. Κυθήριος add. L. om. V. Εὔρρείτας] εὐρείτας C. Χαιρήμων] χωρήμων B. εὐμάθειαν] εὐμαθίαν Grotius in Excerptis p. 849. qui trimetrum fecit γέλωτα — εὐβουλίαν.

35 e. ἀερσίπνοον B et libri Casauboniani. Scribebatur ἀερσίπνουν. ἀερσίνοον Casaubonus. Μνησίθεος] Plura hic turbavit epitome. Nam nec Mnesithei, medici Atheniensis, sunt qui sequuntur versus, sed comici potius, fortasse Alexidis, quae est Schweighaeuseri coniectura ad X. p. 419 c: ubi eiusdem Mnesithei ab Alexide mentio fit: neque obliqua ratione usus esse videtur poeta, quae in versus secundum et decimum quartum illata est, neque εἴρηκέ τισι scripsisse versu 16. Praeterea incertum est utrum extrema illa διὸ καὶ καλεῖσθαι — καλεῖν eiusdem sint an alius poetae verba.

θνητοῖς καταδεῖξαι τοῖς μὲν ὀρθῶς χρωμένοις
ἀγαθὸν μέγιστον, τοῖς δ' ἀτάκτως τοὔμπαλιν.
τροφήν τε γὰρ δίδωσι τοῖσι χρωμένοις
ἰσχύν τε ταῖς ψυχαῖσι καὶ τοῖς σώμασιν·
εἰς τὴν ἰατρικήν τε χρησιμώτατον·
καὶ τοῖς ποτοῖς γὰρ φαρμάκοις κεράννυται
καὶ τοῖσιν ἑλκωθεῖσιν ὠφέλημ' ἔχει.
ἐν ταῖς συνουσίαις τε, ταῖς καθ' ἡμέραν
τοῖς μὲν μέτριον πίνουσι καὶ κεκραμένον,
b εὐθυμίαν· ἐὰν δ' ὑπερβάλῃς, ὕβριν·
ἐὰν δ' ἴσον ἴσῳ προσφέρῃ, μανίαν ποιεῖ·
ἐὰν δ' ἄκρατον, παράλυσιν τῶν σωμάτων.
διὸ καὶ καλεῖσθαι τὸν Διόνυσον πανταχοῦ
ἰατρόν. ἡ δὲ Πυθία
εἴρηκέ τισι Διόνυσον ὑγιάτην καλεῖν.

3. Εὔβουλος δὲ ποιεῖ τὸν Διόνυσον λέγοντα
Τρεῖς γὰρ μόνους κρατῆρας ἐγκεραννύω
τοῖς εὖ φρονοῦσι· τὸν μὲν ὑγιείας ἕνα,

---

36 a. V. 2. θνητοῖς] γρ. θνητῶν E. V. 4. τοῖσι] τοῖς BE. V. 8. ὠφέλημ'] ὠφέλειαν B. ὠφελείαν E. quod metrum feret si ὠφελίαν scripseris.

36 b. V. 11. εὐθυμίαν· ἐὰν Porsonus apud Dobraeum ad Aristoph. Vesp. 97. p. 126. εὐθυμίαν φέρει ἐὰν BCD. εὐθυμίαν φέρει γ' ἐὰν VL. ἐὰν δ' ὑπερβάλῃς] ἐὰν δ' ὑπερβαλεῖς (η) E. ὕβριν] εἰς ὕβριν B. Eustathius p. 1624, 34. λέγει ἐκεῖνος (ὁ Ἀθήναιος) καὶ ὅτι ἐὰν ὑπερβάλῃς τὸν ἐν τῷ κράματι δηλαδὴ οἶνον, εἰς ὕβριν φέρει· ἐὰν δὲ ἴσον ἴσῳ πρόσφέρῃ, μανίαν ποιεῖ· ἂν δ' ἄκρατον, παράλυσιν σωμάτων. διὸ στοχαστέον τοῦ συμμέτρου. οὕτω γὰρ ἂν μὴ βλαπτομένου τοῦ πίνοντος καλῶς ἂν ὁ Διόνυσος καλοῖτο ἰατρὸς, ἔτι δὲ καὶ ὑγείας αἴτιος, καθότι καὶ ἡ Πυθία εἴρηκέ τισι Διόνυσον ὑγιάτην καλεῖν, ὅπερ ἐστὶν αἴνιγμα τοῦ τὸν οἶνον ὑγιαστικὸν εἶναι. V. 12. ἴσον] ἴσον VL. προσφέρῃ] προσφέρει (η) E. V. 13. ἐὰν Brunckius et Porsonus. Libri ἄν. τῶν BCDE. τῶν γε VL. V. 15. Πυθία E. Scribebatur Πυθί': nam trimetrum fecerunt ἰατρόν· ἡ δὲ Πυθί' εἴρηκέν τισι. V. 16. τισι] Atheniensibus, si coniecturam facere licet ex I. p. 22 e. Εὔβουλος] In fabula Διόνυσος ἢ Σεμέλη inscripta, quod coniecit Grotius in Excerptis p. 649. Affert hoc fragmentum Suidas in οἶνος. V. 1. γὰρ] γίνεται C. V. 2. ὑγιείας] Libri ὑγείας. ἕνα] ἕνεκα Suidas.

ὂν πρῶτον ἐκπίνουσι· τὸν δὲ δεύτερον
c ἔρωτος ἡδονῆς τε· τὸν τρίτον δ᾽ ὕπνου,
ὃν ἐκπιόντες οἱ σοφοὶ κεκλημένοι
οἴκαδε βαδίζουσ᾽. ὁ δὲ τέταρτος οὐκ ἔτι
ἡμέτερός ἐστ᾽, ἀλλ᾽ ὕβρεος· ὁ δὲ πέμπτος βοῆς·
ἕκτος δὲ κώμων· ἕβδομος δ᾽ ὑπωπίων·
ὁ δ᾽ ὄγδοος κλητῆρος· ὁ δ᾽ ἔνατος χολῆς·
δέκατος δὲ μανίας, ὥστε καὶ βάλλειν ποιεῖ.
πολὺς γὰρ εἰς ἓν μικρὸν ἀγγεῖον χυθεὶς
ὑποσκελίζει ῥᾷστα τοὺς πεπωκότας.

Ἐπίχαρμος δ᾽ ἔφη

Ἐκ μὲν θυσίας θοίνη * *,
d ἐκ δὲ θοίνης πόσις ἐγένετο. Β. χάριεν, ὥς γέ μοι * *.
Α. ἐκ δὲ πόσιος κῶμος, ἐκ κώμου δ᾽ ἐγένετο θυανία·
ἐκ δὲ θυανίας δίκη [᾽γένετ᾽, ἐκ δίκης δὲ καταδίκη,]
ἐκ δὲ καταδίκης πέδαι τε καὶ σφάκελος καὶ ζημία.

Πανύασις δ᾽ ὁ ἐποποιὸς τὴν μὲν πρώτην πόσιν ἀπονέμει Χάρισιν Ὥραις καὶ Διονύσῳ, τὴν δὲ δευτέραν Ἀφροδίτῃ καὶ πάλιν Διονύσῳ, Ὕβρει δὲ καὶ Ἄτῃ τὴν τρίτην.

---

V. 3. δὲ om. Suidas.

36 c. V. 5. ἐκπιόντες C. ἐκπίνοντες Suidas. Legebatur εἰσπίνοντες. V. 6. τέταρτος BCDE. τέτρατος VL. οὐκ ἔτι Suidas. Libri οὐκ ἔθ᾽. V. 7. ἡμέτερος E in margine et Suidas. ἀμέτερος VL. ἐστ᾽] ἐστιν Suidas. ὕβρεος] Libri ὕβρεως. V. 9. ὁ δ᾽ ὄγδοος Casaubonus. Libri ὄγδοος. κλητῆρος Florens Christianus ad Aristoph. Vesp. v. 1384. Libri κλήτορος. ἔνατος V et Suidas. ἔννατος L. V. 10. δὲ om. Suidas. ὥστε καὶ βάλλειν] ὥστ᾽ ἐκβάλλειν Suidas. V. 11. μικρὸν om. Suidas. δ᾽ ἔφη BCD. δὲ φησὶ VL.

36 d. V. 2. χάριεν ὥς γέ μοι om. Suidas. Excidit fortasse δοκεῖ. V. 3. ἐκ δὲ πόσιος] ἐκ πόσιος Suidas. δ᾽ ἐγένετο om. Suidas. θυανία — θυανίας] θυανεία — θυανείας Suidas. συανία — συανίας cum Casaubono Ruhnkenius ad Timaeum p. 262. comparatis Hesychii glossis συανία et ὑανία. V. 4. ᾽γένετ᾽, ἐκ δίκης δὲ καταδίκη addidit H. Stephanus in Thesaur. p. 8927 B. ed. Lond. V. 5. καταδίκης] δίκης Suidas. σφάκελος] σφάκελλος E. τὴν τρίτην] Post haec in VL sequuntur illa κατὰ γὰρ τὸν Εὐριπίδην, omissis Panyasidis fragmentis quae libro XIII. subiecta sunt in C et epitomes codice Hoescheliano. Primus edidit Hoeschelius ad Ioannis Damasceni orationem (Aug. Vindel. 1588.) p. 95.

Πανύασίς φησι

Πρῶται μὲν Χάριτές τ' ἔλαχον καὶ εὔφρονες Ὧραι
μοῖραν καὶ Διόνυσος ἐρίβρομος, οἵπερ ἔτευξαν.
τοῖς δ' ἔπι Κυπρογένεια θεὰ λάχε καὶ Διόνυσος.
ἔνθα τε κάλλιστος πότος ἀνδράσι γίγνεται οἴνου,
εἴ τις μὲν πίνοι καὶ ἀπότροπος οἴκαδ' ἀπέλθοι
δαιτὸς ἀπὸ γλυκερῆς, οὐκ ἄν ποτε πήματι κύρσαι·
ἀλλ' ὅτε τις μοίρης τριτάτης πρὸς μέτρον ἐλαύνοι,
πίνων ἀβλεμέως, τότε δ' ὕβριος αἶσα καὶ ἄτης
γίγνεται ἀργαλέα, κακὰ δ' ἀνθρώποισιν ὀπάζει.
ἀλλὰ, πέπον, μέτρον γὰρ ἔχεις γλυκεροῖο ποτοῖο,
στεῖχε παρὰ μνηστὴν ἄλοχον, κοίμιζε δ' ἑταίρους·
δείδια γὰρ τριτάτης μοίρης μελιηδέος οἴνου
πινομένης μή σ' ὕβρις ἐνὶ φρεσὶ θυμὸν ἀέρσῃ,
ἐσθλοῖσι ξενίοισι κακὴν ἐπιθεῖσα τελευτήν.
ἀλλὰ πιθοῦ καὶ παῦε πολὺν πότον.

καὶ ἑξῆς περὶ ἀμέτρου οἴνου

Ἐκ γάρ οἱ ἄτης τε καὶ ὕβριος αἶσα ὀπηδεῖ.

κατὰ γὰρ τὸν Εὐριπίδην

Πληγὰς ὁ κῶμος λοίδορόν θ' ὕβριν φέρει.

ὅθεν τινὲς τὴν Διονύσου γένεσιν καὶ τὴν τῆς ὕβρεως κατὰ ταὐτὰ γενέσθαι φασίν.

4. Ἄλεξις δέ πού φησιν ὡς

e Ὁμοιότατος ἄνθρωπος οἴνῳ τὴν φύσιν
τρόπον τιν' ἐστί. τὸν γὰρ οἶνον τὸν νέον

---

Πανύασις] παννύασις C. Schweigh. deleto Πανύασις edidit φησὶ γοῦν. V. 1. Πρῶται] Πρώτην Hoeschelius. εὔφρονες] Scribebatur εὔφρονες. V. 2. οἵπερ] ἥνπερ Hoeschelius. V. 4. πότος] ποτὸς C. γίγνεται] Scribebatur γίνεται hic et v. 9. V. 5. μὲν πίνοι Schweigh. με πίοι C. γε πίοι codex Hoeschelii. V. 7. ἐλαύνοι C. ἐλαύνει codex Hoesch. V. 9. κακὰ C. καλὰ codex Hoesch. V. 14. Libri ἐσθλοῖς ἐν ξενίοισι κακὴν δ' ἐπιθήσεις τελευτήν. Secutus sum Iacobsii emendationem ad Antholog. Palat. p. 667. Aliis fortasse placebit ἐσθλοῖσιν δὲ (s. τε) κακὴν ἐπιθῇ (s. ἐπιθῇς) ξενίοισι τελευτήν. V. 15. ἀλλ' ἄπιθι libri. ἀλλὰ πιθοῦ Meinekius. Ἄλεξις] Stobaeus serm. CXV, 7. vol. III. p. 418. Gaisf. cum lemmate Ἀλέξιδος ἐκ Δημητρίου.

36 e. V. 1. Ὁμοιότατος] ὁμοιότατον Stobaeus. οἴνῳ om. F. V. 2. τὸν γὰρ] καὶ γὰρ Stobaei codex Parisinus.

πολλή 'στ' ἀνάγκη καὶ τὸν ἄνδρ' ἀποζέσαι
πρώτιστον ἀφυβρίσαι τ', ἀπανθήσαντα δὲ
σκληρὸν γενέσθαι, παρακμάσαντα δ' ὧν λέγω
τούτων ἁπάντων ἀπαρυθέντα τὴν ἄνω
ταύτην ἄνοιαν ἐπιπολάζουσαν, τότε
πότιμον γενέσθαι καὶ καταστῆναι πάλιν,
ἡδύν θ' ἅπασι τοὐπίλοιπον διατελεῖν.

κατὰ δὲ τὸν Κυρηναῖον ποιητὴν

f Οἶνός τοι πυρὶ ἶσον ἔχει μένος, εὖτ' ἂν ἐς ἄνδρας
  ἔλθῃ· κυμαίνει δ' οἷα Λίβυσσαν ἅλα
βορρῆς ἠὲ νότος· τὰ δὲ καὶ κεκρυμμένα φαίνει
  βυσσόθεν· ἐκ δ' ἀνδρῶν πάντ' ἐτίναξε νόον.

ἀλλαχοῦ δὲ τοὐναντίον φησὶν Ἄλεξις

Οὐδέν γ' ἔοικ'. ἄνθρωπος οἴνῳ τὴν φύσιν.
ὁ μὲν γὰρ ἀπογηρὰς ἀηδὴς γίγνεται,
οἶνον δὲ τὸν παλαιότατον σπουδάζομεν.
ὁ μὲν δάκνει γάρ, ὁ δ' ἱλαροὺς ἡμᾶς ποιεῖ.

---

V. 3. πολλή γ' ἀνάγκη VL et Stobaeus. πολλή τ' ἀνάγκη BCD. Ergo πολλή 'στ' ἀνάγκη. V. 4. ἀφυβρίσαι τ', ἀπανθήσαντα δὲ Valckenarius ad Herodot. IX, 31. ἀφυβρίσαι τε ἀπανθῆσαι. (ἀπανθίσαι C. ἀπαντοῦσαι E.) πάλιν BCDEV. ἀφυβρίσαι κ' ἀπανθῆσαι πάλιν L. ἀφυβρίσαντ' ἀποινήσαντα δὲ Stobaeus. V. 5. παρακμάσαντα — γενέσθαι om. Stobaeus. V. 7. τότε Boissonadius apud Schweigh. Libri ποτὲ.
V. 8. πότιμον] πότμον B. Κυρηναῖον ποιητὴν] Eratosthenem: vide Stobaeum serm. XVIII, 3. vol. I. p. 361. Gaisf. et qui prima fragmenti verba affert Hesychium in ναρθηκοπλήρωτον. Versibus 1.—3. utitur Clemens Alex. Paedag. II, 2. p. 183.

36 f. V. 1. Οἶνος VL. ὁ οἶνος CDE. τῷ πυρὶ CD et Hesychius. πυρὶ BEV. τε πυρὶ Stobaei editiones veteres. τοι πυρί, quae vera scriptura est, L et Stobaei codices Schowiani quinque. θ' ὃς πυρὶ Clemens. ἐς] εἰς BE. ἄνδρας] ἄνδρα Stobaeus.
V. 3. βορρῆς] βορῆς B. βορέης Clemens. τὰ δὲ καὶ ex Stobaeo et Clementis editionibus repositum. τά δέ τοι VL. τὰ δὲ BCE et Clementis libri duo. φαίνει] πάντα φαίνει Clemens. Ἄλεξις om. B. V. 1. οὐδέν γ' ἔοικ' VL. οὐδὲν ἔοικ' BCDE et Eustathius p. 1449, 23. V. 2. ὁ μὲν γὰρ ἀπογηράσκων libri et Eustathius. ὁ μὲν ἀπογηράσκων γὰρ Grotius in Excerpt. p. 974. ὁ μὲν γὰρ ἀπογηρὰς Elmsleius in Edinburgh Review vol. V. p. 187. ὁ γὰρ ἀπογηράσκων Porsonus ad Aristoph. Nub. 893. p. 34.

Πανύασις δὲ λέγει

37 Οἶνος γὰρ πυρὶ ἶσον ἐπιχθονίοισιν ὄνειαρ
ἐσθλὸν, ἀλεξίκακον, πάσῃ συνοπηδὸν ἀνίῃ.
ἐν μὲν γὰρ θαλίης ἐρατὸν μέρος ἀγλαΐης τε,
ἐν δὲ χοροιτυπίης, ἐν δ' ἱμερτῆς φιλότητος.
τῷ σε χρὴ παρὰ δαιτὶ δεδευμένον εὔφρονι θυμῷ
πίνειν, μηδὲ βορῆς κεκορημένον ἤΰτε παῖδα
ἧσθαι πλημμύροντα λελησμένον εὐφροσυνάων.

καὶ πάλιν

Οἶνος δὲ θνητοῖσι θεῶν πάρα δῶρον ἄριστον,
b ἀγλαός· ᾧ πᾶσαι μὲν ἐφαρμόζουσιν ἀοιδαὶ,
πάντες δ' ὀρχησμοὶ, πᾶσαι δ' ἐραταὶ φιλότητες.
πάσας δ' ἐκ κραδίας ἀνίας ἀνδρῶν ἀλαπάζει,
πινόμενος κατὰ μέτρον· ὑπὲρ μέτρον δὲ χερείων.

5. Τίμαιος δὲ ὁ Ταυρομενίτης ἐν Ἀκράγαντι οἰκίαν τινὰ φησὶ καλεῖσθαι τριήρη ἐξ αἰτίας τοιαύτης. νεανίσκους τινὰς ἐν αὐτῇ μεθυσκομένους ἐς τοσοῦτον ἐλθεῖν μανίας ἐκθερμανθέντας ἀπὸ τῆς μέθης ὡς νομίζειν μὲν ἐπὶ τριήρους πλεῖν,
c χειμάζεσθαι δὲ χαλεπῶς κατὰ τὴν θάλασσαν· καὶ τοσοῦτον ἔκφρονας γενέσθαι ὡς τὰ ἀπὸ τῆς οἰκίας πάντα σκεύη καὶ στρώματα ῥίπτειν ὡς ἐπὶ τὴν θάλασσαν, τὴν ναῦν διὰ τὸν χειμῶνα ἀποφορτίζεσθαι δόξαν αὐτοῖς λέγειν τὸν κυβερνήτην. συναθροιζομένων οὖν πολλῶν καὶ τὰ ῥιπτόμενα διαρ-

---

Panyasidis qui sequuntur versus septem affert Stobaeus XVIII, 22., primos duo Suidas in οἶνος.

37 a. V. 1. Οἶνος] οἶνον B. γὰρ om. BCD. V. 2. ἐσθλὸν] ἐσθλὸν δ' Suidas. πάσῃ — ἀνίῃ libri et Suidas. Recte Stobaeus πάσης — ἀοιδῆς, ubi Valckenarius πάσῃ — ἀοιδῇ. V. 3. ἐρατὸν] ἱερὸν Stobaeus. V. 4. χοροιτυπίης] χοροτυπίης BCD. V. 5. τῷ σε] τῷ δε B. δεδευμένον VL. δεδεμένον BCD. δεδεγμένον Stobaeus. V. 6. βορῆς κεκορημένον] βορῇ κεκακωμένον Stobaeus. παῖδα V cum codicibus. γῦπα L ex Stobaeo. V. 7. λελησμένον] Recte λελασμένον Stobaei editio Schowiana, ex codicibus ut videtur: nam vulgatae λελησμένον.

37 b. V. 1. οἶνος δὲ VL. δὲ om. BCD. ὡς οἶνος Clemens Alex. Strom. VI. p. 742. qui primum et postremum versum affert. V. 4. κραδίης ἀνδρῶν ἀλαπάζει ἀνίας Brunckius in Gnomicis, sono meliore. V. 5. ὑπὲρ μέτρον] ὑπέρμετρος Clemens. Ταυρομενίτης] ταυρομενείτης B. φησὶ] φασὶ B.

παιζόντων οὐδ' ὡς παύεσθαι τῆς μανίας τοὺς νεανίσκους.
καὶ τῇ ἐπιούσῃ τῶν ἡμερῶν παραγενομένων τῶν στρατηγῶν
d ἐπὶ τὴν οἰκίαν ἐγκλιθέντες οἱ νεανίσκοι ἔτι ναυτιῶντες ἀπε-
κρίναντο πυνθανομένων τῶν ἀρχόντων ὑπὸ χειμῶνος ἐνο-
χλούμενοι ἠναγκάσθαι ἀποφορτίσασθαι τῇ θαλάσσῃ τὰ
περιττὰ τῶν φορτίων. θαυμαζόντων δὲ τῶν στρατηγῶν τὴν
ἔκπληξιν τῶν ἀνδρῶν εἷς τῶν νεανίσκων, καίτοι δοκῶν τῶν
ἄλλων πρεσβεύειν κατὰ τὴν ἡλικίαν, Ἐγὼ δ' (ἔφη), ἄνδρες
Τρίτωνες, ὑπὸ τοῦ δέους καταβαλὼν ἐμαυτὸν ὑπὸ τοὺς θα-
λάμους ὡς ἔνι μάλιστα κατωτάτω ἐκείμην. συγγνόντες οὖν
τῇ αὐτῶν ἐκστάσει ἐπιτιμήσαντες μὴ πλείονος οἴνου ἐμφο-
e ρεῖσθαι ἀφῆκαν. καὶ οἳ χάριν ἔχειν ὁμολογήσαντες, Ἂν λι-
μένος (ἔφη) τύχωμεν ἀπαλλαγέντες τοσούτου κλύδωνος, σω-
τῆρας ὑμᾶς ἐπιφανῶς μετὰ τῶν θαλασσίων δαιμόνων ἐν τῇ
πατρίδι ἱδρυσόμεθα, ὡς αἰσίως ἡμῖν ἐπιφανέντας. ἐντεῦθεν
ἡ οἰκία τριήρης ἐκλήθη.

6. Φιλόχορος δέ φησιν ὅτι οἱ πίνοντες οὐ μόνον ἑαυ-
τοὺς ἐμφανίζουσιν οἵτινες εἰσὶν, ἀλλὰ καὶ τῶν ἄλλων ἕκα-
στον ἀνακαλύπτουσι παρρησίαν ἄγοντες. ὅθεν „Οἶνος καὶ
f ἀλήθεια" λέγεται καὶ „Ἀνδρὸς δ' οἶνος ἔδειξε νόον." καὶ
τὸ νικητήριον ἐν Διονύσου τρίπους. καὶ γὰρ ἐκ τρίποδος
λέγειν φαμὲν τοὺς ἀληθεύοντας· δεῖ δὲ νοεῖν τρίποδα τοῦ
Διονύσου τὸν κρατῆρα. ἦν γὰρ τὸ ἀρχαῖον δύο γένη τρι-
πόδων, οὓς καλεῖσθαι λέβητας συνέβαινεν ἀμφοτέρους·
ἐμπυριβήτης ὁ καὶ λοετροχόος. Αἰσχύλος

Τὸν μὲν τρίπους ἐδέξατ' οἰκεῖος λέβης,
ἀεὶ φυλάσσων τὴν ὑπὲρ πυρὸς στάσιν.

---

37 c. ἐγκλιθέντες] Scribebatur ἐγκλινθέντες. ἐγκληνθέντες CD. ἠγληθέντες Schweigh.

37 d. ἔκπληξιν] ἔμπληξιν Courerius apud Schweigh.

37 e. ἔφη] ἔφησαν Schweigh. Οἶνος καὶ ἀλήθεια] Vide inter Theocritea carmen XXIX, 1.

37 f. Ἀνδρὸς] Theognidis v. 500. Bekker. οἶνος add. L. om. BV. ἐμπυριβήτης] Iliad. ψ, 702. λοετροχόος] Iliad. σ, 346. Odyss. θ, 435. Αἰσχύλος] Aeschyli fragmentum et alia ex hoc loco habet Eustathius p. 740, 10. Accusativum casum τρίπουν λέβητα ex Aeschyli Athamante affert Athenaeus VII. p. 316 b. τρίπους] τρίπουν B. οἰκεῖος] οἶκος BCD. ἀεὶ B et Eustathius. Scribebatur αἰεὶ.

38 ὁ δ' ἕτερος κρατὴρ καλούμενος. Ὅμηρος „Ἐπ' ἀπύρους τρίποδας." ἐν τούτοις δὲ τὸν οἶνον ἐκίρνων· καὶ οὗτός ἐστιν ὁ τῆς ἀληθείας οἰκεῖος τρίπους. διὸ Ἀπόλλωνος μὲν οἰκεῖος διὰ τὴν ἐκ μαντικῆς ἀλήθειαν, Διονύσου δὲ διὰ τὴν ἐν μέθῃ. Σῆμος δ' ὁ Δήλιός φησι „Τρίπους χαλκοῦς, οὐχ ὁ Πυθικὸς, ἀλλ' ὃν νῦν λέβητα καλοῦσιν. οὗτοι δ' ἦσαν οἱ μὲν ἄπυροι, εἰς οὓς τὸν οἶνον ἐξεκεράννυον· οἱ δὲ λοετροχόοι, ἐν οἷς τὸ ὕδωρ ἐθέρμαινον, καὶ ἐμπυριβῆ-
b ται. καὶ τούτων ἔνιοι ὠτώεντες, τρίποδα δὲ τὴν ὑπόβασιν ἔχοντες τρίποδες ὠνομάζοντο."

Φησί που Ἔφιππος

Οἴνου σε πλῆθος πόλλ' ἀναγκάζει λαλεῖν.
Β. οὐκοῦν μεθύοντάς φασι τἀληθῆ λέγειν.

Ἀντιφάνης

Κρύψαι, Φειδία,
ἅπαντα τἄλλα τις δύναιτ' ἂν πλὴν δυοῖν,
οἶνόν τε πίνων εἰς ἔρωτά τ' ἐμπεσών.
ἀμφότερα μηνύει γὰρ ἀπὸ τῶν βλεμμάτων
c καὶ τῶν λόγων ταῦθ'· ὥστε τοὺς ἀρνουμένους,
μάλιστα τούτους καταφανεῖς ποιεῖ.

7. Φιλόχορος δέ φησιν Ἀμφικτύονα τὸν Ἀθηναίων βασιλέα, μαθόντα παρὰ Διονύσου τὴν τοῦ οἴνου κρᾶσιν, πρῶτον κεράσαι. διὸ καὶ ὀρθοὺς γενέσθαι τοὺς ἀνθρώπους οὕτω πίνοντας, πρότερον ὑπὸ τοῦ ἀκράτου καμπτομένους· καὶ διὰ τοῦτο ἱδρύσασθαι βωμὸν ὀρθοῦ Διονύσου ἐν τῷ τῶν Ὡρῶν ἱερῷ· αὗται γὰρ καὶ τὸν τῆς ἀμπέλου καρπὸν ἐκτρέφουσι. πλησίον δ' αὐτοῦ καὶ ταῖς Νύμφαις

---

38 a. κρατὴρ B, Eustathius et Brunckius ex D ut videtur. Legebatur ὁ κρατήρ. Ὅμηρος] Iliad. ι, 122. ὁ τῆς] ὅταν B. οἰκεῖος — οἰκεῖος] οἰκείως — οἰκείως C. ἀληθείας οἰκεῖος τρίπους] ἀληθείας τρίπους Brunckius. Σῆμος L. σῖμος BCDV.

38 b. Antiphanis v. 2. ἅπαντα VL. πάντα BCD.

38 c. V. 5. ταῦθ' BCD: quam *lectionem scriptam* dicit Casaubonus. τ' αὖ VL. V. 6. τούτους BCD. ταῦτα VL. καταφανεῖς BCD. καταφανεῖς πολλοῖς VL. Φιλόχορος] Atthidis libro secundo: vid. XV. p. 693 d. ὀρθοῦ Διονύσου L. ὀρθῷ διονύσῳ V. αὗται γὰρ] αὐταὶ γὰρ D. οὗτοι γὰρ C.

d βωμὸν ἔδειμεν, ὑπόμνημα τοῖς χρωμένοις τῆς κράσεως ποιούμενος· καὶ γὰρ Διονύσου τροφοὶ αἱ Μοῦσαι λέγονται. καὶ θεσμὸν ἔθετο προσφέρεσθαι μετὰ τὰ σῖτα ἄκρατον μόνον ὅσον γεύσασθαι, δεῖγμα τῆς δυνάμεως τοῦ ἀγαθοῦ θεοῦ, τὸ δὲ λοιπὸν ἤδη κεκραμένον, ὁπόσον ἕκαστος βούλεται· προσεπιλέγειν δὲ τούτῳ τὸ τοῦ Διὸς σωτῆρος ὄνομα, διδαχῆς καὶ μνήμης ἕνεκα τῶν πινόντων, ὅτι οὕτω πίνοντες ἀσφαλῶς σωθήσονται. Πλάτων δ᾽ ἐν δευτέρῳ Νόμων τὴν τοῦ οἴνου χρῆσίν φησιν ὑγιείας ἕνεκα
e ὑπάρχειν. ἀπὸ τοῦ κατὰ μέθην δὲ καταστήματος καὶ ταύρῳ παρεικάζουσι τὸν Διόνυσον καὶ παρδάλει διὰ τὸ πρὸς βίαν τρέπεσθαι τοὺς ἐξοινωθέντας. Ἀλκαῖος „Ἄλλοτε μὲν μελιαδέος, ἄλλοτε δ᾽ ὀξυτέρου τριβόλων ἀρητυμένοι.“ εἰσὶ δ᾽ οἳ καὶ θυμικοὶ γίνονται· τοιοῦτος δ᾽ ὁ ταῦρος. Εὐριπίδης

Ταῦροι δ᾽ ὑβρισταὶ κεἰς κέρας θυμούμενοι.

f διὰ δὲ τὸ μάχιμον καὶ θηριώδεις ἔνιοι γίνονται· ὅθεν καὶ τὸ παρδαλῶδες.

8. Καλῶς οὖν Ἀρίστων ὁ Κεῖός φησιν ἥδιστον ποτὸν εἶναι τὸν ἅμα μὲν γλυκύτητος, ἅμα δ᾽ εὐωδίας κοινω-

---

38 d. βωμὸν] βωμὸς B. ἔδειμεν] ἔδει B. „ἔδειμ C cum exiguo spatio et mendae nota.“ Schweigh. ποιούμενος] ποιουμένης B. Μοῦσαι] Immo Νύμφαι, quod Schweigh. reposuit: vid. 693. σῖτα] σιτία 693. δυνάμεως L. δυνάμενος V. διδαχῆς καὶ μνήμης Ioann. Levinius apud Casaubon. διὰ καὶ μνήμης V. διὰ . . . καὶ μνήμης L. διαχ καὶ μνήμης C. δευτέρῳ Νόμων] P. 674. ὑγιείας] ὑγίας V. ὑγείας L.

38 e. ἀρητυμένοι B et libri Casauboniani, neque aliter in CD scriptum esse puto, licet ἀρητύμενοι enotatum sit. ἀῤῥητουμένος V. ἀῤῥήτου μένος L. ἀρηρυγμένου Casaubonus comparata Hesychii glossa, Ἀρηρυγμένου: ἀπηντλημένου. ἀρύτω μένος Blomfieldus. Omisit Eustathius, qui p. 1910, 17. ita scribit, κατὰ γὰρ τὴν Ἀλκαίου μοῦσαν ἄλλοτε μὲν μελιαδὴς ὁ οἶνος, ὃ δὴ ἔφη καὶ Ὅμηρος, ἄλλοτε δ᾽ ὀξύτερος τριβόλων. — ὅρα δὲ καὶ τὸ ὀξύτερος τριβόλων, δι᾽ οὗ δηλοῦται ὡς ὁ λεγόμενος κοινῶς ὀξὺς οἶνος τῷ μελιηδεῖ ἀντιδιαστέλλεται. Εὐριπίδης] Bacchar. v. 742. ubi vide Elmsleii annotationem. κεἰς κέρας L. καὶ εἰς κέρας B. καὶ ἐκ κέρας V. εἰς κέρας Eustathius p 1910, 19.

38 f. Κεῖος] κῖος CV. Χῖος L. Vid. ad XIII. p. 563 f. εὐωδίας

νοῦντα. διὸ καὶ τὸ καλούμενον νέκταρ κατασκευάζειν τινὰς περὶ τὸν Λυδίας Ὄλυμπον οἶνον καὶ κηρία συγκιρνάντας
39 εἰς ταὐτὰ καὶ τὰ τῶν ἀνθῶν εὐώδη. οἶδα δ' ὅτι Ἀναξανδρίδης τὸ νέκταρ οὐ ποτὸν, ἀλλὰ τροφὴν εἶναι λέγει θεῶν

Τὸ νέκταρ ἐσθίω πάνυ
μάττων διαπίνω τ' ἀμβροσίαν, καὶ τῷ Διὶ
διακονῶ, καὶ σεμνός εἰμ' ἑκάστοτε
Ἥρᾳ λαλῶν καὶ Κύπριδι παρακαθήμενος.

καὶ Ἀλκμὰν δέ φησι „Τὸ νέκταρ ἔδμεναι αὐτούς." καὶ Σαπφὼ δέ φησιν

Ἀμβροσίας μὲν κρατὴρ ἐκέκρατο,
Ἑρμᾶς δ' ἑλὼν ἔρπιν θεοῖς ᾠνοχόησεν.

b ὁ δ' Ὅμηρος θεῶν πῶμα τὸ νέκταρ οἶδεν. Ἴβυκος δέ φησι τὴν ἀμβροσίαν τοῦ μέλιτος κατ' ἐπίτασιν ἐνναπλασίαν ἔχειν γλυκύτητα, τὸ μέλι λέγων ἔνατον εἶναι μέρος τῆς ἀμβροσίας κατὰ τὴν ἡδονήν.

9. Οὐδεὶς φιλοπότης ἐστὶν ἄνθρωπος κακός.
ὁ γὰρ διμάτωρ Βρόμιος οὐ χαίρει συνὼν
ἀνδράσι πονηροῖς οὐδ' ἀπαιδεύτῳ βίῳ,

φησὶν Ἄλεξις. καὶ ὅτι οἶνος φιλολόγους πάντας ποιεῖ τοὺς πλεῖον πίνοντας αὐτόν. ὁ δὲ ποιήσας τὸ εἰς Κρατῖνον
c ἐπίγραμμά φησιν

---

Villebrunius. Libri εὐδίας. διὸ — εὐώδη] Excerpsit Eustathius p. 1633, 6.

39 a. τὸ νέκταρ — διακονῶ attulit Eustathius p. 1632, 63. V. 1. ἐσθίω πάνυ μάττων Casaubonus. Libri πάνυ μάττων ἐσθίω. V. 3. ἑκάστοτε BCD. ἑκάστοθ' VL. καὶ Ἀλκμὰν] Eustathius p. 1633, 1. Ἀλκμὰν δὲ λέγων τοὺς θεοὺς νέκταρ ἔδμεναι. Σαπφὼ δὲ εἰποῦσα ὡς ἀμβροσίας κρατὴρ ἐκέκρατο, εἰς πόσιν δηλαδὴ, διὸ καὶ ταυτίζουσα τῷ οἴνῳ αὐτὴν ἐπάγει Ἑρμῆς δ' ἑλὼν ἔρπιν θεοῖς ᾠνοχόησεν. ἔστι δὲ ἔρπις αἰγυπτιστὶ ὁ οἶνος, καθὰ καὶ ὁ Λυκόφρων οἶδεν. Ἀμβροσίας] κάδδ' ἀμβροσίας X. p. 425 d. ubi codices κηδαμβροσίας. δ' ἑλὼν] δὲ ἑλὼν 425. δὲ ἑλὼν cum digammo Blomfieldus ad fragm. 56. ἔρπιν BCD. ἕρπεν VL. ὄλπιν 425. θεοῖς delet Blomfieldus. ᾠνοχόησεν C. οἰνοχοήσων VL. ὠνοχότ;ς B. οἰνοχοῆσαι 425.

39 b. ὁ δ' Basil. L. οὐδ' BCDV. ἐνναπλασίαν BCV. ἐννεαπλασίαν L, ἐννυπλυσίονα Eustathius p. 1633, 12. ἔνατον V. ἔννατον L. κατὰ τὴν ἡδονὴν] κατὰ ἡδονὴν B. V. 1. ἐστὶν ἄνθρωπος Casaubonus. Libri ἄνθρωπος ἐστὶ. πλεῖον BC. πλέον VL. ὁ δὲ ποιήσας τὸ εἰς Κρατῖνον ἐπίγραμμα] „In marg. C est nescio

*Οἶνός τοι χαρίεντι πέλει μέγας ἵππος ἀοιδῷ·*
*ὕδωρ δὲ πίνων χρηστὸν οὐδὲν ἂν τέκοις.*
*ταῦτ' ἔλεγεν, Διόνυσε, καὶ ἔπνεεν οὐχ ἑνὸς ἀσκοῦ*
*Κρατῖνος ἀλλὰ παντὸς ὠδωδὼς πίθου.*
*τοιγάρτοι στεφάνων δόμος ἔβρυεν, εἶχε δὲ κιττῷ*
*μέτωπον οἷα καὶ σὺ κεκροκωμένον.*

*Πολέμων φησὶν ἐν Μουνυχίᾳ ἥρωα Ἀκρατοπότην τιμᾶσθαι, παρὰ δὲ Σπαρτιάταις Μάττωνα καὶ Κεράωνα ἥρωας ὑπό τινων μαγείρων ἱδρῦσθαι ἐν τοῖς φειδιτίοις. τιμᾶται*
d *δὲ καὶ ἐν Ἀχαΐᾳ Δειπνεύς, ἀπὸ τῶν δείπνων σχὼν τὴν προσηγορίαν. ἐκ τροφῆς ξηρᾶς οὔτ' ἂν σκώμματα γένοιτο οὔτ' αὐτοσχέδια ποιήματα· ἀλλὰ μὴν οὐδὲ κόμπος οὐδὲ ψυχῆς ἀλαζονεία. καλῶς οὖν ἐν τῷ „Πῇ ἔβαν εὐχωλαὶ ἅς ἐν Λήμνῳ ἠγοράασθε, ἔσθοντες κρέα πολλὰ καὶ πίνοντες οἴνου κρατῆρας ἐπιστεφέας" ἐπεσημήνατο ὁ γραμμα-*
e *τικὸς Ἀρίσταρχος περιγράφειν τὸν στίχον, ὃς ἀπὸ κρεωφαγίας αὐχεῖν ποιεῖ τοὺς Ἕλληνας. οὐ γὰρ ἀπὸ πάσης εὐθυμίας καὶ πληρώσεως τὸ καυχᾶσθαι καὶ σκώπτειν καὶ*

---

*quid: sed videtur voluisse aut debuisse librarius* ζήτει καὶ παρ' Ἀριστοφ. ἐν Ἱππεῦσι. *Vid. schol. ad Equit. v.* 526." Schweigh. „*Ad oram vetustissimi codicis erat adscriptum* τοῦτο δὲ Δημητρίου τοῦ Ἁλικαρνασσέως φασὶν εἶναι." Casaubonus. Alii aliis tribuunt, Nicaeneto, Nicerato, Asclepiadi, Theaeteto: vide annotationem. Receptum est in Anthologiam (Brunck. Anal. I. p. 417.). De scripturae varietate dictum ab Iacobsio ad Anthol. vol. VII. p. 230. et ad Palatinam p. 793.

39 c. V. 1. τοι χαρίεντι] τί χάριεν (χαρίεν CD) BCD. μέγας] ταχὺς Anthologia. V. 2. affert Suidas in ὕδωρ, qui καλὸν pro χρηστόν. V. 3. ἔλεγεν] ἔλεγε B. V. 5. τοιγάρτοι VL. τοιγαροῦν BCD. τοιγὰρ ὑπὸ στεφάνοις Anthologia. δόμος] μέγας Anthologia. μέγαρ' Iacobsius. κιττῷ BCD. κιττῷν V. κιττῶν L. V. 6. μέτωπον] πὰρ μέτωπον B. Schweighaeuseri codex alter τὸ μέτωπον, alter παρ μέτωπον. κεκροκωμένον] νεκροκωμένον B. Μουνυχίᾳ] μουνιχία B. μουνυχίῳ C. Μάττωνα] Δαίτων dicitur IV. p. 173 f. Κεράωνα] Libri κέρδωνα. Correctum ex 173.

39 d. Πῇ ἔβαν] Iliad. Θ, 229. οἴνου κρατῆρας BCD. κρητῆρας οἴνου VL.

39 e. ἀπὸ κρεωφαγίας dedi ex Eustathio p. 1198, 15. Legebatur ὑπὲρ κρεωφαγίας (κρεοφαγίας V.).

γελοιάζειν, ἀπὸ δὲ τῆς ἀλλοιούσης τὴν γνώμην καὶ πρὸς τὸ ψευδὲς τρεπούσης, ἣ γίνεται κατὰ τὴν μέθην.

10. Διὸ Βακχυλίδης φησὶ

Γλυκεῖ' ἀνάγκα
σευομένα κυλίκων θάλπησι θυμόν·
Κύπριδος δ' ἐλπὶς διαιθύσσει φρένας
ἀμμιγνυμένα Διονυσίοισι δώροις·
f ἀνδράσι δ' ὑψοτάτω πέμπει μερίμνας.
αὐτὸς μὲν πόλεων κρήδεμνα λύει,
πᾶσι δ' ἀνθρώποις μοναρχήσειν δοκεῖ.
χρυσῷ δ' ἐλέφαντί τε μαρμαίρουσιν οἶκοι·
πυροφόροι δὲ κατ' αἰγλήεντα πόντον
νῆες ἄγουσιν ἀπ' Αἰγύπτου μέγιστον
πλοῦτον· ὣς πίνοντος ὁρμαίνει κέαρ.

40 Σοφοκλῆς δέ φησι „Τὸ μεθύειν πημονῆς λυτήριον.“ οἱ δ' ἄλλοι ποιηταί φασι τὸν οἶνον „Εὔφρονα καρπὸν ἀρούρης.“ καὶ ὁ τῶν ποιητῶν δὲ βασιλεὺς τὸν Ὀδυσσέα παράγει λέγοντα „Ὃς δέ κ' ἀνὴρ οἴνοιο κορεσσάμενος καὶ ἐδωδῆς πανημέριος πολεμίζῃ, θαρσαλέον νύ οἱ ἦτορ“ καὶ τὰ ἑξῆς.

11. Ὅτι Σιμωνίδης τὴν αὐτὴν ἀρχὴν τίθησιν οἴνου καὶ μουσικῆς. ἀπὸ μέθης καὶ ἡ τῆς τραγῳδίας εὕρεσις
b ἐν Ἰκαρίῳ τῆς Ἀττικῆς εὑρέθη, καὶ κατ' αὐτὸν τὸν τῆς τρύγης καιρόν. ἀφ' οὗ δὴ καὶ τρυγῳδία τὸ πρῶτον ἐκλήθη ἡ κωμῳδία.

---

V. 1. ἀνάγκα BCD. ἀνάγκη VL. V. 2. σευομένα BCD et libri Casauboniani. γευομένα VL. V. 3. δ' ἐλπὶς διαιθύσσει Erfurdtius. Libri ἐλπὶς δ' αἰθύσσει. αἰθύσσει φρένας affert Eustathius p. 1198, 20. V. 4. Scribebatur ἀναμιγνυμένα.

39 f. V. 6. αὐτὸς] αὐτὴ C. κρήδεμνα λύσειν Erfurdtius. Libri κρήδεμνον λύει. V. 8. μαρμαίρουσιν L. μαρμαίρουσ' V. V. 9. πόντον addidit Erfurdtius. V. 10. ἀπ'] ἐπ' BCD. Σοφοκλῆς] Fragm. 39. p. 679. Brunck. In marg. C rubro adscriptum ὡς ὅ γε πίνων (πιὼν Schweigh.), εἰ μὴ γέγηθε, μαίνεται.

40 a. Εὔφρονα καρπὸν ἀρούρης] Iliad. γ, 246. βασιλεὺς om. B relicta lacuna. Ὃς δέ κ' ἀνὴρ] Iliad. τ, 167. κορεσσάμενος] κορεσάμενος B. πανημέριος] ἀνδράσι δυσμενέεσσι πανημέριος Homerus. πανημερίοις B. Libri πολεμίζει. πολεμίζῃ Homerus. Ὅτι — μουσικῆς accesserunt ex marg. C.

*Τὴν παυσίλυπον ἄμπελον δοῦναι βροτοῖς.*
*οἴνου δὲ μηκέτ' ὄντος οὐκ ἔστιν Κύπρις*
*οὐδ' ἄλλο τερπνὸν οὐδὲν ἀνθρώποις ἔτι,*

*Εὐριπίδης ἐν Βάκχαις φησί. καὶ Ἀστυδάμας δέ φησι*

*Θνητοῖσι τὴν ἀκεσφόρον*
*λύπης ἔφηνεν οἰνομήτορ' ἄμπελον.*

c *„Συνεχῶς μὲν γὰρ ἐμπιπλάμενος ἄνθρωπος ἀμελὴς γίγνεται, ὑποπίνων δὲ πάνυ φροντιστικός“ Ἀντιφάνης φησίν.*

*Οὐ μεθύω τὴν φρόνησιν, ἀλλὰ τὸ τοιοῦτον μόνον,*
*τὸ διορίζεσθαι βεβαίως τῷ στόματι τὰ γράμματα,*

*φησὶν Ἄλεξις. Σέλευκος δέ φησι τὸ παλαιὸν οὐκ εἶναι ἔθος οὔτ' οἶνον ἐπὶ πλεῖον οὔτ' ἄλλην ἡδυπάθειαν προσφέρεσθαι μὴ θεῶν ἕνεκα τοῦτο δρῶντας. διὸ καὶ θοίνας καὶ θαλίας καὶ μέθας ὠνόμαζον· τὰς μὲν ὅτι διὰ θεοὺς οἰνοῦσθαι δεῖν ὑπελάμβανον, τὰς δ' ὅτι θεῶν χάριν*
d *ἠλίζοντο καὶ συνῄεσαν. τοῦτο γάρ ἐστι τὸ δαῖτα θάλειαν. τὸ δὲ μεθύειν φησὶν Ἀριστοτέλης τὸ μετὰ τὸ θύειν αὐτῷ χρῆσθαι.*

**12.** *Θεοῖσι μικρὰ θύοντας τέλη,*
*τῶν βουθυτούντων ὄντας εὐσεβεστέρους,*

*Εὐριπίδης φησί. καὶ σημαίνει ὧδε τὸ τέλος τὴν θυσίαν. καὶ Ὅμηρος*

*Οὐ γὰρ ἔγωγέ τι φημὶ τέλος χαριέστερον εἶναι*
*ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα.*

*τελετάς τε καλοῦμεν τὰς ἔτι μείζους καὶ μετά τινος μυστι-*
e *κῆς παραδόσεως ἑορτάς, τῶν εἰς αὐτὰς δαπανημάτων ἕνεκα. τελεῖν γὰρ τὸ δαπανᾶν, καὶ πολυτελεῖς οἱ πολλὰ ἀναλίσκοντες καὶ εὐτελεῖς οἱ ὀλίγα. φησὶν Ἄλεξις*

---

40 b. *ἐν Βάκχαις*] V. 771.

40 c. *γίγνεται*] Scribebatur *γίνεται*. *Οὐ μεθύω*] *οὐ μεθύσκω* vel *οὐδὲ μεθύω* Schweigh. Poterat *οὐχὶ μεθύω*. *τοιοῦτον*] *τοσοῦτον* Casaubonus. *θαλίας* VL. *θαλείας* BCD. *ἠλίζοντο* VL. *εἰλίζοντο* BCD.

40 d. *Θεοῖσι*] *καὶ θεοῖσι μικρὰ χειρὶ* Stobaeus XCVII, 14. qui haec ex Danaë quinque versibus auctiora attulit. *Θεοῖσι μικρὰ θύοντες τέλη* Eustathius p. 892, 39. *σημαίνει* L. *σημείωσαι* V. *Ὅμηρος*] Odyss. ι, 5. *εὐφροσύνη*] *εὐφροσύνην* B.

Τοὺς εὐτυχοῦντας ἐπιφανῶς
δεῖ ζῆν φανερὰν τε τὴν δόσιν τὴν τοῦ θεοῦ
ποιεῖν· ὁ γὰρ θεὸς δεδωκὼς τἀγαθὰ
ὧν μὲν πεποίηκεν οἴεται χάριν τινὰ
ἔχειν ἑαυτῷ· τοὺς ἀποκρυπτομένους δὲ καὶ
μετρίως πράττειν φάσκοντας, ἀχρήστους ὁρῶν,
f ἀνελευθέρως τε ζῶντας, ἐπὶ καιροῦ τινος
λαβὼν ἀφεῖλεθ᾽ ὅσα δεδωκὼς ἦν πάλαι.

13. Τοσαῦτα οἰνολογήσαντος, ἤτοι περὶ οἴνων εἰπόντος. λαφύσσοντος οἴνων ὀνόματα. οὐ χαίρει τῷ πώματι, ἐκ πρώτης ἐθισθεὶς ἀνατροφῆς ὑδροποτεῖν.

Ἡδὺ γάρ ἐστ᾽ ἐν δαιτὶ καὶ εἰλαπίνῃ τεθαλυίῃ
τέρπεσθαι μύθοισιν, ἐπὴν δαιτὸς κορέσωνται,

Ἡσίοδος ἐν τῇ Μελαμποδίᾳ φησίν.

Οὔ τινι ὑμῶν ἐπῆλθε περὶ ὕδατος εἰπεῖν τι, [ἀφ᾽ ὧν καὶ ὁ οἶνος ἀφύεται], καίτοι Πινδάρου τοῦ μεγαλοφωνοτάτου
41 ἄριστον πάντων εἶναι τὸ ὕδωρ φήσαντος. Ὅμηρος μὲν οὖν ὁ θειότατος καὶ τροφιμώτατον αὐτὸ οἶδεν ἐν οἷς αἰγείρων ὑδατοτροφέων ἄλσος λέγει. ἐπαινεῖ δὲ καὶ τὸ

---

40 e. V. 3. θεὸς additum ab Hermanno Elem. doctr. metr. p. 140. V. 4. ὧν μὲν πέπ. Hermannus. τὸν μὲν ὧν πεπ. VL. τῶν μὲν ὧν πεπ. CD. V. 4. τινὰ] τιν᾽ BC. V. 5. ἑαυτῷ] αὐτῷ C. Versus 6. nisi ex duobus versibus contractus est, et πράττειν μετρίως cum Casaubono scribendum et ἀχρήστους mutandum erit, quod non potuit prima syllaba producta efferri.

40 f. V. 7. ἀνελευθέρως Basil. et L. ἀνελευθέρος V. ἀνελευθέρους BC. ἐπὶ] καὶ ἐπὶ C. Τοσαῦτα οἰνολογήσαντος — ὀνόματα accesserunt ex marg. C. οἰνολογεῖν ex *fragmentis lib. II.* memorat Casaubonus (ad I. p. 23 a.) p. 57. λαφύσσοντος] Dubium utrum hoc an λαφύσσονται dare voluerit librarius. ἐκ πρώτης om. B. Ἡδὺ γάρ ἐστ᾽ ἐν VL recte, sed ex coniectura ut videtur. γὰρ om. BCD. ἐστιν ἐν scriptum in BC.: de D non constat. ἡδύ ἐστιν ἐν C rursus in collectione fragmentorum libro XIII. subiecta. τεθαλυίῃ] τεθαλείῃ BCD. μύθοισιν] μύθοις B. ὕδατος CD. ὑδάτων VL. ἀφύεται BCDV. φύεται Basil. L. Totum hoc ἀφ᾽ ὧν καὶ ὁ οἶνος ἀφύεται in sedem alienam immigrasse videtur. ἀφύεται fortasse ex ἀφύσσεται vel λαφύσσεται depravatum: cui coniecturae veri species accedit ex verbis praecedentibus ab C servatis. Casaubonus tres ex libris scripturas affert. ἀφύεται, ἀρύεται, οὐ φύεται. Vide annotationem.

41 a. αἰγείρων] Odyss. ρ, 208. ἄλσος] ἄλγος B.

διαυγὲς αὐτοῦ „Κρῆναι πίσυρες ῥέον ὕδατι λευκῷ.“ τὸ δὲ δὴ κοῦφον καὶ πλείονος τιμῆς ἄξιον ἱμερτὸν καλεῖ. ἱμερτὸν γοῦν φησι τὸν Τιταρήσιον, ὅς τῷ Πηνειῷ συμμίσγεται. καὶ τοῦ ῥυπτικοῦ δὲ ὕδατος μέμνηται· ὃ ἀποδεχόμενος καὶ Πραξαγόρας ὁ Κῷος καλὸν εἶναι λέγει

*Καλὸν ὑπεκπρορέει μάλα περ ῥυπόωντα καθῆραι.*

b διαστέλλει δὲ καὶ γλυκὺ ὕδωρ ἀπὸ πλατέος, τὸν μὲν Ἑλλήσποντον εἶναι λέγων πλατὺν, ὑπὲρ δὲ θατέρου φράζων „Στήσαμεν νῆας ἀγχοῦ ὕδατος γλυκεροῖο.“

14. Οἶδε δὲ καὶ τὴν χλιαροῦ φύσιν πρὸς τὰ τραύματα. τὸν γοῦν Εὐρύπυλον τρωθέντα ἐκ τούτου καταιονᾷ· καίτοι εἰ ἐπισχεῖν ἔδει τὴν αἱμορραγίαν, τὸ ψυχρὸν ἐπιτήδειον ἦν, συστρέφον καὶ συσφίγγον. εἰς δὲ τὸ παρηγορῆσαι τὰς ὀδύνας τῷ θερμῷ ἐπαιονᾷ, θέλγειν δυναμένῳ.
c ἔστι δὲ παρ᾽ αὐτῷ τὸ λιαρὸν θερμόν. ἐναργῶς δὲ τοῦτο δείκνυσιν ἐν τῷ περὶ τῶν Σκαμάνδρου πηγῶν·

*Ἡ μὲν γὰρ (φησὶν) ὕδατι λιαρῷ ῥέει, ἀμφὶ δὲ καπνὸς*
*γίγνεται ἐξ αὐτῆς ὡσεὶ πυρὸς αἰθομένοιο.*

ἆρα δὲ τοῦτο λιαρόν ἐστιν, ἀφ᾽ οὗ πυρὸς ἀτμὶς καὶ καπνὸς ἔμπυρος ἀναφέρεται; περὶ δὲ τῆς ἑτέρας πηγῆς λέγει ὡς θέρους ῥέει εἰκυῖα χαλάζῃ, ἢ χιόνι ψυχρῇ, ἢ ἐξ ὕδατος κρυστάλλῳ. εἰωθὼς δὲ λέγειν καὶ τοὺς νεοτρώτους θερμῷ περιρρεῖσθαι αἵματι ἐπὶ μὲν Ἀγαμέμνονός φησιν

---

Κρῆναι] Odyss. ε, 70. πίσυρες] πίσσυρες BCD. γοῦν] Legebatur οὖν. Τιταρήσιον] τιταρήσιον B. ὅς τῷ Πηνειῷ συμμίσγεται] Iliad. β, 752.

*ὅς ῥ᾽ ἐς Πηνειὸν προΐει καλλίρροον ὕδωρ·*
*οὐδ᾽ ὅ γε Πηνειῷ συμμίσγεται ἀργυροδίνῃ,*
*ἀλλά τέ μιν καθύπερθεν ἐπιρρέει ἠΰτ᾽ ἔλαιον.*

Καλὸν] Odyss. ζ, 87.

41 b. στήσαμεν BC. στῆσαν μὲν VL. Odyss. μ, 305. στήσαμεν ἐν λιμένι γλαφυρῷ εὐεργέα νῆα, ἄγχ᾽ ὕδατος γλυκεροῖο. τὴν χλιαροῦ] τὴν τοῦ χλιαροῦ Brunckius. Εὐρύπυλον] Iliad. λ, 830. καταιονᾷ Brunckius. καταιονεῖ VL. καταιονᾷ superscripto ει C. ἐπαιονᾷ BC et Brunckius. ἐπαιονεῖ VL.

41 c. Ἡ μὲν γὰρ] Iliad. χ, 149. γίγνεται] Scribebatur γίνεται. ἆρα δὲ BC. Legebatur ἀρά γε. θέρους B. Scribebatur θέρεος. Iliad. χ, 151. ἡ δ᾽ ἑτέρη θέρεϊ προρέει εἰκυῖα —.

Ὄφρα οἱ αἷμ᾽ ἔτι θερμὸν ἀνήνοθεν ἐξ ὠτειλῆς·

ἐπὶ δὲ τοῦ φεύγοντος μετὰ τὸ βληθῆναι ἐλάφου μεταφράζων φησὶν „Ὄφρ᾽ αἷμα λιαρὸν καὶ γούνατ᾽ ὀρώρῃ.“ Ἀθηναῖοι δὲ μετάκερας καλοῦσι τὸ χλιαρὸν, ὡς Ἐρατοσθένης φησίν. [ὑδαρῆ φησὶ καὶ μετάκερας.]

15. Τῶν δ᾽ ἄλλων ὑδάτων τὰ μὲν ἐκ πετρῶν φερόμενα δνοφερὰ καλεῖ, ὡς ἀχρεῖα δηλονότι· τὰ δὲ κρηναῖα καὶ
e διὰ πλείονος γῆς καὶ εὐκάρπου φερόμενα τῶν ἄλλων προκρίνει, ὡς καὶ Ἡσίοδος

Κρήνης ἀενάου καὶ ἀπορρύτου, ἥ τ᾽ ἀθόλωτος.

καὶ Πίνδαρος

Μελιγαθὲς ἀμβρόσιον ὕδωρ
Τιλφώσσας ἀπὸ καλλικρήνου.

κρήνη δ᾽ ἐν Βοιωτίᾳ ἡ Τιλφῶσσα· ἀφ᾽ ἧς Ἀριστοφάνης φησὶ Τειρεσίαν πιόντα διὰ γῆρας οὐχ ὑπομείναντα τὴν ψυχρότητα ἀποθανεῖν. Θεόφραστος δέ φησιν ἐν τῷ περὶ
f ὑδάτων τὸ Νείλου ὕδωρ πολυγονώτατον καὶ γλυκύτατον· διὸ καὶ λύειν τὰς κοιλίας τῶν πινόντων μίξιν ἔχον λιτρώδη. ἐν δὲ τῷ περὶ φυτῶν ἐνιαχοῦ φησιν ὕδωρ γίνεσθαι παιδογόνον, ὡς ἐν Θεσπιαῖς· ἐν Πύρρᾳ δὲ ἄγονον. καὶ τῶν γλυκέων δέ φησιν ὑδάτων ἔνια ἄγονα, ἢ οὐ πολύγονα, ὡς

---

41 d. Ὄφρα οἱ] Iliad. λ, 266. αἷμ᾽ ἔτι θερμὸν L. αἷμα θερμὸν BV. ἀνήνοθεν] ἀνήνηθεν B. Ὄφρ᾽ αἷμα] Iliad. λ, 477. ὀρώρῃ BCD cum Homero. ὀρώρει VL. μετάκερας] III. p. 123 e. ὑδαρῆ BCD. ὑδαρὲς VL. δνοφερὰ] Iliad. ι, 15. π, 4.

41 e. τὰ δὲ κρηναῖα] Odyss. ε, 70. Ἡσίοδος] Ἔργ. 593. ἀενάου L. ἀεννάου BCDV. Πίνδαρος] Fragm. 211. p. 663. Boeckh. Ἀριστοφάνης] Eadem tradit Eustathius p. 1263, 45. 1668, 7. Θεόφραστος] Vol. V. p. 193. — 196.

41 f. τὸ Νείλου] Eustathius p. 1499, 59. ἀρκέσει δὲ πρὸς τὸ παρὸν ἐν μετρίῳ φάναι ὅτι τε τὸ Νειλῷον ὕδωρ πολυγονώτατον καὶ γλυκύτατον, εἰ καὶ μὴ πᾶν γλυκὺ ὕδωρ πολύγονόν ἐστιν, ἀλλ᾽ ἔνια τῶν γλυκέων ὑδάτων καὶ ἄγονα. καὶ ὅτι λύει τὰς κοιλίας τῶν πινόντων μίξιν ἔχον νιτρώδη. ἔχον L et Eustathius. ἔχοντα BCDV. λιτρώδη BCD. νιτρώδη VL. περὶ φυτῶν] IX, 18. p. 324. Schneid. παιδογόνον Theophrastus, qui γυναιξὶ addit. Legebatur παιδογόνιον. παιδογονίας C. παιδογόνον in compendiosa libri D scriptura agnoscit Schweigh. Legit hoc in suo libro Eustathius p. 1042, 2.

42 τὸ ἐν Φέτῳ καὶ τὸ ἐν Πύρρᾳ. αὐχμῶν δέ ποτε γενομένων
περὶ τὸν Νεῖλον ἐρρύη τὸ ὕδωρ ἰῶδες καὶ πολλοὶ τῶν
Αἰγυπτίων ἀπώλοντο. μεταβάλλειν τέ φησιν οὐ μόνον τὰ
πικρὰ τῶν ὑδάτων, ἀλλὰ καὶ τὸ ἁλυκὸν καὶ ὅλους ποταμούς,
καθὰ τὸν ἐν Καρίᾳ, παρ᾽ ᾧ Ζηνοποσειδῶνος ἱερόν
ἐστιν. αἴτιον δὲ τὸ πολλοὺς κεραυνοὺς πίπτειν περὶ τὸν
τόπον.

16. Ἄλλα δὲ τῶν ὑδάτων καὶ σωματώδη ἐστὶ καὶ ἔχει
ὥσπερ τι βάρος ἐν ἑαυτοῖς, ὡς τὸ ἐν Τροιζῆνι. τοῦτο γὰρ
καὶ τῶν γευομένων εὐθὺς ποιεῖ πλῆρες τὸ στόμα. τὰ δὲ
b πρὸς τοῖς περὶ Πάγγαιον μετάλλοις τοῦ μὲν χειμῶνος τὴν
κοτύλην ἄγουσαν ἔχει ἐνενήκοντα ἕξ, θέρους δὲ τεσσαράκοντα
ἕξ. συστέλλει δὲ αὐτὸ καὶ πυκνοῖ μᾶλλον τὸ ψῦχος.
διὸ καὶ ἐν τοῖς γνώμοσι ῥέον οὐκ ἀναδίδωσι τὰς ὥρας ἐν
τῷ χειμῶνι, ἀλλὰ περιττεύει, βραδυτέρας οὔσης τῆς ἐκροῆς
διὰ τὸ πάχος. καὶ ταὐτὰ περὶ Αἰγύπτου φησίν, ὅπου μαλακώτερος
ὁ ἀήρ. τὸ δὲ ἁλυκὸν ὕδωρ γεωδέστερόν ἐστι
καὶ πλείονος δεῖται κατεργασίας, ὡς καὶ τὸ θαλάσσιον,
θερμοτέραν ἔχον τὴν φύσιν καὶ μὴ ὁμοίως πάσχον. μόνον
c δ᾽ ἀτέραμνον τῶν ἁλυκῶν τὸ τῆς Ἀρεθούσης. χείρω δ᾽
ἐστὶ τὰ βαρυσταθμότερα καὶ τὰ σκληρότερα καὶ τὰ ψυχρότερα
διὰ τὰς αὐτὰς αἰτίας· δυσκατεργαστότερα γάρ ἐστι
τὰ μὲν τῷ πολὺ τὸ γεῶδες ἔχειν, τὰ δὲ ψυχρότητος ὑπερβολῇ.
τὰ δὲ ταχὺ θερμαινόμενα κοῦφα καὶ ὑγιεινά. ἐν

---

42 a. „Φέτῳ καὶ τὸ ἐν Τάῤῥᾳ] *Leg.* Φαιστῷ. *Utrumque Cretae oppidum.*“ Hemsterhus. Φέτῳ] Φείᾳ tacite scripsit Schneiderus ad Theophrast. vol. III. p. 827. qui fortasse Φεᾷ voluit. πύρρᾳ BCD et Casauboniani libri. τάῤῥᾳ VL. αὐχμῶν — ἀπώλοντο] Eustathius p. 830, 14. ὅλους ποταμοὺς] ὅλως ποτμικὸν B. κιθαιρῶνι παρ᾽ BV. Καρίᾳ παρ᾽ Schweigh. qui „*mihi*“ inquit „*perspicuum videtur et extra dubitationem positum eo scripturae nexu, quem C habet, καρίᾳ significari.*“ Κιθαιρῶνι, παρ᾽ ᾧ Ζηνός· καὶ τὸν ἐν Καρίᾳ παρ᾽ L, de qua scriptura vide annotationem. Ζηνοποσειδῶνος Porsonus comparato Machone VIII. p. 337 d. Libri ζηνὸς ποσειδῶνος. περὶ] ἐπὶ C, altero superscripto. ἄλλα BCD. τἄλλα VL. ἐστὶ] Legebatur εἰσί.

42 b. Πάγγαιον] παγαὶ B. ἐνενήκοντα (scribebatur ἐνενήκοντα) ἕξ et τεσσαράκοντα ἕξ litteris expressa in C. αὐτὸ BCD. αὐτὸς V. αὐτὰ L. πυκνοῖ] πυκνεῖ B. ὁμοίως BV. ὅμοιον L.

Κραννῶνι δ᾽ ἐστὶν ὕδωρ ἡσυχῇ θερμὸν, ὃ διατηρεῖ κραθέντα τὸν οἶνον ἐπὶ δύο καὶ τρεῖς ἡμέρας. τὰ δ᾽ ἐπίρρυτα καὶ ἐξ ὀχετοῦ ὡς ἐπίπαν βελτίω τῶν στασίμων, κοπτόμενά τε μαλακώτερα γίνονται. διὰ τοῦτο καὶ τὰ ἀπὸ τῆς
d χιόνος δοκεῖ χρηστὰ εἶναι· καὶ γὰρ ἀνάγεται τὸ ποτιμώτερον καὶ τοῦτο κεκομμένον ἐστὶ τῷ ἀέρι· διὸ καὶ τῶν ὀμβρίων βελτίω· καὶ τὰ ἐκ κρυστάλλου δὲ διὰ τὸ κουφότερα εἶναι· σημεῖον δ᾽, ὅτι καὶ ὁ κρύσταλλος αὐτὸς κουφότερος τοῦ ἄλλου ὕδατος. τὰ δὲ ψυχρὰ σκληρὰ, διότι γεωδέστερα. τὸ δὲ σωματῶδες καὶ θερμανθὲν θερμότερον καὶ ψυχθὲν ψυχρότερόν ἐστι. κατὰ τὴν αὐτὴν δ᾽ αἰτίαν καὶ τὰ ἐν τοῖς ὄρεσι ποτιμώτερα τῶν ἐν τοῖς πεδίοις· ἧττον γὰρ μέμικται τῷ γεώδει. ποιεῖ δὲ τὸ γεῶδες καὶ τὰς
e ἐπιχροὰς τῶν ὑδάτων. τὸ γοῦν τῆς ἐν Βαβυλῶνι λίμνης ἐρυθρὸν γίνεται ἐπί τινας ἡμέρας· τὸ δὲ τοῦ Βορυσθένους κατά τινας χρόνους ἰοβαφὲς, καίπερ ὄντος καθ᾽ ὑπερβολὴν λεπτοῦ· σημεῖον δὲ, τοῦ Ὑπάνιος ἐπάνω γίνεται διὰ κουφότητα τοῖς βορείοις.

17. Πολλαχοῦ δ᾽ εἰσὶ κρῆναι αἱ μὲν ποτιμώτεραι καὶ οἰνωδέστεραι, ὡς ἡ περὶ Παφλαγονίαν, πρὸς ἥν φασι τοὺς ἐγχωρίους ὑποπίνειν προσιόντας, ἁλμώδεις δ᾽ ἅμα τῷ ὀξεῖ ἐν Σικανοῖς τῆς Σικελίας. ἐν τῇ Καρχηδονίων δὲ ἐπικρα-
f τείᾳ κρήνη ἐστὶν ᾗ τὸ ἐφιστάμενον ἐλαίῳ ἐστὶν ὅμοιον, μελάντερον τὴν χρόαν· ὃ ἀποσφαιροῦντες χρῶνται πρὸς τὰ πρόβατα καὶ τὰ κτήνη. καὶ παρ᾽ ἄλλοις δ᾽ εἰσὶ λίπος ἔχουσαι τοιοῦτον ὡς ἡ ἐν Ἀσίᾳ, ὑπὲρ ἧς Ἀλέξανδρος ἐπέστειλεν ὡς ἐλαίου κρήνην εὑρηκώς. καὶ τῶν θερμῶν δ᾽ ἐκ
43 φύσεως ὑδάτων ἔνια γλυκέα ἐστὶν, ὡς τὰ ἐν Αἰγαῖς τῆς Κιλικίας καὶ περὶ Παγασὰς, τά τ᾽ ἐν τῇ Τρωικῇ Λαρίσσῃ,

---

42 c. *Κραννῶνι*] *Κράνωνι* Brunckius, fortasse ex D. *Κρανῶνι* Schneiderus p. 195. *θερμὸν* BCD. *θερμαῖνον* VL. *καὶ τὰ ἀπὸ*] *καὶ ἀπὸ* B.

42 e. *Βαβυλῶνι — Βορυσθένους*] Eustathius p. 830, 13. *σημεῖον*] In C compendium quo *σημείωσαι* indicatur. *δὲ τούτου, τὸ ἐπάνω Ὑπάνιος νήχεσθαι, γίνεται* L contra codices. *τοῖς βορείοις* BCD. *τὴν ἐν τοῖς βορείοις* VL. *φασι* BCD. *φησι* VL.

43 a. *Αἰγαῖς τῆς Κιλικίας*] *αἰγαῖς κιλικίας* B. *παγασσὰς* CD. *τραγάσὰς* VL. Dedi *Παγασὰς*. *τά τ᾽ ἐν* Casaubonus. Libri *τὰς ἐν*.

καὶ περὶ Μαγνησίαν καὶ ἐν Μήλῳ καὶ Λιπάρᾳ· ἐν δὲ Προύσῃ τῇ πρὸς τὸν Μύσιον Ὄλυμπον τὰ βασιλικὰ καλούμενα. τὰ δ' ἐν Ἀσίᾳ περὶ Τράλλεις καὶ τὸν Χαρακωμήτην ποταμὸν, ἔτι δὲ Νῦσαν πόλιν, οὕτως ἐστὶ λιπαρὰ ὡς μὴ δεῖσθαι τοὺς ἐναπολουμένους ἐλαίου. τοιαῦτα καὶ τὰ ἐν Δασκύλου κώμῃ. τὰ δ' ἐν Καρούροις κατάξηρα καὶ σφόδρα θερμά· τὰ δὲ περὶ Μηνὸς κώμην, ἥ ἐστι Φρυγίας, τραχύτερά ἐστι καὶ λιτρωδέστερα, ὡς καὶ τὰ ἐν τῇ
b καλουμένῃ Λέοντος κώμῃ τῆς Φρυγίας. τὰ δὲ περὶ Δορύλαιον καὶ πινόμενά ἐστιν ἥδιστα· τὰ γὰρ περὶ Βαΐας ἢ Βαΐου λιμένα τῆς Ἰταλίας παντελῶς ἄποτα.

18. Σταθμήσας τὸ ἀπὸ τῆς ἐν Κορίνθῳ Πειρήνης καλουμένης ὕδωρ κουφότερον πάντων εὗρον τῶν κατὰ τὴν Ἑλλάδα. οὐ γὰρ Ἀντιφάνει τῷ κωμικῷ πεπίστευκα λέγοντι κατὰ πολλὰ τὴν Ἀττικὴν διαφέρουσαν τῶν ἄλλων καὶ ὕδωρ κάλλιστόν ἔχειν. φησὶ γὰρ

Οἷα δ' ἡ χώρα φέρει
διαφέροντα τῆς ἁπάσης, Ἱππόνικ', οἰκουμένης,
c τὸ μέλι, τοὺς ἄρτους, τὰ σῦκα. B. σῦκα μὲν νὴ τὸν Δία
πάνυ φέρει. A. βοσκήματ', ἔρια, μύρτα, θυμιάματα,
πυρούς, ὕδωρ διαφέρον,
ὥστε καὶ γνοίην ἂν εὐθὺς Ἀττικὸν πίνων ὕδωρ.

τὸ ὕδωρ ποταμοῦ σῶμά φησί που Εὔβουλος ὁ κωμῳδιοποιὸς εἰρηκέναι Χαιρήμονα τὸν τραγικόν·

Ἐπεὶ δὲ σηκῶν περιβολὰς ἠμείψαμεν
ὕδωρ τε, ποταμοῦ σῶμα, διεπεράσαμεν.

---

Προύσῃ τῇ] π τῇ B. βασιλικὰ] βαρβαρικὰ B. τράλλεις BCD. τράλλις VL. Νῦσαν] Scribebatur Νύσσαν. ἐναπολουμένους BV. ἐμπολαυομένους L. καὶ τὰ ἐν τῇ] καὶ ἐν τῇ B.

43 b. Δορύλαιον Casaubonus. Libri δουύλαιον. Βαΐας L. βαΐαος V. βαΐου BCD. βαΐῳ V. Βαΐων L. V. 1. — 3. Οἷα — φέρει ex Antiphanis Ὁμωνύμοις affert III. p. 74 d. V. 2. Legebatur διαφέροντα πάσης (πᾶσιν Meinekius p. 7.), Ἱππόνικε, τῆς οἰκουμένης. Correxit Porsonus.

43 c. V. 4. θυμιάματα Porsonus. Libri θύματα. V. 5. πυροὺς BCD. τυροὺς VL. ὕδωρ δὲ διαφέρον Porsonus. κωμῳδιοποιὸς Schweigh. editio. κωμῳδοποιὸς VL. κωμικὸς B. Perturbavit

καὶ ἡμῶν δὲ πᾶσα δύναμις ἐξ ὑδάτων ἄρδεται. ἐν Τήνῳ χρήνη ἐστὶν ἧς τῷ ὕδατι οἶνος οὐ μίγνυται. Ἡρόδοτος δὲ ἐν τετάρτῃ τὸν Ὕπανίν φησιν ἀπὸ μὲν τῶν πηγῶν φερό-
d μενον ἐπὶ πέντε ἡμέρας βραχὺν εἶναι καὶ γλυκὺν, μετὰ δὲ ἄλλων τεσσάρων ἡμερῶν πλόον πικρὸν γίνεσθαι, ἐκδιδούσης εἰς αὐτὸν κρήνης τινὸς πικρᾶς. Θεόπομπος δέ φησι περὶ τὸν Ἐριγῶνα ποταμὸν ὀξὺ εἶναι ὕδωρ καὶ τοὺς πίνοντας αὐτὸ μεθύσκεσθαι, καθὰ καὶ τοὺς τὸν οἶνον.

19. Ἀριστόβουλος δ᾽ ὁ Κασανδρεύς φησιν ἐν Μιλήτῳ κρήνην εἶναι Ἀχίλλειον καλουμένην, ἧς τὸ μὲν ῥεῦμα εἶναι γλυκύτατον, τὸ δ᾽ ἐφεστηκὸς ἁλμυρόν· ἀφ᾽ ἧς οἱ Μιλήσιοι περιρρᾶνασθαί φασι τὸν ἥρωα, ὅτε ἀπέκτεινε Τράμβη-
e λον τὸν τῶν Λελέγων βασιλέα. φασὶ δὲ καὶ ὅτι τὸ περὶ Καππαδοκίαν ὕδωρ πολύ τε ὂν καὶ κάλλιστον οὐ σήπεται ἀπόρρυσιν οὐκ ἔχον, πλὴν εἰ μὴ ὑπὸ γῆν ῥέοι. Πτολεμαῖος δὲ ὁ βασιλεὺς ἐν ἑβδόμῳ ὑπομνημάτων ἐπὶ Κορίνθου προάγουσί φησιν ἡμῖν διὰ τῆς Κοντοπορίας καλουμένης κατὰ τὴν ἀκρώρειαν προσβαίνουσιν εἶναι κρήνην νᾶμα ἀνιεῖσαν χιόνος ψυχρότερον· ἐξ ἧς πολλοὺς μὴ πίνειν ἀποπαγήσεσθαι προσδοκῶντας, αὐτὸς δὲ λέγει πεπωκέναι.

---

haec epitome. Athenaeus hoc voluit, opinor, aquam ποταμοῦ σῶμα dixisse Chaeremonem, Ἐπεὶ —. Tum pergit καὶ Εὔβουλος· Ἡμῶν δὲ πᾶσα δύναμις ὑδάτων ἄρδεται: nam ἐξ delendum vidit Schweigh. ἐν Τήνῳ] Stephanus Byzant. in Τῆνος, ubi ope codicis Vratisl. scribendum ἐν Τήνῳ τῇ νήσῳ, et Eustathius p. 343, 10. ἐν τετάρτῃ] Cap. 52.

43 d. πλόον L. πλέον BV. περὶ C. Legebatur παρὰ. Ἐριγῶνα Brunckius. ἐρμιῶ cum scripturae compendio in fine C. ἐριγαιῷ vel simile quid D, itemque B, in quo ω superscriptum. ἐργάνην VL. ἐφεστηκὸς libri et Eustathius p. 343, 6. ὑφεστηκὸς Schweigh.

43 e. Τράμβηλον Eustathius p. 343, 7. Libri στράμβηλον. περὶ Καππαδοκίαν] περὶ καππαδοκίας B. ἀπόρρυσιν Schweigh. ἀπόρρησιν BCD. ἀπόῤῥοιαν VL. Πτολεμαῖος] Eustathius p. 1263, 46. φέρεται δὲ ἱστορία καὶ Πτολεμαῖον ἐπὶ Κορίνθου προάγοντα κρήνῃ περιτυχεῖν ἀναβαλλούσῃ νᾶμα χιόνος ψυχρότερον, ἐξ ἧς πολλοὺς μὴ πίνειν ἀποπαγήσεσθαι προσδοκῶντας, αὐτὸς δὲ λέγει πεπωκέναι. ἡμῖν ex Ptolemaei narratione retinuit, quamvis non conveniens mutatis sequentibus. Κοντοπορίας L. κοντοπορείας V. χιόνος] χειόνος B.

f Φύλαρχος δέ φησιν ἐν Κλείτορι εἶναι κρήνην ἀφ' ἧς τοὺς πιόντας οὐκ ἀνέχεσθαι τὴν τοῦ οἴνου ὀδμήν. Κλέαρχός φησι τὸ μὲν ὕδωρ ὥσπερ καὶ τὸ γάλα λευκὸν λέγεσθαι, οἶνον δὲ καθάπερ καὶ τὸ νέκταρ ἐρυθρόν, μέλι δὲ καὶ ἔλαιον χλωρόν, τὸ δ' ἐκ τῶν μύρων θλιβόμενον μέλαν. Εὔβουλος εὑρετικούς φησι τὸ ὕδωρ ποιεῖν τοὺς πίνοντας αὐτὸ μόνον,

τὸν δ' οἶνον ἡμῶν τῷ φρονεῖν ἐπισκοτεῖν.

τὰ αὐτὰ δ' ἰαμβεῖα καὶ Ὠφελίων φησί.

20. Τοιαῦτα ὥσπερ οἱ ῥήτορες πρὸς ὕδωρ εἰπὼν καὶ
44 βραχὺ ἀναπαυσάμενος αὖθις ἔφη, Ἄμφις ὁ κωμικός πού φησιν

Ἐνῆν ἄρ', ὡς ἔοικε, κἀν οἴνῳ λόγος·
ἔνιοι δ' ὕδωρ πίνοντες εἰσ' ἀβέλτεροι.

Ἀντιφάνης δὲ

Οἴνῳ τὸν οἶνον ἐξελαύνειν,
σάλπιγγι τὴν σάλπιγγα, τῷ κήρυκι τὸν βοῶντα,
κόπῳ κόπον, ψόφῳ ψόφον, τριωβόλῳ δὲ πόρνην,
αὐθαδίαν αὐθαδίᾳ, Καλλίστρατον μαγείρῳ,
στάσιν στάσει, μάχῃ μάχην, ὑπωπίοις δὲ πύκτην,
b πόνῳ πόνον, δίκῃ δίκην, γυναικὶ τὴν γυναῖκα.

Ὅτι καὶ ἐπὶ τοῦ ὕδατος ἔταττον οἱ παλαιοὶ τὸ ἄκρατον. Σώφρων „Ὕδωρ ἄκρατον εἰς τὴν κύλικα."

21. Ὅτι Φύλαρχός φησι Θεόδωρον τὸν Λαρισσαῖον ὑδροπότην γενέσθαι, τὸν ἀλλοτρίως ἀεί ποτε πρὸς Ἀντί-

---

43 f. *Κλείτορι*] *κλίτορι* BC. *οὐκ ἀνέχεσθαι* BC. *οὐκ ἔτ' ἀνέχεσθαι* VL. *μύρων*] *μύρτων* Schweigh. *μόρων* Coraës. *Ὠφελίων* Porsonus (in Miscellaneis Kiddio editis p. 233.), qui MS. scripturam *ὀφελι* (λ) memorat. Legebatur *ὁ Φιλητᾶς*. Porsoni emendationi favet B, qui *ὀφελίτας* praebet. *εἰπὼν* CD et *meliores libri* apud Casaubonum. *εἶπον* VL.

44 a. V. 1. *Οἴνῳ*] *Οἴνῳ δὲ δεῖ* Elmsleius ad Aristoph. Acharn. 717. p. 68. V. 3. *κόπῳ κόπον* legebantur post *ἐξελαύνειν*. Transposuit Elmsleius. *ψόφῳ* BCD. *καὶ ψόφῳ* VL. V. 4. *αὐθαδίαν αὐθαδίᾳ* C. *αὐθάδειαν αὐθαδείᾳ* VL. V. 5. *μάχῃ μάχην* Elmsleius. Libri *μάχην μάχῃ*.

44 b. V. 6. *δίκῃ δίκην* Elmsleius. Libri *δίκην δίκῃ*. *οἱ παλαιοὶ*] *οἱ πολλοὶ* B. Vid. ad 52 b. *Σώφρων*] Eustathius p. 916,

γονον ἐσχηκότα τὸν βασιλέα. φησὶ δὲ καὶ τοὺς Ἴβηρας πάντας ὑδροποτεῖν, καίτοι πλουσιωτάτους ἀνθρώπων ὄντας. μονοσιτεῖν τε αὐτοὺς ἀεὶ λέγει διὰ μικρολογίαν ἐσθῆτάς
c τε φορεῖν πολυτελεστάτας. Ἀριστοτέλης δ᾽ ἢ Θεόφραστος Φιλῖνόν τινα ἱστορεῖ μήτε ποτῷ χρήσασθαί ποτε μήτε ἐδέσματι ἄλλῳ ἢ μόνῳ γάλακτι πάντα τὸν βίον. Πύθερμος δὲ ἐν τοῖς Πειραιῶς τυραννεύουσι καταγράφει καὶ Γλαύκωνα ὑδροπότην. Ἡγήσανδρος δ᾽ ὁ Δελφὸς Ἀγχίμολον καὶ Μόσχον φησὶ τοὺς ἐν Ἤλιδι σοφιστεύσαντας ὑδροποτῆσαι πάντα τὸν βίον, καὶ μόνα σῦκα προσφερομένους οὐδενὸς ἧττον διακεῖσθαι σώμασιν ἐρρωμένους· τὸν δ᾽ ἱδρῶτα αὐτῶν δυσώδη οὕτως ἔχειν ὡς πάντας αὐτοὺς ἐκκλίνειν ἐν τοῖς βαλανείοις. Μάτρις δ᾽ ὁ Ἀθηναῖος ὃν ἐβίω
d χρόνον οὐδὲν ἐσιτεῖτο ἢ μυρρίνης ὀλίγον, οἴνου δὲ καὶ τῶν ἄλλων πάντων ἀπείχετο, πλὴν ὕδατος. ὑδροπότης δ᾽ ἦν καὶ Λάμπρος ὁ μουσικός· περὶ οὗ Φρύνιχός φησι

Λάρους θρηνεῖν, ἐν οἷσι Λάμπρος ἐναπέθνησκεν,
ἄνθρωπος ὢν ὑδατοπότας, μινυρὸς ὑπερσοφιστής,
Μουσῶν σκελετὸς, ἀηδόνων ἠπίαλος, ὕμνος Ἅιδου.

Μάχων δ᾽ ὁ κωμικὸς ὑδροπότου Μοσχίωνος μέμνηται.

---

37. Vid. Valckenar ad Adoniaz. p. 326. Ἴβηρας] Stephanus in Ἰβηρίαι, Φασὶ δ᾽ αὐτοὺς ὑδροποτεῖν, ὡς Ἀθήναιος ἐν δειπνοσοφιστῶν δευτέρῳ· καὶ μονοσιτοῦσι διὰ μικρολογίαν, καὶ ἐσθῆσι κέχρηνται πολυτελεστάταις, ὡς πλουσιώτατοι. Quae apud Constantinum Porphyrogennetam de administrando imperio cap. 23., integro Stephani libro usum, sic scripta sunt, Λέγονται οἱ Ἴβηρες ὑδροποτεῖν, ὡς Ἀθήναιος ἐν δειπνοσοφιστῶν β οὕτω· καὶ τοὺς Ἴβηράς φησιν ὑδροποτεῖν πάντας, καίτοι πλουσιωτάτους πάντων ἀνθρώπων τυγχάνοντας· κέκτηνται γὰρ ἄργυρον καὶ χρυσὸν πλεῖστον· μονοσιτεῖν τε αὐτοὺς ἀεὶ λέγει διὰ μικρολογίαν, ἐσθῆτάς τε φορεῖν πολυτελεστάτας. ἐσθῆτάς τε BCD. ἐσθῆτας δὲ VL.

44 c. Φιλῖνον — γάλακτι] Eustathius p. 916, 43. μήτε ἐδέσματι Eustathius. Legebatur ἢ ἐδέσματι. τυραννεύουσι BCD. τυραννήσασι VL. Ἀγχίμολον — βαλανείοις] Eustathius p. 916, 46. ἐρρωμένους Casaubonus auctore Eustathio. Libri ἐρρωμενεστέρους. Aut ἔχειν in εἶναι mutandum, quae est Eustathii scriptura, aut αὐτῶν delendum.

44 d. μυρρίνης CD. μυρίνης VL. ἄνθρωπος ὢν nescio quis apud Schweigh. Aberat ὤν. μινυρὸς] μίνυρος libri. Μάχων] VI. p. 246 b.

22. Ἀριστοτέλης δ' ἐν τῷ περὶ μέθης φησὶν ὅτι ἁλμυράς τινες προσφερόμενοι τροφὰς ἄδιψοι διέμειναν· ὧν e ἦν Ἀρχωνίδης ὁ Ἀργεῖος. Μάγων δὲ ὁ Καρχηδόνιος τρὶς τὴν ἄνυδρον διῆλθεν ἄλφιτα ξηρὰ σιτούμενος καὶ μὴ πίνων. Πολέμων δ' ὁ Ἀκαδημαϊκὸς ἀρξάμενος ἀπὸ τριάκοντα ἐτῶν ὑδροπότησε μέχρι θανάτου, ὥς ἔφη Ἀντίγονος ὁ Καρύστιος. Διοκλῆ τε τὸν Πεπαρήθιόν φησι Δημήτριος ὁ Σκήψιος μέχρι τέλους ψυχρὸν ὕδωρ πεπωκέναι. αὐτὸς δὲ περὶ αὐτοῦ μάρτυς ἀξιόχρεως Δημοσθένης ὁ ῥήτωρ φάσκων χρόνον τινὰ ὕδωρ μόνον πεπωκέναι. καὶ Πυθέας γοῦν φη- f σιν „Ἀλλὰ τοὺς νῦν δημαγωγοὺς ὁρᾶτε, Δημοσθένη καὶ Δημάδην, ὡς ἐναντίως τοῖς βίοις διάκεινται. ὁ μὲν γὰρ ὑδροποτῶν καὶ μεριμνῶν τὰς νύκτας, ὥς φασιν, ὁ δὲ πορνοβοσκῶν καὶ μεθυσκόμενος κατὰ τὴν ἡμέραν ἑκάστην προγάστωρ ἡμῖν ἐν ταῖς ἐκκλησίαις ἀνακυκλεῖται.“ Εὐφορίων δὲ ὁ Χαλκιδεὺς οὕτω που γράφει „Λασύρτας Λασιώνιος οὐδὲ προσεδεῖτο ποτοῦ καθάπερ οἱ ἄλλοι, οὖρον δὲ προΐετο καθάπερ πάντες ἄνθρωποι. καὶ πολλοὶ διὰ φιλοτιμίαν ἐπεχείρησαν παρατηρῆσαι· καὶ ἀπέστησαν πρὸ τοῦ εὑρεῖν τὸ πραττόμενον. θέρους γὰρ ὥρᾳ καὶ τριακονθήμερον προσεδρεύοντες, καὶ οὐδενὸς μὲν ὁρῶντες ἀπεχόμενον ἁλμυροῦ, τὴν κύστιν δ' αὐτοῦ ἔχοντα, συνεπείσθησαν ἀληθεύειν. ἐχρῆτο δὲ καὶ τῷ ποτῷ, ἀλλ' οὐδὲν ἧττον οὐ προσεδεῖτο τούτου.“

*Μεταλλάξαι βρώματα διάφορα*
*ἔσθ' ἡδὺ (φησὶν Ἀντιφάνης) καὶ τῶν πολλάκις θρυλουμένων*

---

44 e. ἔφη] ἔφην B. Διοκλῆ L. διοκλῆς BV. φησι] φασὶ B. ὕδωρ om. C. αὐτοῦ] Libri αὑτοῦ. Δημοσθένης] P. 73. Πυθέας] πυθίας B.

44 f. ἑκάστην] ἑκάστοτε B. ἀνακυκλεῖται in CD tam ambiguo scripturae compendio expressum ut qui Schweighaeusero libros illos contulit ἀνακαλεῖται legerit, Schweighaeuserus vero in C certe, quem ipse inspexit, ἀναβοᾷ deprehendere sibi visus sit: neque enim terminationis formae passivae ullum vestigium apparere. Εὐφορίων] P. 167. Meinek.

45 a. ἀπεχόμενον L. ἀπευχόμενον V. V. 1. Μεταλλάξαι — διάφορα] Τὸ γὰρ μεταλλάξαι διάφορα βρώματα Casaubonus. V. 2. θρυλουμένων] Scribebatur θρυλλουμένων.

*διάμεστον ὄντα τὸ παραγεύσασθαί τινος*
*καινοῦ· διπλασίαν γὰρ παρέσχεν ἡδονήν.*

23. *Ὁ Περσῶν βασιλεύς, ὥς φησιν ἐν τῇ πρώτῃ Ἡρό-*
b *δοτος, ὕδωρ ἀπὸ τοῦ Χοάσπεω πιεῖν ἄγεται τοῦ παρὰ*
*Σοῦσα ῥέοντος· τοῦ μόνου πίνει ὁ βασιλεύς. τοῦ δὲ τοι-*
*ούτου ὕδατος ἀπεψημένου πολλαὶ κάρτα ἅμαξαι τετράκυ-*
*κλοι ἡμιόνειαι κομίζουσαι ἐν ἀγγείοις ἀργυρέοισιν ἕπονταί*
*οἱ. Κτησίας δὲ ὁ Κνίδιος καὶ ἱστορεῖ ὅπως ἕψεται τὸ βα-*
*σιλικὸν τοῦτο ὕδωρ καὶ ὅπως ἐναποτιθέμενον τοῖς ἀγγείοις*
*φέρεται τῷ βασιλεῖ, λέγων αὐτὸ καὶ ἐλαφρότατον καὶ ἥδι-*
*στον εἶναι. καὶ ὁ τῆς Αἰγύπτου δὲ βασιλεὺς δεύτερος, ὁ*
c *Φιλάδελφος ἐπίκλην, ἐκδοὺς τὴν ἑαυτοῦ θυγατέρα Βερε-*
*νίκην Ἀντιόχῳ τῷ Συρίας βασιλεῖ ἐν ἐπιμελείᾳ εἶχε πέμ-*
*πειν αὐτῇ τὸ ἀπὸ τοῦ Νείλου ὕδωρ, ἵνα μόνου τούτου*
*τοῦ ποταμοῦ ἡ παῖς πίνῃ, ὡς ἱστορεῖ Πολύβιος. Ἡλιό-*
*δωρος δέ φησι τὸν Ἐπιφανῆ Ἀντίοχον, ὃν διὰ τὰς πρά-*
*ξεις Πολύβιος Ἐπιμανῆ καλεῖ, τὴν κρήνην τὴν ἐν Ἀντιο-*
*χείᾳ κεράσαι οἴνῳ· καθάπερ καὶ τὸν Φρύγα Μίδαν φησὶ*
*Θεόπομπος, ὅτε ἑλεῖν τὸν Σειληνὸν ὑπὸ μέθης ἠθέλησεν.*
*ἔστι δὲ ἡ κρήνη, ὥς φησι Βίων, μέση Μαίδων καὶ Παιό-*
*νων, Ἴννα καλουμένη. Στάφυλος δέ φησι τὴν τοῦ οἴνου*
d *πρὸς τὸ ὕδωρ κρᾶσιν Μελάμποδα πρῶτον εὑρεῖν. φησὶ δὲ*
*καὶ πεπτικώτερον τοῦ οἴνου τὸ ὕδωρ Πλειστόνικος.*

24. *Ὅτι τοῖς προπίνουσιν ἐπιτεταμένως οὐκ οἰκείως*
*διατίθεται ὁ στόμαχος, ἀλλὰ μᾶλλον κακοῦται, καὶ πολ-*
*λάκις φθορὰν τῶν ληφθέντων παρασκευάζει. δεῖ οὖν τὸν*

---

V. 4. *διπλασίαν γὰρ παρέσχεν ἡδονήν* Porsonus p. 106. Legebatur *διπλασίαν παρέσχε τὴν ἡδονήν.* *τῇ πρώτῃ* (cap. 188.) Basil. et L. *τῇ τετάρτῃ* V. *τῇ δ'* CD. *τῷ δ'* B.

45 b. *Χοάσπεω* Herodotus et Eustathius p. 1499, 63. *χοάσπεω;* D. *χοάσπεος* VL. *χόασπου* C. *τοῦ μόνου* C. Legebatur *τοῦ δὲ μόνου.* *Κτησίας*] *κτισίας* B.

45 c. *ὡς ἱστορεῖ*] *ὡς* om. B. *Πολύβιος*] Fragm. histor. 54. vol. V. p. 69. Schweigh. *Ἐπιφανῆ* — *Ἐπιμανῆ*] Vid. V. p. 193 a. *ἐν Ἀντιοχείᾳ*] *ἐναντιόχιαν* B. *Θεόπομπος*] In *Θαυμασίοις*: vide annotationem. *Σειληνὸν*] *σιληνὸν* BCD. *Μαίδων* Casaubonus. *Μαιδῶν* Schweigh. *μήδων* libri. *πρὸς τὸ ὕδωρ* add. BCD. om. VL.

45 d. *δὲ καὶ* B. Aberat *καὶ.* *φθορὰν* BCD. *φθορὰς* VL.

ὑγιείας ἀντιποιούμενον καὶ συμμέτροις γυμνασίοις χρῆσθαι,
διὰ τοὺς πολλοὺς ἱδρῶτας, καὶ λουτροῖς, ὡς διαναί τε τὸ
σῶμα καὶ μαλαχθῆναι· μετὰ δὲ ταῦτα προπίνειν ὕδωρ
ὡς χρηστότατον, ἐν μὲν χειμῶνι καὶ ἔαρι θερμὸν ὡς μά-
e λιστα, ἐν δὲ τῷ θέρει ψυχρὸν, ὡς μὴ προεκλύειν τὸν στό-
μαχον· προπίνειν δὲ σύμμετρον τῷ πλήθει, χάριν τοῦ
προαναληφθῆναι τοῦτο εἰς τὴν ἕξιν, καὶ μὴ ἀκέραιον
ἀναδίδοσθαι τὴν ἀπὸ τοῦ οἴνου δύναμιν, μηδὲ τοῖς πέρασι
τῶν ἀγγείων προσπίπτουσαν ἐπιδάκνειν. ἐὰν δέ τις ἡμῶν
τοῦτο δυσκόλως ποιῇ, γλυκὺν ὑδαρῆ θερμὸν προλαμβα-
νέτω, μάλιστα δὲ τὸν καλούμενον πρότροπον, τὸν γλυκὺν
Λέσβιον, ὄντα εὐστόμαχον. καὶ ὁ γλυκάζων δ' οἶνος οὐ
βαρύνει τὴν κεφαλὴν, ὡς Ἱπποκράτης ἐν τῷ περὶ διαίτης
φησὶν, ὃ τινὲς μὲν ἐπιγράφουσι περὶ ὀξέων νοσημάτων, οἱ
f δὲ περὶ πτισάνης, ἄλλοι δὲ πρὸς τὰς Κνιδίας γνώμας.
λέγει δὲ „Ὁ γλυκὺς ἧσσόν ἐστι καρηβαρικὸς τοῦ οἰνώδεος
καὶ ἧσσον φρενῶν ἁπτόμενος καὶ διαχωρητικώτερος τοῦ
ἑτέρου κατ' ἔντερον." οὐ δεῖ δὲ προπίνειν καθὰ τοὺς
Καρμανούς φησι Ποσειδώνιος· τούτους γὰρ φιλοφρονου-
μένους ἐν τοῖς συμποσίοις λύειν τὰς ἐπὶ τῷ προσώπῳ
φλέβας καὶ τὸ καταρρέον αἷμα μιγνύντας τῷ πόματι
προσφέρεσθαι, τέλος φιλίας νομίζοντας τὸ γεύεσθαι τοῦ
46 ἀλλήλων αἵματος. μετὰ δὲ τὴν προσφορὰν ταύτην συγχρίε-
σθαι τὴν κεφαλὴν μύρῳ, μάλιστα μὲν ῥοδίνῳ, εἰ δὲ μὴ,
μηλίνῳ, εἰς τὸ ἀποκρούεσθαί τι ἀπὸ τοῦ τόπου καὶ μὴ
βλάπτεσθαι ἀπὸ τῆς τῶν οἴνων ἀναθυμιάσεως· εἰ δὲ μὴ,
ἰρίνῳ ἢ ναρδίνῳ. οὐ κακῶς οὖν Ἄλεξίς φησιν

Ἐναλείφεται τὰς ῥῖνας, ὑγιείας μέρος
μέγιστον, ὀσμὰς ἐγκεφάλῳ χρηστὰς ποιῶν.

25. Ἐκκλίνειν δὲ δεῖ τὰ πάχη τῶν μύρων, ὕδωρ τε πίνειν τὸ κατὰ πρόσοψιν λευκὸν καὶ διαυγὲς, ὃ δὴ καὶ

---

45 e. προεκλύειν Schweigh. Legebatur προσεκλύειν. γλυκὺν ὑδαρῆ Schweigh. γλυκὺ ὕδωρ ἢ VL. Ἱπποκράτης] P. 392, 21. Foës.
45 f. καὶ διαχωρητικώτερος B. Aberat καὶ. Καρμανούς] καρμνούς B. γεύεσθαι BCD. γεύσασθαι VL.
46 a. τόπου BCD. πότου VL. τῶν οἴνων BC. τοῦ οἴνου VL. Ἄλεξις] In Πονήρᾳ: vid. XV. p. 687 d. ποιῶν] ποιεῖν 687. πάχη CD. παχέα VL. λευκὸν Coraës. λεπτὸν libri.

b κατὰ τὸν σταθμόν ἐστι κοῦφον καὶ οὐδὲν ἐν αὐτῷ γεῶδες ἔχει. τὸ δὲ συμμέτρως θερμαινόμενον καὶ ψυχόμενον ὕδωρ χρηστόν ἐστι καὶ εἰς χάλκεον ἢ ἀργύρεον ἄγγος ἐγχεόμενον οὐ ποιεῖ τὸ ἰῶδες. φησὶ δὲ καὶ Ἱπποκράτης „Ὕδωρ τὸ ταχέως θερμαινόμενον καὶ ψυχόμενον ἀεὶ κουφότερον.“ μοχθηρὰ δ' ἐστὶ τὰ βραδέως τὰ ὄσπρια τήκοντα. τοιαῦτα δὲ τὰ νιτρώδη καὶ ἁλμυρά. ἐν δὲ τῷ περὶ ὑδάτων Ἱπποκράτης καλεῖ τὸ χρηστὸν ὕδωρ πότιμον. τὰ δὲ τῶν ὑδάτων
c στάσιμα χαλεπά, ὡς τὰ λιμναῖα καὶ τὰ ἑλώδη. ἔστι δὲ καὶ τῶν κρηναίων τὰ πλεῖστα σκληρότερα. Ἐρασίστρατος δέ φησιν ὡς δοκιμάζουσί τινες τὰ ὕδατα σταθμῷ ἀνεξετάστως. ἰδοὺ γὰρ τοῦ ἐξ Ἀμφιαράου ὕδατος καὶ τοῦ ἐξ Ἐρετρίας συμβαλλομένων, τοῦ μὲν φαύλου, τοῦ δὲ χρηστοῦ ὄντος, οὐδ' ἥτις ἐστὶ διαφορὰ κατὰ τὸν σταθμόν. Ἱπποκράτης δ' ἐν τῷ περὶ τόπων ἄριστά φησιν εἶναι τῶν ὑδάτων ὅσα ἐκ μετεώρων χωρίων ῥεῖ καὶ ἐκ λόφων ξηρῶν. ταῦτα γὰρ λευκὰ καὶ γλυκέα καὶ τὸν οἶνον ὀλίγον φέρειν οἷά τέ ἐστι, τόν τε χειμῶνα θερμαίνεται, καὶ τὸ θέρος
d ψυχρά ἐστιν. ἐπαινεῖ δὲ μάλιστα ὧν τὰ ῥεύματα πρὸς ἀνατολὴν ἡλίου ἔρρωγε, καὶ μάλιστα πρὸς τὰς θερινάς. ἀνάγκη γὰρ λαμπρὰ εἶναι καὶ εὐώδη καὶ κοῦφα. Διοκλῆς δέ φησι τὸ ὕδωρ πεπτικὸν εἶναι καὶ ἄφυσον, ψυκτικόν τε μετρίως, ὀξυδερκές τε καὶ ἥκιστα καρηβαρικὸν, κινητικόν τε ψυχῆς καὶ σώματος. Πραξαγόρας τε ταὐτά φησι. ἐπαι-

---

46 b. αὐτῷ] Scribebatur αὐτῷ. ἀργύρεον] σιδήρεον Gesnerus apud Casaubonum. ἄγγος] ἔγχος B. τὸ ἰῶδες] τοῦτο ἰῶδες Coraës. καὶ BC. καὶ ὁ VL. Ἱπποκράτης] Epidem. II. p. 1013. D. Conf. Aphor. V, 26. p. 1254. ψυχόμενον] ταχέως ψυχόμενον Hippocrates. ἐν δὲ τῷ B. Legebatur ἐν τῷ. περὶ ὑδάτων Ἱπποκράτης] ὕδωρ ποτὸν dicit in initio libri περὶ ὑγρῶν χρήσιος p. 424. πότιμον Casaubonus. Libri πολύτιμον.

46 c. Ἀμφιαράου L. ἀμφιαράτου BV. καὶ τοῦ ἐξ] καὶ ἐξ B. ὄντος C. Legebatur ὄντως. οὐδ' ἥτις L. οὐδήτις V. ἐν τῷ περὶ τόπων] P. 284, 23. ἐκ μετεώρων χωρίων] ἐν μετεώρῳ χωρίῳ C. ξηρῶν] γεηρῶν Hippocrates.

46 d. θερινάς ἀνάγκη γὰρ CD et Hippocrates. θερινὰς ἀνατολικὰ γαρ B. θερινάς τὰ γὰρ ἀνατολικὰ VL. ταὐτά φησι CD. ταῦτα φησὶ B. φησὶ ταυτά VL.

τὸ δὲ τὸ ὄμβριον. Εὐήνωρ δὲ τὰ λακκαῖα· χρηστόν τε εἶναι φάσκει τὸ ἐξ Ἀμφιαράου συμβαλλόμενον τῷ ἐν Ἐρετρίᾳ.

26. Ὅτι δὲ τὸ ὕδωρ ὁμολογουμένως ἐστὶ τρόφιμον δῆλον ἐκ τοῦ τρέφεσθαί τινα ἐξ αὐτοῦ μόνου τῶν ζώων, ὥσπερ τοὺς τέττιγας. πολλὰ δὲ καὶ τῶν ἄλλων ὑγρῶν ἐστι τρόφιμα, οἷον γάλα, πτισάνη, οἶνος. τὰ γοῦν ὑποτίτθια γάλακτι διοικεῖται. καὶ πολλὰ δὲ ἔθνη γαλακτοποτοῦντα ζῇ. Δημόκριτον δὲ τὸν Ἀβδηρίτην λόγος ἔχει διὰ γῆρας ἐξάξαι αὐτὸν διεγνωκότα τοῦ ζῆν, καὶ ὑφαιροῦντα τῆς τροφῆς καθ᾽ ἑκάστην ἡμέραν, ἐπεὶ αἱ τῶν Θεσμοφορίων ἡμέραι ἐνέστησαν, δεηθεισῶν τῶν οἰκείων γυναικῶν μὴ ἀποθανεῖν κατὰ τὴν πανήγυριν, ὅπως ἑορτάσωσι, πεισθῆναι κελεύσαντα μέλιτος ἀγγεῖον αὐτῷ πλησίον παρατεθῆναι, καὶ διαζῆσαι ἡμέρας ἱκανὰς τὸν ἄνδρα τῇ ἀπὸ τοῦ μέλιτος ἀναφορᾷ μόνῃ χρώμενον, καὶ μετὰ τὰς ἡμέρας βασταχθέντος τοῦ μέλιτος ἀποθανεῖν. ἔχαιρε δὲ ὁ Δημόκριτος ἀεὶ τῷ μέλιτι· καὶ πρὸς τὸν πυθόμενον πῶς ἂν ὑγιῶς τις διάγοι ἔφη, εἰ τὰ μὲν ἐντὸς μέλιτι βρέχοι, τὰ δ᾽ ἐκτὸς ἐλαίῳ. καὶ τῶν Πυθαγορικῶν δὲ τροφὴ ἦν ἄρτος μετὰ μέλιτος, ὥς φησιν Ἀριστόξενος· τοὺς προσφερομένους αὐτὰ ἀεὶ ἐπ᾽ ἀρίστῳ λέγων ἀνόσους διατελεῖν. Λύκος δὲ πολυχρονίους φησὶν εἶναι τοὺς Κυρνίους, οἰκοῦσι δ᾽ οὗτοι περὶ Σαρδόνα, διὰ τὸ μέλιτι ἀεὶ χρῆσθαι· πλεῖστον δὲ τοῦτο γίνεται παρ᾽ αὐτοῖς.

27. Ὅρα τὸ ἀνατιθεμένων πάντων τὴν ζήτησιν, ἤτοι ἀναβαλλομένων.

Ὅτι τὸ ἄνηστις ὁ νῆστις πλεονασμῷ τοῦ α, ὡς στάχυς ἄσταχυς, παρὰ Κρατίνῳ κεῖται

---

Ἀμφιαράου Casaubonus. ἀμφιαράτου V. Ἀμφιαράθου L.

46 e. πτισάνη] πτισσάνη BCD et Eustathius p. 916, 45. διοικεῖται] διάκειται C. Δημόκριτον] δημόκριτος B. Ἀβδηρίτην L. αὐδηρίτην V. αὐτὸν L. αὑτὸν V. οἰκείων] οἰκίων B.

46 f. ἀποθανεῖν BCD. ἀποθνήσκειν VL. αὐτῷ] αὑτῷ VL. ἀεὶ B. Scribebatur αἰεί. διάγοι] διάγει B. βρέχοι VL. βρέχει BCD.

47 a. ἀνόσους CD. ἀνόσως VL. Λύκος] Λύκων Schweigh. Σαρδόνα C cum Stephano Byz. in Κύρνος. Legebatur Σαρδώ. ἄνηστις ὁ νῆστις BD. ἄνηστις ἡ νῆστις C. ἄνηστις ἤτοι νῆστις VL. Κρατίνῳ] In Διονυσαλεξάνδρῳ: vide Suidam in ἄνηστις et Bekkeri

Οὐ γάρ τοι σύ γε πρῶτος * * φοιτᾷς ἐπὶ δεῖπνο[ν]
ἄνηστις.

b τὸ δὲ ὀξύπεινος παρὰ Διφίλῳ

Τέρπομαι γυμνοὺς ὁρῶν
τοὺς ὀξυπείνους καὶ πρὸ τῶν καιρῶν ἀεὶ
πάντ' εἰδέναι σπεύδοντας.

καὶ Ἀντιφάνης

Ἓν νόσημα τοῦτ' ἔχει·
ἀεὶ γὰρ ὀξύπεινός ἐστι. Β. Θετταλὸν
λέγεις κομιδῇ τὸν ἄνδρα.

καὶ Εὔβουλος

Ζῆθον μὲν ἐλθεῖν ἁγνὸν ἐς Θήβης πέδον
οἰκεῖν κελεύει· καὶ γὰρ ἀξιωτέρους
c πωλοῦσιν, ὡς ἔοικε, τοὺς ἄρτους ἐκεῖ·
σὺ δ' ὀξύπεινος· τὸν δὲ μουσικώτατον
κλεινὰς Ἀθήνας ἐκπερᾶν Ἀμφίονα·
οὗ ῥᾷστ' ἀεὶ πεινῶσι Κεκροπιδῶν κόροι
κάπτοντες αὔρας ἐλπίδας σιτούμενοι.

28. Ὁ δὲ μονοσιτῶν κεῖται παρ' Ἀλέξιδι

Ἐπὰν ἰδιώτην ἄνδρα μονοσιτοῦντ' ἴδῃς,
ἢ μὴ ποθοῦντ' ᾠδὰς ποιητὴν καὶ μέλη,
τὸν μὲν ἰδιώτην τοῦ βίου τὸν ἥμισυν
ἀπολωλεκέναι νόμιζε, τὸν δὲ τῆς τέχνης
d τὴν ἡμίσειαν· ζῶσι δ' ἀμφότεροι μόλις.

Πλάτων „Οὐ μονοσιτῶν ἑκάστοτε, ἀλλὰ κἀνίοτε δειπν[ῶν]
δὶς τῆς ἡμέρας."

Ὅτι νωγαλεύματα ἐκάλουν τὰ ἡδέα βρώματ[α]

---

Anecd. p. 402, 32. (453, 31.) οὐ γάρ τοι σύ γε] ἰοὺ γάρ σύ
Bekkeri Anecd. γάρ τοι σύ γε] γάρ σὺ Suidas. πρῶτος *
Recte Suidas πρῶτος ἄκλητος.

47 b. ἐλθεῖν] ἐλθόνθ' Iacobsius p. 40. κελεύει] κε[λ]
Schweigh.

47 c. ῥᾷστ' ἀεὶ BCD. ῥᾷστα δὴ VL. σιτούμενοι] σιτόμενοι
ποιητὴν Casaubonus. ποιητὰς CD et optimae fidei libri Le[o]
apud Casaubonum: ποιητικὰς VL.

47 d. „Verba Πλάτων — τῆς ἡμέρας debemus Henr. Steph[ano]
qui ex antiquissimis membranis illa descripsit. Eadem Leoinius in
reperit." Casaubonus: qui primus in textum intulit. Omittunt [B]

Ἀραρὼς

Τὰ κομψὰ μὲν δὴ ταῦτα νωγαλεύματα.

Ἄλεξις

Θασίοις οἰναρίοις
τῆς ἡμέρας τὸ λοιπὸν ὑποβρέχει μέρος
καὶ νωγαλίζει.

Ἀντιφάνης

Βότρυς, ῥόας, φοίνικας, ἕτερα νώγαλα.

ἀπόσιτον δ᾽ εἴρηκε Φιλωνίδης. αὐτόσιτον δὲ Κρώβυλος „Παράσιτον αὐτόσιτον.“ ἀναρίστητον δ᾽ εἶπεν Εὔπολις. ἀναγκόσιτον δὲ Κράτης. καὶ Νικόστρατος δὲ

Μειράκιον * κατὰ τύχην
ὑποσκαφιόκαρτόν τι κεχλαμυδωμένον
κατάγεις ἀναγκόσιτον.

ἀριστόδειπνον δ᾽ εἶπεν Ἄλεξις

Ἀφ᾽ ὧν γένοιτ᾽ ἂν συντόμως
ἀριστόδειπνον.

29. Μετὰ ταῦτα ἀναστάντες κατεκλίθημεν ὡς ἕκαστος ἤθελεν, οὐ περιμείναντες ὀνομακλήτορα τὸν τῶν δείπνων ταξίαρχον.

---

habent CD. Ἀραρὼς] In Campylione: vide III. p. 86 d. et Photium in νωγαλεύματα p. 306, 23. κομψὰ μὲν δὴ ταῦτα Schweigh. κομψὰ δὴ ταῦτα BD et Photius. κομψὰ μὲν ταῦτα C. κομψὰ δῆτα ταῦτα Porsonus in Photio. Ἄλεξις] Vide I. p. 28 e. οἰναρίοις BCD. οἰνάροις VL. ὑποβρέχων BCD. ὑποβρέχει VL. ἐνωγάλιζει BCD. καὶ νωγαλίζει VL. ἐνωγάλιζε Brunckius. Ἀντιφάνης] In Busiride: vide Photium l. l. Eadem sunt Ephippi verba I. p. 29 d. nisi quod is κάρυα pro βότρυς posuit. ῥόας Photius. ῥοὰς libri et Eustathius p. 1163, 25. νώγαλα BCD et Eustathius. Legebatur νωγαλεύματα. νωγαλιων sine accentu Photius. νωγαλίων ex Athenaeo affert Suidas. Φιλωνίδης] In Κοθόρνοις: vide VI. p. 247 e.

47 e. Κρώβυλος] In Ἀπαγχομένῳ: vide VI. p. 248 b. εἶπεν B. Legebatur εἴρηκεν. Praecedens δ᾽ om. B. Μειράκιον * κατὰ] Μειράκιον δὲ κατὰ Porsonus Miscell. p. 234. τι κεχλ. Porsonus. Libri τι καὶ κεχλαμ. κατάγεις ἀναγκόσιτον Porsonus. Libri κατὰ γῆς ἀναγκοσιτῶ. δ᾽ ex B accessit. συντόμως] „σύντομον videtur esse in C.“ Schweigh. κατεκλίθημεν] Scribebatur κατεκλίνθημεν. τὸν add. L. om. V.

f Ὅτι καὶ τρίκλινοι οἶκοι καὶ τετράκλινοι καὶ ἑπτάκλινοι καὶ ἐννεάκλινοι καὶ κατὰ τοὺς ἑξῆς ἀριθμοὺς ἦσαν παρὰ τοῖς παλαιοῖς. Ἀντιφάνης „Συναγαγὼν τρεῖς ὄντας εἰς τρίκλινον ὑμᾶς.“ Φρύνιχος

Ἑπτάκλινος οἶκος ἦν καλός,
εἶτ᾽ ἐννεάκλινος ἕτερος οἶκος.

Εὔβουλος

Θὲς ἑπτάκλινον. Β. ἑπτάκλινος οὑτοσί.
Α. καὶ πέντε κλίνας Σικελικάς. Β. λέγ᾽ ἄλλο τι.
Α. Σικελικὰ προσκεφάλαια πέντε.

Ἄμφις

48 Οὐχ ὑποστρώσεις ποτὲ
τρίκλινον;

Ἀναξανδρίδης „Τρίκλινον δ᾽ εὐθέως συνήγετο καὶ συναυλίαι γέροντι.“

Ἀλλὰ ξενῶνας οἶγε καὶ ῥᾶνον δόμους,
στρώννυ τε κοίτας, καὶ πυρὸς φλέξον μένος,
κρατῆρά τ᾽ αἶρου καὶ τὸν ἥδιστον κέρα.

30. * νῦν δὲ τὴν τῶν στρωμάτων σύνθεσιν περιβολῇ χωρίζουσι καὶ ὑποβολῇ, φησὶ Πλάτων ὁ φιλόσοφος. ὁ δ᾽ ὁμώνυμος αὐτῷ ποιητής φησι

Κᾆτ᾽ ἐν κλίναις ἐλεφαντόποσιν καὶ στρώμασι πορφυροβάπτοις
κἂν φοινικίσι Σαρδιανικαῖσιν κοσμησάμενοι κατάκεινται.

ἤκμασε δ᾽ ἡ τῶν ποικίλων ὑφή, μάλιστα ἐντέχνων περὶ

---

47 f. καὶ ἐννεάκλινοι add. L. om. V. ἕτερος — ἑπτάκλινος add L. om. V.

48 a. καὶ συναυλίαι] Tetrametri initium esse videtur. γέροντι] γερον C. κρατῆρά τ᾽ BVL. κρατῆρα δ᾽ Schweigh. tacito αἶρου L. αἶγου B. αἶργου V. ἄργου Schweighaeuseri librorum alter, alter αἶγου. Post ἥδιστον κέρα excidisse videtur φησι cum nomine poetae cuius hi sunt versus primisque loci Platonici verbis. Πλάτων] In Politico p. 280 B.

48 b. κἂν delebat Elmsleius ad Acharn. v. 112. Schweigh. retento κἂν corrigebat Σαρδιαναῖσιν. κοσμησάμενοι] κοσμισάμενοι D κοιμησόμενοι Casaubonus. ὑφή] παρὰ Κυπρίοις addit Eustathius p. 1400, 11. omissis infra τῶν Κυπρίων. περὶ αὐτὰ] περὶ αὐ-

αὐτὰ γενομένων Ἀκεσᾶ καὶ Ἑλικῶνος τῶν Κυπρίων. ὑφάνται δ' ἦσαν ἔνδοξοι· καὶ ἦν Ἑλικὼν υἱὸς Ἀκεσᾶ, ὥς φησιν Ἱερώνυμος. ἐν Πυθοῖ γοῦν ἐπί τινος ἔργου ἐπιγέγραπται

Τεῦξ' Ἑλικὼν Ἀκεσᾶ Σαλαμίνιος, ᾧ ἐνὶ χερσὶ
πότνια θεσπεσίην Παλλὰς ἔτευξε χάριν.

τοιοῦτος ἦν καὶ Παθυμίας ὁ Αἰγύπτιος.

Ὡς ἐγὼ σκιρτῶ πάλαι
e ὅπου ῥοδόπνοα στρώματ' ἐστὶ καὶ μύροις
λοῦμαι ψακαστοῖς,

φησὶν Ἔφιππος. Ἀριστοφάνης

Ὅστις ἐν ἡδυόσμοις
στρώμασι παννυχίζων
τὴν δέσποιναν ἐρείδεις.

Σώφρων δὲ στρουθωτὰ ἐλίγματά φησιν ἐντετιμημένα. Ὅμηρος δὲ ὁ θαυμασιώτατος τῶν στρωμάτων τὰ μὲν κατώτερα λῖτα εἶναι φάσκει, ἤτοι λευκὰ, καὶ μὴ βεβαμμένα ἢ πεποικιλμένα, τὰ δὲ περιστρώματα ῥήγεα καλὰ πορφύρεα.

31. Πρῶτοι δὲ Πέρσαι, ὥς φησιν Ἡρακλείδης, καὶ
d τοὺς λεγομένους στρώτας ἐφεῦρον, ἵνα κόσμον ἔχῃ ἡ στρῶσις καὶ εὐάφειαν. τὸν οὖν Κρῆτα Τιμαγόραν ἢ τὸν ἐκ Γόρτυνος, ὥς φησι Φανίας ὁ περιπατητικὸς, Ἔντιμον, ὃς ζήλῳ Θεμιστοκλέους ἀνέβη ὡς βασιλέα, τιμῶν Ἀρταξέρξης, σκηνήν τε ἔδωκεν αὐτῷ διαφέρουσαν τὸ κάλλος καὶ τὸ μέγεθος καὶ κλίνην ἀργυρόποδα, ἔπεμψε δὲ καὶ στρώματα πολυτελῆ καὶ τὸν ὑποστρώσοντα, φάσκων οὐκ

---

τὰς; B. γενομένων L. γενόμενος V. Πυθοῖ] πυσοῖ B. ᾧ ἐνὶ BC et Eustathius p. 1400, 13. Legebatur ὧν ἐνὶ. θεσπεσίην] θεσπεσίη B.

48 c. μύροις λοῦμαι Boissonadius. Libri λούομαι μύροις. Ἀριστοφάνης om. B. Aristophanis fragmentum affert Eustathius p. 1570, 5. στρουθωτὰ] στρόνθω τὰ V. Ὅμηρος ὁ θαυμασιώτατος] Eustathius p. 1400, 9. ὅτι Ἀθήναιος παρὰ τῷ ποιητῇ, ὃν θαυμασιώτατον καλεῖσθαι λέγει καὶ θειότατον, λῖτα μὲν εἶναί φησι —. Quod θειότατον dicit pertinet ad alios locos, veluti 41 a. λῖτα L. λίτα V. πρῶτοι δὲ BCD. καὶ πρῶτοι δὲ VL.

48 d. Φανίας] φαινίας C. ὃς ζήλῳ] ὅσον ζήλῳ B. σκηνήν τε BCD. σκηνὴν μὲν VL.

ἐπίστασθαι τοὺς Ἕλληνας ὑποστρωννύειν. καὶ ἐπὶ τὸ συγ-
γενικὸν ἄριστον ἐκαλεῖτο ὁ Κρὴς οὗτος, τὸν βασιλέα ψυ-
e χαγωγήσας· ὅπερ οὐδενὶ πρότερον τῶν Ἑλλήνων ἐγένετο,
ἀλλ᾽ οὐδ᾽ ὕστερον. αὕτη γὰρ ἡ τιμὴ τοῖς συγγενέσι διε-
φυλάττετο. Τιμαγόρᾳ μὲν γὰρ τῷ Ἀθηναίῳ, τῷ προσ-
κυνήσαντι βασιλέα καὶ μάλιστα τιμηθέντι, τοῦτο οὐχ
ὑπῆρξε· τῶν δὲ παρατιθεμένων βασιλεῖ τούτῳ τινὰ ἀπὸ
τῆς τραπέζης ἀπέστελλε. Ἀνταλκίδᾳ δὲ τῷ Λάκωνι τὸν
αὑτοῦ στέφανον εἰς μύρον βάψας ἔπεμψε. τῷ δ᾽ Ἐντίμῳ
τοιαῦτα πολλὰ ἐποίει, καὶ ἐπὶ τὸ συγγενικὸν ἄριστον ἐκά-
f λει. ἐφ᾽ ᾧ οἱ Πέρσαι χαλεπῶς ἔφερον, ὡς τῆς τε τιμῆς
δημευομένης καὶ στρατείας ἐπὶ τὴν Ἑλλάδα πάλιν ἐσο-
μένης. ἔπεμψε δὲ καὶ κλίνην αὐτῷ ἀργυρόποδα καὶ στρω-
μνὴν καὶ σκηνὴν οὐρανόροφον ἀνθινὴν καὶ θρόνον ἀρ-
γυροῦν καὶ ἐπίχρυσον σκιάδιον καὶ φιάλας λιθοκολλήτους
χρυσᾶς, καὶ ἀργυρᾶς δὲ μεγάλας ἑκατὸν καὶ κρατῆρας
ἀργυροῦς καὶ παιδίσκας ἑκατὸν καὶ παῖδας ἑκατόν, χρυ-
49 σοῦς τε ἑξακισχιλίους, χωρὶς τῶν εἰς τὰ ἐπιτήδεια καθ᾽
ἡμέραν διδομένων.

32. Τράπεζαι ἐλεφαντόποδες τῶν ἐπιθημάτων ἐκ τῆς καλουμένης σφενδάμνου πεποιημένων. Κρατῖνος

*Γαυριῶσαι δ᾽ ἀναμένουσιν ὡδ᾽ ἐπηγλαϊσμέναι*
*μείρακες φαιδραὶ τράπεζαι τρισκελεῖς σφενδάμνιναι.*

---

ψυχαγωγήσας BCD. ψυχαγωγήσων VL.

48 e. τούτῳ Casaubonus. Libri τούτων. ἀπέστελλε C et Brunckius. Legebatur ἀπεστέλλετο. ἀνταλκίδα BC. Scribebatur Ἀνταλκείδᾳ.

48 f. οὐρανόροφον VL. οὐρανοφόρον BC (haud dubie etiam D) et libri Casauboniani. ἀνθινὴν Schneiderus in Supplemento Lexici. ἀνθίνην VL. σκιάδιον] σκιάδειον B.

πδ
49 a. τράπεζαι ἐλεφαντόποδες (ἐλεφαντο B) BCD. τραπέζας ἐλεφαντόποδας VL. σφενδάμνου L. σφενδάνου V. Γαυριῶσαι — φαιδραὶ accesserunt ex C, qui inter fragmenta libri II post librum XIII. exhibet. unde primus edidit Valckenar. Diatrib. Eurip. p. 163. μείρακες Valckenarius. μεῖραξ C. τράπεζαι — σφενδάμνιναι affert Eustathius p. 1398, 20. τραπέζας τρισκελεῖ σφενδαμνίνας Valckenarius. σφενδάμνιναι L. σφενδάνιναι V.

Εἰπόντος τινὸς κυνικοῦ τρίποδα τὴν τράπεζαν δυσχεραίνει ὁ παρὰ τῷ σοφιστῇ Οὐλπιανὸς καὶ λέγει, Τήμερον ἐγὼ πράγματα ἕξω ἐξ ἀπραξίας. πόθεν γὰρ τούτῳ ὁ τρίπους; εἰ μὴ τὴν Διογένους βακτηρίαν σὺν καὶ τὼ πόδε ἀριθμῶν οὗτος τρίποδα προσηγόρευσε, πάντων τραπέζας
b καλούντων τὰς παραθέσεις ταύτας.

Ὅτι Ἡσίοδος ἐν Κήϋκος γάμῳ, κἂν γὰρ γραμματικῶν παῖδες ἀποξενῶσι τοῦ ποιητοῦ τὰ ἔπη ταῦτα, ἀλλ' ἐμοὶ δοκεῖ ἀρχαῖα εἶναι, τρίποδας τὰς τραπέζας φησί. καὶ Ξενοφῶν δ' ὁ μουσικώτατος ἐν ἑβδόμῳ Ἀναβάσεως γράφει „Τρίποδες εἰσηνέχθησαν πᾶσιν· οὗτοι δὲ ὅσον εἴκοσι κρεῶν μεστοὶ νενεμημένων.“ καὶ ἐπάγει „Μάλιστα δ' αἱ τράπεζαι κατὰ τοὺς ξένους ἀεὶ ἐτίθεντο.“ Ἀντιφάνης
c Ἐπεὶ δ' ὁ τρίπους ἤρθη κατὰ χειρῶν τ' ἐχέομεν.

Εὔβουλος

Τρίποδες οὗτοι πέντε σοι
καὶ πέντε. Β. πεντηκοστολόγος γενήσομαι.

Ἐπίχαρμος

Τί δὲ τάδ' ἐστί; Β. δηλαδὴ τρίπους. Α. τί μὰν ἔχει πόδας
τέτορας; οὐκ ἔστιν τρίπους, ἀλλ' * * οἶμαι τετράπους.
Β. ἔστι δ' ὄνομ' αὐτῷ τρίπους, τέτοράς γε μὰν ἔχει πόδας.
Α. Οἰδίπους τοίνυν ποτ' ἦν, αἴνιγμά τοι νοεῖς.

---

δυσχεραίνει] δυσχεράναι B. ἀπραξίας L. ἀπορίας V. τὼ πόδε L. τῷ ποδὶ V.

49 b. Κήϋκος] κίυκος B. ἑβδόμῳ Ἀναβάσεως] Cap. 3, 21. Vid. IV. p. 150 f.

49 c. χειρῶν ἐχέομεν Eustathius p. 740, 16. Legebatur χειρῶν τ' ἔχομεν. V. 1.—3. Τί δὲ — αὐτῇ τρίπους affert Eustathius p. 1398, 19. V. 1. τί μὰν ἔχει Eustathius. τίμανον ἔχει BCD. τιμὰν οὐ. ἔχει V. τί μὰν οὐκ ἔχει L. V. 2. τέτορας Grotius p. 481. Libri τέτταρας. Sic etiam apud Eustathium, quem τέτορας aut τέττορας voluisse apertum est. Addit enim, ἐν τούτοις δὲ ὅρα τὸ τέττορας Δωρικῶς λεχθὲν, οὗ εὐθεῖα κεῖται παρ' Ἡσιόδῳ (ἡ δὲ γυνὴ τέτορ' ἡβώοι. Ἔργ. v. 696.). ἔστιν] Scribebatur ἔστι. Post ἀλλ' excidisse videtur ἐστίν. V. 3. ὄνομ'] ὄνομα B. αὐτῷ] αὐτῇ Eustathius. τέτορας L. τέττορας BCD. τέτταρας V. V. 4. αἴνιγμά τοι νοεῖς BCD. αἰνίγματ' οὐ νοεῖς VL. εἰ δίπους

Ἀριστοφάνης

Τράπεζαν ἡμῖν φέρε
d τρεῖς πόδας ἔχουσαν, τέτταρας δὲ μὴ 'χέτω.
Β. καὶ πόθεν ἐγὼ τρίπουν τράπεζαν λήψομαι;

33. Ὅτι ἔθος ἦν ἐν τοῖς δείπνοις τῷ ἑστιάτορι κατακλιθέντι προδίδοσθαι γραμματίδιόν τι περιέχον ἀναγραφὴν τῶν παρεσκευασμένων, ἐφ' ᾧ εἰδέναι ὅ τι μέλλοι ὄψον φέρειν ὁ μάγειρος.

ΔΑΜΑΣΚΗΝΑ. Δαμασκοῦ τῆς πόλεως ἐνδόξου οὔσης καὶ μεγάλης πολλοὶ τῶν ἀρχαίων μέμνηνται. ἐπεὶ δὲ πλεῖστον ἐν τῇ τῶν Δαμασκηνῶν ἐστι χώρᾳ τὸ κοκκύ-
e μηλον καλούμενον καὶ κάλλιστα γεωργεῖται, ἰδίως καλεῖται τὸ ἀκρόδρυον Δαμασκηνὸν, ὡς διάφορον τῶν κατὰ τὰς ἄλλας χώρας γινομένων. κοκκύμηλα οὖν ἐστι ταῦτα· ὧν ἄλλος τε μέμνηται καὶ Ἱππῶναξ

Στέφανον εἶχον κοκκυμήλων καὶ μίνθης.

Ἄλεξις

Καὶ μὴν ἐνύπνιον οἴομαί γ' ἑορακέναι
νικητικόν. Β. λέγ' αὐτό. Α. τὸν νοῦν πρόσεχε δή.
ἐν τῷ σταδίῳ τῶν ἀνταγωνιστῶν μέ τις
ἐδόκει στεφανοῦν γυμνὸς προσελθὼν

---

τοίνυν ποτ' ἦν, αἰνίγματ' Οἰδίπου νοεῖς Grotefendus. Aristophanis fragmentum affert Eustathius p. 1398, 17. Idem p. 867, 25. πέπαικται τὸ Οἴμοι πῶς ἂν εὕροιμι τρίπουν τράπεζαν; Versum tertium ex Telmissensibus affert Pollux X, 80. φέρε] εἴσφερε Porsonus.

49 d. τέτταρας Eustathius. Scribebatur τέσσαρας. μὴ 'χέτω] μὴ ἐχέτω CD et Eustathius. κατακλιθέντι BCD. Scribebatur κατακλινθέντι.

49 e. ἄλλος τε μέμνηται BCDV. ἄλλοι τε μέμνηνται L. Ἱππῶναξ] Scribebatur Ἱππώναξ. Στέφανον] καὶ στέφανον Gaisfordus ad Hephaest. p. 252. Vide ne στέφανον Hipponax producta media syllaba dixerit ut dixit φάρμακον. ἐνύπνιον Schweigh. ἐν ὕπνοις C. ἐν ὕπνῳ VL. γ' omissa in libris. ἑορακέναι] Scribebatur ὡρακέναι. ἑωρακέναι B. νικητικὸν C. Legebatur νικητήριον. πρόσεχε] προσέχειν C. ἐδόκει L, ad quod nil diversitatis enotatum. ἔδοξε V. Versum explevit Casaubonus, προσελθὼν ὡς ἐμέ.

f στεφάνῳ χυλιστῇ κοκκυμήλων, Ἡράκλεις, πεπόνων.

πάλιν „Ἑόρακας πώποτε ἤνυστρον ἐσκευασμένον, ἢ σπλῆν᾽ ὀπτὸν μεμονθυλευμένον, ἢ κοκκυμήλων σπυρίδα πεπόνων; τοιοῦτον ἔχει τὸ μέτωπον.“ Νίκανδρος „Μῆλον ὃ κόκκυγος καλέουσι.“ Κλέαρχος δ᾽ ὁ περιπατητικός φησι Ῥοδίους καὶ Σικελιώτας βράβυλα καλεῖν τὰ κοκκύμηλα, ὡς καὶ Θεόκριτος ὁ Συρακόσιος

50 Ὄρπηκες βραβύλοισι καταβρίθοντες ἔραζε.

καὶ πάλιν „Ὅσον μῆλον βραβύλοιο ἥδιον.“ ἔστι δὲ τοῦτο τὸ ἀκρόδρυον μικρότερον μὲν τῇ περιφορᾷ τῶν κοκκυμήλων, τῇ δ᾽ ἐδωδῇ τὸ αὐτό, πλὴν ὀλίγον δριμύτερον. Σέλευκος δ᾽ ἐν Γλώσσαις βράβυλά φησιν, ἧλα, κοκκύμηλα, μάδρυα τὰ αὐτὰ εἶναι· τὰ μὲν μάδρυα οἷον μαλόδρυα, τὰ δὲ βράβυλα ὅτι εὐκοίλια καὶ τὴν βορὰν ἐκβάλλοντα, ἧλα δὲ οἷον μῆλα, ὡς Δημήτριος ὁ Ἰξίων λέγει ἐν Ἐτυμολογίᾳ.
b Θεόφραστος δὲ λέγει „Κοκκύμηλα καὶ σποδιάς· τοῦτο δ᾽ ἐστὶν ὥσπερ ἄγρια κοκκύμηλα.“ Ἀραρὼς δὲ κοκκυμηλέαν καλεῖ τὸ δένδρον, κοκκύμηλον δὲ τὸ ἀκρόδρυον. Δίφιλος δὲ ὁ Σίφνιος μετρίως φησὶν εἶναι ταῦτα εὔχυλα, εὔφθαρτα, εὐέκκριτα, ὀλιγότροφα.

---

χυλιστῇ] χυλιστῷ Casaubonus.

49 f. πάλιν] Eustathius p. 211, 15. — καὶ ἐν τῷ ἑώρακας πώποτε κοκκυμήλων σπυρίδα πεπόνων, τοιοῦτον ἔχει τὸ πρόσωπον. ἑόρακας] Scribebatur ἑώρακας. Νίκανδρος] Fragm. 23. p. 286. Habet etiam Eustathius p. 917, 4. κόκκυγος] κόκκυγον B. Σικελιώτας βράβυλα] σικελιωταβράβιλα B. βράβυλα] βράβιλα BCD. Θεόκριτος] VII, 146. XII, 3. Συρακόσιος] Scribebatur Συρακούσιος.

50 a. βραβύλοισι L. βραβίλοισι BCDV. καταβρίθοντες] καταλήθοντες B. βραβύλοιο L. βραβίλοιο CDV. βραβίλοις B. ἀκρόδρυον] ἀκρόδριον B. Σέλευκος] Exscripserunt haec Suidas in βράβηλα et Eustathius p. 1963, 32. βραβυλά VL. βράβιλα BCD. βράβηλα Eustathius et Suidas. τὰ δὲ βράβυλα L. τὰ δὲ βράβιλα BV. τὰ δὲ βράβηλα Eustathius et Suidas. ὅτι BCD. φησὶ ὅτι VL. Θεόφραστος] H. P. III. 6, 4. p. 81. ἐπιπολαιότατον δὲ θραύπαλος καὶ κοκκυμηλέα καὶ σποδιάς. αὕτη δ᾽ ἐστὶν ὥσπερ ἄγρια κοκκυμηλέα.

50 b. σποδιάς L. σπονδίας V. κοκκυμηλέαν] κοκκυμηλίαν BCD. μετρίως C. Legebatur μέσος.

34. *ΚΕΡΑΣΙΑ.* Θεόφραστος ἐν τῷ περὶ φυτῶν „Ἴδιον δὲ τῇ φύσει δένδρον ὁ κέρασός ἐστι καὶ μεγέθει μέγα· καὶ γὰρ εἰς εἴκοσι καὶ τέσσαρας πήχεις αὔξεται. φύλλον δὲ ὅμοιον ἔχει τῷ τῆς μεσπίλης, σκληρὸν δὲ καὶ παχύτερον, φλοιὸν δ' ὅμοιον φιλύρᾳ, ἄνθος δὲ λευκὸν
c ἀπίῳ καὶ μεσπίλῃ ὅμοιον, ἐκ μικρῶν ἀνθῶν συγκείμενον, κηριῶδες. ὁ δὲ καρπὸς ἐρυθρὸς ὅμοιος διοσπύρῳ τὸ σχῆμα. τὸ δὲ μέγεθος ἡλίκον κύαμος, πλὴν τοῦ διοσπύρου μὲν ὁ πυρὴν σκληρὸς, τοῦ δὲ κεράσου μαλακός." καὶ πάλιν „Κράταιγος· οἱ δὲ κραταίγονα καλοῦσιν. ἔχει δὲ τὸ μὲν φύλλον τεταμένον ὅμοιον μεσπίλῃ, πλὴν μεῖζον ἐκεῖνος καὶ πλατύτερον ἢ προμηκέστερον, τὸν δὲ χαραγμὸν οὐκ ἔχει ὥσπερ ἐκεῖνο. γίνεται δὲ τὸ δένδρον οὔτε μέγα λίαν
d οὔτε παχύ· τὸ δὲ ξύλον ποικίλον, ξανθὸν, ἰσχυρόν. φλοιὸν δ' ἔχει λεῖον ὅμοιον μεσπίλῃ· μονόρριζον εἰς βάθος ὡς ἐπὶ πολύ. καρπὸν δ' ἔχει στρογγύλον ἡλίκον ὁ κότινος· πεπαινόμενος δὲ ξανθός τέ ἐστι καὶ ἐπιμελαίνεται· ἔχει δὲ τὴν γεῦσιν καὶ τὸν χυλὸν μεσπίλου· διόπερ ἀγρία μεσπίλη δόξειε μᾶλλον εἶναι." ἐκ τούτων μοι δοκεῖ, φησὶν, ὁ φιλόσοφος τὸ νῦν κεράσιον καλούμενον ἐμφανίζειν.

35. Ἀσκληπιάδης δὲ ὁ Μυρλεανὸς χαμαικέρασόν τινα καλῶν δένδρον ἔφη οὕτως „Ἐν τῇ Βιθυνῶν γῇ γίνεται ἡ χαμαικέρασος, ἧς ἡ μὲν ῥίζα ἐστὶν οὐ μεγάλη, ἀλλ'
e οὐδὲ τὸ δένδρον, ἀλλὰ τῇ ῥοδῇ ἴσον, ὁ δὲ καρπὸς τὰ μὲν ἄλλα πάντα ὅμοιος, τοὺς δὲ πλείονα χρησαμένους

---

περὶ φυτῶν] III. 13. p. 101. παχύτερον] πλατύτερον Theophrastus.

50 c. ἡλίκον] ἡλίκος vulgo in Theophrasto: sed Urbinas ἡλίκον. καὶ πάλιν] III. 15, 6. p. 108. κραταίγονα L ex Theophrasto, opinor. κράταιγον BV. κροταιγονα Urbinas aliique Theophrasti libri. Mihi κραταίγονον verum videtur: vide annotationem. τεταμένον] τετανὸν Theophrastus. ἐκείνου L ex Theophrasto. ἐκεῖνος BCDV. ἐκεῖνο Theophrasti liber Urbinas. Vide annotationem. ἢ] In Theophrasto vulgo καί: sed ἢ Urbinas. χαραγμὸν L. χαρασμὸν V. ἐκεῖνο] ἐκεῖνος B.

50 d. μονόρριζον] μονόριζον B. πεπαινόμενος L. πεπεμμένος V. ξανθός τέ ἐστι] ξανθὸς γίνεται vulgo in Theophrasto. Egregie Urbinas ξανθύνεται. μεσπίλου BCD. μεσπίλης VL. δόξειε] Adde ἂν ex Theophrasto.

50 e. ῥοδῇ add. L. om. V.

καθότι οἶνος βαρύνει τε καὶ ἀλγεῖν τὴν κεφαλὴν τίθησι." ταῦτα ὁ Ἀσκληπιάδης, φησὶ, μοι δοκεῖ λέγειν περὶ τῶν μιμαικύλων. τό τε γὰρ φέρον αὐτὰ δένδρον τοιοῦτον καὶ ὁ πλέον τῶν ἑπτὰ τοῦ καρποῦ φαγὼν κεφαλαλγὴς γίνεται. Ἀριστοφάνης

Ἐν τοῖς ὄρεσιν αὐτομάτοισιν τὰ μιμαίκυλα φύεται πολλά.

Θεόπομπος

Τρώγουσι μύρτα καὶ πέπονα μιμαίκυλα.

Κράτης

Πάνυ γάρ ἐστιν ὡρικώτατα
f τὰ τιτθί' ὥσπερ μῆλον ἢ μιμαίκυλα.

Ἄμφις

Ὁ συκάμινος συκάμιν', ὁρᾷς, φέρει,
ὁ πρῖνος ἀκύλους, ὁ κόμαρος μιμαίκυλα.

Θεόφραστος „Ἡ κόμαρος ἡ τὸ μιμαίκυλον φέρουσα τὸ ἐδώδιμον."

Ὅτι Ἀγῆνα, σατυρικόν τι δρᾶμα, ἀμφιβάλλεται εἴτε Πύθων ἐποίησεν ὁ Καταναῖος ἢ Βυζάντιος, ἢ καὶ αὐτὸς ὁ βασιλεὺς Ἀλέξανδρος.

Φησὶν ὁ παρὰ τῷ ῥήτορι Λαρήνσιος, Πολλὰ ὑμεῖς οἱ Γραικοὶ ἐξιδιοποιεῖσθε ὡς αὐτοὶ ἢ ὀνομάσαντες ἢ πρῶτοι εὑρόντες, ἀγνοεῖτε δὲ ὅτι Λεύκολλος ὁ Ῥωμαίων στρατη-
51 γός, ὁ τὸν Μιθριδάτην καὶ Τιγράνην καταγωνισάμενος, πρῶτος διεκόμισεν εἰς Ἰταλίαν τὸ φυτὸν τοῦτο ἀπὸ Κερασοῦντος, Ποντικῆς πόλεως· καὶ οὗτός ἐστιν ὁ καὶ τὸν

---

καὶ ἀλγεῖν τὴν κεφαλὴν BCD. τὴν κεφαλὴν καὶ ἀλγεῖν VL. τό τε γὰρ V. τότε γὰρ .... L. φέρον αὐτὰ δένδρον CD et Levinii membranae. φέρει αὐτὰ δένδρα BVL. τοιοῦτον om. CD. In C lacuna. τῶν ἑπτὰ om. C relicta lacuna. In Aristophanis verbis particula aliqua post ὄρεσιν omissa esse et φύεται post αὐτομάτοισιν transponendum esse videtur. τὰ μιμαίκυλα] τὰ
κλ
μιμαίλου B. τρώγουσι BCD. τράγουσι VL. μιμαίκυλα] μιμαι B, et sic bis deinceps. ὡρικώτατα B. Legebatur ὡρικωτάτη.

50 f. Ἄμφις] Omisso poetae nomine attulit Eustathius p. 1657, 14. συκάμιν' L. συκαμίνους CD et Eustathius. συκαμίνου B. πρῖνος C. πρίνος VL. Θεόφραστος] H. P. III. 16, 4. p. 110. Λαρήνσιος] λαρίνσιος B. ἢ ὀνομ.] οἱ ὀνομ. B. ἀγνοεῖτε] ἀγνοεῖται B.

καρπὸν καλέσας κέρασον ὁμωνύμως τῇ πόλει, ὡς ἱστο-
ροῦσιν οἱ ἡμέτεροι συγγραφεῖς. πρὸς ὃν Δάφνος τίς φη-
σιν, Ἀλλὰ μὴν παμπόλλοις ἐνιαυτοῖς πρεσβύτερος Λευκόλ-
λου ἀνὴρ ἐλλόγιμος Δίφιλος ὁ Σίφνιος, γεγονὼς κατὰ Λυ-
σίμαχον τὸν βασιλέα, εἷς δὲ οὗτος τῶν Ἀλεξάνδρου δια-
δόχων, μνημονεύει τῶν κερασίων λέγων „Τὰ κεράσια εὐ-
b στόμαχα, εὔχυλα, ὀλιγότροφα, ἐκ ψυχροῦ δὲ λαμβανό-
μενα εὐστόμαχα. κάλλιω δὲ τὰ ἐρυθρότερα καὶ τὰ Μιλή-
σια· εἰσὶ γὰρ διουρητικά.“

36. ΣΥΚΑΜΙΝΑ. Ὅτι πάντων ἁπλῶς οὕτω καλούν-
των αὐτὰ Ἀλεξανδρεῖς μόνοι μόρα ὀνομάζουσι. συκάμινα
δὲ οὐ τὰ ἀπὸ τῆς Αἰγυπτίας συκῆς, ἅ τινες συκόμορα λέ-
γουσιν. ἅπερ οἱ ἐπιχώριοι ἐπὶ βραχὺ κνίσαντες σιδηρίῳ
ἐῶσιν ἐπὶ τοῦ φυτοῦ· καὶ ὑπὸ τοῦ ἀνέμου κινούμενα ἐντὸς
c ἡμερῶν τριῶν οὕτω πέπονα καὶ εὐώδη γίνονται, μάλιστα
δὲ ζεφύρων πνευσάντων, καὶ ἐδώδιμα ὡς τὸ ἐν αὐτοῖς
ἠρέμα ψυχρὸν καὶ τοῖς πυρεταίνουσι μετὰ ῥοδίνου ἐλαίου
καταπλαττόμενον ἐπὶ τοῦ στομάχου ἐπιτίθεσθαι καὶ οὐκ
ὀλίγα παρηγορεῖσθαι τοὺς νοσοῦντας. φέρει δὲ τὸν καρπὸν
τοῦτον ἡ Αἰγυπτία συκάμινος ἀπὸ τοῦ ξύλου καὶ οὐκ ἀπὸ
τῶν ἐπικαρπίων. μόρα δὲ τὰ συκάμινα καὶ παρ' Αἰσχύλῳ
ἐν Φρυξὶν ἐπὶ τοῦ Ἕκτορος

Ἀνὴρ δ' ἐκεῖνος ἦν πεπαίτερος μόρων.

ἐν δὲ Κρήσσαις καὶ τὰ τῆς βάτου

d Λευκοῖς τε γὰρ μόροισι καὶ μελαγχίμοις
καὶ μιλτοπρέπτοις βρίθεται ταὐτοῦ χρόνου.

---

51 a. κέρασον CD, κεράσιον VL. ἐνιαυτοῖς om. CD relicta lacuna. τὸν βασιλέα] τὸν β̄ C.

51 b. λαμβ. εὐστόμαχα] λαμβ. εὔστομα Schweigh. σιδηρίῳ L. σιδήρῳ V. τοῦ φυτοῦ C et Eustathius p. 872, 8. Legebatur τοῖς φυτοῖς. τριῶν] τεττάρων Casaubonus: vide annotationem.

51 c. δὲ τὰ συκάμινα] τὰ om. B. καὶ τὰ τῆς βάτου Porsonus comparato Eustathio p. 835, 11. (σημείωσαι ὅτι καὶ τὰ τῆς βάτου μόρα λέγεται) καὶ κατὰ τῆς βάτου L ex antiquae fidei codicibus, quibuscum CD consentire ait Schweigh. καὶ κατὰ τῆς κατ relicta sex circiter litterarum lacuna V. Pollux VI, 46. συκάμινα. ταῦτα δὲ καὶ μόρα Αἰσχύλος ὠνόμακε, τὰ ἄγρια οὕτως ὀνομάσας τὰ ἐκ τῆς βάτου.

51 d. μελαγχίμοις BCD. μελαγχύμοις VL. Eustathius p. 1254,

Σοφοκλῆς

Πρῶτον μὲν ὄψει λευκὸν ἀνθοῦντα στάχυν,
ἔπειτα φοινίξαντα γογγύλον μόρον.

καὶ Νίκανδρος δὲ ἐν Γεωργικοῖς ἐμφανίζει καὶ ὅτι πρότερον τῶν ἄλλων ἀκροδρύων φαίνεται, μορέην τε καλεῖ τὸ δένδρον ἀεὶ ὡς καὶ οἱ Ἀλεξανδρεῖς·

Καὶ μορέης, ἣ παισὶ πέλει μείλιγμα νέοισι
e πρῶτον ἀπαγγέλλουσα βροτοῖς ἡδεῖαν ὀπώρην.

37. Φανίας δ' ὁ Ἐρέσιος, ὁ Ἀριστοτέλους μαθητής, τὸν τῆς ἀγρίας συκαμίνου καρπὸν μόρον καλεῖ, ὄντα καὶ αὐτὸν γλυκύτατον καὶ ἥδιστον, ὅτε πεπανθείη. γράφει δὲ οὕτως „Τὸ μόρον τὸ βατῶδες ξηρανθείσης τῆς σφαίρας τῆς συκαμινώδους σπερματικὰς ἔχει τὰς συκαμινώδεις διαγονὰς καθάπερ ὑποφαινούσας καὶ διαφυὰς ἔχει ψαθυρὰς
f καὶ εὐχύμους." Παρθένιος δὲ ἄβρυνά φησι συκάμινα, ἃ καλοῦσιν ἔνιοι μόρα. Σαλαμίνιοι δὲ τὰ αὐτὰ ταῦτα βάτια· Δημήτριος δὲ ὁ Ἰξίων τὰ αὐτὰ συκάμινα καὶ μόρα, οἷον αἱμόρροα καὶ σύκων ἀμείνω. Δίφιλος δὲ ὁ Σίφνιος ἰατρὸς γράφει οὕτως „Τὰ δὲ συκάμινα, ἃ καὶ μόρα λέγεται, εὔ-

---

24. — οὕτω Αἰσχύλος πέπλοις μελαγχίμοις φησίν, ἕτερος δέ τις μελάγχιμα συκάμινα ἐν τῷ Λευκοῖς τε γὰρ μόροισι καὶ μελαγχίμοις, ὅπερ ἐστὶ μέλασι, καὶ μιλτοπρέποις, ἤγουν ἐρυθροῖς, βρίθεται ταὐτοῦ χροιᾷ.

μιλτοπρέπτοις] „In C videtur μιλτοπρέπεις esse, dedxisse vero μιλτοπρεπέσι." Schweigh. χρόνου L. χρυσίου V. Σοφοκλῆς] Omisso nomine affert Eustathius p. 835, 10.: tertio versu aucta grammaticus Bekkeri I. p. 361, 20. Apud Brunckium fr. 40. p. 679. γογγύλον] στρογγύλον Eustathius. Νίκανδρος] Fragm. 8. p. 282. ἀκροδρύων] ἀκροδρίων B. καλεῖ C. Legebatur καλῶν.

51 e. ὀπώρην VL. ὀπώραν BCD. Φανίας L. φαινίας BV.

δ' ὁ] Legebatur δέ. γράφει] γράφεται B. τὸ μόρον — συκαμινώδους] Eustathius p. 835, 11. ἔχει τὰς συκαμινώδεις διαγονὰς] ἔχει τὰς γονὰς Schneiderus ad Theophrastum vol. V. p. 513.



ὑποφαινούσας Schneiderus. ὑφαινούσας V. ὑφάλους C. ὑφάν B. Simile compendium in D esse videtur, in quo Schweigh. ὑφάντους agnoscebat. Legebatur διαφορὰς. διαφυὰς C superscripto διαφορὰς. εὐχύμους] ἀχύμους Schneiderus.

51 f. σαλμώνιοι C. σαλλαμμώνιοι D. Legebatur Σαλμώνιος. Grammaticus Bekkeri p. 224, 18. Βάτια: συκαμίνου ὁ καρπὸς, ὑπὸ Σαλαμινίων. καλεῖται δὲ καὶ ἄβρυνα καὶ μόρα. Unde Σαλαμίνιοι restitui.

αἱμόρροα] αἱμόρου BCD. Quod in VL sequitur μόρα, om. B.

χυλα μέν ἐστι μέσως, ὀλιγότροφα δὲ καὶ εὐστόμαχα καὶ εὐέκκριτα. ἰδίως δὲ τούτων τὰ ἔνωμα ἕλμινθας ἐκτινάσσει.“
52 Πύθερμος δὲ ἱστορεῖ, ὥς φησιν Ἡγήσανδρος, καθ᾽ αὑτὸν τὰς συκαμίνους οὐκ ἐνεγκεῖν καρπὸν ἐτῶν εἴκοσι, καὶ γενέσθαι ἐπιδημίαν ποδαγρικὴν τοσαύτην ὥστε μὴ μόνον ἄνδρας τῷ πάθει ἐνσχεθῆναι, ἀλλὰ καὶ παῖδας καὶ κόρας καὶ εὐνούχους, ἔτι δὲ γυναῖκας. περιπεσεῖν δὲ οὕτω τὸ δεινὸν καὶ αἰπολίῳ, ὡς τὰ δύο μέρη τῶν προβάτων ἐνσχεθῆναι τῷ αὐτῷ πάθει.

38. *ΚΑΡΥΑ.* Οἱ Ἀττικοὶ καὶ οἱ ἄλλοι συγγραφεῖς κοινῶς πάντα τὰ ἀκρόδρυα κάρυα λέγουσιν, Ἐπίχαρμος δὲ
b κατ᾽ ἐξοχὴν ὡς ἡμεῖς „Καπυροτρώγονα κάρυα, ἀμυγδάλας.“ Φιλύλλιος „Ὠὰ, κάρυα, ἀμυγδάλαι.“ Ἡρακλέων δέ φησιν ὁ Ἐφέσιος „Κάρυα ἐκάλουν καὶ τὰς ἀμυγδάλας καὶ τὰ νῦν καστάνεια.“ τὸ δὲ δένδρον καρύα παρὰ Σοφοκλεῖ „Καρύαι μελίαι τε.“ Εὔβουλος „Φηγοὺς, κάρυα Καρύστια.“ καλεῖται δέ τινα καὶ μόστηνα κάρυα.

39. *ΑΜΥΓΔΑΛΑΙ.* Ὅτι αἱ Νάξιαι ἀμυγδάλαι διὰ μνήμης ἦσαν τοῖς παλαιοῖς· καὶ γίνονται ὄντως ἐν Νάξῳ
c τῇ νήσῳ διάφοροι, ὡς ἐμαυτὸν, φησὶ, πείθω. Φρύνιχος

Τοὺς δὲ γομφίους
ἅπαντας ἐξέκοψεν, ὥστ᾽
οὐκ ἂν δυναίμην Ναξίαν
ἀμυγδάλην κατᾶξαι.

διάφοροι δ᾽ ἀμυγδάλαι γίνονται κἀν Κύπρῳ τῇ νήσῳ. παρὰ γὰρ τὰς ἀλλαχόθεν καὶ ἐπιμήκεις εἰσὶ καὶ κατὰ τὸ ἄκρον ἐπικαμπεῖς. Λάκωνας δὲ Σέλευκος ἐν Γλώσσαις φησὶ καλεῖν τὰ μαλακὰ κάρυα μυκήρους, Τηνίους δὲ τὰ γλυ-

---

et deleri volebat Casaubonus. ἐστι B. ἐστὶν C. εἰσὶ VL. μέσως om. C. ἕλμινθας] ἑλμίνθους B.

52 a. καθ᾽ αὑτὸν] Scribebatur κατ᾽ αὐτόν. ποδαγρικὴν CD. ποδαγρικῶν VL. ἀκρόδρυα κάρυα] ἀκρόδρυα κάρια B.

52 b. Καπυροτρώγονα κάρυα] Scribendum puto Καπυρὰ τρώγων κάρυ᾽. Ὠὰ] ὅα Dalecampius. Vid. Ruhnken. ad Timaeum p. 189. καὶ μόστηνα] Πραινέστινα Salmasius Exerc. Plin. p. 424 b.

τοῖς παλαιοῖς] τοῖς πολλοῖς BCD. Vid. ad 44 b.

52 c. ἀλλαχόθεν BCD et libri Casauboniani. ἀλλαχόθι VL. μαλακὰ BCD et libri Casauboniani. μεγάλα VL. μυκήρους] Scribe μουκήρους ex 53 b.

κια κάρυα. Ἀμερίας δέ φησι μύκηρον τὴν ἀμυγδάλην
d καλεῖσθαι. ἐπακτικώτατα δὲ πρὸς ποτὸν τὰ ἀμύγδαλα προεσθιόμενα. Εὔπολις

Δίδου μασᾶσθαι Ναξίας ἀμυγδάλας
οἰνόν τε πίνειν Ναξίων ἀπ' ἀμπέλων.

ἦν δέ τις ἄμπελος Ναξία καλουμένη. Πλούταρχος δὲ ὁ Χαιρωνεύς φησι παρὰ Δρούσῳ τῷ Τιβερίου Καίσαρος υἱῷ ἰατρόν τινα ὑπερβάντα πάντας ἐν τῷ πίνειν φωραθῆναι πρὸ τοῦ ποτοῦ προεσθίοντα πικρὰς ἀμυγδάλας πέντε ἢ
e ἕξ· ὥσπερ κωλυθεὶς προσενέγκασθαι οὐδὲ πρὸς τὸ μικρότατον ἀντέσχε τοῦ ποτοῦ. αἴτιος οὖν ἦν ἡ τῆς πικρότητος δύναμις, ξηραντικὴ καὶ δάπανος ὑγρῶν οὖσα. κληθῆναι δὲ ἀμυγδάλας φησὶν Ἡρωδιανὸς ὁ Ἀλεξανδρεὺς παρὰ τὸ ἐν τῷ μετὰ τὸ χλωρὸν ὡσπερεὶ ἀμυχὰς ἔχειν πολλάς.

Ὄνος βαδίζεις εἰς ἄχυρα τραγημάτων

φησί που Φιλήμων. „Φηγοὶ Πανὸς ἄγαλμα" φησὶ Νίκανδρος ἐν δευτέρῳ Γεωργικῶν.

Ὅτι καὶ οὐδετέρως ἀμύγδαλα λέγεται. Δίφιλος

f Τρωγάλια, μυρτίδες, πλακοῦς, ἀμύγδαλα.

40. Ὅτι περὶ τῆς προφορᾶς τοῦ τόνου τῆς ἀμυγδάλης Πάμφιλος μὲν ἀξιοῖ ἐπὶ τοῦ καρποῦ βαρύνειν ὁμοίως τῷ ἀμυγδάλῳ· τὸ μέντοι δένδρον θέλει περισπᾶν, ἀμυγδαλῆ καὶ ῥοδῆ. καὶ Ἀρχίλοχος „Ῥοδῆς τε καλὸν ἄνθος."
53 Ἀρίσταρχος δὲ καὶ τὸν καρπὸν καὶ τὸ δένδρον ὁμοίως προφέρεται κατ' ὀξεῖαν τάσιν. Φιλόξενος δ' ἀμφότερον περισπᾷ. Εὔπολις

Ἀπολεῖς με, ναὶ μὰ τὴν ἀμυγδαλῆν.

---

52 d. Εὔπολις] In Ταξιάρχοις: vide Ammonium in ἀμυγδαλῆ p. 12. qui priorem versum attulit. Πλούταρχος] Sympos. p. 624 c. ὥσπερ] ἅπερ BCD.

52 e. ἀμυγδάλας] ἀμυγδάλη B. Φιλήμων] Fragm. 93. p. 425. Meinek. φηγοὶ BCD et Casauboniani. φηγίνεον VL. Νίκανδρος] Fragm. 7. p. 281.

52 f. ὁμοίως] ὁμοίας B. ἀρχίλοχος BCD cum aliis grammaticis. ἀντίλοχος VL. Fragm. 37. p. 306. Gaisf.

53 a. Εὔπολις] In Βάπταις: vide Herodianum περὶ μονήρους λέξεως p. 6, 24. Ἀπολεῖς] ἀλλεξομέλεις Herodianus. Scribendum videtur ἀλλ' ἐξαπολεῖς. ἀμυγδαλῆν C et Herodianus. Scribebatur ἀμυγδάλην.

Ἀριστοφάνης

Ἄγε νῦν τὰς ἀμυγδαλᾶς λαβὼν
τασδὶ κάταξον τῇ κεφαλῇ σαυτοῦ λίθῳ.

Φρύνιχος

Ἀμυγδαλῆ τῆς βηχὸς ἀγαθὸν φάρμακον.

ἄλλοι δὲ ἀμυγδαλὰς ὡς καλάς. Τρύφων δὲ ἐν Ἀττικῇ
b προσῳδία ἀμυγδάλην μὲν τὸν καρπὸν βαρέως, ὃν ἡμεῖς
οὐδετέρως ἀμύγδαλον λέγομεν, ἀμυγδαλῆ δὲ τὰ δένδρα
κτητικοῦ παρὰ τὸν καρπὸν ὄντος τοῦ χαρακτῆρος καὶ διὰ
τοῦτο περισπωμένου. ὅτι Πάμφιλος ἐν Γλώσσαις μουκηρό-
βατόν φησι καλεῖσθαι τὸν καρυοκατάκτην ὑπὸ τῶν Λα-
κώνων ἀντὶ τοῦ ἀμυγδαλοκατάκτην· μουκήρους γὰρ Λά-
κωνες καλοῦσι τὰ ἀμύγδαλα.

41. Ὅτι Ποντικῶν καλουμένων καρύων, ἃ λόπιμά τι-
νες ὀνομάζουσι, μνημονεύει Νίκανδρος. Ἑρμῶναξ δὲ καὶ
c Τιμαχίδας ἐν Γλώσσαις Διὸς βάλανόν φησι καλεῖσθαι τὸ
Ποντικὸν κάρυον.

Ἡρακλείδης δὲ ὁ Ταραντῖνος ζητεῖ πότερον προπαρα-
τίθεσθαι δεῖ τὰ τραγήματα, καθάπερ ἔν τισι τόποις τῶν
κατὰ τὴν Ἀσίαν καὶ τὴν Ἑλλάδα γίνεται, ἢ οὔ, ἀλλὰ
μετὰ τὸ δεῖπνον. ἐὰν μὲν οὖν μετὰ τὸ δεῖπνον, συμβαίνει
πλείονος τροφῆς παρενδυομένης ἐν τῇ κοιλίᾳ καὶ τοῖς ἐν-
τέροις τὰ ἐπεισφερόμενα κάρυα χάριν τῆς πρὸς τὸ πίνειν
ὁρμῆς ἐμπλεκόμενα τοῖς σιτίοις ἐμπνευματώσεις καὶ φθο-
d ρὰς τῆς τροφῆς παρασκευάζειν, διὰ τὸ παρακολουθοῦν
αὐτοῖς ἐπιπολαστικὸν φύσει καὶ δυσκατέργαστον· ἐξ ὧν
ἀπεψίαι γίνονται καὶ κοιλίας καταφοραί.

---

ἀμυγδαλᾶς CV. ἀμυγδαλὰς L. τῇ κεφαλῇ Dobraeus ad Aristoph. Plut. 314. p. 38. Legebatur τὴν κεφαλήν. ἀμυγδαλῆ C. Scribebatur ἀμυγδάλη. Τρύφων δὲ] δὲ om. B. προσῳδίᾳ] προσῳδῷ B. ἀμυγδάλη μὲν C.

53 b. μουκηρόβατον] μουκηροβάταν Schweigh. Ποντικῶν] Εὐβοϊκῶν Casaubonus. Vide 54 d. Ἑρμῶναξ] Scribebatur Ἑρμώναξ.

53 c. φησι] φασι Salmasius. κάρυον] κάριον B. παρενδυομένης VL. παρ' ἐκείνης B. „ἐκείνοις C. παρ' ἐκείνοις D.“ Schweigh. ἐμπλεκόμενα] ἐμπλεκόμενος CD. παρασκευάζειν] παρασκευάζει B.
53 d. παρακολουθοῦν] παρακολουθεῖν B.

42. Τὰ δὲ ἀμύγδαλα, φησὶ Διοκλῆς, τρόφιμα μέν ἐστι καὶ εὐκοίλια, θερμαντικὰ δὲ διὰ τὸ ἔχειν κεγχρῶδές τι. λυπεῖ δ' ἧττον τὰ χλωρὰ τῶν ξηρῶν καὶ τὰ βεβρεγμένα τῶν ἀβρόχων καὶ τὰ πεφρυγμένα τῶν ὠμῶν. τὰ δὲ Ἡρακλεωτικὰ καλούμενα καὶ Διὸς βάλανοι τρέφει μὲν οὐχ
e ὁμοίως τοῖς ἀμυγδάλοις, ἔχει δέ τι κεγχρῶδες καὶ ἐπιπολαστικόν· πλείω δὲ βρωθέντα βαρύνει τὴν κεφαλήν. ἧττον δ' ἐνοχλεῖ καὶ τούτων τὰ χλωρὰ τῶν ξηρῶν. τὰ δὲ Περσικὰ κεφαλαλγικὰ μέν ἐστιν οὐχ ἧττον τῶν Διὸς βαλάνων, τρέφει δὲ μᾶλλον. φάρυγγα τραχύνει καὶ στόμα· ὀπτηθέντα δὲ ἀλυπότερα γίνεται· διαχωρεῖ δὲ μάλιστα τῶν καρύων ἐσθιόμενα μετὰ μέλιτος. τὰ δὲ πλατέα φυσωδέστερά ἐστιν, ἀλυπότερα δὲ τὰ ἑφθὰ τῶν ὠμῶν καὶ πε-
f φρυγμένων, τὰ δὲ πεφρυγμένα τῶν ὠμῶν. Φιλότιμος δὲ ἐν τοῖς περὶ τροφῆς φησι „Τὸ πλατὺ καὶ τὸ καλούμενον Σαρδιανὸν δυσκατέργαστά ἐστιν ὠμὰ πάντα καὶ δυσδιάλυτα, κατεχόμενα ὑπὸ τοῦ φλέγματος ἐν τῇ κοιλίᾳ καὶ στρυφνότητα ἔχοντα. τὸ δὲ Ποντικὸν λιπαρὸν καὶ δυσκατέργαστον. τὸ δὲ ἀμύγδαλον ἧττον δυσκατέργαστον· φαγόντες γοῦν πλείονα οὐκ ἐνοχλούμεθα· λιπαρώτερά τε φαίνεται καὶ ἀναδίδωσι χυμὸν γλυκὺν καὶ λιπαρόν.“ Δίφιλος
4 δ' ὁ Σίφνιος „Τὰ κάρυα (φησὶ) τὰ βασιλικὰ κεφαλαλγῆ ἐστι καὶ ἐπιπολαστικά. τούτων δὲ τὰ ἁπαλὰ ἔτι καὶ λελευκασμένα εὐχυλότερα καὶ κρείττονα ὑπάρχει, τὰ δ' ἐν τοῖς ἰπνοῖς φρυγόμενα ὀλιγότροφα. τὰ δὲ ἀμύγδαλά ἐστιν οὐρητικὰ καὶ λεπτυντικὰ καὶ καθαρτικὰ καὶ ὀλιγότροφα. τῶν μέντοι χλωρῶν, κακοχύλων ὄντων καὶ ἀτροφωτέρων, πολὺ μᾶλλον φυσωδέστερα καὶ ἐπιπολαστικώτερά ἐστι τὰ ξηρά.
b τὰ δὲ ἁπαλὰ καὶ πλήρη καὶ λελευκασμένα, γαλακτώδη ὄντα, εὐχυλότερά ἐστι. τῶν δὲ ξηρῶν τὰ Θάσια καὶ Κύπρια,

---

καλούμενα καὶ Διὸς] καλούμενα δὲ διὸς B.

53 e. κεφαλαλγικὰ BCD. κεφαλαλγητικὰ VL. μᾶλλον. φάρυγγα BCD. μᾶλλον καὶ φάρυγγα VL.

53 f. Φιλότιμος] φυλότιμος C apud Schweigh. ad 81 a. γοῦν] Legebatur οὖν.

54 a. εὐχυλότερα] Libri εὐχυλώτερα. ἐστιν οὐρητικὰ καὶ λεπτυντικὰ BCD. ἐστι λεπτυντικὰ καὶ οὐρητικὰ VL. εὐχυλότερα C. εὐχυλώτερα L. εὐχυλώτερα V.

ἁπαλὰ ὄντα, εὐεκκριτώτερα ἐστι. τὰ δὲ Ποντικὰ κάρυα κεφαλαλγῆ, ἧττον δ' ἐπιπολαστικὰ τῶν βασιλικῶν."

43. Μνησίθεος δ' ὁ Ἀθηναῖος ἐν τῷ περὶ ἐδεστῶν „Τῶν Εὐβοϊκῶν (φησὶ) καρύων ἢ καστάνων, ἀμφοτέρως γὰρ καλεῖται, δύσπεπτος μὲν ἡ κατεργασία τῇ κοιλίᾳ καὶ φυσώδης ἡ πέψις γίνεται, παχύνει δὲ τὰς ἕξεις, ἐάν τις αὐτῶν κρατήσῃ. τὰ δὲ ἀμύγδαλα καὶ τὰ Ἡρακλεωτικὰ καὶ τὰ Περσικὰ κάρυα καὶ τἄλλα τὰ τοιαῦτα χείρω ἐστὶ τού-
c των. χρὴ δὲ μηδὲν ὅλως τῆς τοιαύτης ἰδέας ἄπυρον ἐσθίειν ἔξω τῶν χλωρῶν ἀμυγδάλων, ἀλλὰ τὰ μὲν ἕψειν, τὰ δὲ φρύγειν. τὰ μὲν γὰρ αὐτῶν ἐστι λιπαρὰ τῇ φύσει, καθάπερ ἀμυγδάλαι τε αἱ ξηραὶ καὶ Διὸς βάλανοι, τὰ δὲ σκληρὰ καὶ στρυφνά, καθάπερ αἵ τε φηγοὶ καὶ πᾶν τὸ τοιοῦτον γένος. τῶν οὖν λιπαρῶν ἀφαιρεῖται τὸ λίπος ἡ πύρωσις· ἔστι γὰρ τοῦτο χείριστον· τὰ δὲ σκληρὰ καὶ στρυφνὰ πεπαίνεται, ἐάν τις ὀλίγῳ καὶ μαλακῷ πυρὶ χρῆται." ὁ δὲ Δίφιλος τὰ κάστανα καὶ Σαρδιανὰ βαλάνους καλεῖ, εἶναι λέγων αὐτὰς καὶ πολυτρόφους καὶ εὐχύλους, δυσοικονομή-
d τους δὲ διὰ τὸ ἐπιμένειν τῷ στομάχῳ· τὰς δὲ φρυγείσας ἀτροφωτέρας μὲν γίνεσθαι, εὐοικονομήτους δέ· τὰς δὲ ἑψομένας ἐμπνευματοῦν μὲν ἧττον, τρέφειν δὲ τούτων μᾶλλον.

Λόπιμον κάρυόν τε
Εὐβοέες, βάλανον δὲ μετεξέτεροι καλέσαντο,

Νίκανδρός φησιν ὁ Κολοφώνιος ἐν Γεωργικοῖς. Ἀγέλοχος δὲ ἄμωτα καλεῖ τὰ καστάνεια „Ὅπου δὲ γίνεται τὰ κάρυα τὰ Σινωπικά, ταῦτα δένδρα ἐκάλουν ἄμωτα."

e 44. ΕΡΕΒΙΝΘΟΙ. Κρώβυλος

Χλωρὸν ἐρέβινθόν τινα
ἐκοττάβιζον κενὸν ὅλως. τράγημα δὲ

---

54 b. κρατήσῃ] κρατήσει B.

54 c. καθάπερ ἀμυγδάλαι BCD. καθάπερ αἱ ἀμυγδάλαι VL. βάλανοι, τὰ δὲ σκληρὰ Schweigh. Libri βάλανοι, τὰ δὲ ξηρά. Legebatur Σαρδιανούς. Σαρδιανὰς Schweigh. σαρδιανὰ C. Quod legisse videtur Eustathius p. 948, 50. Εὐβοϊκά δέ φασι κάστανα καὶ Σαρδιανὰ βάλανοι ἐκαλοῦντο.

54 d. Εὐβοέες L. Εὐβοέοις V. καλέσαντο] καλέσαντες C. Νίκανδρος] Fragm. 14. p. 283. Respexit ad haec Eustathius p. 1863, 52.

54 e. τινα BCD. τιν' VL. ὅλως L. ὅλος V. τράγημα δὲ]

ἐστιν πιθήκου τοῦτο δήπου δυστυχοῦς.
Ὅμηρος

Θρώσκουσιν κύαμοι μελανόχροες ἢ ἐρέβινθοι.

Ξενοφάνης ὁ Κολοφώνιος ἐν παρῳδίαις

Πὰρ πυρὶ χρὴ τοιαῦτα λέγειν χειμῶνος ἐν ὥρῃ,
ἐν κλίνῃ μαλακῇ κατακείμενον, ἔμπλεον ὄντα,
πίνοντα γλυκὺν οἶνον, ὑποτρώγοντ᾽ ἐρεβίνθους·
τίς πόθεν εἶς ἀνδρῶν, πόσα τοι ἔτη ἐστὶ φέριστε,
πηλίκος ἦσθ᾽ ὅθ᾽ ὁ Μῆδος ἀφίκετο;

f Σαπφὼ „Χρύσειοι ἐρέβινθοι ἐπ᾽ αἰόνων ἐφύοντο." Θεόφραστος δ᾽ ἐν φυτικοῖς τῶν ἐρεβίνθων τινὰς καλεῖ κρείους. καὶ Σώφιλος „Ὁ πατὴρ ὁ ταύτης πολὺ μέγιστός ἐστι κρεῖος ἐρέβινθος." Φανίας δ᾽ ἐν τοῖς περὶ φυτῶν φησι „Τραγήματος ἔχει χώραν ἁπαλὰ μὲν ὦχρος, κύαμος, ἐρέβινθος, ξηρὰ δὲ ἑφθὰ καὶ φρυκτὰ σχεδὸν τὰ πλεῖστα." Ἄλεξις

Ἔστιν ἀνήρ μοι πτωχός, κἀγὼ
a γραῦς, καὶ θυγάτηρ, καὶ παῖς υἱός,
χἤδ᾽ ἡ χρηστή, πένθ᾽ οἱ πάντες.
τούτων οἱ τρεῖς δειπνοῦμεν,
δύο δ᾽ αὐτοῖς συγκοινωνοῦμεν
μάζης μικρᾶς. φθόγγους δ᾽ ἀλύρους
θρηνοῦμεν ἐπὰν μηδὲν ἔχωμεν·
χρῶμα δ᾽ ἀσίτων ἡμῶν ὄντων
γίγνεται ὠχρόν. τὰ μέρη δ᾽ ἡμῶν
χἠ σύνταξις τοῦ βίου ἐστὶν

---

Legebatur τραγήματα δ᾽. τράγημα δὴ Casaubonus. Ὅμηρος] Iliad. ν, 589. παρῳδίαις Menagius ad Diogen. Laert. IX, 18. p. 400. Legebatur παρῳδαῖς. Vide ad p. 64 c. III. p. 73 d. XV. p. 636 e. V. 3. affert Eustathius p. 948, 40.

54 f. Σαπφὼ] Eustathius p. 948, 44. ἐν φυτικοῖς] VIII. 5, 1. p. 266. ubi κριοὶ dicuntur: κρεῖοι Eustathius p. 948, 46. qui sua ex Athenaeo petiit. Conf. 55 b. Σώφιλος] Scribebatur Σόφιλος. Φανίας] Scribebatur Φαινίας. Ἄλεξις] In Ὀλυνθίῳ: vide III. p. 75 a.

55 a. V. 3. χἤδ᾽] Libri καὶ ἤδ᾽. V. 4. δειπνοῦμεν] δειπνοῦσιν Grotius in Excerptis p. 597. μὲν δειπνοῦσιν Schweigh. V. 6. μικρᾶς BCD et Casauboniani. μιᾶς VL. V. 9. γίγνεται] Libri γίνεται. V. 10. ἐστὶν] Libri ἐστι.

κύαμος, θέρμος, λάχανον, * *
γογγυλὶς, ὦχρος, λάθυρος, φηγὸς,
βολβὸς, τέττιξ, ἐρέβινθος, ἀχρὰς,
τό τε θειοφανὲς μητρῷον ἐμοὶ
μελέδημ᾽ ἰσχὰς,
Φρυγίας εὑρήματα συκῆς.

b Φερεκράτης

Ταχεροὺς ποιήσεις τοὺς ἐρεβίνθους εὐθέως.

πάλιν

Τρώγων ἐρεβίνθους ἀπεπνίγη πεφρυγμένους.

Δίφιλος δέ φησιν „Οἱ ἐρέβινθοι δύσπεπτοι, σμηκτικοὶ, οὐρητικοὶ, πνευματικοί.“ κατὰ δὲ Διοκλέα ζυμωτικοὶ τῆς σαρκός· κρείττους δ᾽ οἱ λευκοὶ τῶν μελάνων καὶ πυξοειδεῖς, καὶ οἱ Μιλήσιοι τῶν λεγομένων κρείων, οἵ τε χλωροὶ τῶν ξηρῶν καὶ οἱ ἀποβεβρεγμένοι τῶν ἀβρόχων. ὅτι Ποσειδῶνος εὕρεμα οἱ ἐρέβινθοι.

c 45. ΘΕΡΜΟΙ. Μὴ ὥρασι
μετὰ τῶν κακῶν ἵκοιθ᾽ ὁ τοὺς θέρμους φαγὼν,
ἐν τῷ προθύρῳ τὰ λέμμαθ᾽ ὅτιὴ κατέλιπεν,
ἀλλ᾽ οὐκ ἀπεπνίγη καταφαγών. μάλιστα δὲ
Κλεαίνετος μὲν οὐκ ἐδήδοκ᾽ οἶδ᾽ ὅτι
ὁ τραγικὸς αὐτούς· οὐδενὸς γὰρ πώποτε

---

V. 11. Post λάχανον indicavi lacunam. V. 12. 13. ὦχρος — ἀχρὰς affert Eustathius p. 948, 41. sine nomine poetae pariterque v. 14. — 16. p. 1572, 62. V. 14. θειοφανὲς p. 75. B et Casauboni membranae praebuerunt. Legebatur θειοπαγὲς consentiente Eustathio. θειοφανὲς etiam Brunckius. V. 16. εὑρήματα Porsonus. Libri et Eustathius εὕρημα.

55 b. Φερεκράτης] In Crapatalis: vide IX. p. 366 d. ποιήσεις] ποιῆσαι 366. εὐθέως] αὐτόθι 366. σμηκτικοὶ L. μηκτικοὶ BCDV. καὶ πυξοειδεῖς] καὶ οἱ πυξοειδεῖς Schweigh. Eustathius p. 948, 45. allato Sapphonis versu (54 f.) λέγει δέ φασι, inquit, χρυσέους ἐκείνη ἐρεβίνθους τοὺς κατὰ πύξον ὠχροὺς, οὓς δηλοῖ καὶ ὁ εἰπὼν ὡς κρείττους οἱ λευκοὶ τῶν μελάνων καὶ οἱ πυξοειδεῖς. ἀποβεβρεγμένοι BCD. βεβρεγμένοι VL.

55 c. Θέρμοι] Qui sequuntur sunt Alexidis versus: vide Pollucem VI, 45. qui τοὺς θέρμους — κατέλιπεν attulit. V. 1. ὥρασι] Scribebatur ὥρασσι. ὥρασι μὲν Hermannus in praefat. ad Epitomen doctr. metr. p. XIX. V. 2. μετὰ τῶν κακῶν vereor ut poetae verba sint, fueruntque etiam Casaubono suspecta. V. 6. πώ-

ἀπέβαλεν ὀσπρίου λέπος·
οὕτως ἐκεῖνός ἐστιν εὐχερὴς ἀνήρ.

Λυκόφρων δ' ὁ Χαλκιδεὺς ἐν σατυρικῷ δράματι, ὃ ἐπὶ καταμωκήσει ἔγραφεν εἰς Μενέδημον τὸν φιλόσοφον, ἀφ' οὗ ἡ τῶν Ἐρετρικῶν ὠνομάσθη αἵρεσις, διασκώπτων τῶν φιλοσόφων τὰ δεῖπνά φησι

Καὶ δημόκοινος ἐπεχόρευσε δαψιλὴς
θέρμος, πενήτων καὶ τρικλίνου συμπότης.

Δίφιλος

Οὐκ ἔστιν οὐδὲν τέχνιον ἐξωλέστερον
τοῦ πορνοβοσκοῦ·
κατὰ τὴν ὁδὸν πωλεῖν περιπατῶν βούλομαι
ῥόδα, ῥαφανῖδας, θερμοκυάμους, στέμφυλα,
ἄλλως ἅπαντα μᾶλλον ἢ ταύτας τρέφειν.

καὶ σημείωσαι, φησί, τὸ θερμοκυάμους, ἐπεὶ καὶ νῦν οὕτω λέγεται. Πολέμων δέ φησι τοὺς Λακεδαιμονίους τοὺς θέρμους λυσιλαΐδας καλεῖν. Θεόφραστος δὲ ἱστορεῖ ἐν αἰτίοις φυτικοῖς ὅτι θέρμος καὶ ὄροβος καὶ ἐρέβινθος μόνα οὐ ζωοῦται τῶν χεδροπῶν, διὰ τὴν δριμύτητα καὶ πικρότητα. ὁ δ' ἐρέβινθος, φησί, μέλας γίνεται διαφθειρόμενος. γίνεσθαι δὲ λέγει κάμπας ἐν τοῖς ἐρεβίνθοις ὁ αὐτὸς ἐν τῷ

---

ποτε] κόποτ' B. V. 7. ἀπέβαλεν BC. Legebatur ἀπέβαλλεν. λέπος] λέπος Κλεαίνετος Casaubonus. ἐν σατυρικῷ δράματι] In Μενεδήμῳ: vide annotationem.

55 d. ἔγραφεν BD. ἔγραψεν VL. In C decurtatum, ut nec φ nec ν appareat. διαδκώπτων] διασκώπτει B. Lycophronis versus iterum attulit X. p. 420 b. δημόκοινος Casaubonus. Libri δημόκριτος. δημόνικος 420. ἐπεχόρευσε] ἐπεχόρευε 420. τρικλίνου B et 420. Legebatur τρικλίνων. τοῦ πορνοβοσκοῦ interpretis esse videntur Iacobsio p. 44. ῥαφανῖδας] Scribebatur ῥαφανίδας.

55 e. ἄλλως] ἁπλῶς Iacobsius p. 44. σημείωσαι] σημειώτης B. αἰτίοις φυτικοῖς (φυσικοῖς B.)] IV. 2, 2. p. 405. qui locus in libris vulgatis pessime habitus sic est scribendus ex libro Urbinate — τῷ δριμύτητά τινα καὶ πικρότητα χυλοῦ (scil. ἔχειν), καθάπερ ὁ θέρμος καὶ ὁ ἐρέβινθος καὶ ὁ ὄροβος· μόνα γὰρ δὴ καὶ οὐ ζωοῦται τῶν χεδρόπων ὁ θέρμος καὶ ὁ ἐρέβινθος, ἀλλ' ὅ γ' ἐρέβινθος μέλας γίγνεται διαφθειρόμενος. χεδροπῶν (χεδροπῶν B)] Immo χεδρόπων. Sed χεδροπῶν etiam Eustathius p. 948, 33. μέλας Theophrastus. Libri μέγας. ἐν τῷ τετάρτῳ] Immo III. 22, 3. p. 486. τότε γὰρ ἐγγίγνονται αἱ κάμπαι τοῖς ἐρεβίνθοις — .

f τετάρτῳ τῆς αὐτῆς πραγματείας. Δίφιλος δ' ὁ Σίφνιος τοὺς θέρμους φησὶν εἶναι σμηκτικοὺς καὶ πολυτρόφους, μάλιστα δὲ τοὺς ἐπὶ πλεῖον ἀπεγλυκασμένους. διὸ καὶ Ζήνων ὁ Κιτιεὺς, σκληρὸς ὢν καὶ πάνυ θυμικὸς πρὸς τοὺς γνωρίμους, ἐπὶ πλεῖον τοῦ οἴνου σπάσας ἡδὺς ἐγίνετο καὶ μείλιχος. πρὸς τοὺς πυνθανομένους γοῦν τοῦ τρόπου τὴν διαφορὰν ἔλεγε τὸ αὐτὸ τοῖς θέρμοις πάσχειν· καὶ γὰρ ἐκείνους πρὶν διαβραχῆναι πικροτάτους εἶναι, ποτισθέντας
56 δὲ γλυκεῖς καὶ προσηνεστάτους.

46. ΦΑΣΗΛΟΙ. Λακεδαιμόνιοι ἐν τοῖς δείπνοις τοῖς καλουμένοις κοπίσι διδόασι τραγήματα σῦκά τε ξηρὰ καὶ κυάμους καὶ φασήλους χλωρούς· ἱστορεῖ Πολέμων. Ἐπίχαρμος

Φασήλους φῶγε θᾶσσον, αἴ χ' ὁ Διόνυσος φιλῇ.

Δημήτριος

Ἢ σῦκον, ἢ φάσηλον, ἤ τοιοῦτό τι.

47. ΕΛΑΑΙ. Εὔπολις „Σηπίαι δρυπεπεῖς τ' ἐλᾶαι." ταύτας Ῥωμαῖοι δρύππας λέγουσι. Δίφιλος δέ φησιν ὁ
b Σίφνιος τὰς ἐλάας ὀλιγοτρόφους εἶναι καὶ κεφαλαλγεῖς, τὰς δὲ μελαίνας καὶ κακοστομαχωτέρας καὶ βαρύνειν τὴν κεφαλὴν, τὰς δὲ κολυμβάδας καλουμένας εὐστομαχωτέρας εἶναι καὶ κοιλίας στατικὰς, τὰς δὲ θλαστὰς μελαίνας εὐστομαχωτέρας εἶναι. μνημονεύει τῶν θλαστῶν ἐλαῶν Ἀριστοφάνης „Θλαστὰς ποιεῖν ἐλάας." πάλιν

Οὐ ταυτόν ἐστιν ἁλμάδες καὶ στέμφυλα.

καὶ μετ' ὀλίγα

c Θλαστὰς γάρ εἶναι κρεῖττόν ἐστιν ἁλμάδος.

Ἀρχέστρατος ἐν τῇ Γαστρονομίᾳ

---

55 f. Κιτιεὺς Eustathius p. 1910, 42. Scribebatur Κιττιεύς. θυμικὸς C. θυμοτικὸς V. θυμωτικὸς L. μιτικὸς D. γοῦν] Legebatur οὖν.

56 a. τε ξηρὰ Schweigh. Libri τὰ ξηρὰ hic et IV. p. 139 a. Φασήλους φῶγε] Καὶ φασήλους φῶγε Toupius Emend. vol. III. p. 193. Ἐλᾶαι] Scribebatur Ἐλάαι hic et infra.

56 b. ἐλαῶν] Libri ἐλαιῶν. θλαστὰς ἐλαίας ex Athenaeo memorat Eustathius p. 1208, 14. Ἀριστοφάνης] In Νήσοις: vide Pollucem VI, 45. ἐλάας] Libri ἐλαίας.

56 c. κρεῖττον] Libri κρεῖσσον. ἁλμάδος] ἁλμάδας H. Stephanus Thesaur. vol. I. p. 374 E. (ubi editio Londinensis p. 189

Ῥυσαὶ καὶ δρυπεπεῖς παρακείσθωσάν σοι ἐλᾶαι.

Ὥστε Μαραθῶνος τὸ λοιπὸν ἐπ' ἀγαθῷ μεμνημένοι
πάντες ἐμβαλοῦσιν ἀεὶ μάραθον εἰς τὰς ἁλμάδας,

φησὶν Ἕρμιππος. Φιλήμων φησὶν „Πιτυρίδες καλοῦνται αἱ φαῦλαι ἐλᾶαι, στεμφυλίδες δὲ αἱ μέλαιναι.“ Καλλίμαχος δ' ἐν τῇ Ἑκάλῃ γένη ἐλαῶν καταλέγει „Γεργέριμον πί-
d τυρίν τε.“ ἔλεγον δὲ τὰς δρυπεπεῖς ἐλάας καὶ ἰσχάδας καὶ γεργερίμους, ὥς φησι Δίδυμος. καὶ χωρὶς δὲ τοῦ φάσκειν ἐλάας αὐτὸ καθ' ἑαυτὸ ἔλεγον μόνον δρυπεπεῖς. Τηλεκλείδης

Ξυγγενέσθαι διὰ χρόνου μ' ἐλιπάρει
δρυπεπέσι μάζαις καὶ διασκανδικίσαι.

Ἀθηναῖοι δὲ τὰς τετριμμένας ἐλάας στέμφυλα ἐκάλουν, βρύτεα δὲ τὰ ὑφ' ἡμῶν στέμφυλα, τὰ ἐκπιέσματα τῆς σταφυλῆς. παρὰ δὲ τοὺς βότρυς γέγονεν ἡ φωνή.

48. ΡΑΦΑΝΙΔΕΣ. Αὗται κέκληνται διὰ τὸ ῥᾳδίως
e φαίνεσθαι. καὶ ἐκτεταμένως δὲ καὶ κατὰ συστολὴν λέγεται παρὰ Ἀττικοῖς. Κρατῖνος

Ταῖς ῥαφανῖσι δσκεῖ, τοῖς δ' ἄλλοις οὐ λαχάνοις.

Εὔπολις

Ῥαφανῖδες ἄπλυτοι, σηπίαι.

ὅτι δὲ τὸ ἄπλυτοι ἐπὶ τῶν ῥαφανίδων ἀκούειν δεῖ, οὐκ ἐπὶ τῶν σηπιῶν, δηλοῖ Ἀντιφάνης γράφων

Νήττας, σχαδόνας, κάρυ' ἐντραγεῖν, ᾧ', ἐγκρίδας,
ῥαφανῖδας ἀπλύτους, γογγυλίδας, χόνδρον, μέλι.

---

ἁλμάδας.) ῥυσαὶ BCD. Scribebatur ῥυσσαί. ἐμβάλλουσιν ἀεὶ BC. ἀεὶ ἐμβάλλουσι VL. ἐμβαλοῦσιν ἀεὶ Porsonus ad Aristoph. Eccles. 275. p. 192. εἰς] ἐς VL. φαῦλαι] Sive φαυλίαι: vide annotationem. Καλλίμαχος] Fragm. 50. p. 433. Vide Suidam in γεργέριμον et φθινοπωρίδα. γεργέριμόν τε BCD. γεργεριμὸν VL.

56 d. ἔλεγον μόνον BC. ἐλέγοντο μόνον VL. μ' ἐλιπάρει Porsonus. λιπαρείτωμου V. λιπαρεῖτό με L. ἐλάας] Libri ἐλαίας. βρύτεα tenet Eustathius p. 1963, 61. βρύτια Suidas et alii. Ῥαφανῖδες] Scribebatur ῥαφανίδες hic et infra. αὗται CD. αὐτὰς B. οὕτως VL.

56 e. Cratini et Eupolidis verba, omiss σηπίαι, affert Eustathius p. 1220, 55. λαχάνοις] λαχάνοισι? τὸ ἄπλυτοι Schweigh. Libri τὸ ἄπλυτον. ἐντραγεῖν Schweigh. Legebatur ἐντρώγειν. ᾧ'] Scribebatur ᾠὰ. οὖα sive ὄα Ruhnken. ad Timaeum p. 189.

ἰδίως δ' οὕτως ἐκαλοῦντο ἄπλυτοι ῥαφανῖδες, ἃς καὶ
f Θασίας ὠνόμαζον. Φερεκράτης „Ῥαφανίς τ' ἄπλυτος ὑπάρχει καὶ θερμὰ λουτρὰ καὶ ταρίχη πνικτὰ καὶ κάρυα." ὑποκοριστικῶς δ' εἴρηκε Πλάτων ἐν Ὑπερβόλῳ „Φύλλιον ἢ ῥαφανίδιον." Θεόφραστος δ' ἐν τοῖς περὶ φυτῶν γένη ῥαφανίδων φησὶν εἶναι πέντε, Κορινθίαν, Λειοθασίαν, Κλεωναίαν, Ἀμωρέαν, Βοιωτίαν. καλεῖσθαι δὲ ὑπό τινων τὴν Λειοθασίαν Θρᾳκίαν· γλυκυτάτην δ' εἶναι τὴν Βοιωτίαν καὶ τῷ σχήματι στρογγύλην. ἁπλῶς δέ, φησίν, ὧν
57 ἐστι λεῖα τὰ φύλλα, γλυκύταται εἰσί. Καλλίας δ' ἐπὶ τῆς ῥαφανῖδος εἴρηκε τὴν ῥάφανον. περὶ γοῦν τῆς ἀρχαιότητος τῆς κωμῳδίας διεξιών φησιν „Ἔτνος, πῦρ, γογγυλίδες, ῥάφανοι, δρυπεπεῖς, ἐλατῆρες." ὅτι δ' οὕτω τὰς ῥαφανῖδας εἴρηκε δῆλον Ἀριστοφάνης ποιεῖ περὶ τῆς τοιαύτης ἀρχαιότητος ἐν Δαναΐσι γράφων καὶ αὐτὸς καὶ λέγων

Ὁ χορὸς δ' ὠρχεῖτ' ἂν ἐναψάμενος δάπιδας καὶ στρωματόδεσμα,
διαμασχαλίσας αὑτὸν σχελίσιν καὶ φύσκαις καὶ ῥαφανῖσιν.

b εὐτελὲς δὲ σφόδρα ἔδεσμα ἡ ῥαφανίς. Ἄμφις

Ὅστις ἀγοράζων ὄψον
ἐξὸν ἀπολαύειν ἰχθύων ἀληθινῶν
ῥαφανῖδας ἐπιθυμεῖ πρίασθαι μαίνεται.

49. ΚΩΝΟΙ. Μνησίθεος ὁ Ἀθηναῖος ἰατρὸς ἐν τῷ περὶ ἐδεστῶν ὀστρακίδας καλεῖ τῶν κώνων τοὺς πυρῆνας,

---

οὕτως] οὕτω B.

56 f. Θασίας] Θαλασσίας vitiosa est Hesychii scriptura in ἄπλυτοι ῥαφανῖδες. φύλλιον BCD. φύλιον VL. περὶ φυτῶν] VII. 4, 2. p. 229. Λειοθασίαν] λειοθαλασσίαν hic et infra scriptum apud Theophrastum. Ἀμωρέαν, Βοιωτίαν] τὴν δὲ Βοιωτίαν vulgo apud Theophrastum, omissa Ἀμωρέας memoria: sed Urbinas τὴν δὲ μόραν βοιωτίαν. Theophrasto igitur restituendum τὴν δὲ Ἀμωρέαν, τὴν δὲ Βοιωτίαν. γλυκύταται L. γλυκύτεραι V.

57 a. πῦρ] πύαρ (immo πῦαρ) Arnaldus in Lectt. Graec. I. 17. et Brunckius. Calliae versus anapaesticus fuit opinor. Aristophanis v. 2. αὐτὸν VL. αὑτὸν CD. σχελίσι L. σκελίσι V.

57 b. Ἄμφις] In Leucade: vide VII. p. 277 c. ἀγοράζων 277. Legebatur ἀγοράζειν. ἀπολαύειν 277. Libri ἀπολλαν. μαίνεται] μαίνηον B. κῶνοι add. BCDL. om. V.

ἔτι δὲ κώνους. Διοκλῆς δ' ὁ Καρύστιος πιτυΐνα κάρυα. ὁ δὲ Μύνδιος Ἀλέξανδρος πιτυΐνους κώνους. Θεόφραστος
c δὲ τὸ μὲν δένδρον πεύκην ὀνομάζει, τὸν δὲ καρπὸν κῶνον. Ἱπποκράτης δὲ ἐν τῷ περὶ πτισάνης, ὃ ἐκ τοῦ ἡμίσους μὲν νοθεύεται, ὑπ' ἐνίων δὲ καὶ ὅλον, κοκκάλους· οἱ πολλοὶ δὲ πυρῆνας, ὡς καὶ Ἡρόδοτος, ὅταν περὶ τοῦ Ποντικοῦ καρύου λέγῃ. φησὶ γὰρ „Πυρῆνα δ' ἔχει τοῦτο ἐπὰν γένηται πέπον.“ Δίφιλος δ' ὁ Σίφνιός φησιν „Οἱ στρόβιλοι πολύτροφοι μέν εἰσι, λεαντικοὶ δὲ ἀρτηρίας καὶ θώρακος καθαρτικοὶ διὰ τὸ ἔχειν παρεμπεπλεγμένον τὸ ῥητινῶδες.“ Μνησίθεος δέ φησι πιαίνειν αὐτοὺς τὸ σῶμα καὶ πρὸς
d εὐπεψίαν ἀλύπους εἶναι, ὑπάρχειν δὲ καὶ οὐρητικοὺς καὶ οὐκ ἐφεκτικοὺς κοιλίας.

50. ᾨιΑ. Ἀναξαγόρας ἐν τοῖς Φυσικοῖς τὸ καλούμενόν φησιν ὄρνιθος γάλα τὸ ἐν τοῖς ᾠοῖς εἶναι λευκόν. Ἀριστοφάνης „Τίκτει πρῶτον ὑπηνέμιον ᾠὸν Νύξ.“ Σαπφὼ δ' αὐτὸ τρισυλλάβως καλεῖ „Φασὶ δή ποτε Λήδαν ὤϊον εὑρεῖν.“ καὶ πάλιν „Ὤϊον πολὺ λευκότερον.“ ὤεα δ' ἔφη Ἐπίχαρμος „Ὤεα χανὸς καλεκτορίδων πετεηνῶν.“ Σιμωνίδης ἐν δευτέρῳ ἰάμβων

Οἷόν τε χηνὸς ὤεον Μαιανδρίου.

e διὰ τεσσάρων δ' αὐτὰ προενήνεκται Ἀναξανδρίδης ᾠάρια εἰπών. καὶ Ἔφιππος

Σταμνάριά τ' οἴνου μικρὰ τοῦ Φοινικικοῦ,
ᾠάρια, τοιαῦθ' ἕτερα πολλὰ παίγνια.

Ἄλεξις δὲ ἡμίτομά που ᾠῶν λέγει. ᾠὰ δὲ οὐ μόνον ἀνεμιαῖα ἐκάλουν, ἀλλὰ καὶ ὑπηνέμια. „Ἐκάλουν δὲ καὶ τὰ

---

Θεόφραστος] H. P. II. 2, 6. p. 48. et alibi.

57 c. Ἱπποκράτης] P. 401, 46. 402, 37. ὃ ἐκ BCD. ὃ τὰ ἐκ V. οὐ τὰ ἐκ L. Ἡρόδοτος] IV, 23. λεαντικοὶ] λεαντιῆς B.

57 d. Φυσικοῖς] ἠθικοῖς grammaticus Hermanni p. 323. Ἀριστοφάνης] Avium v. 695. Σαπφὼ] Eustathius p. 1686, 49. qui utrumque fragmentum, et Etymol. M. in ᾠὸν p. 822, 40. qui prius tantum, sed auctius attulit. Ὤεα χανὸς et Simonidis locum affert Eustathius ibidem. Σιμωνίδης] Fragm. 135. p. 396. Gaisford.

57 e. Ἔφιππος] Conf. I. p. 29 d. Ἄλεξις] Vide p. 60 a. v. 10.

νῦν τῶν οἰκιῶν παρ' ἡμῖν καλούμενα ὑπερῷα ᾠά" φησὶ Κλέαρχος ἐν Ἐρωτικοῖς, τὴν Ἑλένην φάσκων ἐν τοιούτοις
f οἰκήμασι τρεφομένην δόξαν ἀπενέγκασθαι παρὰ πολλοῖς ὡς ἐξ ᾠοῦ εἴη γεγεννημένη. οὐκ εὖ δὲ Νεοκλῆς ὁ Κροτωνιάτης ἔφη ἀπὸ τῆς σελήνης πεσεῖν τὸ ᾠὸν ἐξ οὗ τὴν Ἑλένην γεννηθῆναι· τὰς γὰρ σεληνίτιδας γυναῖκας ᾠοτοκεῖν καὶ τοὺς ἐκεῖ γεννωμένους πεντεκαιδεκαπλασίονας ἡμῶν εἶναι, ὡς Ἡρόδωρος ὁ Ἡρακλεώτης ἱστορεῖ. Ἴβυκος δὲ ἐν πέμπτῳ μελῶν περὶ Μολιονιδῶν φησι

58 Τούς τε λευκίππους κούρους
τέκνα Μολιόνας κτάνον,
ἅλικας, ἰσοκεφάλους, ἐνιγυίους,
ἀμφοτέρους γεγαῶτας ἐν ὠέῳ ἀργυρέῳ.

Ἔφιππος

Ἴτρια, τραγήματα, πυραμοῦς, ἄμης,
ᾠῶν ἑκατόμβη, πάντα ταῦτ' ἐχναύομεν.

ᾠῶν δὲ ῥοφητῶν μνημονεύει Νικόμαχος

Οὐσίδιον γὰρ καταλιπόντος μοι πατρὸς
οὕτω συνεστρογγύλικα κἀξεκόκκισα
ἐν μησὶν ὀλίγοις, ὥσπερ ᾠόν τις ῥοφῶν.

χηνείων δ' ᾠῶν Ἔριφος

b Ὠιὰ λευκά γε
καὶ μεγάλα· χήνει' ἐστὶν, ὥς γέ μοι δοκεῖ·
οὗτος δέ φησι ταῦτα τὴν Λήδαν τεκεῖν.

Ἐπαίνετος δὲ καὶ Ἡρακλείδης ὁ Συρακόσιος ἐν Ὀψαρ-

---

ὑπερῷα] ὑπερῶα VL. ᾠά Eustathius p. 1686, 41. ᾠά CDL. ὠϊά BV.

57 f. εἴη om. B. γεγεννημένη BC et Eustathius p. 1686, 41. γεγενημένη VL. Μολιονιδῶν] μονιονιδῶν B.

58 a. V. 1. κούρους] κόρους scribendum videtur. V. 2. κτάνον BCD. κτάνονται V. κτανόντα L. V. 3. 4. Eustathius p. 1686, 45. V. 3. ἰσοκεφάλους] ἰσοπάλους Meinekius ad Menandrum p. 11. ἐνιγυίους] Libri et Eustathius ἐνιγύους. V. 4. ὠέῳ Eustathius. Scribebatur ὠεῷ. Ἔφιππος] In Ephebis: vide XIV. p. 642 e. ubi τραγήμαθ' ἧκε. ᾠῶν ἑκατόμβη] Eustathius p. 1205, 55. ἐχναύομεν L. ἐχαύνομεν V. πάντα ταῦτ' ἐχναύομεν Eustathius p. 1063, 38. οὐσίδιον BCDV. οὐσείδιον L. πατρὸς Iacobsius p. 48. Legebatur τοῦ πατρός. Ἔριφος] Eustathius p. 1686, 43. ὁ δὲ Ἔριφος, λόγιος δὲ ἦν καὶ αὐτὸς ἀνὴρ, χήνεια ληρεῖ ᾠὰ λευκά τε καὶ μεγάλα τὴν Λήδαν τεκεῖν.

58 b. Συρακόσιος] Scribebatur Συρακούσιος.

τυτικῷ τῶν ᾠῶν φασι πρωτεύειν τὰ τῶν ταῶν· μεθ᾽ ἃ εἶναι τὰ χηναλωπέκεια· τρίτα καταλέγοντες τὰ ὀρνίθεια.

51. ΠΡΟΠΟΜΑ. Τούτου φησὶ περιενεχθέντος ὁ τῶν δείπνων ταμίας Οὐλπιανὸς ἔφη εἰ κεῖται παρά τινι τὸ πρόπομα οὕτω καλούμενον ὡς νῦν ἡμεῖς φαμέν. καὶ ζητούντων πάντων, Αὐτὸς, ἔφη, ἐγὼ ἐρῶ. Φύλαρχος ὁ Ἀθη-
c ναῖος ἢ Ναυκρατίτης ἐν οἷς ὁ λόγος ἐστὶν αὐτῷ περὶ Ζηλᾶ τοῦ Βιθυνῶν βασιλέως, ὃς ἐπὶ ξενία καλέσας τοὺς τῶν Γαλατῶν ἡγεμόνας, ἐπιβουλεύσας αὐτοῖς καὶ αὐτὸς διεφθάρη, φησὶν οὕτως, εἰ μνήμης εὐτυχῶ „Πρόπομά τι πρὸ τοῦ δείπνου περιεφέρετο καθὼς εἰώθει τὸ πρῶτον.“ καὶ ταῦτ᾽ εἰπὼν ὁ Οὐλπιανὸς ᾔτει πιεῖν ἐν ψυκτῆρι, ἀρέσκειν ἑαυτὸν φάσκων διὰ τὸ ἑτοίμως ἀπεμνημονευκέναι. ἦν δὲ τῶν ἐν τοῖς προπόμασι, φησὶ, παρασκευαζομένων ἄλλα τε καὶ δὴ καὶ ταῦτα.

d 52. ΜΑΛΑΧΑΙ. Ἡσίοδος

Οὐδ᾽ ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ᾽ ὄνειαρ.

τοῦτο Ἀττικόν. ἐγὼ δὲ, φησὶν, ἐν πολλοῖς ἀντιγράφοις εὗρον τοῦ Ἀντιφάνους Μίνωος διὰ τοῦ ο γεγραμμένον „Τρώγοντες μολόχης ῥίζαν.“ καὶ Ἐπίχαρμος „Πραΰτερος ἔγωγε μολόχας.“ Φανίας δὲ ἐν τοῖς Φυτικοῖς φησι „Τῆς ἡμέρου μαλάχης ὁ σπερματικὸς τύπος καλεῖται πλακοῦς, ἐμφερὴς
e ὢν αὐτῷ· τὸ μὲν γὰρ κτενῶδες ἀνάλογον καθάπερ ἡ τοῦ πλακοῦντος κρηπὶς, κατὰ μέσον δὲ τοῦ πλακουντικοῦ ὄγκου τὸ κέντρον ὀμφαλικόν. καὶ περιληφθείσης τῆς κρηπῖδος ὅμοιον γίνεται τοῖς θαλαττίοις περιγεγραμμένοις ἐχι-

---

φασι Brunckius. Legebatur φησι. καταλέγοντες B et Brunchius, fortasse ex D. Legebatur καταλέγει.

58 c. μνήμης om. B cum lacuna. ταῦτ᾽ εἰπὼν B. ταῦτα εἰπὼν VL. ἑαυτὸν BCD. ἑαυτῷ VL. παρασκευαζομένων] παρασκευαζόμενα CD.

58 d. Ἡσίοδος] Ἔργ. 41. ἀττικὸν BCD. ἀττικῶς VL. ἀντιφάνους μίνωος διὰ τοῦ ο BCD. ἀντιφάνους τὸ μο καὶ λος (λο L) διὰ τοῦ ο VL. Τρώγοντες] Eustathius p. 1406, 58. τρώγοντες μολόχης ῥίζαν καὶ * πάμα (καὶ πάλιν Porsonus) πρᾳότερος ἔγωγε μολόχης. μολόχας] μολόχας C. Scribebatur μολόχης. Φανίας L. φαινίας BCDV.

58 e. περιγεγραμμένοις L. περιγεγραμμένον V.

ὺν τῶν οἰκιῶν παρ' ἡμῖν καὶ ... ἡ μαλάχη ἐστὶ
Κλέαρχος ἐν Ἐρωτικοῖς, τὴν Γ ... ἀποκρίνουσα
ἰκήμασι τρεφομένην δόξαν ... αὐτὴν τοῖς τῶν
ὸς ἐξ ᾠοῦ εἴη γεγεννημένη ... εὔκαρπόν τε εἶναι
μάτης ἔφη ἀπὸ τῆς σε ... τῆς κηπευο-
Ἑλένην γεννηθῆναι· τὰ ... καὶ εἰς τὴν καλο-
κεῖν καὶ τοὺς ἐκεῖ γεν ... ἐμβάλλεσθαι τὴν
εἶναι, ὡς Ἡρόδωρος
πέμπτῳ μελῶν περὶ ... Ἀθηναῖος ἐν τῷ
Τούς τε λ ... τὴν κολοκύντην διὰ
τέκνα Μ ... Μεγαλοπολῖται
ἅλικας, ... δὲ τῶν κο-
ἀμφοτ ... ἀλλ' εἶναι τὰς
Ἔφιππος ... δ' ὁ Ἐρασιστρά-
Ἱπ ... φησὶν) ἡ μὲν Ἰν-
ᾠ ... καὶ ἡ μὲν
ᾠῶν δ ... καὶ ὀπτᾶ-
... τὰς κολο-
... τὰς μακρὰς
... δὲ κολο-
... προσέτι
χη ... ἐν Ἀν-
... θρίδακα,
... Ἡ δὲ κολο-
... τῆς
... δ' ἐστὶν ἡ
... δὲ ἡ ἀγ-
... εὔπεπτο-
... Μνησίθεος δέ
... πρὸς κατερ-
... μῆλα Κυ-

... vide Proclum
... L. ... V. Θεό-
... C. Legebatur ἐν
... δὲ τὰς] κο-

τρουθία καὶ εἴ τι τοιοῦτον, ταῦθ' ὅταν πυρωθέντα, δίδωσι τῷ σώματι τροφὴν οὐ ν, ἄλυπον δὲ καὶ μᾶλλον ὑγράν. ἔστι δὲ καὶ ς κοιλίας ἐφεκτικὰ πάντα. δεῖ δὲ αὐτὰ λαμβάνειν ιᾶλλον." Ἀττικοὶ δὲ μόνως καλοῦσιν αὐτὴν κολο- . Ἕρμιππος . . .

Τὴν κεφαλὴν ὅσην ἔχει.

ὅσην κολοκύντην.

ύντιχος ὑποκοριστικῶς.

Ἢ μαζίου τι μικρὸν ἢ κολοκυντίου.

Ἐπίχαρμος

Ὑγιέστερον τῆν' ἐντὶ κολοκύντας πολύ.

54. Ἐπικράτης ὁ κωμῳδιοποιὸς

d Τί Πλάτων

καὶ Σπεύσιππος καὶ Μενέδημος;

πρὸς τίσι νυνὶ διατρίβουσιν;

ποία φροντὶς, ποῖος δὲ λόγος

διερευνᾶται παρὰ τοῖσιν;

τάδε μοι πινυτῶς, εἴ τι κατειδὼς

ἥκεις, λέξον, πρὸς γᾶς * * .

B. ἀλλ' οἶδα λέγειν περὶ τῶνδε σαφῶς.

Παναθηναίοις γὰρ ἰδὼν ἀγέλην

μειρακίων

ἐν γυμνασίοις Ἀκαδημείας

ἤκουσα λόγων ἀφάτων ἀτόπων.

περὶ γὰρ φύσεως ἀφοριζόμενοι

e διεχώριζον ζώων τε βίον

---

59 b. στρουθία BC. στρούθεια VL. τοιοῦτον BCD. τοιοῦτο VL.

59 c. ὅσην κολοκύντην C. Legebatur ὅσην κολοκύντη. τῆν' Grotius in Excerptis p. 481. τ' ἦν VL. ἐντὶ Koenius ad Gregor. p. 281. Legebatur ἔχει. ἐστὶ Grotius.

59 d. V. 2. Μενέδημος] μενέθυμος B. V. 3. νυνὶ διατρίβουσιν Erfurdtius p. 438. Libri νῦν διατρίβουσι. V. 5. τοῖσιν] τοῖσι VL. Fort. τούτοισιν. V. 7. πρὸς γᾶς] ποτὶ τᾶς γᾶς Grotius in Excerptis p. 671. V. 10. τῶν μειρακίων Erfurdtius. Recte, nisi plura omisit epitome. V. 11. Ἀκαδημείας] Scribebatur Ἀκαδημίας.

59 e. V. 14. ζώων τε καὶ δένδρων C.

νοις.“ ὁ δὲ Σίφνιος Δίφιλος ἱστορεῖ ὡς ἡ μαλάχη ἐστὶν
εὔχυλος, λεαντικὴ ἀρτηρίας, τὰς ἐπιπολαίους ἀποκρίνουσα
δριμύτητας. ἐπιτήδειόν τε εἶναί φησιν αὐτὴν τοῖς τῶν
νεφρῶν καὶ τῆς κύστεως ἐρεθισμοῖς, εὐέκκριτόν τε εἶναι
f μετρίως καὶ τρόφιμον, κρείττω δὲ τὴν ἀγρίαν τῆς κηπευο-
μένης. Ἕρμιππος δ᾽ ὁ Καλλιμάχειος καὶ εἰς τὴν καλου-
μένην φησὶν ἄλιμον προσέτι τε ἄδιψον ἐμβάλλεσθαι τὴν
μαλάχην, οὖσαν χρησιμωτάτην.

53. ΚΟΛΟΚΥΝΤΑΙ. Εὐθύδημος Ἀθηναῖος ἐν τῷ
περὶ λαχάνων σικύαν Ἰνδικὴν καλεῖ τὴν κολοκύντην διὰ
τὸ κεκομίσθαι τὸ σπέρμα ἐκ τῆς Ἰνδικῆς. Μεγαλοπολῖται
δ᾽ αὐτὴν Σικυωνίαν ὀνομάζουσι. Θεόφραστος δὲ τῶν κο-
λοκυντῶν φησιν οὐκ εἶναι ἐν μέρει ἰδέας, ἀλλ᾽ εἶναι τὰς
μὲν βελτίους, τὰς δὲ χείρους. Μηνόδωρος δ᾽ ὁ Ἐρασιστρά-
59 τειος, Ἱκεσίου φίλος „Τῶν κολοκυντῶν (φησὶν) ἡ μὲν Ἰν-
δική, ἡ καὶ αὐτὴ καὶ σικύα, ἡ δὲ κολοκύντη. καὶ ἡ μὲν
Ἰνδικὴ κατὰ τὸ πλεῖστον ἕψεται, ἡ δὲ κολοκύντη καὶ ὀπτᾶ-
ται.“ ἄχρι δὲ τοῦ νῦν λέγεσθαι παρὰ Κνιδίοις τὰς κολο-
κύντας Ἰνδικάς. Ἑλλησπόντιοι δὲ σικύας μὲν τὰς μακρὰς
καλοῦσι, κολοκύντας δὲ τὰς περιφερεῖς. Διοκλῆς δὲ κολο-
κύντας μὲν καλλίστας γίνεσθαι περὶ Μαγνησίαν, προσέτι
τε γογγύλην ὑπερμεγέθη γλυκεῖαν καὶ εὐστόμαχον, ἐν Ἀν-
τιοχείᾳ δὲ σικυόν, ἐν δὲ Σμύρνῃ καὶ Γαλατείᾳ θρίδακα,
b πήγανον δ᾽ ἐν Μύροις. Δίφιλος δέ φησιν „Ἡ δὲ κολο-
κύντη ὀλιγότροφός ἐστι καὶ εὔφθαρτος καὶ ὑγραντικὴ τῆς
ἕξεως καὶ εὐέκκριτος, εὔχυλος. εὐστομαχωτέρα δ᾽ ἐστὶν ἡ
δι᾽ ὕδατος καὶ ὄξους λαμβανομένη, εὐχυλοτέρα δὲ ἡ ἀρ-
τυτή. λεπτυντικωτέρα δ᾽ ἐστὶν ἡ μετὰ νάπυος, εὐπεπτο-
τέρα δὲ καὶ εὐεκκριτωτέρα ἡ κάθεφθος.“ Μνησίθεος δέ
φησιν „Ὅσα εὐφυῶς διάκειται πρὸς τὴν τοῦ πυρὸς κατερ-
γασίαν, οἷον ὅ τε σικυὸς καὶ ἡ κολοκύντη καὶ μῆλα Κυ-

---

ἀποκρίνουσα L. κατακρίνουσα BV.

58 f. Ἕρμιππος] In libro de septem sapientibus: vide Proclum ad Hesiodi Op. 41. p. 55. Gaisf. δ᾽ ὁ L. δὲ V. Θεόφραστος] H. P. VII. 4, 6. p. 231. ἐν μέρει C. Legebatur ἐν μέρος. Μηνόδωρος] μονόδωρος B.

59 a. ἡ καὶ αὐτὴ] ἡ δὲ αὐτὴ Coraës. κολοκύντας δὲ τὰς] κολοκύντας, τὰς C.

δώνια καὶ στρουθία καὶ εἴ τι τοιοῦτον, ταῦθ᾿ ὅταν
προσενεχθῇ πυρωθέντα, δίδωσι τῷ σώματι τροφὴν οὐ
c πολλὴν μέν, ἄλυπον δὲ καὶ μᾶλλον ὑγράν. ἔστι δὲ καὶ
ταῦτα τῆς κοιλίας ἐφεκτικὰ πάντα. δεῖ δὲ αὐτὰ λαμβάνειν
ἑφθὰ μᾶλλον." Ἀττικοὶ δὲ μόνως καλοῦσιν αὐτὴν κολο-
κύντην. Ἕρμιππος . . . .

Τὴν κεφαλὴν ὅσην ἔχει.
ὅσην κολοκύντην.

Φρύνιχος ὑποκοριστικῶς.

Ἢ μαζίου τι μικρὸν ἢ κολοκυντίου.

Ἐπίχαρμος

Ὑγιέστερον τῆν᾿ ἐντὶ κολοκύντας πολύ.

54. Ἐπικράτης ὁ κωμῳδιοποιός

d Τί Πλάτων
καὶ Σπεύσιππος καὶ Μενέδημος;
πρὸς τίσι νυνὶ διατρίβουσιν;
ποία φροντίς, ποῖος δὲ λόγος
διερευνᾶται παρὰ τοῖσιν;
τάδε μοι πινυτῶς, εἴ τι κατειδὼς
ἥκεις, λέξον, πρὸς γᾶς * * .
Β. ἀλλ᾿ οἶδα λέγειν περὶ τῶνδε σαφῶς.
Παναθηναίοις γὰρ ἰδὼν ἀγέλην
μειρακίων
ἐν γυμνασίοις Ἀκαδημείας
ἤκουσα λόγων ἀφάτων ἀτόπων.
περὶ γὰρ φύσεως ἀφοριζόμενοι
e διεχώριζον ζώων τε βίον

---

59 b. στρουθία BC. στρούθεια VL. τοιοῦτον BCD. τοιοῦτο VL.

59 c. ὅσην κολοκύντην C. Legebatur ὅσην κολοκύντη. τῆν᾿ Grotius in Excerptis p. 481. τ᾿ ἦν VL. ἐντὶ Koenius ad Gregor. p. 281. Legebatur ἔχει. ἐστὶ Grotius.

59 d. V. 2. Μενέδημος] μενέθυμος B. V. 3. νυνὶ διατρίβουσιν Erfurdtius p. 438. Libri νῦν διατρίβουσι. V. 5. τοῖσιν] τοῖσι VL. Fort. τούτοισιν. V. 7. πρὸς γᾶς] ποτὶ τᾶς γᾶς Grotius in Excerptis p. 671. V. 10. τῶν μειρακίων Erfurdtius. Recte, nisi plura omisit epitome. V. 11. Ἀκαδημείας] Scribebatur Ἀκαδημίας.

59 e. V. 14. ζώων τε καὶ δένδρων C.

δένδρων τε φύσιν λαχάνων τε γένη.
κᾆτ᾽ ἐν τούτοις τὴν κολοκύντην
ἐξήταζον τίνος ἐστὶ γένους.
*Α.* καὶ τί ποτ᾽ ἄρ᾽ ὡρίσαντο καὶ τίνος γένους
εἶναι τὸ φυτόν; δήλωσον, εἰ κάτοισθά τι.
*Β.* πρώτιστα μὲν οὖν πάντες ἀναυδεῖς
τότ᾽ ἐπέστησαν, καὶ κύψαντες
χρόνον οὐκ ὀλίγον διεφρόντιζον.
κᾆτ᾽ ἐξαίφνης ἔτι κυπτόντων
καὶ ζητούντων τῶν μειρακίων
λάχανόν τις ἔφη στρογγύλον εἶναι,
f ποίαν δ᾽ ἄλλος, δένδρον δ᾽ ἕτερος.
ταῦτα δ᾽ ἀκούων ἰατρός τις
Σικελᾶς ἀπὸ γᾶς
κατέπαρδ᾽ αὐτῶν ὡς ληρούντων.
*Α.* ἦ που δεινῶς ὠργίσθησαν
χλευάζεσθαί τ᾽ ἐβόησαν·
τὸ γὰρ ἐν λέσχαις ταῖσδε τοιαυτὶ
ποιεῖν ἀπρεπές.
*Β.* οὐδ᾽ ἐμέλησεν τοῖς μειρακίοις.
ὁ Πλάτων δὲ παρών, καὶ μάλα πρᾴως,
οὐδὲν ὀρινθείς, ἐπέταξ᾽ αὐτοῖς
πάλιν * * *
ἀφορίζεσθαι τίνος ἐστὶ γένους·
οἱ δὲ διῄρουν.

55. Ἄλεξις ὁ χαρίεις πρόπομα ὅλον παρατίθησι τοῖς διακρίνειν δυναμένοις

---

V. 20. οὖν addidit Scaliger apud Grotium. Eustathius p. 864, 31. ἀναυδὴς — οὐ πληθυντικὸν οἱ ἀναυδεῖς παρά τινι κωμῳδῷ, οἷον Πρώτιστα μὲν πάντες ἀναυδεῖς τότ᾽ ἐπέστησαν. V. 23. κᾆτ᾽ ἐξαίφνης Erfurdtius p. 439. Libri κἀξαίφνης.

59 f. V. 29. κατέπαρδ᾽ Schweigh. Legebatur κατεπέρδετ᾽. V. 31. τ᾽ add. BCD. om. VL. V. 32. Legebatur τοιαῖσδε. Recte ταῖσδε C, nisi quis haec in unum versum coniungi velit, τοιαῖσδε τοιαῦτα ποιεῖν ἀπρεπές. τοιαυτὶ Meinekius ad Menandr. p. 34. Libri τοιαῦτα. V. 33. ἀπρεπὲς Casaubonus. Libri εὐπρεπές. Vide tamen ne scripserit ποιεῖν οὐκ εὐπρεπές ἐστιν vel ποιεῖν πῶς εὐπρεπές ἐστιν; V. 37. Post πάλιν indicavi lacunam verbis ἐξ ἀρχῆς fortasse explendam. Erfurdtius delebat πάλιν.

Ἔλαθον γενόμενος οὗ τὸ πρᾶγμ' ἠβούλετο.
κατὰ χειρὸς ἐδόθη· τὴν τράπεζαν ἧκ' ἔχων,
ἐφ' ἧς ἐπέκειτ' οὐ τυρὸς, οὐδ' ἐλαῶν γένη,
οὐδὲ παρέχουσαι κνῖσαν ἡμῖν πλείονα
παροψίδες καὶ λῆρος, ἀλλὰ παρετέθη
ὑπερηφάνως ὄζουσα τῶν Ὡρῶν λοπὰς,
τὸ τοῦ πόλου τοῦ παντὸς ἡμισφαίριον.
ἅπαντ' ἐνῆν τἀκεῖ γὰρ ἐν ταύτῃ καλά·
ἰχθῦς, ἔριφοι, διέτρεχε τούτων σκορπίος·
ὑπέφαινεν ᾠῶν ἡμίτομα τοὺς ἀστέρας.
b ἐπεβάλομεν τὰς χεῖρας. ὁ μὲν ἐμοὶ λαλῶν
ἅμα καὶ διανεύων ἠσχολεῖτο, πᾶς δ' ἀγὼν
ἐπ' ἐμὲ κατήρτα. τὸ πέρας οὐκ ἀνῆχ', ἕως
τὴν λοπάδ' ὀρύττων ἀποδέδειχα κόσκινον.

56. ΜΥΚΑΙ. Ἀριστίας
Μύκαισι δ' ὠρέχθει τὸ λάϊνον πέδον.

Πολίοχος

Μεμαγμένην
μικρὰν μελαγχρῆ μᾶζαν ἠχυρωμένην
ἑκάτερος ἡμῶν εἶχε δὶς τῆς ἡμέρας
c καὶ σῦκα βαιά· καὶ μύκης τις ἐνίοτ' ἂν
ὠπτᾶτο, καὶ κοχλίας γενομένου ψακαδίου
ἠγρεύετ' ἄν, καὶ λάχανα τῶν αὐτοχθόνων·
θλαστή τ' ἐλάα, καὶ πιεῖν οἰνάριον ἦν
ἀμφίβολον.

Ἀντιφάνης

Τὸ δεῖπνόν ἐστι μᾶζα κεχαρακωμένη
ἀχύροις, πρὸς εὐτέλειαν ἐξωπλισμένη,

---

60 a. V. 4. *κνῖσαν*] Libri *κνίσσαν*. V. 6.—14. Eustathius p. 1348. 1349. *ὑπερηφάνως* Iacobsius p. 50. Libri et Eustathius *ὑπερήφανος*. V. 9. *ἰχθῦς*] *ἰχθύες* B. V. 10. *ᾠῶν ἡμίτομα* CD cum Casaubonianis et Eustathius p. 1349, 2. (ubi *ὤων*) et Athenaeus supra 57 e. *ὠὸν ἡμίσομον* V. *ᾠὸν ἡμίτομον* L. *ἡμίτομα* ex B enotatum.

60 b. *ὠρέχθει* Casaubonus. *ὀρέχθει* libri et Eustathius p. 1017, 16. *πέδον*] *δάπεδον* Eustathius.

60 c. *ἐνίοτ' ἂν ὠπτᾶτο*] *ἐνίοτε ἀνωπτᾶτο* B. *ἠγρεύετ'* Brunckius. Legebatur *ἀνηγρεῦετ'*. *ἐλάα*] Libri *ἐλαία*.

καὶ βολβός εἰς τις καὶ παροψίδες τινές,
σόγχος τις ἢ μύκης τις ἢ τοιαῦθ' ἃ δὴ
d δίδωσιν ἡμῖν ὁ τόπος ἄθλι' ἀθλίοις.
τοιοῦτος ὁ βίος, ἀπύρετος, φλέγμ' οὐκ ἔχων.
οὐδεὶς κρέως παρόντος ἐσθίει θύμον,
οὐδ' οἱ δοκοῦντες πυθαγορίζειν.

καὶ προελθὼν

Τίς γὰρ οἶδ' ἡμῶν τὸ μέλλον, ὅ τι παθεῖν
πέπρωθ' ἑκάστῳ τῶν φίλων; ταχὺ δὴ λαβὼν
ὄπτα μύκητας πρινίνους τουσδὶ δύο.

ὅτι Κηφισόδωρος ὁ Ἰσοκράτους μαθητὴς ἐν τοῖς κατὰ
e Ἀριστοτέλους, τέσσαρα δ' ἐστὶ ταῦτα βιβλία, ἐπιτιμᾷ τῷ φιλοσόφῳ ὡς οὐ ποιήσαντι λόγου ἄξιον τὸ παροιμίας ἀθροῖσαι, Ἀντιφάνους ὅλον ποιήσαντος δρᾶμα τὸ ἐπιγραφόμενον Παροιμίαι· ἐξ οὗ καὶ παρατίθεται τάδε

Ἔγωγ' ἂν εἰ τῶν ὑμετέρων φάγοιμί τι,
μύκητας ὠμοὺς ἂν φαγεῖν δοκῶ *
καὶ στρυφνὰ μῆλα, κεἴ τι πνίγει βρῶμά τι.

57. Φύονται δὲ οἱ μύκητες γηγενεῖς καὶ εἰσὶν αὐτῶν ἐδώδιμοι ὀλίγοι· οἱ γὰρ πολλοὶ ἀποπνίγουσιν. διὸ καὶ
f Ἐπίχαρμος παίζων ἔφη „Οἱοναὶ μύκαις ἀρ' ἐπεσκληκότες πνιξεῖσθε." Νίκανδρος δ' ἐν Γεωργικοῖς καταλέγει καὶ τίνες αὐτῶν εἰσιν οἱ θανάσιμοι λέγων

Ἐχθρὰ δ' ἐλαίης

---

Antiphanis v. 3. τις additum ab Grotio in Excerptis p. 637.

60 d. Κηφισόδωρος Ionsius de script. hist. phil. I. 13, 1. p. 80. Libri κηφισόδοτος.

60 e. παροιμίαι BCD et Casauboniani. παροιμία VL. V. 1. ἔγωγ' ἂν εἰ Porsonus. ἐγὼ γὰρ ἄν τι libri. φάγοιμί τι Casaubonus et Porsonus. Libri φάγοιμι. V. 2. Indicavi lacunam. ἐμοὶ δοκῶ Casaubonus. κεἴ τι] καὶ εἴ τι BC. V. 3. πνίγει C. Legebatur πνίγοι. βρῶμά τι] βρῶμ' ἔτι. Φύονται — ὀλίγοι] Eustathius p. 1017, 21.

60 f. Libri οἷον αἰ. οἱονεὶ Hadrianus Iunius. οἷον αἱ Naekius de Choerilo p. 146. Ego οἱοναί. μύκαις Iunius. Libri μύκαι. ἄρ'] ἄρα B. ἐπεσκληκότες] ἐξεσκληκότες Naekius comparata Hesychii glossa ἐξησκληκότες. ἐσκληκότες Iunius. πνιξεῖσθε] πνιξεῖσθαι BC. Νίκανδρος] Fragm. 9. p. 282. Γεωργικοῖς] γεωργικῇ B.

ῥοιῆς τε πρίνου τε δρυός τ' ἄπο πήματα κεῖται,
οἰδαλέα ξύγκολλα βάρη πνιγόεντα μυκήτων.

φησὶ δὲ καὶ ὅτι

a Συκέης ὁπότε στέλεχος βαθὺ κόπρῳ
κακχεύας ὑδάτεσσιν ἀεναέεσσι νοτίζοις,
φύσονται πυθμέσσιν ἀκήριοι· ὧν σὺ μύκητα
θρεπτὸν, μή τι χαμηλὸν, ἀπὸ ῥίζης προτάμοιο.

(τὰ δ' ἄλλ' οὐκ ἦν ἀναγνῶναι.)

Καί τε μύκητας ἀμανίτας τότ' ἐφεύσαις,

φησὶν ὁ αὐτὸς Νίκανδρος ἐν τῷ αὐτῷ. Ἔφιππος

Ἵν' ὥσπερ οἱ μύκητες ἀποπνίξαιμί σε.

Ἐπαρχίδης Εὐριπίδην φησὶ τὸν ποιητὴν ἐπιδημῆσαι τῇ
b Ἰκάρῳ, καὶ γυναικός τινος μετὰ τέκνων κατὰ τοὺς ἀγροὺς, δύο μὲν ἀρρένων τελείων, μιᾶς δὲ παρθένου, φαγούσης θανασίμους μύκητας καὶ ἀποπνιγείσης μετὰ τῶν τέκνων ποιῆσαι τουτὶ τὸ ἐπίγραμμα·

Ὦ τὸν ἀγήραντον πόλον αἰθέρος ἥλιε τέμνων,
ἆρ' εἶδες τοιόνδ' ὄμματι πρόσθε πάθος;
μητέρα παρθενικήν τε κόρην δισσούς τε συναίμους
ἐν ταὐτῷ φέγγει μοιριδίῳ φθιμένους.

c Διοκλῆς ὁ Καρύστιος ἐν πρώτῳ Ὑγιεινῶν φησιν „Ἄγρια ἑψήματα, τεῦτλον, μαλάχη, λάπαθον, ἀκαλήφη, ἀνδράφαξυς, βολβοί, ὕδνα, μύκαι.“

---

ξύγκολλα] σύγκολλα Casaubonus. Libri σύκολλα.

61 a. ἀεναέεσσι CDL et Eustathius p. 906, 20. ἀειναέσσι B. ἀεινάεισσι V. νοτίζοις BCD et Eustathius. νοτίζεις VL. φύσονται BCD. φύωνται VL. πυθμέσσιν] πυθμέσιν B. Post ἀκήριοι plura excidisse videntur Schweighaeusero. θρεπτὸν μή τι χαμηλὸν CD et Casauboniani. θρεπτικὰ μή τι χαμαιζήλης VL. ἄλλ' οὐκ B. ἄλλα οὐκ VL. Καί τε] καί κε Schweigh. ἐφεύσαις L. ἐφεύσεις V. Eustathius p. 1017, 20. ἔτι χρῆσις μυκήτων καὶ παρὰ Νικάνδρῳ ἐν τῷ, καί τε μύκητας ἀμανίτας τότ' ἐφεύσαις, ἢ ἀφεύσαις, ἀντὶ τοῦ φώξαις, φλογίσαις, ὀπτήσαις.

61 b. Euripidis epigramma in Anthol. Pal. recepit Iacobsius vol. II. p. 763. V. 1. ἀγήραντον VL. ἀγήρατον BCD. V. 4. μοιριδίῳ VL. μοιραδίῳ BCD.

61 c. ἄγρια BCD. ἄγρι' VL. ἀνδράφαξυς B et Brunckius. Scribebatur ἀνδρώφαξις.

58. ΣΙΑ. Σπεύσιππος ἐν δευτέρῳ Ὁμοίων φησὶ σίον ἐν ὕδατι γίνεσθαι, σελίνῳ ἐλείῳ τὸ φύλλον ἐοικός. διὸ καὶ Πτολεμαῖος ὁ δεύτερος Εὐεργέτης Αἰγύπτου βασιλεύσας παρ' Ὁμήρῳ ἀξιοῖ γράφειν

Ἀμφὶ δὲ λειμῶνες μαλακοὶ σίου ἠδὲ σελίνου.

σία γὰρ μετὰ σελίνου φύεσθαι, ἀλλὰ μὴ ἴα.

59. Δίφιλός φησι τοὺς μύκητας εἶναι εὐστόμους, κοιλίας
d διαχωρητικούς, θρεπτικούς, δυσπέπτους δὲ καὶ φυσώδεις. τοιούτους δὲ εἶναι τοὺς ἐκ Κέω τῆς νήσου. „Πολλοὶ μέντοι καὶ κτείνουσι. δοκοῦσι δὲ οἰκεῖοι εἶναι οἱ λεπτότατοι καὶ ἁπαλοὶ καὶ εὔθρυπτοι οἱ ἐπὶ πτελέαις καὶ πεύκαις γινόμενοι· ἀνοίκειοι δὲ οἱ μέλανες καὶ πελιοὶ καὶ σκληροί, καὶ οἱ μετὰ τὸ ἑψηθῆναι καὶ τεθῆναι πησσόμενοι· οἵτινες λαμβανόμενοι κτείνουσι. βοηθοῦνται δ' ἀπὸ ὑδρομέλιτος πόσεως καὶ ὀξυμέλιτος, νίτρου καὶ ὄξους. μετὰ τὴν πόσιν
e δὲ ἐμεῖν δεῖ. διόπερ καὶ δεῖ μάλιστα σκευάζειν αὐτοὺς μετὰ ὄξους καὶ ὀξυμέλιτος ἢ μέλιτος ἢ ἁλῶν· οὕτω γὰρ αὐτῶν τὸ πνιγῶδες ἀφαιρεῖται.“ Θεόφραστος δὲ ἐν τῷ περὶ φυτῶν ἱστορίας γράφει „Ὑπόγεια δὲ τὰ τοιαῦτά ἐστι καὶ ἐπίγεια, καθάπερ οὓς καλοῦσί τινες πέζιας, ἅμα τοῖς μύκησι γινομένους. ἄρριζοι γὰρ καὶ αὐτοὶ τυγχάνουσιν. ὁ δὲ μύκης ἔχει προσφύσεως ἀρχὴν τὸν καυλὸν εἰς μῆκος, καὶ ἀποτείνουσιν ἀπ' αὐτοῦ ῥίζαι.“ φησὶ δὲ καὶ ὅτι ἐν τῇ
f περὶ Ἡρακλέους στήλας θαλάσσῃ, ὅταν ὕδατα πλείω γένηται, μύκητες φύονται πρὸς τῇ θαλάσσῃ, οὓς καὶ ἀπο-

---

ἐν δευτέρῳ Ὁμοίων] ἐν β' ὁμοίως B. φησὶ σίον ἐν Schweigh. Libri φησὶ ἐν. Ὁμήρῳ] Odyss. ε, 72. εὐστόμους CD. εὐστομάχους VL.

61 d. τεθῆναι] ἀρτυθῆναι Bernardus in Actis Trajectinis I. p. 204. νίτρου editio Basileensis et L. νήρου BCDV.

61 e. Θεόφραστος] Non leguntur haec in Theophrasto. πέζιας L et libri Casauboniani. πέζικας C. πεζικὰς D. πέζικας V. (ας superscr.) ἄρριζοι] ἄριζοι B. ῥίζαι. φησὶ Schweigh. ῥίφαι (duobus punctis superne positis). φησὶ C. ῥίψι. φησὶ VL. ῥί φησὶ BD. φησὶ δὲ καὶ] H. P. IV. 7, 2. p. 141. περὶ ἡρακλέους BCD. περὶ τὰς ἡρακλέους VL. Ἡρακλέους στήλας θαλάσσῃ] Immo Erythraeum mare: vide annotationem. στήλας] στήλη B.

61 f. ὕδατα πλείω BCD et Theophrastus. πλείω ὕδατα VL.

λιθοῦσθαι ὑπὸ τοῦ ἡλίου φησί. καὶ Φανίας δὲ ἐν πρώτῳ περὶ φυτῶν „Τὰ δὲ οὐδὲ φύει τὴν ἀνθίνην, οὐδὲ τῆς σπερματικῆς ἴχνος κορυνήσεως, οὐδὲ σπερματώσεως, οἷον μύκης, ὕδνον, πτέρις, ἕλιξ." ὁ αὐτός φησι „Πτέρις, ἣν ἔνιοι βλάχνον καλοῦσι." Θεόφραστος ἐν Φυτικοῖς „Λειόφλοια, καθάπερ ὕδνον, μύκης, πέζις, γεράνειον.

60. ΥΔΝΑ. Γίνεται καὶ ταῦτα αὐτόματα ἀπὸ γῆς, μάλιστα περὶ τοὺς ἀμμώδεις τόπους. λέγει δὲ περὶ αὐτῶν Θεόφραστος „Τὸ ὕδνον, ὃ καλοῦσί τινες γεράνειον, καὶ εἴ τι ἄλλο ὑπόγειον," καὶ πάλιν „Ἡ τῶν ἐγγειοτόκων τούτων γένεσις ἅμα καὶ φύσις, οἷον τοῦ τε ὕδνου καὶ τοῦ φυομένου περὶ Κυρήνην, ὃ καλοῦσι μίσυ. δοκεῖ δ' ἡδὺ σφόδρα τοῦτ' εἶναι καὶ τὴν ὀσμὴν ἔχειν κρεώδη, καὶ τὸ ἐν τῇ Θρᾴκῃ δὲ γενόμενον ἴτον. περὶ δὲ τούτων ἴδιόν τι λέγεται· φασὶ γάρ, ὅταν ὕδατα μετοπωρινὰ καὶ βρονταὶ γίνωνται, σκληρὰ τότε γίνεσθαι, καὶ μᾶλλον ὅταν αἱ βρονταί, ὡς ταύτης αἰτιωτέρας οὔσης. οὐ διετίζειν δέ, ἀλλ' ἐπέτειον εἶναι· τὴν δὲ χρείαν καὶ τὴν ἀκμὴν ἔχειν τοῦ ἦρος. οὐ μὴν ἀλλ' ἔνιοί γε ὡς σπερματικῆς οὔσης τῆς ἀρχῆς ὑπολαμβάνουσιν. ἐν γοῦν τῷ αἰγιαλῷ τῶν Μυτιληναίων οὔ φασι πρότερον εἶναι πρὶν ἢ γενομένης ἐπομβρίας τὸ σπέρμα κατενεχθῇ ἀπὸ Τιαρῶν· τοῦτο δ' ἐστὶ χωρίον ἐν ᾧ πολλὰ γίνεται. γίνεται δὲ ἔν τε τοῖς αἰγιαλοῖς μά-

---

Φανίας] Scribebatur Φαινίας. τὰ δὲ οὐδὲ BCD. τὰ μὲν φύειν, τὰ δὲ οὐδὲ VL. φύει BC. φύειν VL. ἀνθίνην] ἀνθινὴν C. ἄνθην Salmasius Hom. Hyl. Iatr. p. 203. ἀρχὴν Casaubonus. κορυνήσεως L et Eustathius p. 1017, 18. κορυνώσεως B. κορυνόσεως D. κορυνήσεως C annotato inter versus κορυνώσεως. κορυφνώσεως V. πτέρις — καλοῦσι] Eustathius p. 1017, 19. Θεόφραστος] H. P. I. 6, 5. p. 19. Φυτικοῖς] φυτικῇ B.

62 a. Θεόφραστος] H. P. I. 6, 9. p. 21. καὶ πάλιν] Quae sequuntur in libris Theophrasti non reperta ex Athenaeo inseruit Schneiderus H. P. I. 6, 13. p. 22. 23. Ἡ τῶν om. B. καὶ ἡ τῶν C. γένεσις BCD. γέννησις VL. μίσυ L. μίσον V. ἴτον BCD. ἴστον VL.

62 b. γίνωνται VL. γένωνται BC. γένωνται, σκληρὰ τότε Schneiderus. Legebatur γίνωνται σκληραί, τότε. ἐπέτειον] ἐπέτεια Schweigh. et Schneiderus. ἔχειν C. ἔχει VL.

c λιστα καὶ ὅπου χώρα ὕπαμμος· καὶ γὰρ αἱ Τιάραι τοιαῦ-
ται. φύεται δὲ καὶ περὶ Λάμψακον ἐν τῇ Ἀβαρνίδι καὶ
ἐν Ἀλωπεκοννήσῳ κἀν τῇ Ἠλείων." Λυγκεὺς ὁ Σάμιός
φησιν „Ἀκαλήφην ἡ θάλασσα ἀνίησιν, ἡ δὲ γῆ ὕδνα."
καὶ Μάτρων ὁ παρῳδὸς ἐν τῷ Δείπνῳ

Ὄστρεά τ' ἤνεικεν, Θέτιδος Νηρηίδος ὕδνα.

Δίφιλος δὲ δύσπεπτά φησιν εἶναι τὰ ὕδνα, εὔχυλα δὲ καὶ
παραλεαντικά, προσέτι δὲ διαχωρητικά, καὶ ἔνια αὐτῶν
ὅμοια τοῖς μύκαις πνιγώδη εἶναι. Ἡγήσανδρος δ' ὁ Δελφὸς
d ἐν Ἑλλησπόντῳ φησὶν οὔτε ὕδνον γίνεσθαι οὔτε γλαυκίσκον
οὔτε θύμον· διὸ Ναυσικλείδην εἰρηκέναι μήτε ἔαρ μήτε φίλους.
ὑδνόφυλλον δέ φησι Πάμφιλος ἐν Γλώσσαις τὴν φυομένην
τῶν ὕδνων ὕπερθε πόαν, ἀφ' ἧς τὸ ὕδνον γινώσκεσθαι.

61. ΑΚΑΛΗΦΗ. Λέγεται παρὰ τοῖς Ἀττικοῖς οὕ-
τως καὶ τὸ βοτανῶδες καὶ κνησμοῦ αἴτιον. Ἀριστοφάνης
Φοινίσσαις „Πρῶτον πάντων ἴφυα φῦναι, εἶθ' ἑξῆς τὰς
κρανααὰς ἀκαλήφας."

62. ΑΣΠΑΡΑΓΟΙ. Οὗτοι καὶ ἕλειοι καὶ ὄρειοι κα-
e λοῦνται. ὧν οἱ κάλλιστοι οὐ σπείρονται, πάντων ὄντες τῶν
ἐντὸς θεραπευτικοί. οἱ δὲ σπαρτοὶ καὶ σφόδρα ὑπερμεγέ-
θεις γίνονται. ἐν Λιβύῃ δέ φασιν ἐν Γαιτουλίᾳ γίνεσθαι
πάχος μὲν Κυπρίου καλάμου, μῆκος δὲ ποδῶν δώδεκα·
ἐν δὲ τῇ ὀρεινῇ καὶ παρωκεανίτιδι πάχος μὲν μεγάλων
ναρθήκων, μῆκος δὲ περὶ τοὺς εἴκοσι πήχεις. Κρατῖνος
δὲ διὰ τοῦ φ ἀσφάραγον ὀνομάζει. καὶ Θεόπομπος

Κᾆπειτ' ἰδὼν ἀσφάραγον ἐν θάμνῳ τινί.

---

62 c. *αἱ Τιάραι* Schweigh. et Coraës. *αἱ τι* cum scripturae compendio quodam CD. *αἰτίαι* VL. *ἐν τῇ*] *ἐν τῷ* B. *Ἀβαρνίδι* Schneiderus. *ἀκαρνίδι* BC. *ἀκαρνίδῃ* VL. *Ἠλείων*] *ἠλειώων* B. *ἠλείων* C superscripto *ἠλείᾳ*. *Λυγκεὺς* L. *λυγγεὺς* V. *θάλασσα* Schweigh. editio. *θάλασσ'* VL. *ἤνεικεν* CD. *ἤνεγκεν* VL. *δὲ δύσπεπτα* BCD. *δὲ φύσει δύσπεπτα* VL. *παραλεαντικὰ*] *περιλεαντικὰ* B. *προσέτι δὲ*] Malim *προσέτι τε*.

62 d. *ναυσικλείδην εἰρηκέναι* BCD et Casauboniani. *ναυσικλείδους ἐρημίαν* VL. *ἀκαλήφη*] *ἀκαλύφη* C. *κνησμοῦ* BCD. *κνησμῶν* VL. *Φοινίσσαις*] *φοινίσαις* B. De Aristophanis fragmento vide ad III. p. 90 a.

62 e. *Γαιτουλίᾳ*] *γετουλίᾳ* BCD. *ποδῶν* libri et Eustathius p. 899, 21. *πηχῶν* Stephanus Byz. in *Γαιτοῦλοι*. *Κρατῖνος*] Vide

Ἀμειψίας

Οὐ σχῖνος, οὐδ' ἀσφάραγος, οὐ δάφνης κλάδοι.

Δίφιλος δέ φησιν ὡς ὁ τῆς κράμβης ἀσφάραγος, λεγόμενος ἰδίως ὅρμενος, εὐστομαχώτερός ἐστι καὶ εὐεκκριτώτερος, ὄψεων δὲ βλαπτικός. ἔστι δὲ δριμὺς καὶ οὐρητικὸς καὶ ἀδικεῖ νεφροὺς καὶ κύστιν. Ἀττικοὶ δ' εἰσὶν οἱ λέγοντες ὅρμενον τὸν ἀπὸ τῆς κράμβης ἐξηνθηκότα. Σοφοκλῆς Ἰχνευταῖς

Κἀξορμενίζει κοὐκ ἐπισχολάζεται
βλάστη.

a παρὰ τὸ ἐξορούειν καὶ βλαστάνειν. Ἀντιφάνης δὲ διὰ τοῦ π φησὶν ἀσπάραγον

Ἀσπάραγος ἠγλάϊζεν, ὦχρος ἐξήνθηκέ τις.

Ἀριστοφῶν „Κάππαριν, βληχὼ, θύμον, ἀσπάραγον, πίτταν, ῥάμνον, σφακὸν, τύμπανον."

63. ΚΟΧΛΙΑΣ. Φιλύλλιος

Οὐκ εἰμὶ τέττιξ οὐδὲ κοχλίας, ὦ γύναι.

καὶ πάλιν „Μαινίδες, σκόμβροι, κοχλίαι, κορακῖνοι."
Ἡσίοδος δὲ τὸν κοχλίαν φερέοικον καλεῖ. καὶ Ἀναξίλας δὲ

b Ἀπιστότερος εἶ τῶν κοχλιῶν πολλῷ πάνυ,
οἳ περιφέρουσ' ὑπ' ἀπιστίας τὰς οἰκίας.

Ἀχαιὸς „Ἦ τοσούσδ' Αἴτνη τρέφει κοχλίας κεράστας."
προβάλλεται δὲ κἀν τοῖς συμποσίοις γρίφου τάξιν ἔχον περὶ τῶν κοχλιῶν οὕτως

Ὑλογενὴς, ἀνάκανθος, ἀναίματος, ὑγροκέλευθος.

---

Cratini fragmentum apud Phrynichum p. 110. Lobeck. Cratini et Theopompi in eadem caussa mentionem facit Eustathius p. 899, 22.

62 f. εὐεκκριτώτερος Casaubonus. Libri εὐεκκριτικώτερος. Σοφοκλῆς] In Brunckii lexico Sophocleo in ὅρμενος. κἀξορμενίζει κοὐκ] κἀξορμενίζειν οὐκ Eustathius p. 899, 17.

63 a. Antiphanis versus tetrameter esse videtur, ab Porsono sic correctus, ἀσπάραγος ἐπηγλάϊζετ' —. Sic ῥάφανον ἠγλαϊσμένην Ephippus p. 65 c. πίτταν] πίτυν Bodaeus ad Theophrastum p. 638. γήτιον Schweigh. ῥάμνον] ῥάφανον Bodaeus. σφακὸν] σφάκον Schweigh. σφάκελον libri. τύμπανον] πήγανον Dalecampius et Bodaeus. ὦ γύναι BCV. γύναι L. Ἡσίοδος] Ἔργ. 569.

63 b. Ἦ τοσούσδ'] οὐ τοσούσδ' Gesnerus de Aquatil. p. 250. Αἴτνη L ex MSS. ἄλτνη V.

Ἀριστοτέλης δὲ ἐν πέμπτῳ περὶ ζώων μορίων φησὶν „Οἱ κοχλίαι φαίνονται κύοντες ἐν τῷ μετοπώρῳ καὶ τοῦ ἔαρος· μόνοι τε οὗτοι τῶν ὀστρακοδέρμων συνδυαζόμενοι ὤφθη-
c σαν.“ Θεόφραστος δὲ ἐν τῷ περὶ φωλευόντων „Οἱ κοχλίαι (φησὶ) φωλεύουσι μὲν καὶ τοῦ χειμῶνος, μᾶλλον δὲ τοῦ θέρους. διὸ καὶ πλεῖστοι φαίνονται τοῖς μετοπωρινοῖς ὕδασιν. ἡ δὲ φωλεία τοῦ θέρους καὶ ἐπὶ τῆς γῆς καὶ ἐπὶ τῶν δένδρων.“ λέγονται δέ τινες τῶν κοχλιῶν καὶ σέσιλοι. Ἐπίχαρμος

Τούτων ἁπάντων ἀκρίδας ἀνταλλάσσονται,
κόγχων δὲ τὸν σέσιλον. Β. ἄπαγ᾽ ἐς τὸν φθόρον.

d Ἀπελλᾶς δὲ Λακεδαιμονίους φησὶ σέμελον τὸν κοχλίαν λέγειν. Ἀπολλόδωρος δὲ ἐν δευτέρῳ ἐτυμολογιῶν τῶν κοχλιῶν φησί τινας καλεῖσθαι κωλυσιδείπνους.

64. ΒΟΛΒΟΙ. Τούτων Ἡρακλῆς ἐσθίειν παραιτεῖται ἐν Ἀμαλθείᾳ Εὐβούλου λέγων

Θερμότερον, ἢ κραυρότερον, ἢ μέσως ἔχον,
τοῦτ᾽ ἔσθ᾽ ἑκάστῳ μεῖζον ἢ Τροίαν ἑλεῖν.
κἀγὼ γὰρ οὐ καυλοῖσιν οὐδὲ σιλφίῳ,
οὐδ᾽ ἱεροσύλοις καὶ πικραῖς παροψίσι
βολβοῖς τ᾽ ἐμαυτὸν χορτάσων ἐλήλυθα.
ἃ δ᾽ εἴς τ᾽ ἐδωδὴν πρῶτα καὶ ῥώμης ἀκμὴν
e καὶ πρὸς ὑγίειαν, πάντα ταῦτ᾽ ἐδαινύμην,
κρέας βόειον ἑφθὸν ἀσόλοικον μέγα,
ἀκροκώλιόν τε γεννικὸν, ὀπτὰ δελφάκια
ἀλίπαστα τρία.

---

Ἀριστοτέλης] Hist. Anim. V. 10, 2. p. 197. Schneid. μορίων add. BCD et Casauboniani. om. VL. κύοντες] κύονες B. μόνοι — ὤφθησαν] Haec ex libro III. de generat. animal. c. 11. συνδυαζόμενοι] συνδιαζόμενοι CD.

63 c. Θεόφραστος] Vol. I. p. 836. Ἐπίχαρμος] Non Epicharmi sed Attici poetae versus esse recte coniicit Iacobsius p. 50. ἀνταλλάσσονται] ἀντάλλασσε, παῖ Iacobsius. Poterat etiam ἀνταλλάσσετε vel, quod Erfurdtius proposuit, ἀνταλλάσσομαι. κόγχων C. κόχλον D. κόγχον VL. Ἀπελλᾶς] Idem, ut videtur, atque Ἀπόλλας IX. p. 369 a.

63 e. V. 9. γεννικὸν L. γενικὸν V. δελφάκια VL. δελφάκι᾽ BCD. Neutrum ferri potest. Fortasse ὀπτὸν δέλφακα scribendum. V. 10. ἀλίπαστα BCD et Casauboniani. λιπαστὰ VL.

Ἄλεξις ἐμφανίζων τὴν τῶν βολβῶν πρὸς τὰ ἀφροδίσια δύναμίν φησι

Πίννας, κάραβον,
βολβούς, κοχλίας, κήρυκας, ᾠ', ἀκροκώλια·
τοσαῦτα τούτων ἄν τις εὕροι φάρμακα
f ἐρῶντι ἑταίρας ἕτερα χρησιμώτερα.

Ξέναρχος

Φθίνει δόμος
ἀσυστάτοισι δεσποτῶν κεχρημένος
τύχαις, ἀλάστωρ τ' εἰσπέπαικε. Πελοπιδῶν
ἄστυτος οἶκος, κοὔτε βυσσαύχην θεᾶς
Δηοῦς σύνοικος, γηγενὴς βολβὸς, φίλοις
ἑφθὸς βοηθῶν δυνατός ἐστ' ἐπαρκέσαι·
μάτην δὲ, πόντου κυανέαις δίναις τραφεὶς,
64 φλεβὸς τροπωτὴρ, πουλύπους, ἁλοὺς βρόχων
πλεκταῖς ἀνάγκαις τῆς τροχηλάτου κόρης
πίμπλησι λοπάδος στερνοσώματον κύτος.

Ἀρχέστρατος

Βολβῶν καὶ καυλῶν χαίρειν λέγω ὀξυβάφοισι
ταῖς τ' ἄλλαις πάσῃσι παροψίσι.

65. Ἡρακλείδης ὁ Ταραντῖνος ἐν Συμποσίῳ „Βολβὸς καὶ κοχλίας καὶ ᾠὸν καὶ τὰ ὅμοια δοκεῖ σπέρματος

---

Ἄλεξις] „*Fortasse in Pamphila: vide VIII. p.* 356 *f.*" Hemsterhusius. ᾠ'] Libri ᾠά. εὕροι] εὕρῃ B et correctus C.

63 f. ἐρῶντι BCD. ἐρῶνθ' VL. ἐρῶν ἑταίρας χἄτερα χρησιμώτερα Iacobsius ad Antholog. vol. VIII. p. 234. ἀκροκώλια τοσαῦτα. τούτων ἂν τίς εὕροι — ἐρῶνθ' — χρησιμώτερα; Coraës ad Xenocratem p. 134. Ξέναρχος] ἐν Βουταλίωνι, ut videtur: cuius fabulae mentionem fecisse Athenaeum libro secundo auctor est Suidas in Ξέναρχος, ubi vitiose Βουκαλίων dicitur. V. 2. ἀσυντάτοισι BCD et Casauboniani. ἀστύτοισι VL et Eustathius p. 1283, 26. ἀσυστάτοισι Blomfieldus in Glossar. ad Aeschyli Agam. 1443. p. 303.

V. 3. Πελοπιδῶν L. καὶ πελοπιδῶν BCDV. Post Πελοπιδῶν fortasse excidit δ'. V. 4. κοὔτε] καὶ οὔτε B. βυσσαύχην C. Scribebatur βυσαύχην. Vide Hesychii interpretes p. 781. θεᾶς BCD. θεᾷ VL. V. 5. Δηοῦς Schweigh. δηοῦν BCD. δηοῖ VL.

64 a. V. 8. βρόχων Porsonus in Miscellaneis p. 234. Legebatur βροτῶν. V. 9. τροχηλάτου] τροχηλάτης C. V. 10. στερνοσώματον] στερροσώματον Lobeckius ad Phrynich. p. 176. βολβῶν] βολβυῶν B. ταῖς τ' ἄλλαις πάσῃσι παροψίσι BCD et

Ἀριστοτέλης δὲ ἐν πέμπτῳ περὶ ζώων μορίων φησὶν „Οἱ κοχλίαι φαίνονται κύοντες ἐν τῷ μετοπώρῳ καὶ τοῦ ἔαρος· μόνοι τε οὗτοι τῶν ὀστρακοδέρμων συνδυαζόμενοι ὤφθη-
c σαν.“ Θεόφραστος δὲ ἐν τῷ περὶ φωλευόντων „Οἱ κοχλίαι (φησὶ) φωλεύουσι μὲν καὶ τοῦ χειμῶνος, μᾶλλον δὲ τοῦ θέρους. διὸ καὶ πλεῖστοι φαίνονται τοῖς μετοπωρινοῖς ὕδασιν. ἡ δὲ φωλεία τοῦ θέρους καὶ ἐπὶ τῆς γῆς καὶ ἐπὶ τῶν δένδρων.“ λέγονται δέ τινες τῶν κοχλιῶν καὶ σέσιλοι. Ἐπίχαρμος

Τούτων ἁπάντων ἀκρίδας ἀνταλλάσσονται,
κόγχων δὲ τὸν σέσιλον. Β. ἄπαγ᾽ ἐς τὸν φθόρον.

d Ἀπελλᾶς δὲ Λακεδαιμονίους φησὶ σέμελον τὸν κοχλίαν λέγειν. Ἀπολλόδωρος δὲ ἐν δευτέρῳ ἐτυμολογιῶν τῶν κοχλιῶν φησί τινας καλεῖσθαι κωλυσιδείπνους.

64. ΒΟΛΒΟΙ. Τούτων Ἡρακλῆς ἐσθίειν παραιτεῖται ἐν Ἀμαλθείᾳ Εὐβούλου λέγων

Θερμότερον, ἢ κραυρότερον, ἢ μέσως ἔχον,
τοῦτ᾽ ἔσθ᾽ ἑκάστῳ μεῖζον ἢ Τροίαν ἑλεῖν.
κἀγὼ γὰρ οὐ καυλοῖσιν οὐδὲ σιλφίῳ,
οὐδ᾽ ἱεροσύλοις καὶ πικραῖς παροψίσι
βολβοῖς τ᾽ ἐμαυτὸν χορτάσων ἐλήλυθα.
ἃ δ᾽ εἴς τ᾽ ἐδωδὴν πρῶτα καὶ ῥώμης ἀκμὴν
e καὶ πρὸς ὑγίειαν, πάντα ταῦτ᾽ ἐδαινύμην,
κρέας βόειον ἑφθὸν ἀσόλοικον μέγα,
ἀκροκώλιόν τε γεννικὸν, ὀπτὰ δελφάκια
ἁλίπαστα τρία.

---

Ἀριστοτέλης] Hist. Anim. V. 10, 2. p. 197. Schneid. [illegible] add. BCD et Casauboniani. om. VL. κύοντες] κύοντ[illegible] B. μόνοι — ὤφθησαν] Haec ex libro III. de generat. animal. [illegible] συνδυαζόμενοι] συνδιαζόμενοι CD.

63 c. Θεόφραστος] [illegible] p. 836. Ἐπίχαρμος] [illegible] charmi sed Attici [illegible]s esse recte conli[illegible] 50. ἀνταλλ[illegible]λασσε, καὶ lac[illegible] ἀνταλλάσσετε [illegible]ordtius pro[illegible] κόγχων C. [illegible]χων VL. atque [illegible] 389 a. 63 [illegible] L. [illegible] BCD. [illegible]

Ἄλεξις ἐμφανίζων τὴν τῶν βολβῶν πρὸς τὰ ἀφροδίσια δύναμίν φησι·

Πίννας, κάραβον,
βολβούς, κοχλίας, κήρυκας, ᾠ', ἀκροκώλια·
τοσαῦτα τούτων ἄν τις εὕροι φάρμακα
ἐρῶντι ἑταίρας ἕτερα χρησιμώτερα.

Ξέναρχος

Φθίνει δόμος
ἀσυστάτοισι δεσποτῶν κεχρημένος
τύχαις, ἀλάστωρ τ' εἰσπέπαικε. Πειθιδῶν
ἄστυτος οἶκος, κοὔτε βυσσαύχην θεὰς
Δηοῦς σύνοικος, γηγενὴς βολβός, φίλοις
ἑφθὸς βοηθῶν δυνατός ἐστ' ἐπαρκέσαι·
μάτην δὲ, πόντου κυανέαις δίναις τραφεὶς,
φλεβὸς τροπωτὴρ, πουλύπους, ἅλοις βρόχων
πλεκταῖς ἀνάγκαις τῆς τροχηλάτου κόρης
πίμπλησι λοπάδος στερνοσώματον κύτος.

Ἀρχέστρατος

Βολβῶν καὶ καυλῶν χαίρειν λέγω ὀξυβάφοισι
ταῖς τ' ἄλλαις πάσῃσι παροψίσι.

65. Ἡρακλείδης ὁ Ταραντῖνος ἐν Συμποσίῳ „Βολβὸς καὶ κοχλίας καὶ ᾠὸν καὶ τὰ ὅμοια δοκεῖ σπέρματος

---

Ἄλεξις] „Fortasse in Pamphila: vide VIII. p. 356 f." Hemsterhusius. ᾠ'] Libri ὠά. εὕροι] εὕρῃ B et correctus C.

63 f. ἐρῶντι BCD. ἐρῶνθ' VL. ἐρῶν ἑταίρας γ' ἕτερα χρησιμώτερα Iacobsius ad Antholog. vol. VIII. p. 234. [illegible] τοσαῦτα. τούτων ἂν τίς εὕροι — ἐρῶνθ' — χρησιμώτερα; Coraes ad Xenocratem p. 134. Ξέναρχος] ἐν Βουταλίωνι, ut videtur: cuius fabulae mentionem fecisse Athenaeum libro secundo [illegible] est Suidas in Ξέναρχος, [illegible] [illegible] Casaub. [illegible] [illegible]λίων dicitur. V. 2 ἀσυστάτοισι BCD VL et Eustathius p. 1283, 26. ἀσυστα- [illegible] ar. ad Aeschyli [illegible] 1443. p. 303. καὶ [illegible] BCD. Post Πειθιδῶν [illegible] V. 4. κοὔτε] [illegible] [illegible] C. [illegible] p. 781. [illegible] BCD. [illegible] p. 234 [illegible] C. [illegible] p. [illegible]

εἶναι ποιητικά, οὐ διὰ τὸ πολύτροφα εἶναι, ἀλλὰ διὰ τὸ ὁμοειδεῖς ἔχειν τὰς πρώτας φύσεις αὐτὰς τὰς δυνάμεις τῷ
b σπέρματι.“ Δίφιλος „Οἱ βολβοὶ δύσπεπτοι μέν εἰσι, πολύτροφοι δὲ καὶ εὐστόμαχοι, ἔτι δὲ σμηκτικοὶ καὶ ἀμβλυντικοὶ ὄψεως διεγερτικοί τ᾽ ἀφροδισίων.“ ἡ δὲ παροιμία φησὶν

Οὐδέν σ᾽ ὀνήσει βολβὸς, ἂν μὴ νεῦρ᾽ ἔχῃς.

διεγείρουσι δ᾽ ὄντως αὐτῶν πρὸς ἀφροδίσια οἱ βασιλικοὶ λεγόμενοι, οἳ καὶ κρείσσονες τῶν ἄλλων εἰσί· μεθ᾽ οὓς οἱ πυρροί. οἱ δὲ λευκοὶ καὶ Λιβυκοὶ σκιλλώδεις· χείρονες δὲ πάντων οἱ Αἰγύπτιοι.

66. Αἱ δὲ βολβῖναι καλούμεναι εὐχυλότεραι μέν εἰσι τῶν βολβῶν, οὐ μὴν οὕτως εὐστόμαχοι, διὰ τὸ γλυκάζον
c ἔχειν παχύ τι· καί γε ἱκανῶς εἰσι διὰ τὴν πολλὴν σκληρότητα καὶ εὐέκκριτοι. μνημονεύει δὲ βολβίνης Μάτρων ἐν παρῳδίαις

Σόγκους δ᾽ οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ᾽ ὀνομήνω,
μυελόεν βλάστημα, καρηκομόωντας ἀκάνθαις·
βολβίνας θ᾽, αἳ Ζῆνος Ὀλυμπίου εἰσὶν ἀοιδοὶ,
ἃς ἐν χέρσῳ θρέψε Διὸς παῖς ἄσπετος ὄμβρος,
λευκοτέρας χιόνος, ἰδέειν ἀμύλοισιν ὁμοίας·
τάων φυομένων ἠράσσατο πότνια γαστήρ.

d 67. Ὅτι Νίκανδρος Μεγαρῆας βολβοὺς ἐπαινεῖ. Θεόφραστος δ᾽ ἐν ἑβδόμῳ φυτικῶν „Ἐνιαχοῦ (φησὶν) οὕτω γλυκεῖς εἰσιν οἱ βολβοὶ ὥστε καὶ ὠμοὺς ἐσθίεσθαι, ὥσπερ ἐν τῇ Ταυρικῇ Χερρονήσῳ. τὰ αὐτὰ ἱστορεῖ καὶ Φα-

---

Casauboniani. ταῖς τ᾽ ἄλλαισι παροψίσι πάσαις VL. πολύτροφα εἶναι ἀλλὰ διὰ τὸ add. BCD et Casauboniani. om. VL. αὐτὰς τὰς BCD. καὶ τὰς αὐτὰς VL.

64 b. βολβὸς ἂν] βολβὸς ἐὰν B. νεῦρ᾽ L. ᾽λευρ᾽ V. κρείσσονες BC. κρείττονες VL. σκιλλώδεις BCD. σκυλλώδεις VL.

64 c. Post vitiosum καί γε, quod fortasse in καὶ γὰρ mutandum, aliquid excidisse videtur. παρῳδίαις BCD. παρῳδαῖς VL.

V. 1. Σόγκους] Σόγχους Brunckius in Analectis II. p. 249

V. 5. ἰδέειν Brunckius ibidem. Libri ἰδεῖν. Simillimum Matronis versum vide IV. p. 134 e.

64 d. Θεόφραστος] H. P. VII. 13, 8. p. 251. ἑβδόμῳ Scribebatur ζ. φυτικῶν C. Legebatur φυτῶν. ὥσπερ ἐν CD. ὥσπερ καὶ ἐν VL. καθάπερ ἐν Theophrastus. Φανίας] Scri-

νάς. „Ἔστι δὲ καὶ γένος (φησὶ) βολβῶν (Θεόφραστος) ἐριοφόρων, ὃ φύεται ἐν αἰγιαλοῖς. ἔχει δὲ τὸ ἔριον ὑπὸ τοὺς πρώτους χιτῶνας, ὥστε ἀνὰ μέσον εἶναι τοῦ ἐδωδίμου τοῦ ἐντὸς καὶ τοῦ ἔξω. ὑφαίνεται δ' ἐξ αὐτοῦ καὶ πόδεια καὶ ἄλλα ἱμάτια." (ὡς καὶ Φανίας φησὶ) „τὸ δὲ ἐν Ἰνδοῖς τριχῶδές ἐστι." περὶ δὲ τῆς τῶν βολβῶν σκευασίας Φιλήμων φησὶ

Τὸν βολβὸν, εἰ βούλει, σκόπει
ὅσα δαπανήσας εὐδοκιμεῖ, τυρὸν, μέλι,
σήσαμον, ἔλαιον, κρόμυον, ὄξος, σίλφιον.
αὐτὸς δ' ἐφ' αὑτοῦ 'στιν πονηρὸς καὶ πικρός.

Ἡρακλείδης δ' ὁ Ταραντῖνος τοῦ συμποσίου περιγράφων τοὺς βολβούς φησι „Περιγράφειν δεῖ τὴν πολλὴν βρῶσιν, καὶ μάλιστα τῶν ἐχόντων ὅλκιμόν τι καὶ γλίσχρον, οἷον ᾠῶν, βολβῶν, ἀκροκωλίων, κοχλιῶν καὶ τῶν ὁμοίων. ἐπιμένει γὰρ τῇ κοιλίᾳ πλείονας χρόνους καὶ ἐμπλεκόμενα παρακατέχει τὰ ὑγρά."

68. ΚΙΧΛΑΙ. Καὶ τούτων ἦσαν καὶ ἄλλων ὀρνίθων ἀγέλαι ἐν τοῖς προπόμασι. Τηλεκλείδης

Ὀπταὶ δὲ κίχλαι μετ' ἀμητίσκων εἰς τὸν φάρυγ' εἰσεπέτοντο.

Συρακόσιοι δὲ τὰς κίχλας κιχήλας λέγουσιν. Ἐπίχαρμος „Τάς τ' ἐλαιοφιλοφάγους κιχήλας." μέμνηται τούτων καὶ Ἀριστοφάνης ἐν Νεφέλαις. τρία δὲ γένη κιχλῶν Ἀριστοτέλης εἶναι ἱστορεῖ· ὧν τὴν πρώτην καὶ μεγίστην κίσσῃ πάρισον εἶναι, ἣν καὶ καλεῖσθαι ἰξοφάγον, ἐπειδὴ ἰξὸν

---

bebatur Φαινίας. Θεόφραστος] Loco eodem. πόδεια καὶ] χοδειακὰ C.

64 e. Φιλήμων] P. 408. κρόμυον] κρόμμυον Schweigh. σίλφιον L. σίφνιον V. αὑτοῦ 'στιν Brunckius. αὐτοῦ 'στι B. Scribebatur αὐτοῦ ἐστι. τοῦ συμποσίου BCD. τῶν συμποσίων VL.

64 f. Τηλεκλείδης] In Amphictyonibus: vide VI. p. 268 c. Ὀπταὶ] αὐτόμαται scriptum XIV. p. 644 f. φάρυγ'] Libri φάρυγγ'. Συρακόσιοι] Scribebatur Συρακούσιοι. ἐλαιοφιλοφάγους BCD et Eustathius p. 1934, 17. ἐλαιοφυλλοφάγους VL. ἐν Νεφέλαις] V. 339. Br. κρέα τ' ὀρνίθεια κιχηλᾶν. εἶναι ante γένη lectum transposui auctore B. Ἀριστοτέλης] H. A. IX. 18, 2. p. 436. Attulit haec ex Athenaeo Eustathius p. 947, 8.

65 a. κίσσῃ πάρισον L. κισσηπάρησον V.

ἐσθίει· τὴν δὲ τῷ κοσσύφῳ ἴσην, ἣν ὀνομάζεσθαι τριχάδα· τὴν δὲ τρίτην, ἐλαχίστην τῶν προειρημένων οὖσαν, ἰλλάδα ὀνομάζεσθαι· — οἱ δὲ τυλάδα λέγουσιν, ὡς Ἀλέξανδρος ἱστορεῖ ὁ Μύνδιος· — ἣν καὶ συναγελαστικὴν εἶναι καὶ νεοττεύειν ὡς καὶ τὰς χελιδόνας. Ὅτι τὸ εἰς Ὅμηρον ἀναφερόμενον ἐπύλλιον, ἐπιγραφόμενον δὲ Ἐπικιχλίδες, ἔτυχε
b ταύτης τῆς προσηγορίας διὰ τὸ τὸν Ὅμηρον ᾄδοντα αὐτὸ τοῖς παισὶ κίχλας δῶρον λαμβάνειν, ἱστορεῖ Μέναιχμος ἐν τῷ περὶ τεχνιτῶν.

69. ΣΥΚΑΛΙΔΕΣ. Ἀλέξανδρος ὁ Μύνδιος ἱστορεῖ „Ἄτερος τῶν αἰγιθαλῶν ὑφ᾽ ὧν μὲν ἐλαιὸς καλεῖται, ὑπὸ δέ τινων πιρίας· συκαλὶς δ᾽, ὅταν ἀκμάζῃ τὰ σῦκα.“ δύο δ᾽ εἶναι γένη αὐτοῦ, συκαλίδα καὶ μελαγκόρυφον. Ἐπίχαρμος „Ἀγλαὰς συκαλλίδας.“ καὶ πάλιν

Ἦν δ᾽ ἐρωδιοὶ * * μακροκαμπυλαύχενες
τέτρακές τε σπερματολόγοι κἀγλααὶ συκαλλίδες.

c ἁλίσκονται δ᾽ αὗται τῷ τῶν σύκων καιρῷ. διὸ βέλτιον ὀνομάζοιντ᾽ ἂν δι᾽ ἑνὸς λ. διὰ δὲ τὸ μέτρον Ἐπίχαρμος διὰ δυοῖν εἴρηκεν.

70. ΣΠΙΝΘΙ. Εὔβουλος

Ἀμφιδρομίων ὄντων, ἐν οἷς νομίζεται

---

ἰλλάδα] ἰλιάδα Basil. ex Aristotele.

65 b. Συκαλίδες L. συκαλλίδες V. αἰγιθαλῶν] αἰγιθηλῶν (α) BCD. αἰγιθαλλῶν VL. ἐλαιὸς VL vitiose. ἔλαιον BCD etiam vitiosius. πιρίας VL. πιρία CD. πίρια B. Vide annotationem. Ἐπίχαρμος] Epicharmi fragmenta affert Eustathius p. 1110, 55. (παρ᾽ Ἐπιχάρμῳ, ἦν δ᾽ ἐρῳδιοὶ μακροκαμπυλαύχενες. καί, [VII. p. 286 b.] ἦν δὲ νάρκαι, ἦν δὲ ζύγαιναι, τέτρακές τε σπερματολόγοι κἀγλααὶ συκαλλίδες.) respicitque p. 1964, 23. Sunt autem ex Ἥβας γάμῳ sumpta: vide IX. p. 398 d. συκαλλίδας VL. συκαλίδας BCD. Post ἐρωδιοὶ indicavi lacunam, verbis τε πολλοὶ explendam ex 398. Legebatur μακροκαμπυλαύχενοι. μακροκαμπυλαύχενες 398. ἐρωδιοὺς μακροκαμπυλαύχενας Epicharmi memorat Eustathius p. 1038, 24. τέτρακες] τέτραγες 398. συκαλλίδες VL. συκαλίδες BCD.

65 c. διὰ δυεῖν BCD. διὰ λλ δυοῖν VL. Εὔβουλος] Immo Ephippus, ex cuius Geryone hi versus recitantur IX. p. 370 d. V. 1. Ἀμφιδρομίων] ἀμφυδρομίων B. νομίζεται L. νομίζηται B. ὀνομάζεται V.

ὀπτᾶν τε τυροῦ Χερρονησίτου τόμον,
ἕψειν τ' ἐλαίῳ ῥάφανον ἠγλαϊσμένην,
πνίγειν τε παχέων ἀρνίων στηθύνια,
τίλλειν τε φάττας καὶ κίχλας ὁμοῦ σπίνοις,
d ὁμοῦ τε χναύειν μαινίσιν σηπίδια,
πιλοῦν τε πολλὰς πλεκτάνας ἐπιστρεφῶς,
πίνειν τε πολλὰς κύλικας εὐζωρεστέρας.

71. ΚΟΨΙΧΟΙ. Νικόστρατος ἢ Φιλέταιρος

Τί οὖν ἀγοράζω; φράζε γάρ.
Β. μὴ πολυτελῶς, ἀλλὰ καθαρείως, δασύποδα,
ἐὰν περιτύχῃς, ἀγόρασον καὶ νηττία,
ὁπόσα σὺ βούλει, καὶ κίχλας καὶ κοψίχους,
ὀρνιθάριά τε τῶν ἀγρίων τούτων συχνά.
χάριεν γάρ.

e Ἀντιφάνης δὲ καὶ ΨΑΡΑΣ ἐν τοῖς βρώμασι καταλέγει

Μέλι, πέρδικες,
φάτται, νῆτται, χῆνες, ψᾶρες,
κίττα, κολοιὸς, κόψιχος, ὄρτυξ,
ὄρνις θήλεια.

Πάντων ἡμᾶς λόγον ἀπαιτεῖς, καὶ οὐδ' ὁτιοῦν ἔξεστιν εἰπεῖν ἀνυπεύθυνον. Ὅτι τὸ στρουθάριον παρ' ἄλλοις τε καὶ δὴ καὶ παρ' Εὐβούλῳ „Περδίκια λαβὲ τέτταρ' ἢ καὶ πέντε, δασύποδας τρεῖς, στρουθάριά θ' οἷον ἐντραγεῖν, ἀκανθυλλίδας, βιττάκους, σπινία, κερχνῇδας, τά τ' ἄλλ' ἅττ' ἂν ἐπιτύχῃς."

---

V. 2. Χερρονησίτου] χερρονησίτου BC. χερασνησίτου L. χερονησύτου V. τόμον] τόμους 370. V. 3. ἠγλαϊσμένην L. ἠγλαϊσμένον V.
65 d. V. 6. ὁμοῦ] κοινῇ 370. μαινίσιν] τευθίσιν 370.
V. 7. πιλοῦν] πιλεῖν 370. ἐπιστρεφῶς] ἐπιστρόφως 370. ἐπιστρέφων B. V. 8. εὐζωρεστέρας Schweigh. tacite, nescio utrum ex libris an ex 377. εὐζωρεστέρους VL. Φιλέταιρος] φιλέτινος B.
V. 1. γὰρ μὴ L. γάρ μοι V. V. 2. καθαρείως CD et Casauboniani. καθαρίως VL. Conf. VII. p. 311 d. VIII. p. 359 a. δασύποδα BC. δασύποδ' L. δασίποδ' V. V. 3. νηττία B. νήττια C. νηττί' VL. V. 5. ὀρνιθάρια C. ὀρνιθίων VL. V. 6. χαρίεν γὰρ Casaubonus. χαίρειν γὰρ codex Stephani apud Casaubonum. χαίρειν BCDVL.
65 e. ψᾶρας — ψᾶρες] ψάρας — ψάρες libri. ἡμᾶς L. ἡμῶν V. λαβὲ τέτταρ' ἢ καὶ πέντε] λάβετε τέταρ' ἢ πέντε C. ἅττ' BDC. ἅτ' VL.

f 72. ΕΓΚΕΦΑΛΟΙ ΧΟΙΡΕΙΟΙ. Τούτων ἡμᾶς ἐσθίειν οὐκ εἴων οἱ φιλόσοφοι, φάσκοντες τοὺς αὐτῶν μεταλαμβάνοντας ἴσον καὶ κυάμων τρώγειν, κεφαλῶν τε οὐ τοκήων μόνον, ἀλλὰ καὶ τῶν ἄλλων βεβήλων. οὐδένα γοῦν τῶν ἀρχαίων βεβρωκέναι διὰ τὸ τὰς αἰσθήσεις ἁπάσας σχεδὸν ἐν αὐτῷ εἶναι. Ἀπολλόδωρος δ' ὁ Ἀθηναῖος οὐδ' ὀνομά-
66 ζειν τινὰ τῶν παλαιῶν φησιν ἐγκέφαλον· καὶ Σοφοκλέα γοῦν ἐν Τραχινίαις ποιήσαντα τὸν Ἡρακλέα ῥιπτοῦντα τὸν Λίχαν ἐς θάλασσαν οὐκ ὀνομάσαι ἐγκέφαλον, ἀλλὰ λευκὸν μυελὸν, ἐκκλίνοντα τὸ μὴ ὀνομαζόμενον·

Κόμης δὲ λευκὸν μυελὸν ἐκραίνει, μέσου
κρατὸς διασπαρέντος αἵματός θ' ὁμοῦ·

καίτοι τἄλλα διαρρήδην ὀνομάσαντα. καὶ Εὐριπίδης δὲ τὴν Ἑκάβην θρηνοῦσαν εἰσαγαγὼν τὸν Ἀστυάνακτα ὑπὸ τῶν Ἑλλήνων ῥιφέντα φησί.

Δύστηνε, κρατὸς ὥς σ' ἔκειρεν ἀθλίως
b τείχη πατρῷα, Λοξίου πυργώματα,
ὃν πόλλ' ἐκήπευσ' ἡ τεκοῦσα βόστρυχον,
φιλήμασίν τ' ἔδωκεν· ἔνθεν ἐκγελᾷ
ὀστέων ῥαγέντων φόνος, ἵν' αἰσχρὰ μὴ λέγω.

ἔχει δὲ ἐπιστασίαν ἡ τῶν ποιημάτων τούτων ἐκδοχή. καὶ γὰρ Φιλοκλῆς τε ἐγκέφαλόν φησιν „Οὐδ' ἂν ἐγκέφαλον ἔσθων λίποι“ καὶ Ἀριστοφάνης „Ἀπολέσαιμ' ἂν ἐγκεφάλου θρίω δύο“ καὶ ἄλλοι. λευκὸν οὖν ἂν εἴη μυελὸν εἰρηκὼς
c Σοφοκλῆς ποιητικῶς, Εὐριπίδης τε τὸ τῆς προσόψεως εἰδεχθὲς καὶ αἰσχρὸν οὐχ αἱρούμενος ἐναργῶς ἐμφανίσαι

---

65 f. Ἐγκέφαλοι] Multa ex hoc capite habet Eustathius p. 757, 41. ἴσον — τοκήων] Poetae cuiusdam verba: vide annotationem. κυάμων BCD et Eustathius p. 757, 42. κυάμους VL. κεφαλῶν C et Eustathius. κεφαλάς τε VL. οὐδένα γοῦν BCD. οὐδένα οὖν VL.

66 a. ἐν Τραχινίαις] V. 781. Εὐριπίδης] Troad. v. 1181. ῥιφέντα BCD. ῥιφθέντα VL. ὥς σ' ἔκειρεν] ὡς ἔκειρεν C.

66 b. τείχη πατρῷα L. τίχη πατρώα V. ἐκγελᾷ L. ἐκγε V. ῥαφέντων libri. Correctum ex Euripide et Eustathio. ἐγκέφαλον ἔσθων λίποι BCD. ἐγκέφαλόν γ' ἔσθων λίποι L. ἐγκεφάλου γ' ἔσθω λίπος V. Eustathius p. 757, 46. τῷ εἰπόντι ὡς οὐδ' ἂν ἐγκεφάλων ἔσθων λίπη. Ἀριστοφάνης] Ranar. v. 134. ἀπολέσαιμ'] ἀπολέσοιμ' B.

ἐδήλωσεν ὡς ἐβούλετο. ὅτι δ' ἱερὸν ἐνόμιζον τὴν κεφαλὴν δῆλον ἐκ τοῦ καὶ κατ' αὐτῆς ὀμνύειν καὶ τοὺς γινομένους ἀπ' αὐτῆς πταρμοὺς προσκυνεῖν ὡς ἱερούς. ἀλλὰ μὴν καὶ τὰς συγκαταθέσεις βεβαιοῦμεν τῇ ταύτης ἐπινεύσει, ὡς καὶ ὁ Ὁμηρικὸς Ζεύς φησιν

*Εἰ δ' ἄγε τοι κεφαλῇ ἐπινεύσομαι.*

73. Ὅτι εἰς τὸ πρόπομα καὶ ταῦτα ἐνεβάλλοντο, πέπερι,
d φυλλὶς, σμύρνα, κύπειρον, μύρον Αἰγύπτιον. Ἀντιφάνης

*Ἐὰν μὲν ἄρα πέπερι φέρῃ τις πριάμενος,*
*στρεβλοῦν γράφουσι τοῦτον ὡς κατάσκοπον.*

πάλιν

*Νῦν δεῖ περιόντα πέπερι καὶ καρπὸν βλίτου*
*ζητεῖν.*

Εὔβουλος

*Κόκκον λαβοῦσα κνίδιον, ἢ τοῦ πεπέριος,*
*τρίψασ', ὁμοῦ σμύρνῃ διάπαττε τὴν ὁδόν.*

Ὠφελίων

*Λιβυκὸν πέπερι καὶ θυμίαμα, βιβλίον*
*Πλάτωνος ἐμβρόντητον.*

e Νίκανδρος Θηριακοῖς

*Ἢ καὶ λεπτοθρίοιο πολύχνοα φύλλα κονύζης,*
*πολλάκι δ' ἢ πέπερι κόψας νέον, ἢ ἀπὸ Μήδων*
*κάρδαμον.*

Θεόφραστος ἐν φυτῶν ἱστορίᾳ „Τὸ πέπερι καρπὸς μὲν

---

66 c. ἀπ' αὐτῆς BCD. ὑπ' αὐτῆς VL. βεβαιοῦμεν BCD. βεβαιουμένας VL. Εἰ δ' ἄγε] Iliad. α, 524.

66 d. φυλλὶς BCD. φύλλης VL. Ἐὰν μὲν] Libri Ἂν μέν. φέρῃ τις] Legebatur τις φέρῃ. Librorum scripturam qui defendere volet, ei πριάμενος tetrametri initium habendum erit. γράφουσι] γράφῃ CD. γράφῃ σὺ Schweigh. περιόντα] Scribebatur περιιόντα. Vide Porsonum ad Aristoph. Vesp. 1020. p. 140. κνίδιον VL. κνίδειον BCD. πεπέριος L. πεπέριδος V, quod in C super πεπέριος scriptum. διάπαττε L. διαπάττει V. πέπερι καὶ θυμίαμα, βιβλίον Toupius Emend. vol. I. p. 459. Legebatur πέπερι, θυμίαμα καὶ βιβλίον. καὶ βίβλον D.

66 e. Θηριακοῖς] Θηριακῶν B. Vers. 875. πολύχνοα] πολύχνοα B. κονύζης CD. κονύζης VL. δ' ἢ L. δὴ CV. πέπερι] πέπεριν Nicander. Vide ad III. p. 126 b. ἐν φυτῶν ἱστο-

c λιστα καὶ ὅπου χώρα ὕπαμμος· καὶ γὰρ αἱ Τιάραι τοιαῦται. φύεται δὲ καὶ περὶ Λάμψακον ἐν τῇ Ἀβαρνίδι καὶ ἐν Ἀλωπεκοννήσῳ κἀν τῇ Ἠλείων.“ Λυγκεὺς ὁ Σάμιός φησιν „Ἀκαλήφην ἡ θάλασσα ἀνίησιν, ἡ δὲ γῆ ὕδνα.“ καὶ Μάτρων ὁ παρῳδὸς ἐν τῷ Δείπνῳ

Ὄστρεά τ' ἤνεικεν, Θέτιδος Νηρηΐδος ὕδνα.

Δίφιλος δὲ δύσπεπτά φησιν εἶναι τὰ ὕδνα, εὔχυλα δὲ καὶ παραλεαντικὰ, προσέτι δὲ διαχωρητικὰ, καὶ ἔνια αὐτῶν ὅμοια τοῖς μύκαις πνιγώδη εἶναι. Ἡγήσανδρος δ' ὁ Δελφὸς
d ἐν Ἑλλησπόντῳ φησὶν οὔτε ὕδνον γίνεσθαι οὔτε γλαυκίσκον οὔτε θύμον· διὸ Ναυσικλείδην εἰρηκέναι μήτε ἔαρ μήτε φίλους. ὑδνόφυλλον δέ φησι Πάμφιλος ἐν Γλώσσαις τὴν φυομένην τῶν ὕδνων ὕπερθε πόαν, ἀφ' ἧς τὸ ὕδνον γινώσκεσθαι.

61. ΑΚΑΛΗΦΗ. Λέγεται παρὰ τοῖς Ἀττικοῖς οὕτως καὶ τὸ βοτανῶδες καὶ κνησμοῦ αἴτιον. Ἀριστοφάνης Φοινίσσαις „Πρῶτον πάντων ἴφυα φῦναι, εἶθ' ἑξῆς τὰς κραναὰς ἀκαλήφας.“

62. ΑΣΠΑΡΑΓΟΙ. Οὗτοι καὶ ἕλειοι καὶ ὄρειοι καλοῦνται.
e ὧν οἱ κάλλιστοι οὐ σπείρονται, πάντων ὄντες τῶν ἐντὸς θεραπευτικοί. οἱ δὲ σπαρτοὶ καὶ σφόδρα ὑπερμεγέθεις γίνονται. ἐν Λιβύῃ δέ φασιν ἐν Γαιτουλίᾳ γίνεσθαι πάχος μὲν Κυπρίου καλάμου, μῆκος δὲ ποδῶν δώδεκα· ἐν δὲ τῇ ὀρεινῇ καὶ παρωκεανίτιδι πάχος μὲν μεγάλων ναρθήκων, μῆκος δὲ περὶ τοὺς εἴκοσι πήχεις. Κρατῖνος δὲ διὰ τοῦ φ ἀσφάραγον ὀνομάζει. καὶ Θεόπομπος

Κᾆτ' εἶτ' ἰδὼν ἀσφάραγον ἐν θάμνῳ τινί.

---

62 c. αἱ Τιάραι Schweigh. et Coraës. αἱ τι cum scripturae compendio quodam CD. αἰτίαι VL. ἐν τῇ] ἐν τῷ B. Ἀβαρνίδι Schneiderus. ἀκαρνίδι BC. ἀκαρνίδη VL. Ἠλείων] ἠλειάων B ἠλείων C superscripto ἠλείᾳ. Λυγκεὺς L. λυγγεὺς V. θάλασσα Schweigh. editio. θάλασσ' VL. ἤνεικεν CD. ἤνεγκεν VL. δὲ δύσπεπτα BCD. δὲ φύσει δύσπεπτα VL. παραλεαντικὰ] περιλεαντικὰ B. προσέτι δὲ] Malim προσέτι τε.

62 d. ναυσικλείδην εἰρηκέναι BCD et Casauboniani. ναυσικλείδου ἐρημίαν VL. ἀκαλήφη] ἀκαλύφη C. κνησμοῦ BCD. κνησμῶν VL. Φοινίσσαις] φοινίσαις B. De Aristophanis fragmento vide ad III. p. 90 a.

62 e. Γαιτουλίᾳ] γετουλίᾳ BCD. ποδῶν libri et Eustathius p. 899, 21. πηχῶν Stephanus Byz. in Γαιτοῦλοι. Κρατῖνος] Vid

Ἀμειψίας·

*Οὐ σχῖνος, οὐδ' ἀσφάραγος, οὐ δάφνης κλάδοι.*

Δίφιλος δέ φησιν ὡς ὁ τῆς κράμβης ἀσφάραγος, λεγόμενος ἰδίως ὅρμενος, εὐστομαχώτερός ἐστι καὶ εὐεκκριτώτερος, ὄψεων δὲ βλαπτικός. ἔστι δὲ δριμὺς καὶ οὐρητικὸς καὶ ἀδικεῖ νεφροὺς καὶ κύστιν. Ἀττικοὶ δ' εἰσὶν οἱ λέγοντες ὅρμενον τὸν ἀπὸ τῆς κράμβης ἐξηνθηκότα. Σοφοκλῆς Ἰχνευταῖς

*Κἀξορμενίζει κοὐκ ἐπισχολάζεται*

*βλάστη.*

παρὰ τὸ ἐξορούειν καὶ βλαστάνειν. Ἀντιφάνης δὲ διὰ τοῦ π φησὶν ἀσπάραγον

*Ἀσπάραγος ἠγλάϊζεν, ὦχρος ἐξήνθηκέ τις.*

Ἀριστοφῶν „Κάππαριν, βληχὼ, θύμον, ἀσπάραγον, πίτταν, ῥάμνον, σφακὸν, τύμπανον."

63. ΚΟΧΛΙΑΣ. Φιλύλλιος

*Οὐκ εἰμὶ τέττιξ οὐδὲ κοχλίας, ὦ γύναι.*

καὶ πάλιν „Μαινίδες, σκόμβροι, κοχλίαι, κορακῖνοι."

Ἡσίοδος δὲ τὸν κοχλίαν φερέοικον καλεῖ. καὶ Ἀναξίλας δὲ

*Ἀπιστότερος εἶ τῶν κοχλιῶν πολλῷ πάνυ,*

*οἳ περιφέρουσ' ὑπ' ἀπιστίας τὰς οἰκίας.*

Ἀχαιὸς „Ἡ τοσούσδ' Αἴτνη τρέφει κοχλίας κεράστας."

προβάλλεται δὲ κἀν τοῖς συμποσίοις γρίφου τάξιν ἔχον περὶ τῶν κοχλιῶν οὕτως

*Ὑλογενὴς, ἀνάκανθος, ἀναίματος, ὑγροκέλευθος.*

---

Cratini fragmentum apud Phrynichum p. 110. Lobeck. Cratini et Theopompi in eadem caussa mentionem facit Eustathius p. 899, 22.

62 f. εὐεκκριτώτερος Casaubonus. Libri εὐεκκριτικώτερος. Σοφοκλῆς] In Brunckii lexico Sophocleo in ὅρμενος. κἀξορμενίζει κοὐκ] κἀξορμενίζειν οὐκ Eustathius p. 899, 17.

63 a. Antiphanis versus tetrameter esse videtur, ab Porsono sic correctus, ἀσπάραγος ἐπηγλάιζετ' —. Sic ῥάφανον ἠγλαϊσμένην Ephippus p. 65 c. πίτταν] πίτυν Bodaeus ad Theophrastum p. 638. γήτιον Schweigh. ῥάμνον] ῥάφανον Bodaeus. σφακόν] σφάκον Schweigh. σφάκελον libri. τύμπανον] πήγανον Dalecampius et Bodaeus. ὦ γύναι BCV. γύναι L. Ἡσίοδος] Erg. 569.

63 b. Ἡ τοσούσδ'] οὐ τοσούσδ' Gesnerus de Aquatil. p. 250. Αἴτνη L ex MSS. ἄλτνη V.

Ἀριστοτέλης δὲ ἐν πέμπτῳ περὶ ζώων μορίων φησὶν „Οἱ κοχλίαι φαίνονται κύοντες ἐν τῷ μετοπώρῳ καὶ τοῦ ἔαρος· μόνοι τε οὗτοι τῶν ὀστρακοδέρμων συνδυαζόμενοι ὤφθη-
c σαν.“ Θεόφραστος δὲ ἐν τῷ περὶ φωλευόντων „Οἱ κοχλίαι (φησὶ) φωλεύουσι μὲν καὶ τοῦ χειμῶνος, μᾶλλον δὲ τοῦ θέρους. διὸ καὶ πλεῖστοι φαίνονται τοῖς μετοπωρινοῖς ὕδασιν. ἡ δὲ φωλεία τοῦ θέρους καὶ ἐπὶ τῆς γῆς καὶ ἐπὶ τῶν δένδρων.“ λέγονται δέ τινες τῶν κοχλιῶν καὶ σέσιλοι. Ἐπίχαρμος

Τούτων ἁπάντων ἀκρίδας ἀνταλλάσσονται,
κόγχων δὲ τὸν σέσιλον. B. ἄπαγ᾽ ἐς τὸν φθόρον.

d Ἀπελλᾶς δὲ Λακεδαιμονίους φησὶ σέμελον τὸν κοχλίαν λέγειν. Ἀπολλόδωρος δὲ ἐν δευτέρῳ ἐτυμολογιῶν τῶν κοχλιῶν φησί τινας καλεῖσθαι κωλυσιδείπνους.

64. ΒΟΛΒΟΙ. Τούτων Ἡρακλῆς ἐσθίειν παραιτεῖται ἐν Ἀμαλθείᾳ Εὐβούλου λέγων

Θερμότερον, ἢ κραυρότερον, ἢ μέσως ἔχον,
τοῦτ᾽ ἔσθ᾽ ἑκάστῳ μεῖζον ἢ Τροίαν ἑλεῖν.
κἀγὼ γὰρ οὐ καυλοῖσιν οὐδὲ σιλφίῳ,
οὐδ᾽ ἱεροσύλοις καὶ πικραῖς παροψίσι
βολβοῖς τ᾽ ἐμαυτὸν χορτάσων ἐλήλυθα.
ἃ δ᾽ εἴς τ᾽ ἐδωδὴν πρῶτα καὶ ῥώμης ἀκμὴν
e καὶ πρὸς ὑγίειαν, πάντα ταῦτ᾽ ἐδαινύμην,
κρέας βόειον ἑφθὸν ἀσόλοικον μέγα,
ἀκροκώλιόν τε γεννικὸν, ὀπτὰ δελφάκια
ἀλίπαστα τρία.

---

Ἀριστοτέλης] Hist. Anim. V. 10, 2. p. 197. Schneid. μορίων add. BCD et Casauboniani. om. VL. κύοντες] κύονες B. μόνοι — ὤφθησαν] Haec ex libro III. de generat. animal. c. 11. συνδυαζόμενοι] συνδιαζόμενοι CD.

63 c. Θεόφραστος] Vol. I. p. 836. Ἐπίχαρμος] Non Epicharmi sed Attici poetae versus esse recte coniicit Iacobsius p. 50. ἀνταλλάσσονται] ἀντάλλασσε, παῖ Iacobsius. Poterat etiam ἀνταλλάσσετε vel, quod Erfurdtius proposuit, ἀνταλλάσσομαι. κόγχων C. κόχλον D. κόγχον VL. Ἀπελλᾶς] Idem, ut videtur, atque Ἀπόλλας IX. p. 369 a.

63 e. V. 9. γεννικὸν L. γενικὸν V. δελφάκια VL. δελφάκι᾽ BCD. Neutrum ferri potest. Fortasse ὀπτὸν δέλφακα scribendum. V. 10. ἀλίπαστα BCD et Casauboniani. λιπαστὰ VL.

Ἄλεξις ἐμφανίζων τὴν τῶν βολβῶν πρὸς τὰ ἀφροδίσια δύναμίν φησι·

Πίννας, κάραβον,
βολβούς, κοχλίας, κήρυκας, ᾠ', ἀκροκώλια·
τοσαῦτα τούτων ἄν τις εὕροι φάρμακα
f ἐρῶντι ἑταίρας ἕτερα χρησιμώτερα.

Ξέναρχος

Φθίνει δόμος
ἀσυστάτοισι δεσποτῶν κεχρημένος
τύχαις, ἀλάστωρ τ' εἰσπέπαικε. Πελοπιδῶν
ἄστυτος οἶκος, κοὔτε βυσσαύχην θεᾶς
Δηοῦς σύνοικος, γηγενὴς βολβός, φίλοις
ἐφθὸς βοηθῶν δυνατός ἐστ' ἐπαρκέσαι·
μάτην δέ, πόντου κυανέαις δίναις τραφείς,
a φλεβὸς τροπωτήρ, πουλύπους, ἁλοὺς βρόχων
πλεκταῖς ἀνάγκαις τῆς τροχηλάτου κόρης
πίμπλησι λοπάδος στερνοσώματον κύτος.

Ἀρχέστρατος

Βολβῶν καὶ καυλῶν χαίρειν λέγω ὀξυβάφοισι
ταῖς τ' ἄλλαις πάσῃσι παροψίσι.

65. Ἡρακλείδης ὁ Ταραντῖνος ἐν Συμποσίῳ „Βολβὸς καὶ κοχλίας καὶ ᾠὸν καὶ τὰ ὅμοια δοκεῖ σπέρματος

---

Ἄλεξις] „Fortasse in Pamphila: vide VIII. p. 356 f." Hemsterhusius. ᾠ'] Libri ᾠά. εὕροι] εὕρη B et correctus C.

63 f. ἐρῶντι BCD. ἐρῶνθ' VL. ἐρῶν ἑταίρας χἄτερα χρησιμώτερα Iacobsius ad Antholog. vol. VIII. p. 234. ἀκροκώλια τοσαῦτα. τούτων ἄν τίς εὕροι — ἐρῶνθ' — χρησιμώτερα; Coraës ad Xenocratem p. 134. Ξέναρχος] ἐν Βουταλίωνι, ut videtur: cuius fabulae mentionem fecisse Athenaeum libro secundo auctor est Suidas in Ξέναρχος, ubi vitiose Βουκαλίων dicitur. V. 2. ἀσυντάτοισι BCD et Casauboniani. ἀστύτοισι VL et Eustathius p. 1283, 26. ἀσυστάτοισι Blomfieldus in Glossar. ad Aeschyli Agam. 1443. p. 303.

V. 3. Πελοπιδῶν L. καὶ πελοπιδῶν BCDV. Post Πελοπιδῶν fortasse excidit δ'. V. 4. κοὔτε] καὶ οὔτε B. βυσσαύχην C. Scribebatur βυσαύχην. Vide Hesychii interpretes p. 781. θεᾶς BCD. θεᾷ VL. V. 5. Δηοῦς Schweigh. δηοῦν BCD. δηοῖ VL.

64 a. V. 8. βρόχων Porsonus in Miscellaneis p. 234. Legebatur βροτῶν. V. 9. τροχηλάτου] τροχηλάτης C. V. 10. στερνοσώματον] στερροσώματον Lobeckius ad Phrynich. p. 176. βολβῶν] βολβυῶν B. ταῖς τ' ἄλλαις πάσῃσι παροψίσι BCD et

εἶναι ποιητικά, οὐ διὰ τὸ πολύτροφα εἶναι, ἀλλὰ διὰ τὸ ὁμοειδεῖς ἔχειν τὰς πρώτας φύσεις αὐτὰς τὰς δυνάμεις τῷ
b σπέρματι." Δίφιλος „Οἱ βολβοὶ δύσπεπτοι μέν εἰσι, πολύτροφοι δὲ καὶ εὐστόμαχοι, ἔτι δὲ σμηκτικοὶ καὶ ἀμβλυντικοὶ ὄψεως διεγερτικοί τ' ἀφροδισίων." ἡ δὲ παροιμία φησὶν

Οὐδέν σ' ὀνήσει βολβὸς, ἂν μὴ νεῦρ' ἔχῃς.

διεγείρουσι δ' ὄντως αὐτῶν πρὸς ἀφροδίσια οἱ βασιλικοὶ λεγόμενοι, οἳ καὶ κρείσσονες τῶν ἄλλων εἰσί· μεθ' οὓς οἱ πυρροί. οἱ δὲ λευκοὶ καὶ Λιβυκοὶ σκιλλώδεις· χείρονες δὲ πάντων οἱ Αἰγύπτιοι.

66. Αἱ δὲ βολβῖναι καλούμεναι εὐχυλότεραι μέν εἰσι τῶν βολβῶν, οὐ μὴν οὕτως εὐστόμαχοι, διὰ τὸ γλυκάζον
c ἔχειν παχύ τι· καί γε ἱκανῶς εἰσι διὰ τὴν πολλὴν σκληρότητα καὶ εὐέκκριτοι. μνημονεύει δὲ βολβίνης Μάτρων ἐν παρῳδίαις

Σόγκους δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω,
μυελόεν βλάστημα, καρηκομόωντας ἀκάνθαις·
βολβίνας θ', αἳ Ζηνὸς Ὀλυμπίου εἰσὶν ἀοιδοί,
ἃς ἐν χέρσῳ θρέψε Διὸς παῖς ἄσπετος ὄμβρος,
λευκοτέρας χιόνος, ἰδέειν ἀμύλοισιν ὁμοίας·
τάων φυομένων ἠράσσατο πότνια γαστήρ.

d 67. Ὅτι Νίκανδρος Μεγαρῆας βολβοὺς ἐπαινεῖ. Θεόφραστος δ' ἐν ἑβδόμῳ φυτικῶν „Ἐνιαχοῦ (φησὶν) οὕτω γλυκεῖς εἰσιν οἱ βολβοὶ ὥστε καὶ ὠμοὺς ἐσθίεσθαι, ὥσπερ ἐν τῇ Ταυρικῇ Χερρονήσῳ. τὰ αὐτὰ ἱστορεῖ καὶ Φα-

---

Casauboniani. ταῖς τ' ἄλλαισι παροψίσι πάσαις VL. πολύτροφα εἶναι ἀλλὰ διὰ τὸ add. BCD et Casauboniani. om. VL. αὐτὰς τὰς BCD. καὶ τὰς αὐτὰς VL.

64 b. βολβὸς ἂν] βολβὸς ἐὰν B. νεῦρ' L. 'λευρ' V. κρείσσονες BC. κρείττονες VL. σκιλλώδεις BCD. σκυλλώδεις VL.

64 c. Post vitiosum καί γε, quod fortasse in καὶ γὰρ mutandum, aliquid excidisse videtur. παρῳδίαις BCD. παρῳδαῖς VL.

V. 1. Σόγκους] Σόγχους Brunckius in Analectis II. p. 249.

V. 5. ἰδέειν Brunckius ibidem. Libri ἰδεῖν. Simillimum Matronis versum vide IV. p. 134 e.

64 d. Θεόφραστος] H. P. VII. 13, 8. p. 251. ἑβδόμῳ Scribebatur ζ. φυτικῶν C. Legebatur φυτῶν. ὥσπερ ἐν CD. ὥσπερ καὶ ἐν VL. καθάπερ ἐν Theophrastus. Φανίας] Scri-

κίας. „Ἔστι δὲ καὶ γένος (φησὶ) βολβῶν (Θεόφραστος) ἐριοφόρων, ὃ φύεται ἐν αἰγιαλοῖς. ἔχει δὲ τὸ ἔριον ὑπὸ τοὺς πρώτους χιτῶνας, ὥστε ἀνὰ μέσον εἶναι τοῦ ἐδωδίμου τοῦ ἐντὸς καὶ τοῦ ἔξω. ὑφαίνεται δ' ἐξ αὐτοῦ καὶ πόδεια καὶ ἄλλα ἱμάτια“ (ὡς καὶ Φανίας φησὶ) „τὸ δὲ ἐν Ἰνδοῖς τριχῶδές ἐστι.“ περὶ δὲ τῆς τῶν βολβῶν σκευασίας Φιλήμων φησὶ

Τὸν βολβὸν, εἰ βούλει, σκόπει
ὅσα δαπανήσας εὐδοκιμεῖ, τυρὸν, μέλι,
σήσαμον, ἔλαιον, κρόμυον, ὄξος, σίλφιον.
αὐτὸς δ' ἐφ' αὑτοῦ 'στιν πονηρὸς καὶ πικρός.

Ἡρακλείδης δ' ὁ Ταραντῖνος τοῦ συμποσίου περιγράφων τοὺς βολβούς φησι „Περιγράφειν δεῖ τὴν πολλὴν βρῶσιν, καὶ μάλιστα τῶν ἐχόντων ὁλκιμόν τι καὶ γλίσχρον, οἷον ᾠῶν, βολβῶν, ἀκροκωλίων, κοχλιῶν καὶ τῶν ὁμοίων. ἐπιμένει γὰρ τῇ κοιλίᾳ πλείονας χρόνους καὶ ἐμπλεκόμενα παρακατέχει τὰ ὑγρά.“

68. ΚΙΧΛΑΙ. Καὶ τούτων ἦσαν καὶ ἄλλων ὀρνίθων ἀγέλαι ἐν τοῖς προπόμασι. Τηλεκλείδης

Ὀπταὶ δὲ κίχλαι μετ' ἀμητίσκων εἰς τὸν φάρυγ' εἰσεπέτοντο.

Συρακόσιοι δὲ τὰς κίχλας κιχήλας λέγουσιν. Ἐπίχαρμος „Τάς τ' ἐλαιοφιλοφάγους κιχήλας.“ μέμνηται τούτων καὶ Ἀριστοφάνης ἐν Νεφέλαις. τρία δὲ γένη κιχλῶν Ἀριστοτέλης εἶναι ἱστορεῖ· ὧν τὴν πρώτην καὶ μεγίστην κίσσῃ πάρισον εἶναι, ἣν καὶ καλεῖσθαι ἰξοφάγον, ἐπειδὴ ἰξὸν

---

bebatur Φανίας. Θεόφραστος] Loco eodem. πόδεια καὶ] ποδιακὰ C.

64 e. Φιλήμων] P. 408. κρόμυον] κρόμμυον Schweigh. σίλφιον L. σίφνιον V. αὑτοῦ 'στιν Brunckius. αὐτοῦ 'στι B. Scribebatur αὐτοῦ ἐστι. τοῦ συμποσίου BCD. τῶν συμποσίων VL.

64 f. Τηλεκλείδης] In Amphictyonibus: vide VI. p. 268 c. Ὀπταὶ] αὐτόμαται scriptum XIV. p. 644 f. φάρυγ'] Libri φάρυγγ'. Συρακόσιοι] Scribebatur Συρακούσιοι. ἐλαιοφιλοφάγους BCD et Eustathius p. 1934, 17. ἐλαιοφυλλοφάγους VL. ἐν Νεφέλαις] V. 339. Br. κρέα τ' ὀρνίθεια κιχηλᾶν. εἶναι ante γένη lectum transposui auctore B. Ἀριστοτέλης] H. A. IX. 18, 2. p. 436. Attulit haec ex Athenaeo Eustathius p. 947, 8.

65 a. κίσσῃ πάρισον L. κισσηπάρισον V.

ἐσθίει· τὴν δὲ τῷ κοσσύφῳ ἴσην, ἣν ὀνομάζεσθαι τριχάδα· τὴν δὲ τρίτην, ἐλαχίστην τῶν προειρημένων οὖσαν, ἰλλάδα ὀνομάζεσθαι· — οἱ δὲ τυλάδα λέγουσιν, ὡς Ἀλέξανδρος ἱστορεῖ ὁ Μύνδιος· — ἣν καὶ συναγελαστικὴν εἶναι καὶ νεοττεύειν ὡς καὶ τὰς χελιδόνας. Ὅτι τὸ εἰς Ὅμηρον ἀναφερόμενον ἐπύλλιον, ἐπιγραφόμενον δὲ Ἐπικιχλίδες, ἔτυχε
b ταύτης τῆς προσηγορίας διὰ τὸ τὸν Ὅμηρον ᾄδοντα αὐτὸ τοῖς παισὶ κίχλας δῶρον λαμβάνειν, ἱστορεῖ Μέναιχμος ἐν τῷ περὶ τεχνιτῶν.

69. ΣΥΚΑΛΙΔΕΣ. Ἀλέξανδρος ὁ Μύνδιος ἱστορεῖ „Ἄτερος τῶν αἰγιθαλῶν ὑφ᾽ ὧν μὲν ἐλαιὸς καλεῖται, ὑπὸ δέ τινων πιρίας· συκαλὶς δ᾽, ὅταν ἀκμάζῃ τὰ σῦκα.“ δύο δ᾽ εἶναι γένη αὐτοῦ, συκαλίδα καὶ μελαγκόρυφον. Ἐπίχαρμος „Ἀγλαὰς συκαλλίδας.“ καὶ πάλιν

Ἦν δ᾽ ἐρωδιοὶ * * μακροκαμπυλαύχενες
τέτρακές τε σπερματολόγοι κἄγλααὶ συκαλλίδες.

c ἁλίσκονται δ᾽ αὗται τῷ τῶν σύκων καιρῷ. διὸ βέλτιον ὀνομάζοιντ᾽ ἂν δι᾽ ἑνὸς λ. διὰ δὲ τὸ μέτρον Ἐπίχαρμος διὰ δυοῖν εἴρηκεν.

70. ΣΠΙΝΘΙ. Εὔβουλος

Ἀμφιδρομίων ὄντων, ἐν οἷς νομίζεται

---

ἰλλάδα] ἰλιάδα Basil. ex Aristotele.

65 b. Συκαλλίδες L. συκαλλίδες V. αἰγιθαλῶν] αἰγιθηλῶν BCD. αἰγιθαλλῶν VL. ἐλαιὸς VL vitiose. ἔλαιον BCD etiam vitiosius. πιρίας VL. πιρία CD. πίρια B. Vide annotationem. Ἐπίχαρμος] Epicharmi fragmenta affert Eustathius p. 1110, 55. (παρ᾽ Ἐπιχάρμῳ, ἦν δ᾽ ἐρωδιοὶ μακροκαμπυλαύχενες. καὶ, [VII. p. 286 b.] ἦν δὲ νάρκαι, ἦν δὲ ζύγαιναι, τέτρακές τε σπερματολόγοι κἄγλααὶ συκαλλίδες.) respicitque p. 1964, 23. Sunt autem ex Ἥβας γάμῳ sumpta: vide IX. p. 398 d. συκαλλίδας VL. συκαλίδας BCD. Post ἐρωδιοὶ indicavi lacunam, verbis τε πολλοὶ explendam ex 398. Legebatur μακροκαμπυλαύχενοι. μακροκαμπυλαύχενες 398. ἐρωδιοὺς μακροκαμπυλαύχενας Epicharmi memorat Eustathius p. 1038, 24. τέτρακες] τέτραγες 398. συκαλλίδες VL. αρκαλίδες BCD.

65 c. διὰ δυεῖν BCD. διὰ $\overline{λλ}$ δυοῖν VL. Εὔβουλος] Immo Ephippus, ex cuius Geryone hi versus recitantur IX. p. 370 d.
V. 1. Ἀμφιδρομίων] ἀμφυδρομίων B. νομίζεται L. νομίζηται B. ὀνομάζεται V.

ὀπτᾶν τε τυροῦ Χερρονησίτου τόμον,
ἕψειν τ' ἐλαίῳ ῥάφανον ἠγλαϊσμένην,
πνίγειν τε παχέων ἀρνίων στηθύνια,
τίλλειν τε φάττας καὶ κίχλας ὁμοῦ σπίνοις,
d ὁμοῦ τε χναύειν μαινίσιν σηπίδια,
πιλοῦν τε πολλὰς πλεκτάνας ἐπιστρεφῶς,
πίνειν τε πολλὰς κύλικας εὐζωρεστέρας.

71. *ΚΟΨΙΧΟΙ.* Νικόστρατος ἢ Φιλέταιρος

Τί οὖν ἀγοράζω; φράζε γάρ.
Β. μὴ πολυτελῶς, ἀλλὰ καθαρείως, δασύποδα,
ἐὰν περιτύχῃς, ἀγόρασον καὶ νηττία,
ὁπόσα σὺ βούλει, καὶ κίχλας καὶ κοψίχους,
ὀρνιθάριά τε τῶν ἀγρίων τούτων συχνά.
χάριεν γάρ.

e Ἀντιφάνης δὲ καὶ ΨΑΡΑΣ ἐν τοῖς βρώμασι καταλέγει

Μέλι, πέρδικες,
φάτται, νῆτται, χῆνες, ψᾶρες,
κίττα, κολοιὸς, κόψιχος, ὄρτυξ,
ὄρνις θήλεια.

Πάντων ἡμᾶς λόγον ἀπαιτεῖς, καὶ οὐδ' ὁτιοῦν ἔξεστιν εἰπεῖν ἀνυπεύθυνον. Ὅτι τὸ στρουθάριον παρ' ἄλλοις τε καὶ δὴ καὶ παρ' Εὐβούλῳ „Περδίκια λαβὲ τέτταρ' ἢ καὶ πέντε, δασύποδας τρεῖς, στρουθάριά θ' οἷον ἐντραγεῖν, ἀκανθυλλίδας, βιττάκους, σπινία, κερχνῆδας, τά τ' ἄλλ' ἅττ' ἂν ἐπιτύχῃς."

---

V. 2. Χερρονησίτου] χερρονησίτου BC. χερσονησίτου L. χερονησίτου V. τόμον] τόμους 370. V. 3. ἠγλαϊσμένην L. ἠγλαϊσμένον V. 65 d. V. 6. ὁμοῦ] κοινῇ 370. μαινίσιν] τευθίσιν 370. V. 7. πιλοῦν] πιλεῖν 370. ἐπιστρεφῶς] ἐπιστρόφως 370. ἐπιστρέφειν B. V. 8. εὐζωρεστέρας Schweigh. tacite, nescio utrum ex libris an ex 377. εὐζωρεστέρους VL. Φιλέταιρος] φιλέτινος B.

V. 1. γὰρ μὴ L. γάρ μοι V. V. 2. καθαρείως CD et Casauboniani. καθαρίως VL. Conf. VII. p. 311 d. VIII. p. 359 a. δασύποδα BC. δασύποδ' L. δασίποδ' V. V. 3. νηττία B. νήττια C. νηττί' VL. V. 5. ὀρνιθάρια C. ὀρνιθίων VL. V. 6. χαρίεν γὰρ Casaubonus. χαίρειν γὰρ codex Stephani apud Casaubonum. χαίρειν BCDVL.

65 e. ψᾶρας — ψᾶρες] ψάρας — ψάρες libri. ἡμᾶς L. ἡμῶν V. λαβὲ τέτταρ' ἢ καὶ πέντε] λάβετε τέταρ' ἢ πέντε C. ἅττ' BDC. ἅτ' VL.

f 72. ΕΓΚΕΦΑΛΟΙ ΧΟΙΡΕΙΟΙ. Τούτων ἡμᾶς ἐσθίειν οὐκ εἴων οἱ φιλόσοφοι, φάσκοντες τοὺς αὐτῶν μεταλαμβάνοντας ἴσον καὶ κυάμων τρώγειν, κεφαλῶν τε οὐ τοκήων μόνον, ἀλλὰ καὶ τῶν ἄλλων βεβήλων. οὐδένα γοῦν τῶν ἀρχαίων βεβρωκέναι διὰ τὸ τὰς αἰσθήσεις ἁπάσας σχεδὸν ἐν αὐτῷ εἶναι. Ἀπολλόδωρος δ᾽ ὁ Ἀθηναῖος οὐδ᾽ ὀνομά-
66 ζειν τινὰ τῶν παλαιῶν φησιν ἐγκέφαλον· καὶ Σοφοκλέα γοῦν ἐν Τραχινίαις ποιήσαντα τὸν Ἡρακλέα ῥιπτοῦντα τὸν Λίχαν ἐς θάλασσαν οὐκ ὀνομάσαι ἐγκέφαλον, ἀλλὰ λευκὸν μυελὸν, ἐκκλίνοντα τὸ μὴ ὀνομαζόμενον·

Κόμης δὲ λευκὸν μυελὸν ἐκραίνει, μέσου
κρατὸς διασπαρέντος αἵματός θ᾽ ὁμοῦ·

καίτοι τἄλλα διαρρήδην ὀνομάσαντα. καὶ Εὐριπίδης δὲ τὴν Ἑκάβην θρηνοῦσαν εἰσαγαγὼν τὸν Ἀστυάνακτα ὑπὸ τῶν Ἑλλήνων ῥιφέντα φησὶ

Δύστηνε, κρατὸς ὥς σ᾽ ἔκειρεν ἀθλίως
b τείχη πατρῷα, Λοξίου πυργώματα,
ὃν πόλλ᾽ ἐκήπευσ᾽ ἡ τεκοῦσα βόστρυχον,
φιλήμασίν τ᾽ ἔδωκεν· ἔνθεν ἐκγελᾷ
ὀστέων ῥαγέντων φόνος, ἵν᾽ αἰσχρὰ μὴ λέγω.

ἔχει δὲ ἐπιστασίαν ἡ τῶν ποιημάτων τούτων ἐκδοχή. καὶ γὰρ Φιλοκλῆς τε ἐγκέφαλόν φησιν „Οὐδ᾽ ἂν ἐγκέφαλον ἔσθων λίποι“ καὶ Ἀριστοφάνης „Ἀπολέσαιμ᾽ ἂν ἐγκεφάλου θρίω δύο“ καὶ ἄλλοι. λευκὸν οὖν ἂν εἴη μυελὸν εἰρηκὼς
c Σοφοκλῆς ποιητικῶς, Εὐριπίδης τε τὸ τῆς προσόψεως εἰδεχθὲς καὶ αἰσχρὸν οὐχ αἱρούμενος ἐναργῶς ἐμφανίσαι

---

65 f. Ἐγκέφαλοι] Multa ex hoc capite habet Eustathius p. 757, 41. ἴσον — τοκήων] Poetae cuiusdam verba: vide annotationem. κυάμων BCD et Eustathius p. 757, 42. κυάμους VL. κεφαλῶν C et Eustathius. κεφαλάς τε VL. οὐδένα γοῦν BCD. οὐδένα οὖν VL.

66 a. ἐν Τραχινίαις] V. 781. Εὐριπίδης] Troad. v. 1181. ῥιφέντα BCD. ῥιφθέντα VL. ὥς σ᾽ ἔκειρεν] ὡς ἔκειρεν C.

66 b. τείχη πατρῷα L. τίχη πατρώα V. ἐκγελᾷ L. ἐκγε V. ῥαφέντων libri. Correctum ex Euripide et Eustathio. ἐγκέφαλον ἔσθων λίποι BCD. ἐγκέφαλόν γ᾽ ἔσθων λίποι L. ἐγκεφάλου γ᾽ ἔσθω λίπος V. Eustathius p. 757, 46. τῷ εἰπόντι ὡς οὐδ᾽ ἂν ἐγκέφαλον ἔσθων λίπῃ. Ἀριστοφάνης] Ranar. v. 134. ἀπολέσαιμ᾽] ἀπολέσοιμ᾽ B.

ἐδήλωσεν ὡς ἐβούλετο. ὅτι δ' ἱερὸν ἐνόμιζον τὴν κεφαλὴν δῆλον ἐκ τοῦ καὶ κατ' αὐτῆς ὀμνύειν καὶ τοὺς γινομένους ἀπ' αὐτῆς πταρμοὺς προσκυνεῖν ὡς ἱερούς. ἀλλὰ μὴν καὶ τὰς συγκαταθέσεις βεβαιοῦμεν τῇ ταύτης ἐπινεύσει, ὡς καὶ ὁ Ὁμηρικὸς Ζεύς φησιν

*Εἰ δ' ἄγε τοι κεφαλῇ ἐπινεύσομαι.*

73. Ὅτι εἰς τὸ πρόπομα καὶ ταῦτα ἐνεβάλλοντο, πέπερι,
d φύλλις, σμύρνα, κύπειρον, μύρον Αἰγύπτιον. Ἀντιφάνης

*Ἐὰν μὲν ἄρα πέπερι φέρῃ τις πριάμενος,*
*στρεβλοῦν γράφουσι τοῦτον ὡς κατάσκοπον.*

πάλιν

*Νῦν δεῖ περιόντα πέπερι καὶ καρπὸν βλίτου*
*ζητεῖν.*

Εὔβουλος

*Κόκκον λαβοῦσα κνίδιον, ἢ τοῦ πεπέριος,*
*τρίψασ', ὁμοῦ σμύρνῃ διάπαττε τὴν ὁδόν.*

Ὠφελίων

*Λιβυκὸν πέπερι καὶ θυμίαμα, βιβλίον*
*Πλάτωνος ἐμβρόντητον.*

e Νίκανδρος Θηριακοῖς

*Ἢ καὶ λεπτοθρίοιο πολύχνοα φύλλα κονύζης,*
*πολλάκι δ' ἢ πέπερι κόψας νέον, ἢ ἀπὸ Μήδων*
*κάρδαμον.*

Θεόφραστος ἐν φυτῶν ἱστορίᾳ „Τὸ πέπερι καρπὸς μέν

---

66 c. ἀπ' αὐτῆς BCD. ὑπ' αὐτῆς VL. βεβαιοῦμεν BCD. βεβαιουμένας VL. *Εἰ δ' ἄγε*] Iliad. α, 524.

66 d. φυλλὶς BCD. φύλλης VL. *Ἐὰν μὲν*] Libri Ἂν μὲν. φέρῃ τις] Legebatur τις φέρῃ. Librorum scripturam qui defendere volet, ei πριάμενος tetrametri initium habendum erit. γράφουσι] γράφῃ CD. γράφῃ σὺ Schweigh. περιόντα] Scribebatur περμιόντα. Vide Porsonum ad Aristoph. Vesp. 1020. p. 140. κνίδιον VL. κνίδειον BCD. πεπέριος L. πεπέριδος V, quod in C super πεπέριος scriptum. διάπαττε L. διαπάττει V. πέπερι καὶ θυμίαμα, βιβλίον Toupius Emend. vol. I. p. 459. Legebatur πέπερι, θυμίαμα καὶ βιβλίον. καὶ βίβλον D.

66 e. Θηριακοῖς] Θηριακῶν B. Vers. 875. πολύχνοα] πολύχνοο B. κονύζης CD. κονίζης VL. δ' ἢ L. δὴ CV. πέπερι] πέπεριν Nicander. Vide ad III. p. 126 b. ἐν φυτῶν ἱστο-

*ἐστι, διττὸν δὲ αὐτοῦ τὸ γένος· τὸ μὲν στρογγύλον, ὥσπερ ὀρόβου, κέλυφος ὑπέρυθρον, τὸ δὲ πρόμηκες, μέλαν, σπερμάτια μηκωνικὰ ἔχον. ἰσχυρότερον δὲ πολὺ τοῦτο θατέρου· θερμαντικὰ δὲ ἄμφω· διὸ καὶ πρὸς τὸ κώνειον βοηθεῖ*
f *ταῦτα." ἐν δὲ τῷ περὶ πνιγμοῦ γράφει „Ἡ δὲ τούτων ἀνάκτησις ὄξους ἐγχύσει καὶ πεπέριδος, ἢ κνίδης καρπῷ τριφθείσης." τοῦτο δ' ἡμᾶς τηρῆσαι δεῖ, ὅτι οὐδέτερον ὄνομα οὐδέν ἐστι παρὰ τοῖς Ἕλλησιν εἰς ι λῆγον εἰ μὴ μόνον τὸ μέλι. τὸ γὰρ πέπερι καὶ κόμμι καὶ κοῖφι ξενικά.*

74. *ΕΛΑΙΟΝ. Σαμιακοῦ ἐλαίου μνημονεύει Ἀντιφάνης ἢ Ἄλεξις*

> *Οὑτοσὶ δέ σοι*
> *τοῦ λευκοτάτου πάντων ἐλαίου Σαμιακοῦ*
> *ἔστιν μετρητής.*

67 *Καρικοῦ δὲ Ὠφελίων „Ἐλαίῳ Καρικῷ ἀλείφεται." Ἀμύντας ἐν σταθμοῖς Περσικοῖς φησι „Φέρει τὰ ὄρη τέρμινθον καὶ σχῖνον καὶ κάρυα τὰ Περσικά, ἀφ' ὧν ποιοῦσι τῷ βασιλεῖ ἔλαιον πολύ." Κτησίας δ' ἐν Καρμανίᾳ φησὶ γίνεσθαι ἔλαιον ἀκάνθινον, ᾧ χρῆσθαι βασιλέα· ὃς καὶ καταλέγων ἐν τῷ περὶ τῶν κατὰ τὴν Ἀσίαν φόρων [τούτῳ] βιβλίῳ πάντα τὰ τῷ βασιλεῖ παρασκευαζόμενα ἐπὶ τὸ δεῖπνον οὔτε πεπέρεως μέμνηται οὔτε ὄξους, ὃ μόνον ἄριστόν ἐστι τῶν ἡδυσμάτων. ἀλλὰ μὴν οὐδὲ Δείνων ἐν τῇ*
b *Περσικῇ πραγματείᾳ· ὅς γέ φησι καὶ ἅλας Ἀμμωνιακὸν ἀπ' Αἰγύπτου ἀναπέμπεσθαι βασιλεῖ καὶ ὕδωρ ἐκ τοῦ Νείλου. ἐλαίου δὲ τοῦ ὠμοτριβοῦς καλουμένου μνημονεύει Θεόφραστος ἐν τῷ περὶ ὀδμῶν φάσκων αὐτὸ γίνεσθαι ἐκ*

---

ῥίζᾳ] IX. 20, 1. p. 326. *ὥσπερ ὀρόβου, κέλυφος ὑπέρυθρον*] Corrige ex Theophrasto *ὥσπερ ὄροβος, κέλυφος ἔχον ὑπέρυθρον.* *περὶ πνιγμοῦ*] Vol. V. p. 196.

66 f. *κοῖφι*] Vide annotationem. *σαμιακοῦ* C et Casauboniani. *σαμικοῦ* VL. *σαμιακοῦ* CD et Casauboniani. *σαμικοῦ* VL.

67 a. *ἀλείφεται* BC. *ἀλείφετο* VL. *Φέρει*] *φέρῃ* B. *σχῖνον* CD. *σχίνον* VL. *βασιλεῖ*] *βαρεῖ* B. *Κτησίας*] Eadem ex Ctesia rettulit Eustathius p. 1552, 30. *τούτῳ* BCD. *τρίτῳ* VL.

67 b. *Ἀμμωνιακὸν* L consentiente Eustathio p. 1500, 2. *ἀμμωνιακοὺς* V. *μνημονεύει* BC. *μέμνηται* VL. *Θεόφραστος*] Vol. I. p. 738.

τῶν φαύλων ἐλαιῶν καὶ ἐξ ἀμυγδάλων. τοῦ δὲ ἐν Θουρίοις γινομένου ἐλαίου ὡς διαφόρου μνημονεύει Ἄμφις

Ἐν Θουρίοις τοὔλαιον, ἐν Γέλᾳ φακῆ.

75. ΓΑΡΟΣ. Κρατῖνος

c Ὁ τάλαρος ὑμῶν διάπλεως ἔσται γάρου.

Φερεκράτης „Ἀνεμολύνθη τὴν ὑπήνην τῷ γάρῳ.“ Σοφοκλῆς Τριπτολέμῳ „Τοῦ ταριχηροῦ γάρου.“ Πλάτων „Ἐν σαπρῷ γάρῳ βάπτοντες ἀποπνίξουσί με.“ ὅτι δ' ἀρσενικόν ἐστι τοὔνομα Αἰσχύλος δηλοῖ εἰπὼν „Καὶ τὸν ἰχθύων γάρον.“

76. ΟΞΟΣ. Τοῦτο μόνον Ἀττικοὶ τῶν ἡδυσμάτων ἦδος καλοῦσι. κάλλιστον δ' ὄξος εἶναί φησι Χρύσιππος ὁ φιλόσοφος τό τε Αἰγύπτιον καὶ τὸ Κνίδιον. Ἀριστοφάνης δὲ ἐν Πλούτῳ φησὶν „Ὄξει διέμενος Σφηττίῳ.“ Δίδυμος δ' ἐξηγούμενος τὸ ἰαμβεῖόν φησιν „Ἴσως, διότι οἱ Σφήττιοι ὀξεῖς.“ μνημονεύει δέ που καὶ τοῦ ἐκ Κλεωνῶν ὄξους ὡς διαφόρου „Ἐν δὲ Κλεωναῖς ὀξίδες εἰσί“. καὶ Δίφιλος

d (margin letter at «Ἀριστοφάνης δὲ ἐν Πλούτῳ»)

Δειπνεῖ τε καταδὺς πῶς δοκεῖς Λακωνικῶς,
ὄξους δὲ κοτύλην Β. πάξ. Α. τί πάξ; ὀξὶς μέτρον
χωρεῖ τοσοῦτο τῶν Κλεωναίων.

Φιλωνίδης „Τὰ καταχύσματ' αὐτοῖσιν ὄξος οὐκ ἔχει.“ —
e ὁ δὲ Ταραντῖνος Ἡρακλείδης ἐν τῷ Συμποσίῳ φησὶ „Τὸ ὄξος τινὰ τῶν ἐκτὸς συνιστάνει, παραπλησίως δὲ καὶ τὰ ἐν κοιλίᾳ, τὰ δ' ἐν τῷ ὄγκῳ διαλύει, διὰ τὸ δηλονότι δια-

---

φαύλων BCDV. φαυλιῶν L et Theophrastus. τοὔλαιον ἐν] τοὔλαιον καὶ ἐν B. φακῆ V. φακή Basil. et L.

67 c. ὑμῶν BCD. ἡμῶν VL. ὑμῖν Pollux VI, 65. Ἀνεμολύνθη — Σοφοκλῆς add. L. om. V. Τριπτολέμῳ] τριπτολέμου B. Fr. 4. p. 657. Br. Versum integrum servavit Pollux VI, 65. Ἐν delet Schweigh. Αἰσχύλος] In Proteo satyrica; vide Herodianum περὶ μονήρους λέξεως p. 35, 19. τὸν ἰχθύων γάρον sine scriptoris nomine affert Herodianus Piersoni p. 437. ἦδος Casaubonus. Libri εἶδος.

67 d. ἐν Πλούτῳ] V. 720. καὶ τοῦ ἐκ L. καὶ τῶν ἐκ V. Κλεωναῖς] Κλεωναίαις Casaubonus. ὀξίδες Casaubonus. ὀξύτιδες VL. ὀξύτιδες B. καταχύσματα trimetri exitus esse videtur.

67 e. τὰ δ' ἐν Dalecampius. Libri τὰ ἐν.

φόρους ἐν ἡμῖν μίγνυσθαι χυμούς.“ ἐθαυμάζετο δὲ καὶ τὸ Δεκελικὸν ὄξος. Ἄλεξις

Κοτύλας τέτταρας
ἀναγκάσας μεστὰς ἔμ᾽ αὐτόθεν σπάσαι
ὄξους Δεκελικοῦ δι᾽ ἀγορᾶς μέσης ἄγεις.

λεκτέον δὲ ὀξύγαρον διὰ τοῦ υ, καὶ τὸ δεχόμενον αὐτὸ
f ἀγγεῖον ὀξύβαφον· ἐπεὶ καὶ Λυσίας ἐν τῷ κατὰ Θεοπόμπου αἰκίας εἴρηκεν „Ἐγὼ δ᾽ ὀξύμελι πίνω.“ οὕτως οὖν ἐροῦμεν καὶ ὀξυρόδινον.

77. Ὅτι ἀρτύματα εὕρηται παρὰ Σοφοκλεῖ „Καὶ βορᾶς ἀρτύματα.“ καὶ παρ᾽ Αἰσχύλῳ „Διαβρέχεις τἀρτύματα.“ καὶ Θεόπομπος δέ φησι „Πολλοὶ μὲν ἀρτυμάτων μέδιμνοι, πολλοὶ δὲ σάκκοι καὶ θύλακοι βιβλίων, καὶ τῶν ἄλλων ἁπάντων τῶν χρησίμων πρὸς τὸν βίον.“ τὸ δὲ ῥῆμα
68 κεῖται παρὰ Σοφοκλεῖ „Ἐγὼ μάγειρος ἀρτύσω σοφῶς.“ Κρατῖνος

Γλαῦκον οὐ πρὸς παντὸς * * ἐστὶν ἀρτῦσαι καλῶς.

Εὔπολις

Ὄψῳ πονηρῷ πολυτελῶς ἠρτυμένῳ.

ὅτι ἀρτύματα ταῦτα καταλέγει που Ἀντιφάνης

Ἀσταφίδος, ἁλῶν, σιραίου, σιλφίου, τυροῦ, θύμου,

---

δεκελικὸν BD. δεκελεικὸν CVL. κοτύλας τέτταρας Brunckius. Libri τέτταρας κοτύλας. μεστὰς ἔμ᾽ αὐτόθεν Brunckius. Libri με μεστὰς αὐτοῦ. δεκελικοῦ BCD. δεκελεικοῦ VL. ἄγεις] ἄγειν C. ὀξύγαρον Levinius apud Casaubonum. ὀξὺ γὰρ BDVL: ὅτι γὰρ C.

67 f. αἰκίας L. ἀλκίας V. Σοφοκλεῖ] Antiatticista Bekkeri p. 82, 32. Ἀρτύματα: οὐχ ἡδύσματα. Σοφοκλῆς Φαίακι. Quae ediderat Brunckius in lexico Sophocleo p. 71 h. Θεόπομπος] In descriptione itineris Xerxis in Aegyptum: vide Longin. de sublimit. XLIII, 2: ubi multa ex hoc Theopompi loco afferuntur. πολλοὶ VL et Longinus. πολλὰ BC. ἀρτυμάτων Longinus. ἀρτύματος VL. ἀρτύματα BCD. In C verba sic distincta, πολλὰ μὲν ἀρτύματα. μέδιμνοι πολλοὶ δὲ — recte, si μέδιμνοι deleas. θύλακοι] θύλακες C cum mendae nota. βιβλίων] Apud Longinum πολλοὶ δ᾽ οἱ (δὲ) θύλακοι καὶ σάκκοι καὶ χάρται βιβλίων καὶ τῶν ἄλλων ἁπάντων χρησίμων. παρὰ Σοφοκλεῖ] παρὰ Σωφίλῳ (immo Σωφίλῳ) ἐν Ἀνδροκλεῖ Valckenarius apud Brunckium in lexico Sophocleo in ἀρτύματα.

68 a. γλαῦκον οὐ BCD. γλαύκῳ. οὐ VL. Post παντὸς indicavi lacunam. Porsonus ἀνδρός ἐστιν. Ἀντιφάνης] In Leucade: vide

σησάμου, νίτρου, κυμίνου, * * * ὀριγάνου,
βοτανίων, ὄξους, ἐλαῶν, εἰς ἀβυρτάκην χλόης,
καππάριδος, ᾠῶν, ταρίχους, καρδάμων, θρίων, ὀποῦ.

b Ὅτι οἴδασιν οἱ παλαιοὶ τὸ Αἰθιοπικὸν καλούμενον κύμινον. Ὅτι εἴρηται ἀρσενικῶς ὁ θύμος καὶ ὁ ὀρίγανος. Ἀναξανδρίδης

Ἀσφάραγον σχῖνόν τε τεμὼν καὶ ὀρίγανον, ὅς δὴ
σεμνύνει τὸ τάριχον ὁμοῦ μιχθεὶς κοριάννῳ.

Ἴων

Αὐτὰρ ὅ γ' ἐμμαπέως τὸν ὀρίγανον ἐν χερὶ κεύθει.

θηλυκῶς δὲ Πλάτων ἢ Κάνθαρος

Ἡ 'ξ Ἀρκαδίας τοι δριμυτάτην ὀρίγανον.

οὐδετέρως δ' Ἐπίχαρμος καὶ Ἀμειψίας. τὸν δὲ θύμον
c ἀρσενικῶς Νίκανδρος ἐν Μελισσουργικοῖς.

68. Ὅτι τοὺς πέπονας Κρατῖνος μὲν σικυοὺς σπερματίας κέκληκεν ἐν Ὀδυσσεῦσι „Πώποτ' εἰδές μοι τὸν ἄνδρα, παῖδα Λαέρτα φίλον, ἐν Πάρῳ σικυὸν μέγιστον σπερματίαν ὠνούμενον;“ Πλάτων Λαΐῳ

Οὐχ ὁρᾷς ὅτι
ὁ μὲν Λέαγρος Γλαύκωνος ὢν μεγάλου γένους
* * κόκκυξ ἠλίθιος περιέρχεται,
d σικυοῦ πέπονος εὐνουχίου κνήμας ἔχων.

Ἀναξίλας

Τὰ δὲ σφύρ' ὥδει μᾶλλον ἢ σικυὸς πέπων.

---

Pollucem VI, 66. qui v. 2. 3. affert. V. 2. νίτρου] λίτρου Pollux. Lacunam explet Pollux additis ῥοῦ, μέλιτος. V. 3. βοτανίων] βοτανίου Pollux. ἐλαῶν] ἐλαίου Pollux. ἀβυρτάκην] ἀμυρτάκην B. V. 4. ταρίχους BCD. ταρίχων VL.

68 b. Ἀναξανδρίδης] Etymol. M. p. 630, 49. ἀρσενικῶς δὲ ὁ ὀρίγανος παρὰ Ἀναξανδρίδῃ ἐν Φαρμακομάντει. τεμὼν Casaubonus. Legebatur τέμνων. τὸ τάριχον] τὰ τάριχος Eustathius p. 1148, 26. μιχθεὶς κοριάννῳ Eustathius. μιχθὲν κοριαννῷ VL. μι. κοριάννῳ B. ἐν χερὶ] ἐκ χειρὶ CD. ἢ 'ξ BCD. ἢ ἐξ VL. ἐξ Eustathius p. 1148, 27. τοι Porsonus. Libri οὕτω. οὐδετέρως δ' B. Aberat δ'.

68 c. Μελισσουργικοῖς] μελισσουργικῇ B. εἰδές μοι] εἶδες, εἰπέ μοι Casaubonus. παῖδα Erfurdtius. Libri παῖ. Platonis v. 1. ὅτι ὁ B. Legebatur ὅθ' ὁ. V. 2. μὲν Λέαγρος Meinekius. Legebatur Μελέαγρος. περιέρχεται L. περιέχεται BV.

68 d. σφύρ'] Scribebatur σφυρά. Attulit hunc versum Eusta-

Θεόπομπος·

Μαλθακωτέρα
πέπονος σικυοῦ μοι γέγονε.

Φανίας „Βρωτὰ μὲν ἁπαλὰ τῷ ἐπικαρπίῳ σικυὸς καὶ πέπων ἄνευ τοῦ σπέρματος, πεττόμενον δὲ τὸ περικάρπιον μόνον. κολοκύντη δὲ ὠμὴ μὲν ἄβρωτος, ἑφθὴ δὲ καὶ ὀπτὴ βρωτή.“ Διοκλῆς δ᾽ ὁ Καρύστιος ἐν πρώτῳ Ὑγιεινῶν φη-
e σιν ἑψανὰ ἄγρια εἶναι θρίδακα, ταύτης κρατίστην τὴν μέλαιναν, κάρδαμον, ἀδριανὸν, σίναπυ, κρόμμυον, τούτου εἶδος ἀσκαλώνιον καὶ γήτειον, σκόροδον, φύσιγγες, σικυὸς πέπων, μήκων. καὶ μετ᾽ ὀλίγα „Ὁ πέπων δ᾽ ἐστὶν εὐκαρδιώτερος καὶ εὐπεπτότερος. ἑφθὸς δ᾽ ὁ σικυὸς ἁπαλὸς, ἄλυπος, οὐρητικός. ὁ δὲ πέπων ἑψηθεὶς ἐν μελικράτῳ διαχωρητικώτερος.“ Σπεύσιππος δ᾽ ἐν τοῖς Ὁμοίοις τὸν πέπονα καλεῖ σικύαν· Διοκλῆς δὲ πέπονα ὀνομάσας οὐκ ἔτι καλεῖ σικύαν· καὶ ὁ Σπεύσιππος δὲ σικύαν εἰπὼν πέπονα
f οὐκ ὀνομάζει. Δίφιλος δέ φησιν „Ὁ πέπων εὐχυλότερός ἐστι καὶ ἐπικρατητικός. κακοχυλότερος δὲ, ὀλιγότροφος δὲ καὶ εὔφθαρτος καὶ εὐεκκριτώτερος.“

79. ΘΡΙΔΑΞ. Ταύτην Ἀττικοὶ θριδακίνην καλοῦσιν. Ἐπίχαρμος „Θρίδακος ἀπολελεμμένας τὸν καυλόν.“ θριδα-
69 κινίδας δ᾽ εἴρηκε Στράττις „Πρασοκουρίδες, αἳ καταφύλλους ἀνὰ κήπους πεντήκοντα ποδῶν ἴχνεσι βαίνετ᾽ ἐφαπτόμεναι ποδοῖν σατυριδίων μακροκέρκων χοροὺς ἑλίσσου-

---

thius p. 211, 14. μαλθακωτέρα BCD et Eustathius p. 211, 15. μαλακωτέρα VL. γέγονε] γέγονας Eustathius. Φανίας] Scribebatur Φαινίας. Ex Phaniae verbis plura excidisse videntur: vide annotationem. ἐπικαρπίῳ L. πικαρχίῳ V. ᾽πικαρπίῳ B: quae fortasse ex περικαρπίῳ depravata. σικυὸς V. σίκυος L. ἑψανὰ Schweigh. Scribebatur ἔφανα.

68 e. εἶναι θρίδακα L. * εἰησιθρίδακα V. ἀδριανὸν] ἀδρυανὸν D. κορίαννον Casaubonus. κρόμμυον BCD. κρόμυον VL. φύσιγγες, σικυὸς πέπων, μήκων] φύσιγγας, σικυὸν πέπονα, μήκωνα Schweigh.

68 f. ἐπικρατητικός] ἐπικερωστικὸς Dalecampius. κακοχυλότερος δὲ delet Schweigh. Hic quoque aliquid excidisse videtur.

69 a. καταφύλλους Valckenarius Diatrib. Eurip. p. 231. Libri κατ᾽ εὐφύλλους. βαίνετ᾽ ἐφαπτόμεναι BCD. βαίνουσ᾽ τ᾽ ἐφαπτόμεναι V. βαίνουσί τ᾽ ἐφαπτόμεναι L. σατυριδίων] σατυρίδων B.

σαι παρ' ὠκίμων πέταλα καὶ θριδακινίδων εὐόσμων τε σελίνων." Θεόφραστος δέ φησι „Τῆς θριδακίνης ἡ λευκὴ γλυκυτέρα καὶ ἁπαλωτέρα. γένη δ' αὐτῆς τρία, τὸ πλατύκαυλον καὶ στρογγυλόκαυλον καὶ τρίτον τὸ Λακωνικόν. αὕτη δ' ἔχει τὸ μὲν φύλλον σκολυμῶδες, ὀρθὴ δὲ καὶ εὐαυξὴς ἀπαράβλαστός ἐστιν ἐκ τοῦ καυλοῦ. τῶν δὲ πλα-
b τέων οὕτω τινὲς γίνονται πλατύκαυλοι, ὥστ' ἐνίους καὶ θύραις χρῆσθαι κηπουρικαῖς." τῶν δὲ καυλῶν φησι κολουσθέντων ἡδίους τοὺς παλιβλαστεῖς εἶναι.

80. Νίκανδρος δ' ὁ Κολοφώνιος ἐν δευτέρῳ Γλωσσῶν βρένθιν λέγεσθαί φησι παρὰ Κυπρίοις θρίδακα, οὗ ὁ Ἄδωνις καταφυγὼν ὑπὸ τοῦ κάπρου διεφθάρη. Ἄμφις τε ἐν Ἰαλέμῳ φησὶν

Ἐν ταῖς θριδακίναις ταῖς κάκιστ' ἀπολουμέναις,
ἃς εἰ φάγοι τις ἐντὸς ἑξήκοντ' ἐτῶν,
c ὁπότε γυναικὸς λαμβάνοι κοινωνίαν,
στρέφοιθ' ὅλην τὴν νύκτα μηδὲ ἓν πλέον
ὧν βούλεται δρῶν, ἀντὶ τῆς ὑπουργίας
τῇ χειρὶ τρίβων τὴν ἀναγκαίαν τύχην.

καὶ Καλλίμαχος δέ φησιν ὅτι ἡ Ἀφροδίτη τὸν Ἄδωνιν ἐν θριδακίνῃ κρύψειεν, ἀλληγορούντων τῶν ποιητῶν ὅτι ἀσθενεῖς εἰσι πρὸς ἀφροδίσια οἱ συνεχῶς χρώμενοι θρίδαξι. καὶ Εὔβουλος δ' ἐν Ἀστύτοις φησὶ

Μὴ παρατίθει μοι θριδακίνας, ὦ γύναι,

---

Θεόφραστος] H. P. VII. 4, 5. p. 231. εὐαυξὴς] εὐαυξὴς καὶ Theophrastus. ἀπαράβλαστος L ex Theophrasto. ἀπαράβλητος BCV.

69 b. πλατέων] Immo πλατειῶν, ut apud Theophrastum. καὶ θύραις χρῆσθαι BCD et Theophrastus. χρῆσθαι καὶ θύραις VL. κηπουρικαῖς] κηπωρικαῖς Theophrastus. φησὶ] Ibidem VII. 2, 4. p. 225. παλιβλαστεῖς Schweigh. παλαιβλαστεῖς libri. παλιβλάστους vulgo apud Theophrastum: παλινβλαστεῖς liber Urbinas. βρένθιν] βρένθην C. καταφυγὼν BCD et Eustathius p. 1283, 30. καταφαγὼν VL. V. 2. εἰ φάγοι] εἰ φάγει C, ut videtur.

69 c. V. 3. λαμβάνοι] λαμβάνει BC. V. 4. στρέφοιθ'] Desidero ἂν particulam. μηδὲν πλέον BC. μηδέν τι πλέον VL. μηδὲ ἓν πλέον Iacobsius p. 54. Καλλίμαχος] Fr. 371. p. 558.

V. 1. Μὴ παρατίθει μοι τὰς vel μή νυν παρατίθει μοι Porsonus. παρατίθει L. περιτίθει V.

d ἐπὶ τὴν τράπεζαν, ἢ σεαυτὴν αἰτιῶ.
ἐν τῷ λαχάνῳ τούτῳ γάρ, ὡς ὁ λόγος, ποτὲ
τὸν Ἄδωνιν ἀποθανόντα προὔθηκεν Κύπρις·
ὥστ᾽ ἐστὶ νεκύων βρῶμα.

Κρατῖνος δέ φησι Φάωνος ἐρασθεῖσαν τὴν Ἀφροδίτην ἐν
καλαῖς θριδακίναις αὐτὸν ἀποκρύψαι, Μαρσύας δ᾽ ὁ νεώ-
τερος ἐν χλόῃ κριθῶν. Ἱππώνακτα δὲ τετρακίνην τὴν θρί-
δακα καλεῖν Πάμφιλος ἐν Γλώσσαις φησί· Κλείταρχος δὲ
e Φρύγας οὕτω καλεῖν. Λύκος δ᾽ ὁ Πυθαγόρειος τὴν ἐκ
γενέσεώς φησι θρίδακα πλατύφυλλον τεταμὴν ἄκαυλον ὑπὸ
μὲν τῶν Πυθαγορείων λέγεσθαι εὐνοῦχον, ὑπὸ δὲ τῶν γυ-
ναικῶν ἀστύτιδα· διουρητικοὺς γὰρ παρασκευάζει καὶ ἐκλύ-
τους πρὸς τὰ ἀφροδίσια· ἔστι δὲ κρατίστη ἐσθίεσθαι.

81. Δίφιλος δέ φησιν ὡς ὁ τῆς θρίδακος καυλὸς
πολύτροφός ἐστι καὶ δυσέκκριτος μᾶλλον τῶν φύλλων·
ταῦτα δὲ πνευστικώτερά ἐστι καὶ τροφιμώτερα καὶ εὐεκκρι-
τώτερα. κοινῶς μέντοι ἡ θρίδαξ εὐστόμαχος, ψυκτική,
f εὐκοίλιος, ὑπνωτική, εὔχυλος, ἐφεκτικὴ τῆς πρὸς τὰ ἀφρο-
δίσια ὁρμῆς. ἡ δὲ τρυφερωτέρα θρίδαξ εὐστομαχωτέρα καὶ
μᾶλλον ὕπνον ποιοῦσα. ἡ δὲ σκληροτέρα καὶ ψαθυρὰ ἧττόν
ἐστι καὶ εὐστόμαχος καὶ εὐκοίλιος, ὕπνον τε ποιεῖ. ἡ δὲ
μέλαινα θρίδαξ ψύχει μᾶλλον εὐκοίλιός τε ἔστι. καὶ αἱ
μὲν θεριναὶ εὐχυλότεραι καὶ τροφιμώτεραι, αἱ δὲ φθινο-
πωριναὶ ἄτροφοι καὶ ἀχυλότεραι. ὁ δὲ καυλὸς τῆς θρίδα-
κος ἄδιψος εἶναι δοκεῖ. θρίδαξ δ᾽ ἑψομένη ὁμοίως τῷ
ἀπὸ κράμβης ἀσπαράγῳ ἐν λοπάδι, ὡς Γλαυκίας ἱστορεῖ,
70 κρείττων τῶν ἄλλων ἑψητῶν λαχάνων. ἐν ἄλλοις δὲ Θεό-
φραστος ἐπίσπορά φησι καλεῖσθαι τευτλίον, θριδακίνην,
εὔζωμον, νᾶπυ, λάπαθον, κορίαννον, ἄνηθον, κάρδαμον.
Δίφιλος δὲ κοινῶς φησιν εἶναι πάντα τὰ λάχανα ἄτροφα

---

69 d. V. 3. ὡς ὁ λόγος] ὡς λόγος B.

69 e. Λύκος Valckenarius apud Ruhnken. ad Rutil. Lupum p. 100. Legebatur Ἴβυκος. τὴν ἐκ γενέσεως — ἀστύτιδα] Eustathius p. 1283, 28. ἀστίτιδα Eustathius. Scribebatur ἀστυτίδα. πνευστικώτερα BV. πνευματικώτερα L.

70 a. Θεόφραστος] H. P. VII. 1, 2. p. 220. νᾶπυ] Scribebatur νάπυ.

καὶ λεπτυντικὰ καὶ κακόχυλα, ἔτι δὲ ἐπιπολαστικὰ καὶ δυσοικονόμητα. θερινῶν δὲ λαχάνων Ἐπίχαρμος μέμνηται.

82. ΚΙΝΑΡΑ. Ταύτην Σοφοκλῆς ἐν Κολχίσι κυνάραν καλεῖ, ἐν δὲ Φοίνικι κύναρον

Κύναρος ἄκανθα πάντα πληθύει γύην.

Ἑκαταῖος δ' ὁ Μιλήσιος ἐν Ἀσίας περιηγήσει, εἰ γνήσιον
b τοῦ συγγραφέως τὸ βιβλίον· Καλλίμαχος γὰρ Νησιώτου αὐτὸ ἀναγράφει· ὅστις οὖν ἐστιν ὁ ποιήσας, λέγει οὕτω „Περὶ τὴν Ὑρκανίην θάλασσαν καλεομένην οὔρεα ὑψηλὰ καὶ δασέα ὕλῃσιν, ἐπὶ δὲ τοῖσιν οὔρεσιν ἄκανθα κυνάρα." καὶ ἑξῆς „Πάρθων πρὸς ἥλιον ἀνίσχοντα Χοράσμιοι οἰκοῦσι, γῆν ἔχοντες καὶ πεδία καὶ οὔρεα· ἐν δὲ τοῖσιν οὔρεσι δένδρεα ἔνι ἄγρια, ἄκανθα κυνάρα, ἰτέα, μυρίκη." καὶ περὶ τὸν Ἰνδὸν δέ φησι ποταμὸν γίνεσθαι τὴν κυνάραν. καὶ Σκύλαξ δὲ ἢ Πολέμων γράφει „Εἶναι μὲν τὴν γῆν
c ὑδρηλὴν κρήνῃσι καὶ ὀχετοῖσιν, ἐν δὲ τοῖς οὔρεσι πέφυκε κυνάρα καὶ βοτάνη ἄλλη." καὶ ἐν τοῖς ἑξῆς „Ἐντεῦθεν δὲ ὄρος παρέτεινε τοῦ ποταμοῦ τοῦ Ἰνδοῦ ἔνθεν καὶ ἔνθεν ὑψηλόν τε καὶ δασὺ ἀγρίῃ ὕλῃ καὶ ἀκάνθῃ κυνάρᾳ." Δίδυμος δ' ὁ γραμματικὸς ἐξηγούμενος παρὰ τῷ Σοφοκλεῖ τὸ κύναρος ἄκανθα „Μήποτε (φησὶ) τὴν κυνόσβατον λέγει, διὰ τὸ ἀκανθῶδες καὶ τραχὺ εἶναι τὸ φυτόν. καὶ γὰρ ἡ Πυθία ξυλίνην κύνα αὐτὸ εἶπε, καὶ ὁ Λοκρὸς χρησμὸν
d λαβὼν ἐκεῖ πόλιν οἰκίζειν ὅπου ἂν ὑπὸ ξυλίνης κυνὸς δηχθῇ,

---

ἔτι δὲ] Legebatur ἔτι τε. Κινάρα] κίναρα VL. κυνάρα C. ταύτην CD et Casauboniani. ταῦτα VL. Σοφοκλῆς] Apud Brunckium in lexico Sophocleo in κινάρα. Vide Eustathium p. 1822, 17. Κολχίσι] κοχλίσι VL.

70 b. νησιώτου αὐτὸ ἀναγράφει BCD. αὐτὸ ἀναγράφει νησιώτου VL. ὅστις οὖν ἐστιν ὁ BCD. ἐστιν om. VL. οὕτω] οὕτως B. ὕλῃσιν BCD. ὕλῃσι VL. γράφει (γρ. B.) add. BCD et Casauboniani. om. VL. εἶναι μὲν Schweigh. Libri εἶναι δὲ.

70 c. τοῖς ἑξῆς] τῇ ἑξῆς B. τοῦ Ἰνδοῦ add. CD et Casauboniani. om. VL. ἔνθεν καὶ ἔνθεν Schweigh. Legebatur καὶ ἔνθεν καὶ ἔνθεν. Hippocrates p. 765 d. Foës. ἀπολείπειν δὲ χρὴ ἀπὸ τοῦ γυμνοῦ αἰεὶ τοὺς νάρθηκας καὶ ἔνθεν καὶ ἔνθεν. p. 813 d. κατατείνειν ἐν τούτῳ τῷ σχήματι καὶ ἔνθεν καὶ ἔνθεν. κυνόσβατον] Scribebatur κυνὸς βάτον. κυνόβατον C. ξυλίνην κύνα] Eustathius p. 1822, 18. χρησμὸν] χρησμὸς B.

καταμυχθεὶς τὴν κνήμην ὑπὸ κυνοσβάτου ἔκτισε τὴν πόλιν.“ ἔστι δὲ ὁ κυνόσβατος μεταξὺ θάμνου καὶ δένδρου, ὥς φησι Θεόφραστος, καὶ τὸν καρπὸν ἔχει ἐρυθρὸν παραπλήσιον τῇ ῥοιᾷ· ἔχει δὲ καὶ τὸ φύλλον ἀγνῶδες.

83. Φανίας δ᾽ ἐν πέμπτῳ περὶ φυτῶν κάκτον Σικελικήν τινα καλεῖ, ἀκανθῶδες φυτόν, ὡς καὶ Θεόφραστος ἐν ἕκτῳ περὶ φυτῶν „Ἡ δὲ κάκτος καλουμένη περὶ Σικελίαν μόνον, ἐν τῇ Ἑλλάδι δ᾽ οὐκ ἔστι. ἀφίησι δ᾽ εὐθὺς πρὸς τῆς ῥίζης καυλοὺς ἐπιγείους· τὸ δὲ φύλλον ἔχει πλατὺ
e καὶ ἀκανθῶδες· καυλοὺς δὲ τοὺς καλουμένους κάκτους. ἐδώδιμοι δ᾽ εἰσὶ περιλεπόμενοι καὶ μικρὸν ὑπόπικροι. καὶ ἀποθησαυρίζουσιν αὐτοὺς ἐν ἅλμῃ. ἕτερον δὲ καυλὸν ὀρθὸν ἀφίησιν, ὃν καλοῦσι πέρνικα, καὶ τοῦτον ἐδώδιμον. τὸ δὲ περικάρπιον ἀφαιρεθέντων τῶν παππωδῶν ἐμφερὲς τῷ τοῦ φοίνικος ἐγκεφάλῳ. ἐδώδιμον καὶ τοῦτο· καλοῦσι δ᾽ αὐτὸ ἀσκάληρον.“ τίς δὲ τούτοις οὐχὶ πειθόμενος θαρρῶν ἂν εἴποι τὴν κάκτον εἶναι ταύτην τὴν ὑπὸ Ῥωμαίων μὲν καλουμένην κάρδον, οὐ μακρὰν ὄντων τῆς Σικελίας, περι-
f φανῶς δ᾽ ὑπὸ τῶν Ἑλλήνων κινάραν ὀνομαζομένην; ἀλλαγῇ γὰρ δύο γραμμάτων κάρδος καὶ κάκτος ταυτὸν ἂν εἴη. σαφῶς δ᾽ ἡμᾶς διδάσκει καὶ Ἐπίχαρμος μετὰ τῶν ἐδωδίμων λαχάνων καὶ τὴν κάκτον καταλέγων οὕτως „Μήκων, μάραθοι, τραχέες τε κάκτοι, τοῖς ἄλλοις μὲν φαγεῖν

---

70 d. κυνοσβάτου Eustathius. Scribebatur κυνὸς βάτου. Θεόφραστος] H. P. III. 18, 4. p. 114. τῇ ῥοιᾷ] τῷ τῆς ῥόας Urbinas. ἀγνῶδες L. ἀγλῶδες V. Φανίας] Scribebatur Φαινίας. ἐν ἕκτῳ] 4, 10. p. 209. πρὸς τῆς] πρὸ τῆς BC. ἀπὸ τῆς Theophrastus.

70 e. πέρνικα BCDV. πτέρνικα L et Theophrastus. περικάρπιον L et Theophrastus. περικάρδιον BCDV. ἀσκάληρον] σκαλίαν Theophrastus. ascaliam Plinius XXI. 16, 57. κάρδον BCD et Eustathius p. 1822, 24. κάρδυνον VL.

70 f. ἀλλαγῇ γὰρ] γὰρ om. B. Corruptus Epicharmi locus Μήκων — χαιρέτω duo fragmenta complecti videtur, quorum in altero necesse est κάκτος numero singulari praecesserit. Quare haec sic fortasse sunt separanda, Μήκων * * μάραθα, τραχέες τε κάκτοι, τοὶ σὺν ἄλλοις μὲν φαγεῖν | ἐντὶ λαχάνοις (excidit ἁδέες vel simile quid) * * πάλιν· Αἴ κά τις ἐκτρίψας (ἐντρίψας Casaubonus καλῶς | πυρατιθῇ νιν, ἁδύς ἐστ᾽ (scribebatur ἐστιν), αὐτὸς δ᾽ ἐφ᾽ αὑ-

ἐπὶ λαχάνοις εἰς τοπιον. αἴ κά τις ἐκτρίψας καλῶς παρατιθῇ νιν, ἁδύς ἐστ᾽, αὐτὸς δ᾽ ἐφ᾽ αὐτοῦ χαιρέτω.“ καὶ
71 πάλιν „Θρίδακας, ἐλάταν, σχῖνον, ῥαφανῖδας, κάκτους.“ καὶ πάλιν „Ὁ δέ τις ἀγρόθεν ἔοικε μάραθα καὶ κάκτους φέρειν, ἴφυον, λάπαθον, ὀτόστυλλον, σκόλιον, σερίδα, δράκτυλον, πτέριν, κάκτον, ὀνόπορδον.“ καὶ Φιλητᾶς ὁ Κῷος

Γηρύσαιτο δὲ νεβρὸς ἀπὸ ψυχὴν ὀλέσασα,
ὀξείης κάκτου τύμμα φυλαξαμένη.

84. Ἀλλὰ μὴν καὶ κινάραν ὠνόμασε παραπλησίως ἡμῖν Σώπατρος ὁ Πάφιος, γεγονὼς τοῖς χρόνοις κατ᾽ Ἀλέξαν-
b δρον τὸν Φιλίππου, ἐπιβιοὺς δὲ καὶ ἕως τοῦ δευτέρου τῆς Αἰγύπτου βασιλέως, ὡς αὐτὸς ἐμφανίζει ἔν τινι τῶν συγγραμμάτων αὐτοῦ. Πτολεμαῖος δ᾽ ὁ Εὐεργέτης, βασιλεὺς Αἰγύπτου, εἷς ὢν τῶν Ἀριστάρχου τοῦ γραμματικοῦ μαθητῶν, ἐν δευτέρῳ ὑπομνημάτων γράφει οὕτως „Περὶ Βερενίκην τῆς Λιβύης Λήθων ποταμὸς, ἐν ᾧ γίνεται ἰχθὺς λάβραξ καὶ χρύσοφρυς καὶ ἐγχέλεων πλῆθος καὶ τῶν καλουμένων βασιλικῶν, αἳ τῶν τε ἐκ Μακεδονίας καὶ τῆς
c Κωπαΐδος λίμνης τὸ μέγεθός εἰσιν ἡμιόλιαι, πᾶν τε τὸ ῥεῖθρον αὐτοῦ ἰχθύων ποικίλων ἐστὶ πλῆρες. πολλῆς δ᾽ ἐν τοῖς τόποις κινάρας φυομένης, οἵ τε συνακολουθοῦντες ἡμῖν στρατιῶται πάντες δρεπόμενοι συνεχρῶντο καὶ ἡμῖν προσέφερον ψιλοῦντες τῶν ἀκανθῶν.“ οἶδα δὲ καὶ Κινάρον καλουμένην νῆσον, ἧς μνημονεύει Σῆμος.

85. Ἐγκέφαλος φοίνικος. Θεόφραστος περὶ φοίνικος τοῦ φυτοῦ εἰπὼν ἐπιφέρει „Ἡ μὲν οὖν ἀπὸ τῶν καρπῶν

---

τῷ (scribebatur ἐπ᾽ αὐτοῦ) χαιρέτω. εἰς τοπῖον C. εἰς τὸ πιὸν VL. εἰς τὸ πῖον Casaubonus.

71 a. Ὁ δέ τις — φέρειν tetrameter: nam ἔοικε digamma habet. σκόλιον] σκόλυμον Dalecampius. σερίδα CD et Casauboniani. σερίδια VL. Φιλητᾶς] φιλήτας C. νεβρὸς] νεκρὸς C. ἀπὸ ψυχὴν] ἀποψυχὴν B. ὀλέσασα L cum Antigono Carystio H. M. c. 8. qui ζωὴν ὀλέσασα, ὤλεσα BCDV.

71 b. αὐτοῦ] Scribebatur αὑτοῦ. Πτολεμαῖος] Attulit haec Eustathius p. 1822, 25. ποταμὸς] ποταμίων C. λάβραξ] λεῖραξ C.

71 c. Θεόφραστος] H. P. II. 6, 2. p. 56.

φυτεία τοιαύτη τις· ἡ δ' ἀπ' αὐτοῦ, ὅταν ἀφέλωσι τὸ d ἄνω, ἐν ᾧπερ ὁ ἐγκέφαλος.“ καὶ Ξενοφῶν ἐν δευτέρῳ Ἀναβάσεως γράφει τάδε „Ἐνταῦθα καὶ τὸν ἐγκέφαλον τοῦ φοίνικος πρῶτον ἔφαγον οἱ στρατιῶται· καὶ οἱ πολλοὶ ἐθαύμαζον τό τε εἶδος καὶ τὴν ἰδιότητα τῆς ἡδονῆς· ἦν δὲ σφόδρα καὶ τοῦτο κεφαλαλγές. ὁ δὲ φοίνιξ, ὅταν ἐξαιρεθῇ ὁ ἐγκέφαλος, ὅλος ἐξηυαίνετο.“ Νίκανδρος Γεωργικοῖς

Σὺν καὶ φοίνικος παραφυιάδας ἐκκόπτοντες
ἐγκέφαλον φορέουσι νέοις ἀσπαστὸν ἔδεσμα.

e Δίφιλος δ' ὁ Σίφνιος ἱστορεῖ „Οἱ τῶν φοινίκων ἐγκέφαλοι πλήσμιοι καὶ πολύτροφοι, ἔτι δὲ βαρεῖς καὶ δυσοικονόμητοι διψώδεις τε καὶ στατικοὶ κοιλίας.“

Ἡμεῖς δέ, φησὶν οὗτος, ἑταῖρε Τιμόκρατες, δόξομεν ἐγκέφαλον ἔχειν μέχρι τοῦ τέλους, εἰ καταπαύσομεν ἐνταῦθα καὶ τήνδε τὴν συναγωγήν.

---

## Ἐκ τοῦ β' βιβλίου.

86. Ἔργον, εἰς τρίκλινον συγγενείας εἰσπεσεῖν
οὗ λαβὼν τὴν κύλικα πρῶτος ἄρχεται λόγου πατὴρ,
καὶ παραινέσεις πέπαικεν, εἶτα μήτηρ δευτέρα,
εἶτα τήθη παραλαλεῖ τις, εἶτα βαρύφωνος γέρων,
τηθίδος πατὴρ, ἔπειτα γραῦς καλοῦσα φίλτατον·
ὁ δ' ἐπινεύει πᾶσι τούτοις,

φησὶ Μένανδρος. πάλιν

Τῆς σκιᾶς τὴν πορφύραν

---

ἀπ' αὐτοῦ] ἀφ' αὐτοῦ meliores libri Theophrasti.

71 d. ἐν δευτέρῳ Ἀναβάσεως] 3, 16. ὅταν] ὅθεν Xenophon. ἐξαιρεθῇ C ut videtur. ἐξαιρεθῶν V. ἐξαιρεθείη L cum Xenophonte. ὅλος BCDV. ὅλως L ex Basil. ἐξηυαίνετο Schweigh. ἐξηυαίνεται BCD. ἐξηνένεκται V. ἐξαυαίνετο L. αὐαίνετο meliores libri Xenophontis: deteriores ἐξηραίνετο. Νίκανδρος] Fr. 12. p. 283. γεωργικοῖς libri Casauboniani. γεωργικῷ VL. De CD propter scripturae compendia non liquet. φοίνικος] φοίνιξι B. παραφυιάδας] Scribebatur παραφυάδας. Ἐκ τοῦ β' βιβλίου] Sic inscripta haec post librum decimum tertium leguntur in C, ex quo edidit Schweigh., et in epitomes codice Florentino, de quo dictum ab Bandinio vol. II. p. 583. V. 1. Ἔργον] Ἔργον ἐστὶν Meinekius p. 202. V. 2. παραινέσεις Schweigh. παραίνεσις C. πάλιν] P. 209. Meinek.

πρῶτον ἐνυφαίνουσ', εἶτα μετὰ τὴν πορφύραν
τοῦτ' ἔστιν, οὔτε λευκὸν οὔτε πορφύρα,
ἀλλ' ὥσπερ αὐγὴ τῆς κρόκης κεκραμένη.

Ἀντιφάνης „Τί φῄς; ἐνθάδ' οἴσεις τι καταφαγεῖν ἐπὶ τὴν θύραν· εἶθ' ὥσπερ οἱ πτωχοὶ χαμαὶ ἐνθάδ' ἔδομαι, καί τις ὄψεται." ὁ αὐτὸς

Εὐτρέπιζε
ψυκτῆρα, λεκάνην, τριπόδιον, ποτήριον,
χύτραν, θυείαν, κάκκαβον, ζωμήρυσιν.

---

## ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΝΕΙΛΟΥ ΑΝΑΒΑΣΕΩΣ.

87. Θαλῆς ὁ Μιλήσιος, εἷς τῶν ἑπτὰ σοφῶν, φησὶ

---

ἐνυφαίνουσ'] ἐνυφαίνουσιν C. Antiphanis fragmenta ab Ruhnkenio ex C secum communicata primus edidit Koppiers. Observatt. philol. p. 58. Εὐτρέπιζε] εὐτρέπιζε δὴ Koppiers. πότερον C. ποτήριον Ruhnkenius tacite.

---

Dissertatio de Nili incremento in C inscripta est ultimo codicis folio, unde Schweighaeusero descripsit Birgerus Thorlacius: in epitome Florentina teste Bandinio et in codice Bedroti sequitur post Antiphanis fragmenta. Primus edidit nulla plane Athenaei mentione facta Henricus Stephanus inter *Aristotelis et Theophrasti scripta quaedam, quae vel nunquam antea vel minus emendata quam nunc edita fuerunt*, anno 1557. p. 144. — 146. hac inscriptione περὶ τῆς τοῦ Νείλου ἀναπληρώσεως διάφοροι δόξαι. quibus in indice p. 16. additur ἀνωνύμου. Unde sumpserit non constat: satis certum tamen videtur petivisse eum hanc scriptionem ex epitomes Athenaei codice aliquo Italico, quos plures tractasse Stephanum scimus. Stephani autem apographum ad Isaacum Vossium pervenit, qui eius mentionem iniecit annotatione ad Pomponium Melam infra indicanda. De Bedroti quem dicebam libro quae Schweighaeuserus non breviter dixit meis verbis exponam. In exemplari Aldino Iacobi Bedroti, Basileensis editoris Athenaei, Schweighaeuserus reperit duo folia descriptionem libri manuscripti epitomes complexa ab his verbis incipientem Βίβλος ἡ καλουμένη δειπνοσοφιστής. tum sequuntur librorum quindecim cuiusque prima et extrema verba. De quibus Schweigh. haec apposuit

„Fol. 237 b. Ἐκ τοῦ β' βιβλίου. Ἔργον εἰς τρικλίνιον συγγενίας εἰσκαλεῖν etc. καὶ ἑξῆς περὶ ἀμέτρου οἴνου, Ἐκ γὰρ οἱ ἄτης τε καὶ ὕβριος

φυτεία τοιαύτη τις· ἡ δ' ἀπ' αὐτοῦ, ὅταν ἀφέλωσι τὸ
d ἄνω, ἐν ᾧπερ ὁ ἐγκέφαλος." καὶ Ξενοφῶν ἐν δευτέρῳ Ἀναβάσεως γράφει τάδε „Ἐνταῦθα καὶ τὸν ἐγκέφαλον τοῦ φοίνικος πρῶτον ἔφαγον οἱ στρατιῶται· καὶ οἱ πολλοὶ ἐθαύμαζον τό τε εἶδος καὶ τὴν ἰδιότητα τῆς ἡδονῆς· ἦν δὲ σφόδρα καὶ τοῦτο κεφαλαλγές. ὁ δὲ φοίνιξ, ὅταν ἐξαιρεθῇ ὁ ἐγκέφαλος, ὅλος ἐξηυαίνετο." Νίκανδρος Γεωργικοῖς

Σὺν καὶ φοίνικος παραφυιάδας ἐκκόπτοντες
ἐγκέφαλον φορέουσι νέοις ἀσπαστὸν ἔδεσμα.

e Δίφιλος δ' ὁ Σίφνιος ἱστορεῖ „Οἱ τῶν φοινίκων ἐγκέφαλοι πλήσμιοι καὶ πολύτροφοι, ἔτι δὲ βαρεῖς καὶ δυσοικονόμητοι διψώδεις τε καὶ στατικοὶ κοιλίας."

Ἡμεῖς δὲ, φησὶν οὗτος, ἑταῖρε Τιμόκρατες, δόξομεν ἐγκέφαλον ἔχειν μέχρι τοῦ τέλους, εἰ καταπαύσομεν ἐνταῦθα καὶ τήνδε τὴν συναγωγήν.

---

## Ἐκ τοῦ β' βιβλίου.

86. Ἔργον, εἰς τρίκλινον συγγενείας εἰσπεσεῖν·
οὗ λαβὼν τὴν κύλικα πρῶτος ἄρχεται λόγου πατὴρ,
καὶ παραινέσεις πέπαικεν, εἶτα μήτηρ δευτέρα,
εἶτα τήθη παραλαλεῖ τις, εἶτα βαρύφωνος γέρων,
τηθίδος πατὴρ, ἔπειτα γραῦς καλοῦσα φίλτατον·
ὁ δ' ἐπινεύει πᾶσι τούτοις,

φησὶ Μένανδρος. πάλιν

Τῆς σκιᾶς τὴν πορφύραν

---

ἀπ' αὐτοῦ] ἀφ' αὐτοῦ meliores libri Theophrasti.
71 d. ἐν δευτέρῳ Ἀναβάσεως] 3, 16. ὅταν] ὅθεν Xenoph[illegible]
ἐξαιρεθῇ C ut videtur. ἐξαιρεθῶν V. ἐξαιρεθείη [illegible]
ὅλος BCDV. ὅλως L [illegible] Basil. ἐξηυαίν[illegible]
BCD. ἐξηνένεκται [illegible]ετο L. αὐαίνετ[illegible]
tis: deteri[illegible] N[illegible]
γεωργικοῖς [illegible]oniani[illegible]
ptura[illegible]

πρῶτον ἐνυφαίνουσ᾽, εἶτα μετὰ τὴν πορφύραν
τοῦτ᾽ ἔστιν, οὔτε λευκὸν οὔτε πορφύρα,
ἀλλ᾽ ὥσπερ αὐγὴ τῆς κρόκης κεκραμένη.

Ἀντιφάνης „Τί φής; ἐνθάδ᾽ οἴσεις τι καταφαγεῖν ἐπὶ τὴν θύραν· εἶθ᾽ ὥσπερ οἱ πτωχοὶ χαμαὶ ἐνθάδ᾽ ἔδομαι, καί τις ὄψεται." ὁ αὐτὸς

Εὐτρέπιζε
ψυκτῆρα, λεκάνην, τριπόδιον, ποτήριον,
χύτραν, θυείαν, κάκκαβον, ζωμήρυσιν.

---

# ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΝΕΙΛΟΥ ΑΝΑΒΑΣΕΩΣ.

87. Θαλῆς ὁ Μιλήσιος, εἷς τῶν ἑπτὰ σοφῶν, φησὶ

---

ἐνυφαίνουσ᾽] ἐνυφαίνουσιν C. Antiphanis fragmenta ab Ruhnkenio ex C secum communicata primus edidit Koppiers. Observatt. philol. p. 58. Εὐτρέπιζε] εὐτρέπιζε δὴ Koppiers. πότερον C. ποτήριον Ruhnkenius tacite.

---

Dissertatio de Nili incremento in C inscripta est ultimo codicis folio, unde Schweighaeusero descripsit Birgerus Thorlacius: in epitome Florentina teste Bandinio et in codice Bedroti sequitur post Antiphanis fragmenta. Primus edidit nulla plane Athenaei mentione facta Henricus Stephanus inter *Aristotelis et Theophrasti scripta quaedam, quae vel nunquam antea vel minus emendata quam nunc edita fuerunt*, anno 1557. p. 144. — 146. [illegible] περὶ τῆς τοῦ Νείλου ἀναπληρώσεως διάφοροι δόξαι [illegible] p. 16. additur ἀνωνύμου. Unde sumpserit [illegible] tamen videtur petivisse eum hanc [illegible] aliquo Italico, quos [illegible] autem apographum ad [illegible] [illegible]em iniecit annotatio[illegible] De Bedroti quem [illegible] breviter dixit [illegible] Bedroti, Basileen[illegible] duo folia desc[illegible] verbis inc[illegible] [illegible]ntur librorum [illegible]

*διὰ τοὺς ἐτησίας γίνεσθαι τὴν ἀναπλήρωσιν τοῦ Νείλου. πνεῖν γὰρ αὐτοὺς ἐναντίους τῷ ποταμῷ καὶ τὰ στόματα κεῖσθαι κατὰ τὴν πνοὴν αὐτῶν· τὸν μὲν οὖν ἄνεμον ἐξ ἐναντίας πνέοντα κωλύειν τὴν ἐπιρροὴν αὐτῶν, τὸ δὲ κῦμα προσπῖπτον ἀντίον τοῖς στόμασι καὶ οὔριον ὂν ἀνακόπτειν τὸν ποταμὸν καὶ τὴν ἀναπλήρωσιν οὕτω γίνεσθαι τοῦ*
b *Νείλου. Ἀναξαγόρας δὲ ὁ φυσικός φησιν ἀπὸ χιόνος τηκομένης τὴν ἀναπλήρωσιν γίνεσθαι τοῦ Νείλου· ὡσαύτως δὲ καὶ Εὐριπίδης καὶ ἕτεροί τινες τῶν τραγῳδιοποιῶν. καὶ Ἀναξαγόρας μὲν αὐτὴν τὴν γένεσιν λέγει τῆς ἀναπληρώσεως, Εὐριπίδης δὲ καὶ τὸν τόπον ἀφορίζει, λέγων οὕτως ἐν δράματι Ἀρχελάῳ*

*Δαναὸς, ὁ πεντήκοντα θυγατέρων πατὴρ,*
*Νείλου λιπὼν κάλλιστον ἐκ γαίας ὕδωρ,*
*ὃς ἐκ μελαμβρότοιο πληροῦται θέρει*
*Αἰθιοπίδος γῆς, ἡνίκ᾽ ἂν ταχῇ χιὼν,*

---

*αἶσα ὀπηδεῖ. lin.* 26.“ [Vide Panyasidis fragmentum ex C insertum II. p. 36 d.]

„*Fol.* 238 *a. περὶ τῆς τοῦ Νείλου ἀναβάσεως. Θαλῆς ὁ Μιλήσιος, εἷς τῶν ζ σοφῶν etc. τὰ δὲ λοιπὰ, βολβιτικὸν, σεβεννιτὸν, μενδήσιον, σαϊτικὸν, ὀπουντικόν. lin.* 53.“

„*Fol.* 239 *a. In fine libri Catalogus est Authorum DC, qui ab Athenaeo citantur.*“

Post Stephanum hoc fragmentum edidit Wesselingius ad calcem Herodoti p. 788. in Addendis demum Athenaei codicis C lectionibus usus ab Ruhnkenio sibi impertitis. Ceterum conferendus Diodorus I. 38. et sequentibus capitibus.

a. *ἐτησίας*] *ἐτησίους* Stephanus. *τοῦ Νείλου* om. Steph. *κωλύειν τὴν ἐπιρροὴν αὐτῶν*] *κωλύειν τὴν ἔκβασιν τοῦ ποταμοῦ ἐκπίπτειν εἰς τὴν θάλασσαν* Steph. *προσπίπτον* Steph. *προπίπτον* C. *καὶ τὴν ἀναπλήρωσιν*] *τὴν* om. Steph. *οὕτω γίνεσθαι τοῦ Νείλου*] *οὕτως φησὶ γίνεσθαι τοῦ ποταμοῦ* Steph.

b. *ἀπὸ* om. Steph. *χιόνος*] *τῆς χιόνος* Steph. *γίνεσθαι τοῦ Νείλου*] *τοῦ Νείλου γίνεσθαι* Steph. *τῶν τραγῳδιοποιῶν*] *τραγῳδιῶν ποιηταί* Steph. *καὶ Ἀναξ.*] *ἀλλ᾽ Ἀναξ.* Steph. *γένεσιν λέγει*] *γένεσιν, ποίησιν λέγει* Steph. *ἐν δράματι Ἀρχελάῳ — θυγατέρων πατὴρ* add. Steph. om. C. V. 3. *θέρει* C. *ῥοὰς* Steph. cum aliis scriptoribus. Vide annotationem. V. 4. *Αἰθιοπίδος*] *Αἰθιωπίδος* tum hic tum in Aeschyli fragmento Schweigh. editio, ex C ut opinor, qui simili errore infra *οἰνωπίδης* praebet.

τεθριππεύοντος ἡλίου κατὰ χθόνα.

c καὶ ἐν Ἑλένῃ ὅμοιον τούτου

Νείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαὶ,
ὃς ἀντὶ δίας ψακάδος Αἰγύπτου πέδον
λευκῆς τακείσης χιόνος ὑγραίνει γύας.

καὶ Αἰσχύλος

Γένος μὲν αἰνεῖν ἐκμαθὼν ἐπίσταμαι
Αἰθιοπίδος γῆς, Νεῖλος ἔνθ᾽ ἑπτάρροος
γαῖαν κυλίνδει πνευμάτων ἐπομβρίᾳ,
ἥλιος ἐν ᾗ πυρωπὸς ἐκλάμψας χθονὶ
τήκει πετραίαν χιόνα· πᾶσα δ᾽ εὐθαλὴς
Αἴγυπτος, ἁγνοῦ νάματος πληρουμένη,
φερέσβιον Δήμητρος ἀντέλλει στάχυν.

d Καλλισθένης δ᾽ ὁ ἱστοριογράφος πρὸς τὰ μικρῷ πρότερον εἰρημένα ὑπ᾽ Ἀναξαγόρου τε καὶ Εὐριπίδου ἀντεῖπεν· αὐτὸς δὲ τὴν αὐτοῦ γνώμην φησὶν, Ὑδάτων πολλῶν καὶ λαμπρῶν γινομένων κατὰ τὴν Αἰθιοπίαν κατὰ τὰς τοῦ κυνὸς ἀνατολὰς ἕως τῆς ἐπιτολῆς ἀρκτούρου, καθ᾽ οὓς χρόνους καὶ οἱ ἐτησίαι πνέουσιν ἄνεμοι· τούτους γάρ φησι τοὺς ἀνέμους μάλιστα τὰ νέφη φέρειν πρὸς τὴν Αἰ-

---

ἡνίκ᾽] τὴν ἡνίκ᾽ C. V. 5. τεθριππεύοντος C cum Vossio ad Melam I. 9, 27. p. 53. vitiose. τεθρίππου ὄντος Steph. τέθριππ᾽ ὀχοῦντος Grotius in Excerptis p. 375. κατὰ χθόνα C et Stephani apographum apud Vossium. κατ᾽ αἰθέρα Steph. ex coniectura posuit.

c. ὅμοιον τούτου om. Steph. V. 2. ἀντὶ δίας C. ἂν διὰ Steph. ψακάδος Steph. ψεκάδος C. Aeschyli v. 1. ἐκμαθὼν Schweigh. ἐκλαθὼν C. καὶ μαθὼν Steph. V. 2. Νεῖλος ἔνθ᾽] ἐντάδε (sic) νεῖλος C. ἔνθα Νεῖλος Steph. ἑπτάρροος] ἑπτάρρους C. ἐπάρρους Steph. V. 3. κυλίνδει C. κυλίνδων Steph. πνευμάτων] ῥευμάτων Vossius. ἐπομβρίᾳ C. ἐπομβρίαις Steph. V. 4. ἐν ᾗ πυρωπὸς ἥλιος ἐκλάμψας χθονὶ C. Quem verborum ordinem si quis probat, ἐκλάμψας in λάμψας mutabit. ἐν ᾗ πυρωτὸν μητρὸς ἐκλάμψαν φλόγα Steph. V. 5. 6. inverso ordine exhibet Steph. non C. V. 5. πετραίαν C. πετραίην Steph. V. 7. ἀντέλλει C. ἀγγέλλει Steph.

d. τὴν αὐτοῦ γνώμην C. τῇ ἑαυτοῦ γνώμῃ χρώμενος Steph. πολλῶν καὶ λαμπρῶν add. C. om. Steph. τὰς τοῦ κυνὸς ἀνατολὰς C. τὴν τοῦ κυνὸς ἀνατολὴν Steph. τῆς ἐπιτολῆς C. τῆς om. Steph. οἱ ἐτησίαι C. οἱ ἐτήσιοι Steph. ἄνεμοι om. Steph. τὰ νέφη Steph. τὰ om. C. φέρειν πρὸς τὴν αἰθιοπίαν C. πνέοντας

θιοπίαν· ὧν καὶ προσπιπτόντων πρὸς τὰ ὄρη καταρρήγνυσθαι πολὺ πλῆθός ὕδατος, ἀφ᾽ οὗ τὸν Νεῖλον ἀναβαίνειν. Δημόκριτος δὲ λέγει περὶ τὰς χειμερινὰς τροπὰς τοὺς περὶ τὰς ἄρκτους τόπους χιονίζεσθαι· περὶ τροπὰς δὲ θερινὰς μεταναστάντος τοῦ ἡλίου τηκομένης τῆς χιόνος καὶ ἀνατμιζομένης ὑπὸ τῆς τήξεως νέφη γίνεσθαι, διὰ τὸ τοὺς ἐτησίας ὑπολαμβάνοντας φέρειν πρὸς μεσημβρίαν. συνωθουμένων δὲ τῶν νεφῶν ἐπὶ τὴν Αἰθιοπίαν καὶ τὴν Λιβύην ὄμβρον γίνεσθαι πολύν, ὃν καταρρέοντα πληροῦν τὸν Νεῖλον. τὴν οὖν αἰτίαν τῆς ἀναπληρώσεως ταύτην φησὶ Δημόκριτος.

e Εὐθυμένης δ᾽ ὁ Μασσαλιώτης φησὶν αὐτὸς πεπλευκὼς τὴν ἔξω θάλασσαν ἐπιρρεῖν ὡς ἐπὶ τὴν Λιβύην, ἐστραμμένην δὲ εἶναι πρὸς βορέαν τε καὶ ἄρκτους. καὶ τὸν μὲν ἄλλον χρόνον κενὴν εἶναι τὴν θάλασσαν, τοῖς δ᾽ ἐτησίαις ἀνωθουμένην ὑπὸ πνευμάτων πληροῦσθαι καὶ ῥεῖν ταῖς ἡμέραις ταύταις, παυσαμένων δὲ τῶν ἐτησίων ἀναχωρεῖν. εἶναι δὲ αὐτὴν καὶ γλυκεῖαν καὶ κήτη παραπλήσια τοῖς ἐν τῷ Νείλῳ κροκοδείλοις καὶ τοῖς ἱπποποτάμοις ἔχειν. Οἰνοπίδης δ᾽ ὁ Χῖος λέγει τοῦ μὲν χειμῶνος τοῦ ποταμοῦ ἀναξηραίνεσθαι τὰς πηγάς, ἐν δὲ τῷ θέρει θερμαινομένας ῥεῖν. τοῦ μὲν οὖν ἀναπληροῦσθαι τὴν γινομένην ξηρασίαν τὸ αἴτιον τῶν οὐρανίων ὑδάτων ἐπιγινομένων τοῖς χειμῶσι συμβαίνειν· * * *

---

πρὸς τὴν Αἰθιοπίαν ἄγειν Steph. ὧν καὶ C. ὧν δὴ καὶ Steph. ἀφ᾽ οὗ τὸν Νεῖλον πληρούμενον ἀναβαίνειν συμβαίνει Steph. περὶ μὲν χειμερινὰς Steph. τοὺς περὶ] τοὺς πρὸς Schweigh. τὰς ἄρκτους C. τὰς om. Steph. τόπους om. Steph. περὶ τροπὰς δὲ Schweigh. πρὸς τροπὰς δὲ C et Steph. μεταναστάντος C. μεταστάντος Steph. τοῦ ἡλίου Steph. τοῦ om. Schweigh. editio. ἀνατμιζομένης C. ἀτμιζομένης Steph. ὑπὸ C. ἀπὸ Steph. διὰ τὸ] ἃ Schweigh. τοὺς ἐτησίας C. τοὺς ἐτησίους Steph. ὄμβρον C. * ὅμηρον Steph. τὴν οὖν — Δημόκριτος om. Steph.

e. Εὐθυμένης C. Εὐμενίδης Steph. φησὶν αὐτὸς πεπλευκὼς τὴν C. αὐτὸς πεπλευκώς, φησὶν εἰς τὴν Steph. ὡς ἐπὶ τὴν C. ἕως ἐς τὴν Steph. δὲ εἶναι C. τε εἶναι Steph. τοῖς δ᾽ ἐτησίαις C. τοῖς δ᾽ ἐτησίοις Steph. ὑπὸ C. ὑπὸ τῶν Steph. ῥεῖν C. ῥεῖν ἔσω Steph. Οἰνοπίδης Steph. οἰνωπίδης C. τοῦ μὲν C. μὲν om. Steph. τοῦ ποταμοῦ C. τῶν ποταμῶν Steph. ἐπαγενομένων Steph. Post συμβαίνειν in C lacuna indicata. τοῖς χειμῶσι

τότε ἐνδεῆ γινόμενον μὴ συναναφέρειν· καὶ διὰ τοῦτο τοῦ χειμῶνος ἥσσονα αὐτὸν γίνεσθαι, τοῦ δὲ θέρους πλήρη. f Ἡρόδοτος δὲ τοῖς μὲν λοιποῖς ὑπεναντίως λέγει, παραπλησίως δὲ Οἰνοπίδης. τὴν μὲν γὰρ ῥύσιν τοῦ Νείλου φασὶ τοιαύτην, ὥστε ἀεὶ πληροῦν τὸν ποταμὸν, τὸν δὲ ἥλιον τοῦ χειμῶνος κατὰ τὴν Λιβύην ποιούμενον τὴν πορείαν αναξηραίνειν τὸν Νεῖλον· περὶ τροπὰς δὲ θερινὰς μεθιστάμενον πρὸς τὴν ἄρκτον ὑγραίνειν.

Τὰ δὲ τοῦ Νείλου στόματα ταῦτα· πρὸς τὴν Ἀραβίαν Πηλουσιακὸν, πρὸς Λιβύην Κανωβικὸν, τὰ δὲ λοιπὰ Βολβιτικὸν, Σεβεννυτικὸν, Μενδήσιον, Σαϊτικὸν, Ὀπουεπικόν.

---

συμβαίνει. τὸν δὲ Νεῖλον οὐχ ὑόμενον τότε, ἐνδεῆ — Steph. συναναφέρειν C. συναναπληροῦν Steph. συναναβαίνειν Schweigh.

f. Ἡρόδοτος] II, 25. ὑπεναντίως C. ὑπεναντία Steph. οἰνωπίδης C. Οἰνοπίδῃ Steph. φασὶ C. φησὶ Steph. περὶ Schweigh. ἐπὶ C et Steph. τροπὰς δὲ θερινὰς C. δὲ θερινὰς τροπὰς Steph. ὑγραίνειν C. ἰέναι Steph. Sequentia omisit Steph. ὀπουεπικόν CE. Βουκολικόν Wesselingius.

# ΕΚ ΤΟΥ Γ

72 Ὅτι Καλλίμαχος ὁ γραμματικὸς τὸ μέγα βιβλίον ἴσον ἔλεγεν εἶναι τῷ μεγάλῳ κακῷ.

ΚΙΒΩΡΙΑ. Νίκανδρος ἐν Γεωργικοῖς

Σπείρειας κύαμον Αἰγύπτιον, ὄφρα θερείης
ἀνθέων μὲν στεφάνους ἀνύῃς, τὰ δὲ πεπτηῶτα
ἀκμαίου καρποῖο κιβώρια δαινυμένοισιν
b εἰς χέρας ἠιθέοισι πάλαι ποθέουσιν ὀρέξῃς.
ῥίζας δ' ἐν θοίνῃσιν ἀφεψήσας προτίθημι.

ῥίζας δὲ λέγει Νίκανδρος τὰ ὑπ' Ἀλεξανδρέων κολοκάσια καλούμενα· ὡς ὁ αὐτὸς

Κυάμους λέψας κολοκάσιον ἐντμήξας τε.

ἔστι δ' ἐν Σικυῶνι Κολοκασίας Ἀθηνᾶς ἱερόν. ἔστι δὲ καὶ κιβώριον εἶδος ποτηρίου.

c 2. Θεόφραστος δ' ἐν τῷ περὶ φυτῶν οὕτω γράφει „Ὁ κύαμος ἐν Αἰγύπτῳ φύεται μὲν ἐν ἕλεσι καὶ λίμναις. καυλὸς δ' αὐτοῦ μῆκος μὲν ὁ μακρότατος εἰς τέσσαρας πήχεις, πάχος δὲ δακτυλιαῖος· ὅμοιος καλάμῳ μακρῷ ἀγονάτῳ· διαφύσεις δ' ἔνδοθεν ἔχει δι' ὅλου διειλημμένας ὁμοίας τοῖς κηρίοις. ἐπὶ τούτῳ δ' ἡ κωδύα καὶ τὸ ἄνθος

---

72 a. Ὅτι add. CD. om. VL. Νίκανδρος] Fr. 10. p. 282. V. 1. σπείρειας L. σπείρας V. θερείης B et Casauboniani. θερίσσῃς VL. θερείας C. V. 2. ἀνθέων BCD. ἄνθεα VL. πεπτηῶτα] πεπτηῶτ' B.

72 b. V. 4. ἐς χέρας VL. εἰς χεῖρας BCD. ῥίζας δὲ λέγει CD. δὲ om. VL. κυάμους] κυάμου Casaubonus.

72 c. Θεόφραστος] H. P. IV. 8, 7. p. 147. Eadem Eustathius p. 1616, 48. δακτυλιαῖος VL. δακτυλαῖος BCD. μακρῷ libri et Eustathius. μαλακῷ Theophrastus. κηρίοις] κρίνοις Theophrastus. κωδύα BCD et Eustathius cum melioribus Theophrasti libris. κωδία VL. Alterum et disertum quidem de κωδύα testimonium Eustathii est p. 999, 33. ἰστέον δὲ ὅτι ἄλλο τι παρὰ τὴν Ὁμηρικὴν κώδειαν τὴν διὰ τῆς ει διφθόγγου ἡ παρὰ τῷ Ἀθηναίῳ διὰ τοῦ υ ψιλοῦ. ἐκεῖνος γὰρ κωδύαν φησὶ τὴν τοῦ κιβωρίου, ὅ ἐστι

διπλάσιον ἢ μήκωνος· χρῶμα δ' ὅμοιον ῥόδῳ κατακορές.
d παραφύεται δὲ φύλλα μεγάλα. ἡ δὲ ῥίζα παχυτέρα καλάμου τοῦ παχυτάτου καὶ διαφύσεις ὁμοίας ἔχουσα τῷ καυλῷ. ἐσθίουσι δ' αὐτὴν καὶ ἑφθὴν καὶ ὠμὴν καὶ ὀπτήν· καὶ οἱ περὶ τὰ ἕλη τούτῳ σίτῳ χρῶνται. γίνεται δὲ καὶ ἐν Συρίᾳ καὶ κατὰ Κιλικίαν, ἀλλ' οὐκ ἐκπέττουσιν αἱ χῶραι· καὶ περὶ Τορώνην τῆς Χαλκιδικῆς ἐν λίμνῃ τινὶ μετρίᾳ τῷ μεγέθει, καὶ αὕτη πέττει καὶ τελεοκαρπεῖ." Δί-
13 φιλος δ' ὁ Σίφνιός φησιν „Ἡ τοῦ κυάμου τοῦ Αἰγυπτίου ῥίζα, ἥτις λέγεται κολοκάσιον, εὔστομός τέ ἐστι καὶ τρόφιμος, δυσέκκριτος διὰ τὸ παραστύφειν· κρεῖττον δ' ἐστὶ τὸ ἥκιστα ἐριῶδες. οἱ δὲ γινόμενοι (φησὶ) κύαμοι ἐκ τῶν κιβωρίων χλωροὶ μέν εἰσι δύσπεπτοι, ὀλιγότροφοι, διαχωρητικοί, πνευματικώτατοι, ξηρανθέντες δὲ ἧττον πνευματοῦσι." γίνεται δὲ ὄντως ἐκ τῶν κιβωρίων καὶ ἄνθος στεφανωτικόν. καλοῦσι δ' Αἰγύπτιοι μὲν αὐτὸ λωτόν, Ναυκρατῖται δὲ οἱ ἐμοί, λέγει οὗτος ὁ Ἀθήναιος, μελίλωτον ἀφ' οὗ καὶ μελιλώτινοι στέφανοι πάνυ εὐώδεις καὶ καύ-
b σωνος ὥρᾳ ψυκτικώτατοι.

3. Φύλαρχος δέ φησιν „Οὐδέποτε πρότερον ἐν οὐδενὶ τόπῳ κυάμων Αἰγυπτίων οὔτε σπαρέντων οὔτ', εἰ σπείρειέ τις, τικτομένων, εἰ μὴ κατὰ Αἴγυπτον, ἐπὶ τοῦ βασιλέως Ἀλεξάνδρου τοῦ Πύρρου παρὰ τὸν Θύαμιν ποταμὸν τῆς ἐν Ἠπείρῳ Θεσπρωτίας ἐν ἕλει τινὶ συνέβη φῦναι. δύο μὲν οὖν ἤνεγκέ πως ἔτη καρπὸν ἐκτενῶς καὶ ηὔξησε· τοῦ δ' Ἀλεξάνδρου φυλακὴν ἐπιστήσαντος καὶ κωλύοντος οὐχ
c ὅτι λαμβάνειν τὸν βουλόμενον, ἀλλὰ μηδὲ προσέρχεσθαι πρὸς τὸν τόπον, ἀνεξηράνθη τὸ ἕλος, καὶ τὸ λοιπὸν οὐχ

---

κολοκασίου, ὡς καὶ ἀλλαχοῦ δεδήλωται· ἧς φησι τὸ ἄνθος διπλάσιον ἢ μήκωνος, ταυτὸν δ' εἰπεῖν τῆς ἐνταῦθα κωδείας.

72 d. Συρίᾳ καὶ κατὰ Theophrastus. Libri Συρίᾳ κατά. ἐκπέττουσιν CD. ἐκπέπτουσιν VL. Χαλκιδικῆς L. χαλδικῆς BV. αὕτη Schweigh. Scribebatur αὐτὴ hic et in Theophrasto. Δίφιλος δ'] δ' om. BCD.

73 a. εὔστομος] Legebatur εὐστόμαχος. εὔστομον C. τρόφιμος] τρόφιμον C. δυσέκκριτος] δυσέκκριτος δὲ Schweigh. γίνεται] γίνονται B. ὄντος BCD. οὕτως VL.

73 b. Θύαμιν L. θύραμιν BCDV.

καταμυχθεὶς τὴν κνήμην ὑπὸ κυνοσβάτου ἔκτισε τὴν πόλιν.“ ἔστι δὲ ὁ κυνόσβατος μεταξὺ θάμνου καὶ δένδρου, ὥς φησι Θεόφραστος, καὶ τὸν καρπὸν ἔχει ἐρυθρὸν παραπλήσιον τῇ ῥοιᾷ· ἔχει δὲ καὶ τὸ φύλλον ἀγνῶδες.

83. Φανίας δ' ἐν πέμπτῳ περὶ φυτῶν κάκτον Σικελικήν τινα καλεῖ, ἀκανθῶδες φυτόν, ὡς καὶ Θεόφραστος ἐν ἕκτῳ περὶ φυτῶν „Ἡ δὲ κάκτος καλουμένη περὶ Σικελίαν μόνον, ἐν τῇ Ἑλλάδι δ' οὐκ ἔστι. ἀφίησι δ' εὐθὺς πρὸς τῆς ῥίζης καυλοὺς ἐπιγείους· τὸ δὲ φύλλον ἔχει πλατὺ
e καὶ ἀκανθῶδες· καυλοὺς δὲ τοὺς καλουμένους κάκτους, ἐδώδιμοι δ' εἰσὶ περιλεπόμενοι καὶ μικρὸν ὑπόπικροι. καὶ ἀποθησαυρίζουσιν αὐτοὺς ἐν ἅλμῃ. ἕτερον δὲ καυλὸν ὀρθὸν ἀφίησιν, ὃν καλοῦσι πέρνικα, καὶ τοῦτον ἐδώδιμον. τὸ δὲ περικάρπιον ἀφαιρεθέντων τῶν παππωδῶν ἐμφερὲς τῷ τοῦ φοίνικος ἐγκεφάλῳ. ἐδώδιμον καὶ τοῦτο· καλοῦσι δ' αὐτὸ ἀσκάληρον.“ τίς δὲ τούτοις οὐχὶ πειθόμενος θαρρῶν ἂν εἴποι τὴν κάκτον εἶναι ταύτην τὴν ὑπὸ Ῥωμαίων μὲν καλουμένην κάρδον, οὐ μακρὰν ὄντων τῆς Σικελίας, περι-
f φανῶς δ' ὑπὸ τῶν Ἑλλήνων κινάραν ὀνομαζομένην; ἀλλαγῇ γὰρ δύο γραμμάτων κάρδος καὶ κάκτος ταυτὸν ἂν εἴη. σαφῶς δ' ἡμᾶς διδάσκει καὶ Ἐπίχαρμος μετὰ τῶν ἐδωδίμων λαχάνων καὶ τὴν κάκτον καταλέγων οὕτως „Μήκων, μάραθοι, τραχέες τε κάκτοι, τοῖς ἄλλοις μὲν φαγεῖν

---

70 d. κυνοσβάτου Eustathius. Scribebatur κυνὸς βάτου. Θεόφραστος] H. P. III. 18, 4. p. 114. τῇ ῥοιᾷ] τῷ τῆς ῥόας Urbinas. ἀγνῶδες L. ἀγλῶδες V. Φανίας] Scribebatur Φαινίας. ἐν ἕκτῳ] 4, 10. p. 209. πρὸς τῆς] πρὸ τῆς BC. ἀπὸ τῆς Theophrastus.

70 e. πέρνικα BCDV. πτέρνικα L et Theophrastus. περικάρπιον L et Theophrastus. περικάρδιον BCDV. ἀσκάληρον] σκαλίαν Theophrastus. ascaliam Plinius XXI. 16, 57. κάρδον BCD et Eustathius p. 1822, 24. κάρδυνον VL.

70 f. ἀλλαγῇ γὰρ] γὰρ om. B. Corruptus Epicharmi locus Μήκων — χαιρέτω duo fragmenta complecti videtur, quorum in altero necesse est κάκτος numero singulari praecesserit. Quare haec sic fortasse sunt separanda, Μήκων * * μάραθα, τραχέες τε κάκτοι, τοὶ σὺν ἄλλοις μὲν φαγεῖν | ἐντὶ λαχάνοις (excidit ἀδέες vel simile quid) * * πάλιν· Αἲ κά τις ἐκτρίψας (ἐντρίψας Casaubonus) καλῶς | παρατιθῇ νιν, ἀδύς ἐστ' (scribebatur ἐστιν), αὐτὸς δ' ἐφ' αὐ-

ἐπὶ λαχάνοις εἰς τοπιον. αἴ κά τις ἐκτρίψας καλῶς πα-
ρατιθῇ νιν, ἁδύς ἐστ᾽, αὐτὸς δ᾽ ἐφ᾽ αὑτοῦ χαιρέτω.“ καὶ
71 πάλιν „θρίδακας, ἐλάταν, σχῖνον, ῥαφανῖδας, κάκτους.“
καὶ πάλιν „Ὁ δέ τις ἀγρόθεν ἔοικε μάραθα καὶ κάκτους
φέρειν, ἴφυον, λάπαθον, ὀτόστυλλον, σκόλιον, σερίδα,
δράκτυλον, πτέριν, κάκτον, ὀνόπορδον.“ καὶ Φιλητᾶς ὁ
Κῷος

Γηρύσαιτο δὲ νεβρὸς ἀπὸ ψυχὴν ὀλέσασα,
ὀξείης κάκτου τύμμα φυλαξαμένη.

84. Ἀλλὰ μὴν καὶ κινάραν ὠνόμασε παραπλησίως ἡμῖν
Σώπατρος ὁ Πάφιος, γεγονὼς τοῖς χρόνοις κατ᾽ Ἀλέξαν-
b δρον τὸν Φιλίππου, ἐπιβιοὺς δὲ καὶ ἕως τοῦ δευτέρου τῆς
Αἰγύπτου βασιλέως, ὡς αὐτὸς ἐμφανίζει ἔν τινι τῶν συγ-
γραμμάτων αὑτοῦ. Πτολεμαῖος δ᾽ ὁ Εὐεργέτης, βασιλεὺς
Αἰγύπτου, εἷς ὢν τῶν Ἀριστάρχου τοῦ γραμματικοῦ μα-
θητῶν, ἐν δευτέρῳ ὑπομνημάτων γράφει οὕτως „Περὶ
Βερενίκην τῆς Λιβύης Λήθων ποταμός, ἐν ᾧ γίνεται ἰχθὺς
λάβραξ καὶ χρύσοφρυς καὶ ἐγχέλεων πλῆθος καὶ τῶν κα-
λουμένων βασιλικῶν, αἳ τῶν τε ἐκ Μακεδονίας καὶ τῆς
c Κωπαΐδος λίμνης τὸ μέγεθός εἰσιν ἡμιόλιαι, πᾶν τε τὸ
ῥεῖθρον αὐτοῦ ἰχθύων ποικίλων ἐστὶ πλῆρες. πολλῆς δ᾽
ἐν τοῖς τόποις κινάρας φυομένης, οἵ τε συνακολουθοῦντες
ἡμῖν στρατιῶται πάντες δρεπόμενοι συνεχρῶντο καὶ ἡμῖν
προσέφερον ψιλοῦντες τῶν ἀκανθῶν.“ οἶδα δὲ καὶ Κίνα-
ρον καλουμένην νῆσον, ἧς μνημονεύει Σῆμος.

85. Ἐγκέφαλος φοίνικος. Θεόφραστος περὶ φοίνικος
τοῦ φυτοῦ εἰπὼν ἐπιφέρει „Ἡ μὲν οὖν ἀπὸ τῶν καρπῶν

---

τοῦ (scribebatur ἐπ᾽ αὐτοῦ) χαιρέτω. εἰς τοπῖον C. εἰς τὸ πιὸν VL. εἰς τὸ πῖον Casaubonus.

71 a. Ὁ δέ τις — φέρειν tetrameter: nam ἔοικε digamma habet. σκόλιον] σκόλυμον Dalecampius. σερίδα CD et Casauboniani. σερίδια VL. Φιλητᾶς] φιλήτας C. νεβρὸς] νεκρὸς C. ἀπὸ ψυχὴν] ἀποψυχὴν B. ὀλέσασα L cum Antigono Carystio H. M. c. 8. qui ζωὴν ὀλέσασα. ὤλεσα BCDV.

71 b. αὑτοῦ] Scribebatur αὐτοῦ. Πτολεμαῖος] Attulit haec Eustathius p. 1822, 25. ποταμὸς] ποταμίων C. λάβραξ] λαίραξ C.

71 c. Θεόφραστος] H. P. II. 6, 2. p. 56.

φυτεία τοιαύτη τις· ἡ δ' ἀπ' αὐτοῦ, ὅταν ἀφέλωσι τὸ
d ἄνω, ἐν ᾧπερ ὁ ἐγκέφαλος." καὶ Ξενοφῶν ἐν δευτέρῳ Ἀναβάσεως γράφει τάδε „Ἐνταῦθα καὶ τὸν ἐγκέφαλον τοῦ φοίνικος πρῶτον ἔφαγον οἱ στρατιῶται· καὶ οἱ πολλοὶ ἐθαύμαζον τό τε εἶδος καὶ τὴν ἰδιότητα τῆς ἡδονῆς· ἦν δὲ σφόδρα καὶ τοῦτο κεφαλαλγές. ὁ δὲ φοίνιξ, ὅταν ἐξαιρεθῇ ὁ ἐγκέφαλος, ὅλος ἐξηναίνετο." Νίκανδρος Γεωργικοῖς

Σὺν καὶ φοίνικος παραφυιάδας ἐκκόπτοντες
ἐγκέφαλον φορέουσι νέοις ἀσπαστὸν ἔδεσμα.

e Δίφιλος δ' ὁ Σίφνιος ἱστορεῖ „Οἱ τῶν φοινίκων ἐγκέφαλοι πλήσμιοι καὶ πολύτροφοι, ἔτι δὲ βαρεῖς καὶ δυσοικονόμητοι διψώδεις τε καὶ στατικοὶ κοιλίας."

Ἡμεῖς δέ, φησὶν οὗτος, ἑταῖρε Τιμόκρατες, δόξομεν ἐγκέφαλον ἔχειν μέχρι τοῦ τέλους, εἰ καταπαύσομεν ἐνταῦθα καὶ τήνδε τὴν συναγωγήν.

---

## Ἐκ τοῦ β' βιβλίου.

86. Ἔργον, εἰς τρίκλινον συγγενείας εἰσπεσεῖν
οὗ λαβὼν τὴν κύλικα πρῶτος ἄρχεται λόγου πατήρ,
καὶ παραινέσεις πέπαικεν, εἶτα μήτηρ δευτέρα,
εἶτα τήθη παραλαλεῖ τις, εἶτα βαρύφωνος γέρων,
τηθίδος πατήρ, ἔπειτα γραῦς καλοῦσα φίλτατον·
ὁ δ' ἐπινεύει πᾶσι τούτοις,

φησὶ Μένανδρος. πάλιν

Τῆς σκιᾶς τὴν πορφύραν

---

ἀπ' αὐτοῦ] ἀφ' αὐτοῦ meliores libri Theophrasti.

71 d. ἐν δευτέρῳ Ἀναβάσεως] 3, 16. ὅταν] ὅθεν Xenophon. ἐξαιρεθῇ C ut videtur. ἐξαιρεθῶν V. ἐξαιρεθείη L cum Xenophonte. ὅλος BCDV. ὅλως L ex Basil. ἐξηναίνετο Schweigh. ἐξηναίνεται BCD. ἐξηνένεκται V. ἐξαναίνετο L. αὐαίνετο meliores libri Xenophontis: deteriores ἐξηραίνετο. Νίκανδρος] Fr. 12. p. 283. γεωργικοῖς libri Casauboniani. γεωργικῷ VL. De CD propter scripturae compendia non liquet. φοίνικος] φοίνιξι B. παραφυιάδας] Scribebatur παραφυάδας. Ἐκ τοῦ β' βιβλίου] Sic inscripta haec post librum decimum tertium leguntur in C, ex quo edidit Schweigh., et in epitomes codice Florentino, de quo dictum ab Bandinio vol. II. p. 583. V. 1. Ἔργον] Ἔργον ἐστὶν Meinekius p. 202. V. 2. παραινέσεις Schweigh. παραίνεσις C. πάλιν] P. 209. Meinek.

πρῶτον ἐνυφαίνουσ᾽, εἶτα μετὰ τὴν πορφύραν
τοῦτ᾽ ἔστιν, οὔτε λευκὸν οὔτε πορφύρα,
ἀλλ᾽ ὥσπερ αὐγὴ τῆς κρόκης κεκραμένη.

Ἀντιφάνης „Τί φῄς; ἐνθάδ᾽ οἴσεις τι καταφαγεῖν ἐπὶ τὴν θύραν· εἶθ᾽ ὥσπερ οἱ πτωχοὶ χαμαὶ ἐνθάδ᾽ ἔδομαι, καί τις ὄψεται." ὁ αὐτὸς

Εὐτρέπιζε
ψυκτῆρα, λεκάνην, τριπόδιον, ποτήριον,
χύτραν, θυείαν, κάκκαβον, ζωμήρυσιν.

---

## ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΝΕΙΛΟΥ ΑΝΑΒΑΣΕΩΣ.

a 87. Θαλῆς ὁ Μιλήσιος, εἷς τῶν ἑπτὰ σοφῶν, φησὶ

---

ἐνυφαίνουσ᾽] ἐνυφαίνουσιν C. Antiphanis fragmenta ab Ruhnkenio ex C secum communicata primus edidit Koppiers. Observatt. philol. p. 58. Εὐτρέπιζε] εὐτρέπιζε δὴ Koppiers. πότερον C. ποτήριον Ruhnkenius tacite.

---

Dissertatio de Nili incremento in C inscripta est ultimo codicis folio, unde Schweighaeusero descripsit Birgerus Thorlacius: in epitome Florentina teste Bandinio et in codice Bedroti sequitur post Antiphanis fragmenta. Primus edidit nulla plane Athenaei mentione facta Henricus Stephanus inter *Aristotelis et Theophrasti scripta quaedam, quae vel nunquam antea vel minus emendata quam nunc edita fuerunt*, anno 1557. p. 144. — 146. hac inscriptione περὶ τῆς τοῦ Νείλου ἀναπληρώσεως διάφοροι δόξαι. quibus in indice p. 16. additur ἀνωνύμου. Unde sumpserit non constat: satis certum tamen videtur petivisse eum hanc scriptionem ex epitomes Athenaei codice aliquo Italico, quos plures tractasse Stephanum scimus. Stephani autem apographum ad Isaacum Vossium pervenit, qui eius mentionem iniecit annotatione ad Pomponium Melam infra indicanda. De Bedroti quem dicebam libro quae Schweighaeuserus non breviter dixit meis verbis exponam. In exemplari Aldino Iacobi Bedroti, Basileensis editoris Athenaei, Schweighaeuserus reperit duo folia descriptionem libri manuscripti epitomes complexa ab his verbis incipientem Βίβλος ἡ καλουμένη δειπνοσοφιστής. tum sequuntur librorum quindecim cuiusque prima et extrema verba. De quibus Schweigh. haec apposuit

„*Fol.* 237 *b.* Ἐκ τοῦ β βιβλίου. Ἔργον εἰς τρικλίνιον συγγενίας εἰσπεσεῖν *etc.* καὶ ἑξῆς περὶ ἀμέτρου οἴνου, Ἐκ γάρ οἱ ἄτης τε καὶ ὕβριος

*διὰ τοὺς ἐτησίας γίνεσθαι τὴν ἀναπλήρωσιν τοῦ Νείλου. πνεῖν γὰρ αὐτοὺς ἐναντίους τῷ ποταμῷ καὶ τὰ στόματα κεῖσθαι κατὰ τὴν πνοὴν αὐτῶν· τὸν μὲν οὖν ἄνεμον ἐξ ἐναντίας πνέοντα κωλύειν τὴν ἐπιρροὴν αὐτῶν, τὸ δὲ κῦμα προσπῖπτον ἀντίον τοῖς στόμασι καὶ οὔριον ὂν ἀνακόπτειν τὸν ποταμὸν καὶ τὴν ἀναπλήρωσιν οὕτω γίνεσθαι τοῦ*
b *Νείλου. Ἀναξαγόρας δὲ ὁ φυσικός φησιν ἀπὸ χιόνος τηκομένης τὴν ἀναπλήρωσιν γίνεσθαι τοῦ Νείλου· ὡσαύτως δὲ καὶ Εὐριπίδης καὶ ἕτεροί τινες τῶν τραγῳδιοποιῶν. καὶ Ἀναξαγόρας μὲν αὐτὴν τὴν γένεσιν λέγει τῆς ἀναπληρώσεως, Εὐριπίδης δὲ καὶ τὸν τόπον ἀφορίζει, λέγων οὕτως ἐν δράματι Ἀρχελάῳ*

*Δαναὸς, ὁ πεντήκοντα θυγατέρων πατὴρ,*
*Νείλου λιπὼν κάλλιστον ἐκ γαίας ὕδωρ,*
*ὃς ἐκ μελαμβρότοιο πληροῦται θέρει*
*Αἰθιοπίδος γῆς, ἡνίκ' ἂν ταχῇ χιὼν,*

---

*αἶσα ὀπηδεῖ. lin.* 26.“ [Vide Panyasidis fragmentum ex C insertum II. p. 36 d.]

„*Fol.* 238 *a. περὶ τῆς τοῦ Νείλου ἀναβάσεως. Θαλῆς ὁ Μιλήσιος, εἷς τῶν ζ σοφῶν etc. τὰ δὲ λοιπὰ, βολβιτικὸν, σεβεννιτὸν, μενδήσιον, σαϊτικὸν, ὀπονεπτικόν. lin.* 53.“

„*Fol.* 239 *a. In fine libri Catalogus est Authorum DC, qui ab Athenaeo citantur.*“

Post Stephanum hoc fragmentum edidit Wesselingius ad calcem Herodoti p. 783. in Addendis demum Athenaei codicis C lectionibus usus ab Ruhnkenio sibi impertitis. Ceterum conferendus Diodorus I. 38. et sequentibus capitibus.

a. *ἐτησίας*] *ἐτησίους* Stephanus. *τοῦ Νείλου* om. Steph. *κωλύειν τὴν ἐπιρροὴν αὐτῶν*] *κωλύειν τὴν ἔκβασιν τοῦ ποταμοῦ ἐκπίπτειν εἰς τὴν θάλασσαν* Steph. *προσπίπτον* Steph. *προπίπτον* C. *καὶ τὴν ἀναπλήρωσιν*] *τὴν* om. Steph. *οὕτω γίνεσθαι τοῦ Νείλου*] *οὕτως φησὶ γίνεσθαι τοῦ ποταμοῦ* Steph.

b. *ἀπὸ* om. Steph. *χιόνος*] *τῆς χιόνος* Steph. *γίνεσθαι τοῦ Νείλου*] *τοῦ Νείλου γίνεσθαι* Steph. *τῶν τραγῳδιοποιῶν*] *τραγῳδιῶν ποιηταί* Steph. *καὶ Ἀναξ.*] *ἀλλ' Ἀναξ.* Steph. *γένεσιν λέγει*] *γένεσιν, ποίησιν λέγει* Steph. *ἐν δράματι Ἀρχελάῳ — θυγατέρων πατὴρ* add. Steph. om. C. V. 3. *θέρει* C. *ῥοὰς* Steph. cum aliis scriptoribus. Vide annotationem. V. 4. *Αἰθιοπίδος*] *Αἰθιωπίδος* tum hic tum in Aeschyli fragmento Schweigh. editio, ex C ut opinor, qui simili errore infra *οἰνωπίδης* praebet.

τεθριππεύοντος ἡλίου κατὰ χθόνα.

c καὶ ἐν Ἑλένῃ ὅμοιον τούτου

Νείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαὶ,
ὃς ἀντὶ δίας ψακάδος Αἰγύπτου πέδον
λευκῆς τακείσης χιόνος ὑγραίνει γύας.

καὶ Αἰσχύλος

Γένος μὲν αἰνεῖν ἐκμαθὼν ἐπίσταμαι
Αἰθιοπίδος γῆς, Νεῖλος ἔνθ᾽ ἑπτάρροος
γαῖαν κυλίνδει πνευμάτων ἐπομβρίᾳ,
ἥλιος ἐν ᾗ πυρωπὸς ἐκλάμψας χθονὶ
τήκει πετραίαν χιόνα· πᾶσα δ᾽ εὐθαλὴς
Αἴγυπτος, ἁγνοῦ νάματος πληρουμένη,
φερέσβιον Δήμητρος ἀντέλλει στάχυν.

d Καλλισθένης δ᾽ ὁ ἱστοριογράφος πρὸς τὰ μικρῷ πρότερον εἰρημένα ὑπ᾽ Ἀναξαγόρου τε καὶ Εὐριπίδου ἀντεῖπεν· αὐτὸς δὲ τὴν αὑτοῦ γνώμην φησὶν, Ὑδάτων πολλῶν καὶ λαμπρῶν γινομένων κατὰ τὴν Αἰθιοπίαν κατὰ τὰς τοῦ κυνὸς ἀνατολὰς ἕως τῆς ἐπιτολῆς ἀρκτούρου, καθ᾽ οὓς χρόνους καὶ οἱ ἐτησίαι πνέουσιν ἄνεμοι· τούτους γάρ φησι τοὺς ἀνέμους μάλιστα τὰ νέφη φέρειν πρὸς τὴν Αἰ-

---

ἡνίκ᾽] τὴν ἡνίκ᾽ C. V. 5. τεθριππεύοντος C cum Vossio ad Melam I. 9, 27. p. 53. vitiose. τεθρίππου ὄντος Steph. τέθριππ᾽ ὀχοῦντος Grotius in Excerptis p. 375. κατὰ χθόνα C et Stephani apographum apud Vossium. κατ᾽ αἰθέρα Steph. ex coniectura posuit.

c. ὅμοιον τούτου om. Steph. V. 2. ἀντὶ δίας C. ἂν διὰ Steph. ψακάδος Steph. ψεκάδος C. Aeschyli v. 1. ἐκμαθὼν Schweigh. ἐκλαθὼν C. καὶ μαθὼν Steph. V. 2. Νεῖλος ἔνθ᾽] ἐνταῦθα (sic) νεῖλος C. ἔνθα Νεῖλος Steph. ἑπτάρροος] ἑπτάρρους C. ἑπτάρρους Steph. V. 3. κυλίνδει C. κυλίνδων Steph. πνευμάτων] ῥευμάτων Vossius. ἐπομβρίᾳ C. ἐπομβρίαις Steph. V. 4. ἐν ᾗ πυρωπὸς ἥλιος ἐκλάμψας χθονὶ C. Quem verborum ordinem si quis probat, ἐκλάμψας in λάμψας mutabit. ἐν ᾗ πυρωτὸν μηνὸς ἐκλάμψαν φλόγα Steph. V. 5. 6. inverso ordine exhibet Steph. non C. V. 5. πετραίαν C. πετραίην Steph. V. 7. ἀντέλλει C. ἀγγέλλει Steph.

d. τὴν αὐτοῦ γνώμην C. τῇ ἑαυτοῦ γνώμῃ χρώμενος Steph. πολλῶν καὶ λαμπρῶν add. C. om. Steph. τὰς τοῦ κυνὸς ἀνατολὰς C. τὴν τοῦ κυνὸς ἀνατολὴν Steph. τῆς ἐπιτολῆς C. τῆς om. Steph. οἱ ἐτησίαι C. οἱ ἐτήσιοι Steph. ἄνεμοι om. Steph. τὰ νέφη Steph. τὰ om. C. φέρειν πρὸς τὴν αἰθιοπίαν C. πνέοντας

*θιοπίαν· ὧν καὶ προσπιπτόντων πρὸς τὰ ὄρη καταρρήγνυσθαι πολὺ πλῆθος ὕδατος, ἀφ᾽ οὗ τὸν Νεῖλον ἀναβαίνειν. Δημόκριτος δὲ λέγει περὶ τὰς χειμερινὰς τροπὰς τοὺς περὶ τὰς ἄρκτους τόπους χιονίζεσθαι· περὶ τροπὰς δὲ θερινὰς μεταναστάντος τοῦ ἡλίου τηκομένης τῆς χιόνος καὶ ἀνατμιζομένης ὑπὸ τῆς τήξεως νέφη γίνεσθαι, διὰ τὸ τοὺς ἐτησίας ὑπολαμβάνοντας φέρειν πρὸς μεσημβρίαν. συνωθουμένων δὲ τῶν νεφῶν ἐπὶ τὴν Αἰθιοπίαν καὶ τὴν Λιβύην ὄμβρον γίνεσθαι πολύν, ὃν καταρρέοντα πληροῦν τὸν Νεῖλον. τὴν οὖν αἰτίαν τῆς ἀναπληρώσεως ταύτην φησὶ Δημόκριτος.*

e *Εὐθυμένης δ᾽ ὁ Μασσαλιώτης φησὶν αὐτὸς πεπλευκὼς τὴν ἔξω θάλασσαν ἐπιρρεῖν ὡς ἐπὶ τὴν Λιβύην, ἐστραμμένην δὲ εἶναι πρὸς βορέαν τε καὶ ἄρκτους. καὶ τὸν μὲν ἄλλον χρόνον κενὴν εἶναι τὴν θάλασσαν, τοῖς δ᾽ ἐτησίαις ἀνωθουμένην ὑπὸ πνευμάτων πληροῦσθαι καὶ ῥεῖν ταῖς ἡμέραις ταύταις, παυσαμένων δὲ τῶν ἐτησίων ἀναχωρεῖν. εἶναι δὲ αὐτὴν καὶ γλυκεῖαν καὶ κήτη παραπλήσια τοῖς ἐν τῷ Νείλῳ κροκοδείλοις καὶ τοῖς ἱπποποτάμοις ἔχειν. Οἰνοπίδης δ᾽ ὁ Χῖος λέγει τοῦ μὲν χειμῶνος τοῦ ποταμοῦ ἀναξηραίνεσθαι τὰς πηγάς, ἐν δὲ τῷ θέρει θερμαινομένας ῥεῖν. τοῦ μὲν οὖν ἀναπληροῦσθαι τὴν γινομένην ξηρασίαν τὸ αἴτιον τῶν οὐρανίων ὑδάτων ἐπιγινομένων τοῖς χειμῶσι συμβαίνειν·* * * *

---

*πρὸς τὴν Αἰθιοπίαν ἄγειν* Steph. *ὧν καὶ* C. *ὧν δὴ καὶ* Steph. *ἀφ᾽ οὗ τὸν Νεῖλον πληρούμενον ἀναβαίνειν συμβαίνει* Steph, *περὶ μὲν χειμερινὰς* Steph. *τοὺς περὶ*] *τοὺς πρὸς* Schweigh. *τὰς ἄρκτους* C. *τὰς* om. Steph. *τόπους* om. Steph. *περὶ τροπὰς δὲ* Schweigh. *πρὸς τροπὰς δὲ* C et Steph. *μεταναστάντος* C. *μεταστάντος* Steph. *τοῦ ἡλίου* Steph. *τοῦ* om. Schweigh. editio. *ἀνατμιζομένης* C. *ἀτμιζομένης* Steph. *ὑπὸ* C. *ἀπὸ* Steph. *διὰ τὸ*] *ἃ* Schweigh. *τοὺς ἐτησίας* C. *τοὺς ἐτησίους* Steph. *ὄμβρον* C. * *ὄμηρον* Steph. *τὴν οὖν — Δημόκριτος* om. Steph.

e. *Εὐθυμένης* C. *Εὐμενίδης* Steph. *φησὶν αὐτὸς πεπλευκὼς τὴν* C. *αὐτὸς πεπλευκώς, φησὶν εἰς τὴν* Steph. *ὡς ἐπὶ τὴν* C. *ἕως ἐς τὴν* Steph. *δὲ εἶναι* C. *τε εἶναι* Steph. *τοῖς δ᾽ ἐτησίαις* C. *τοῖς δ᾽ ἐτησίοις* Steph. *ὑπὸ* C. *ὑπὸ τῶν* Steph. *ῥεῖν* C. *ῥεῖν ἔσω* Steph. *Οἰνοπίδης* Steph. *οἰνωπίδης* C. *τοῦ μὲν* C. *μὲν* om. Steph. *τοῦ ποταμοῦ* C. *τῶν ποταμῶν* Steph. *ἐπαγινομένων* Steph. Post *συμβαίνειν* in C lacuna indicata. *τοῖς χειμῶσι*

τότε ἐνδεῆ γινόμενον μὴ συναναφέρειν· καὶ διὰ τοῦτο τοῦ χειμῶνος ἥσσονα αὐτὸν γίνεσθαι, τοῦ δὲ θέρους πλήρη. f Ἡρόδοτος δὲ τοῖς μὲν λοιποῖς ὑπεναντίως λέγει, παραπλησίως δὲ Οἰνοπίδης. τὴν μὲν γὰρ ῥύσιν τοῦ Νείλου φασὶ τοιαύτην, ὥστε ἀεὶ πληροῦν τὸν ποταμὸν, τὸν δὲ ἥλιον τοῦ χειμῶνος κατὰ τὴν Λιβύην ποιούμενον τὴν πορείαν ἀναξηραίνειν τὸν Νεῖλον· περὶ τροπὰς δὲ θερινὰς μεθιστάμενον πρὸς τὴν ἄρκτον ὑγραίνειν.

Τὰ δὲ τοῦ Νείλου στόματα ταῦτα· πρὸς τὴν Ἀραβίαν Πηλουσιακὸν, πρὸς Λιβύην Κανωβικὸν, τὰ δὲ λοιπὰ Βολβιτικὸν, Σεβεννυτικὸν, Μενδήσιον, Σαϊτικὸν, Ὀπουεπικόν.

---

συμβαίνει. τὸν δὲ Νεῖλον οὐχ ὑόμενον τότε, ἐνδεῆ — Steph. συναναφέρειν C. συναναπληροῦν Steph. συναναβαίνειν Schweigh.

f. Ἡρόδοτος] II, 25. ὑπεναντίως C. ὑπεναντία Steph. οἰνωπίδης C. Οἰνοπίδῃ Steph. φασὶ C. φησὶ Steph. περὶ Schweigh. ἐπὶ C et Steph. τροπὰς δὲ θερινὰς C. δὲ θερινὰς τροπὰς Steph. ὑγραίνειν C. ἰέναι Steph. Sequentia omisit Steph. ὀπουεπικόν CE. Βουκολικόν Wesselingius.

# ΕΚ ΤΟΥ Γ

72 Ὅτι Καλλίμαχος ὁ γραμματικὸς τὸ μέγα βιβλίον ἴσον ἔλεγεν εἶναι τῷ μεγάλῳ κακῷ.

ΚΙΒΩΡΙΑ. Νίκανδρος ἐν Γεωργικοῖς

Σπείρειας κύαμον Αἰγύπτιον, ὄφρα θερείης
ἀνθέων μὲν στεφάνους ἀνύῃς, τὰ δὲ πεπτηῶτα
ἀκμαίου καρποῖο κιβώρια δαινυμένοισιν
b εἰς χέρας ἠιθέοισι πάλαι ποθέουσιν ὀρέξῃς.
ῥίζας δ᾽ ἐν θοίνῃσιν ἀφεψήσας προτίθημι.

ῥίζας δὲ λέγει Νίκανδρος τὰ ὑπ᾽ Ἀλεξανδρέων κολοκάσια καλούμενα· ὡς ὁ αὐτὸς

Κυάμους λέψας κολοκάσιον ἐντμήξας τε.

ἔστι δ᾽ ἐν Σικυῶνι Κολοκασίας Ἀθηνᾶς ἱερόν. ἔστι δὲ καὶ κιβώριον εἶδος ποτηρίου.

c 2. Θεόφραστος δ᾽ ἐν τῷ περὶ φυτῶν οὕτω γράφει „Ὁ κύαμος ἐν Αἰγύπτῳ φύεται μὲν ἐν ἕλεσι καὶ λίμναις. καυλὸς δ᾽ αὐτοῦ μῆκος μὲν ὁ μακρότατος εἰς τέσσαρας πήχεις, πάχος δὲ δακτυλιαῖος· ὅμοιος καλάμῳ μακρῷ ἀγονάτῳ· διαφύσεις δ᾽ ἔνδοθεν ἔχει δι᾽ ὅλου διειλημμένας ὁμοίας τοῖς κηρίοις. ἐπὶ τούτῳ δ᾽ ἡ κωδύα καὶ τὸ ἄνθος

---

72 a. Ὅτι add. CD. om. VL. Νίκανδρος] Fr. 10. p. 282. V. 1. σπείρειας L. σπείρας V. θερείης B et Casauboniani. θερίσσῃς VL. θερείας C. V. 2. ἀνθέων BCD. ἄνθεα VL. πεπτηῶτα] πεπτηῶτ᾽ B.

72 b. V. 4. ἐς χέρας VL. εἰς χεῖρας BCD. ῥίζας δὲ λέγει CD. δὲ om. VL. κυάμους] κυάμου Casaubonus.

72 c. Θεόφραστος] H. P. IV. 8, 7. p. 147. Eadem Eustathius p. 1616, 48. δακτυλιαῖος VL. δακτυλαῖος BCD. μακρῷ libri et Eustathius. μαλακῷ Theophrastus. κηρίοις] κρίνοις Theophrastus. κωδύα BCD et Eustathius cum melioribus Theophrasti libris. κωδία VL. Alterum et disertum quidem de κωδύα testimonium Eustathii est p. 999, 33. ἰστέον δὲ ὅτι ἄλλο τι παρὰ τὴν Ὁμηρικὴν κώδειαν τὴν διὰ τῆς ει διφθόγγου ἡ παρὰ τῷ Ἀθηναίῳ διὰ τοῦ υ ψιλοῦ. ἐκεῖνος γὰρ κωδύαν φησὶ τὴν τοῦ κιβωρίου, ὅ ἐστι

διπλάσιον ἢ μήκωνος· χρῶμα δ' ὅμοιον ῥόδῳ καταχορές. d παραφύεται δὲ φύλλα μεγάλα. ἡ δὲ ῥίζα παχυτέρα καλάμου τοῦ παχυτάτου καὶ διαφύσεις ὁμοίας ἔχουσα τῷ καυλῷ. ἐσθίουσι δ' αὐτὴν καὶ ἑφθὴν καὶ ὠμὴν καὶ ὀπτήν· καὶ οἱ περὶ τὰ ἕλη τούτῳ σίτῳ χρῶνται. γίνεται δὲ καὶ ἐν Συρίᾳ καὶ κατὰ Κιλικίαν, ἀλλ' οὐκ ἐκπέττουσιν αἱ χῶραι· καὶ περὶ Τορώνην τῆς Χαλκιδικῆς ἐν λίμνῃ τινὶ μετρίᾳ τῷ μεγέθει, καὶ αὕτη πέττει καὶ τελεοκαρπεῖ." Δί-
73 φιλος δ' ὁ Σίφνιός φησιν „Ἡ τοῦ κυάμου τοῦ Αἰγυπτίου ῥίζα, ἥτις λέγεται κολοκάσιον, εὔστομός τέ ἐστι καὶ τρόφιμος, δυσέκκριτος διὰ τὸ παραστύφειν· κρεῖττον δ' ἐστὶ τὸ ἥκιστα ἐριῶδες. οἱ δὲ γινόμενοι (φησὶ) κύαμοι ἐκ τῶν κιβωρίων χλωροὶ μέν εἰσι δύσπεπτοι, ὀλιγότροφοι, διαχωρητικοί, πνευματικώτατοι, ξηρανθέντες δὲ ἧττον πνευματοῦσι." γίνεται δὲ ὄντως ἐκ τῶν κιβωρίων καὶ ἄνθος στεφανωτικόν. καλοῦσι δ' Αἰγύπτιοι μὲν αὐτὸ λωτόν, Ναυκρατῖται δὲ οἱ ἐμοί, λέγει οὗτος ὁ Ἀθήναιος, μελίλωτον· ἀφ' οὗ καὶ μελιλώτινοι στέφανοι πάνυ εὐώδεις καὶ καύ-
b σωνος ὥρᾳ ψυκτικώτατοι.

3. Φύλαρχος δέ φησιν „Οὐδέποτε πρότερον ἐν οὐδενὶ τόπῳ κυάμων Αἰγυπτίων οὔτε σπαρέντων οὔτ', εἰ σπείρειέ τις, τικτομένων, εἰ μὴ κατὰ Αἴγυπτον, ἐπὶ τοῦ βασιλέως Ἀλεξάνδρου τοῦ Πύρρου παρὰ τὸν Θύαμιν ποταμὸν τῆς ἐν Ἠπείρῳ Θεσπρωτίας ἐν ἕλει τινὶ συνέβη φῦναι. δύο μὲν οὖν ἤνεγκέ πως ἔτη καρπὸν ἐκτενῶς καὶ ηὔξησε· τοῦ δ' Ἀλεξάνδρου φυλακὴν ἐπιστήσαντος καὶ κωλύοντος οὐχ
c ὅτι λαμβάνειν τὸν βουλόμενον, ἀλλὰ μηδὲ προσέρχεσθαι πρὸς τὸν τόπον, ἀνεξηράνθη τὸ ἕλος, καὶ τὸ λοιπὸν οὐχ

---

κολοκασίου, ὡς καὶ ἀλλαχοῦ δεδήλωται· ἧς φησι τὸ ἄνθος διπλάσιον ἢ μήκωνος, ταυτὸν δ' εἰπεῖν τῆς ἐνταῦθα κωδείας.

72 d. Συρίᾳ καὶ κατὰ Theophrastus. Libri Συρίᾳ κατὰ. ἐκπέττουσιν CD. ἐκπέπτουσιν VL. Χαλκιδικῆς L. χαλδικῆς BV. αὕτη Schweigh. Scribebatur αὐτὴ hic et in Theophrasto. Δίφιλος δ'] δ' om. BCD.

73 a. εὔστομος] Legebatur εὐστόμαχος. εὔστομον C. τρόφιμος] τρόφιμον C. δυσέκκριτος] δυσέκκριτος δὲ Schweigh. γίνεται] γίνονται B. ὄντος BCD. οὕτως VL.

73 b. Θύαμιν L. Θύραμιν BCDV.

ὅτι τὸν προειρημένον ἤνεγκε καρπὸν, ἀλλ᾽ οὐδὲ ὕδωρ εἴ ποτε ἔσχε φαίνεται. τὸ παραπλήσιον ἐγένετο καὶ ἐν Αἰδηψῷ. χωρὶς γὰρ τῶν ἄλλων ὑδάτων ναμάτιόν τι ἐφάνη ψυχρὸν ὕδωρ προϊέμενον οὐ πόρρω τῆς θαλάσσης. τούτου πίνοντες οἱ ἀρρωστοῦντες τὰ μέγιστα ὠφελοῦντο· διὸ πολλοὶ παρεγίνοντο καὶ μακρόθεν τῷ ὕδατι χρησόμενοι. οἱ
d οὖν τοῦ βασιλέως Ἀντιγόνου στρατηγοὶ βουλόμενοι οἰκονομικώτεροι εἶναι διάφορόν τι ἔταξαν διδόναι τοῖς πίνουσι, καὶ ἐκ τούτου ἀπεξηράνθη τὸ νᾶμα. καὶ ἐν Τρωάδι δὲ ἐξουσίαν εἶχον οἱ βουλόμενοι τὸν πρὸ τοῦ χρόνον τὸν Τραγασαῖον ἅλα λαμβάνειν, Λυσιμάχου δὲ τέλος ἐπιβαλόντος ἠφανίσθη. θαυμάσαντος δὲ καὶ ἀφέντος τὸν τόπον ἀτελῆ πάλιν ηὐξήθη."

4. ΣΙΚΥΟΣ. Παροιμία

Τὸν σικυὸν τρώγουσα γύναι τὴν χλαῖναν ὕφαινε.

Μάτρων ἐν παρῳδίαις

e Καὶ σικυὸν εἶδον, γαίης ἐρικυδέος υἱόν,
κείμενον ἐν λαχάνοις· ὁ δ᾽ ἐπ᾽ ἐννέα κεῖτο τραπέζας.

καὶ Λάχης

Ὡς δ᾽ ὅτ᾽ ἀέξηται σικυὸς δροσερῷ ἐνὶ χώρῳ.

Ἀττικοὶ μὲν οὖν ἀεὶ τρισυλλάβως, Ἀλκαῖος δὲ „Δάκη (φησὶ) τῶν σικύων" ἀπὸ εὐθείας τῆς σίκυς, ὡς στάχυς στάχυος. Φρύνιχος δ᾽ ἐντραγεῖν φησι σικύδιον ὑποκοριστικῶς.

---

73 c. Αἰδειψῷ L. ἐδεψῷ V. Verius videtur Αἰδηψῷ.

73 d. χρόνον B. χρόνου VL. ἠφανίσθη] ἠφανίσθαι B. Παροιμία] Inter Schotti proverbia metrica v. 135. p. 586. τὸν σικυὸν Basil. L. τὸν om. BCDV. τρώγουσα — τὴν] τρώγουσα — τὰν apud Schottum. παρῳδίαις] Legebatur παρῳδαῖς. παρῳδῇ B. Matronis versus ad similitudinem Odyss. λ, 576. factos affert Eustathius p. 1700, 3. omissis κείμενον ἐν λαχάνοις.

73 e. ἐν λαχάνοις om. D. δ᾽ ἐντραγεῖν BC et Casauboniani. δὲ τραγεῖν D. δ᾽ ἐν τραγαῖς VL. ὑποκοριστικῶς] Hactenus epitome.

* * *

74 Στειλέαν

ῥαφανῖδα, σικυοὺς τέτταρας.

σικύδιον δ' ὑποκοριστικῶς εἴρηκε Φρύνιχος ἐν Μονοτρόπῳ „Κἀντραγεῖν σικύδιον.“

5. Θεόφραστος δέ φησι σικυῶν τρία εἶναι γένη, Λακωνικόν, Σκυταλίαν, Βοιώτιον. καὶ τούτων τὸν μὲν Λακωνικὸν ὑδρευόμενον βελτίω γίνεσθαι, τοὺς δ' ἄλλους ἀύδρους. „Γίνονται δὲ (φησὶ) καὶ εὐχυλότεροι οἱ σικυοί, ἐὰν τὸ σπέρμα ἐν γάλακτι βραχὲν σπαρῇ ἢ ἐν μελικράτῳ.“ ἱστορεῖ δὲ ταῦτα ἐν φυτικοῖς αἰτίοις· θᾶττον αὔξεσθαι
b κἂν ἐν ὕδατι κἂν ἐν γάλακτι πρότερον ἢ εἰς τὴν γῆν κατατεθῆναι βραχῇ. Εὐθύδημος δ' ἐν τῷ περὶ λαχάνων, εἶδος σικυῶν εἶναι τοὺς προσαγορευομένους δρακοντίας. ὠνομάσθαι δὲ σικυούς φησι Δημήτριος ὁ Ἰξίων ἐν πρώτῃ Ἐτυμολογουμένων ἀπὸ τοῦ σεύεσθαι καὶ κίειν· ὁρμητικὸν γὰρ ὑπάρχειν. Ἡρακλείδης δ' ὁ Ταραντῖνος ἐν τῷ Συμ-

---

74 a. στελέω — κἀντραγεῖν σικύδιον om. B. στειλέαν Porsonus in Miscellaneis p. 234. στελέων PVL. στελέω A. Hesychius, Στειλέαν τὴν μακρὰν ῥάφανον Ἀντιφάνης ἐν Κιθαρῳδῷ. ῥαφανῖδα, quod trimetri initium est, Porsonus. Legebatur ῥαφανίδας. σικυοὺς] σικύους PVL. τέτταρας. σικύδιον] τέτταρας ... διον PQ. σικύδιον L. σικίδιον V. ῥαφανίδιον codex Huraldi apud Casaubonum. ἐν μονοτρόπῳ addita ex A, in quo litteris paene evanidis exarata sunt. φρύνιχος ... τρόπῳ cum lacuna PQ et codex Huraldinus. κἀντραγεῖν A. ἐν τραγαῖς VL. κἀντραγεῖν σικύδιον om. PQ. σικύδιον accessit ex A. Θεόφραστος] H. P. VII. 4, 6. p. 231. δέ φησι σικυῶν τρία εἶναι γένη] δὲ τρία γένη φησὶ σικυῶν B. τὸν μὲν AC. τὸ μὲν PQVL. γίνεσθαι] γίνεται PQ. ἀύδρους ABCP. ἀνύδρους VL. ἀ(ν)ύδρους Q. φησὶ] C. P. II. 14, 3. p. 423. φησὶ καὶ] φησὶν Q. εὐχυλότεροι οἱ σικυοὶ] εὐχυλότεροι σικυοὶ B. σπέρμα ἐν] ἐν om. B. ἢ ἐν] ἢ om. B. ἱστορεῖ — βραχῇ om. BC. θᾶττον αὔξεσθαι] H. P. VII. 1, 5. p. 222.

74 b. Εὐθύδημος — δρακοντίας] εὐθύδημος δὲ καὶ δρακοντίας φησὶ σικυούς B. δ' ἐν PQ. δὲ ἐν VL. ὠνομάσθαι — ἀπὸ τοῦ] Ἰξίων δὲ ἐτυμολογεῖ αὐτὸν ἀπὸ τοῦ BC. σεύεσθαι PVL. σύεσθαι Eustathius p. 437, 16. σύειν idem p. 1964, 22. σέβεσθαι Q. κίειν ABC et Eustathius. κύειν PQVL. ὁρμητικὸν γὰρ ὑπάρχειν] ὁρμητικὸς γὰρ ὑπάρχει B. δ — Συμποσίῳ om. B.

ποσίῳ ἡδύγαιον καλεῖ τὸν σικυόν. Διοκλῆς δ' ὁ Καρύστιος τὸν σικυόν φησι μετὰ σίων ἐν πρώτοις λαμβανόμενον ἐνοχλεῖν· φέρεσθαι γὰρ ἄνω καθάπερ τὴν ῥάφανον· τε-
c λευταῖον δὲ λαμβανόμενον ἀλυπότερον εἶναι καὶ εὐπεπτότερον· ἑφθὸν δὲ καὶ διουρητικὸν μετρίως ὑπάρχειν. Δίφιλος δέ φησιν „Ὁ σικυὸς ψυκτικὸς ὑπάρχων δυσοικονόμητός ἐστι καὶ δυσυποβίβαστος, ἔτι δὲ φρικοποιός, καὶ γεννητικὸς χολῆς ἀφροδισίων τε ἐφεκτικός.“ αὔξονται δ' ἐν τοῖς κήποις οἱ σικυοὶ κατὰ τὰς πανσελήνους καὶ φανερὰν ἴσχουσι τὴν ἐπίδοσιν, καθάπερ καὶ οἱ θαλάττιοι ἐχῖνοι.

6. ΣΥΚΑ. Ἡ συκῆ, φησὶν ὁ Μάγνος· οὐδενὶ γὰρ τῶν περὶ σύκων λόγων παραχωρήσαιμι, κἂν ἀποκρέμασθαι
d δέῃ, φιλόσυκος γάρ εἰμι δαιμονίως, λέξω τά μοι προσπίπτοντα· ἡ συκῆ, ἄνδρες φίλοι, ἡγεμὼν τοῦ καθαρείου βίου τοῖς ἀνθρώποις ἐγένετο. δῆλον δὲ τοῦτο ἐκ τοῦ καλεῖν τοὺς Ἀθηναίους ἱερὰν μὲν συκῆν τὸν τόπον ἐν ᾧ πρῶτον εὑρέθη, τὸν δ' ἀπ' αὐτῆς καρπὸν ἡγητορίαν, διὰ τὸ πρῶτον εὑρεθῆναι τῆς ἡμέρου τροφῆς. τῶν δὲ σύκων ἐστὶ γένη πλείονα. Ἀττικὸν μέν, οὗ μνημονεύει Ἀντιφάνης

---

διοκλῆς ABC. δίφιλος PVL. Διοκλῆς δ' ὁ Καρύστιος τὸν σικυόν om. P. in margine habet Q. δὲ ὁ καρ. τὸν σικυὸν φησὶ A. δὲ ὁ καρ. φησὶ τὸν σικυὸν BC. δέ φησιν ὁ καρ. τὸν σικυὸν VL. μετὰ σίων (μεταάσείων P) add. APQ. om. VL. ἐνοχλεῖν — λαμβανόμενον om. PQ. in margine habet Q ab manu recentiore.

74 c. εὐπεπτότερον] ἀπεπτότερον B. φησὶν ὁ σικυὸς PVL. φησὶ ὅτι ὅτι ὁ σικυὸς B. φησὶν ὁ σικυὸς Q. δυσυποβίβαστος PQL. δυποβίβαστος V. δυσυποβίαστος C. γεννητικὸς] γενητικὸς PQ. αὔξονται] αὔξεται B. οἱ σικυοὶ om. B. ἴσχουσι] ἴσχει B. καθάπερ καὶ] ὡς BC. θαλάττιοι] θαλάσσιοι B. ἐχῖνοι — καθαρίου βίου] ἐχῖνοι: σύκα: ἡ συκὴ (συκῆ C) ἡγεμὼν τοῦ καθαρείου βίου BC. Σῦκα add. ABC. om. PQVL. συκῆ] συκὴ PQVL. φησὶν ὁ μάγνος add. A. om. PQVL. γὰρ] Adde ἄν. τῶν — λόγων] τὸν — λόγον Q. τῶν — λόγον P. περὶ σύκων Schweigh. Scribebatur περὶ συκῶν.

74 d. καθαρείου BC et Eustathius p. 1964, 10. καθαρίου PVL. μακαρίου Q. ἱερὰν μὲν A. Aberat μέν. ἡγητορίαν BC et Eustathius p. 1964, 11. Legebatur ἡγητηρίαν. Apud Eustathium nominativus ἡγητορίας est. πρῶτον εὑρεθῆναι] προσευρηθῆναι Eustathius. μὲν οὗ] μὲν οὖν B. De Antiphanis versibus dictum

ἐν Ὁμωνύμοις· ἐπαινῶν δὲ τὴν χώραν τὴν Ἀττικὴν τάδε λέγει

Οἷα δ᾽ ἡ χώρα φέρει
e διαφέροντα τῆς ἁπάσης, Ἱππόνικ᾽, οἰκουμένης,
τὸ μέλι, τοὺς ἄρτους, τὰ σῦκα. Β. σῦκα μὲν νὴ τὸν Δία
πάνυ φέρει.

Ἴστρος δ᾽ ἐν τοῖς Ἀττικοῖς οὐδ᾽ ἐξάγεσθαί φησι τῆς Ἀττικῆς τὰς ἀπ᾽ αὐτῶν γινομένας ἰσχάδας, ἵνα μόνοι ἀπολαύοιεν οἱ κατοικοῦντες· καὶ ἐπεὶ πολλοὶ ἐνεφανίζοντο διακλέπτοντες, οἱ τούτους μηνύοντες τοῖς δικασταῖς ἐκλήθησαν τότε πρῶτον συκοφάνται. Ἄλεξις δ᾽ ἐν Ποιητῇ φησιν

Ὁ συκοφάντης οὐ δικαίως τοὔνομα
f ἐν τοῖσι μοχθηροῖσίν ἐστι κείμενον.
ἔδει γὰρ ὅστις χρηστὸς ἦν ἡδύς τ᾽ ἀνὴρ
τὰ σῦκα προστεθέντα δηλοῦν τὸν τρόπον·
νυνὶ δὲ πρὸς μοχθηρὸν ἡδὺ προστεθὲν
ἀπορεῖν πεποίηκε διὰ τί τοῦθ᾽ οὕτως ἔχει.

Φιλόμνηστος δ᾽ ἐν τῷ περὶ τῶν ἐν Ῥόδῳ Σμινθίων φησὶν „Ἐπεὶ καὶ ὁ συκοφάντης ἐντεῦθεν προσηγορεύθη, διὰ τὸ εἶναι τότε τὰ ἐπιζήμια καὶ τὰς εἰσφορὰς σῦκα καὶ οἶνον καὶ ἔλαιον, ἀφ᾽ ὧν τὰ κοινὰ διῴκουν, καὶ τοὺς
75 ταῦτα πράττοντας καὶ εἰσφαίνοντας ἐκάλουν, ὡς ἔοικε, συκοφάντας, αἱρούμενοι τοὺς ἀξιοπιστοτάτους τῶν πολιτῶν.“

7. Λακωνικοῦ δὲ σύκου μνημονεύει ἐν Γεωργοῖς Ἀριστοφάνης ταδὶ λέγων

Συκᾶς φυτεύω, πάντα πλὴν Λακωνικῆς·

---

ad II. p. 43 b. Legebatur διαφέροντα πάσης, Ἱππόνικε, τῆς οἰκουμένης.

74 e. V. 3. νὴ om. P. in margine habet Q. γινομένας] γενομένας Q. ἀπολαύοιεν] ἀπολάβοιεν P. ἐμφανίζοντο P. Ποιητῇ] ποιητρίᾳ B. Alexidis Ποιητὰς fabulam memorat VI. p. 241 d.: Ποιήτριαν Pollux IX, 153.

74 f. τοῦθ᾽ οὕτως] τοῦτο οὕτως B. Φιλόμνηστος] Φιλόδημος dicitur X. p. 445 a. vitiose. Σμινθίων PQ et 445. Scribebatur Σμινθείων. καὶ τὰς εἰσφορὰς] καὶ τῆς εἰσφορᾶς B.

75 a. ταδὶ AB. τάδε PVL. συκᾶς C. συκὰς VL. πάντα] πάντας PQ. πλὴν] γὰρ Q, qui in margine πρίν.

τοῦτο γὰρ τὸ σῦκον ἐχθρόν ἐστι καὶ τυραννικόν·
οὐ γὰρ ἦν ἂν μικρὸν, εἰ μὴ μισόδημον ἦν σφόδρα.

μικρὸν δὲ αὐτὸ εἶπε διὰ τὸ μὴ μέγα εἶναι φυτόν. Ἄλεξις
b δ᾽ ἐν Ὀλυνθίῳ Φρυγίων σύκων μνημονεύων φησὶ

Τό τε θειοφανὲς μητρῷον ἐμοὶ
μελέδημ᾽ ἰσχὰς,
Φρυγίας εὑρήματα συκῆς.

τῶν δὲ καλουμένων φιβάλεων σύκων πολλοὶ μὲν μέμνηνται
τῶν κωμῳδιοποιῶν, ἀτὰρ καὶ Φερεκράτης ἐν Κραπατάλοις

Ὦ δαιμόνιε πύρεττε μηδὲν φροντίσας,
καὶ τῶν φιβάλεων τρῶγε σύκων τοῦ θέρους,
κἀμπιμπλάμενος κάθευδε τῆς μεσημβρίας·
κᾆτα σφακέλιζε καὶ πέπρησο καὶ βόα.

c Τηλεκλείδης δ᾽ ἐν Ἀμφικτύοσι „Ὡς καλοὶ καὶ φιβαλέοι.“
καὶ τὰς μυρρίνας δὲ φιβαλέας λέγουσιν, ὡς Ἀντιφάνης
ἐν Κρησὶ

Πρώτιστα δὲ
τῶν μυρρινῶν ἐπὶ τὴν τράπεζαν βούλομαι,
ἃς διαμασῶμ᾽, ὅταν τι βουλεύειν δέῃ,
τὰς φιβάλεως δὲ πάνυ καλὰς στεφανωτρίδας.

---

τὸ σῦκον om. BPQ.

75 b. Ὀλυνθίῳ] Alexidis Ὀλύνθιοι memorantur VL p. 240 c. et ab Stobaeo serm. XXVII, 9. vol. I. p. 436. Qui sequuntur versus, de his dictum ad II. p. 55 a. θειοφανὲς B. Legebatur θειοφαγὲς. ἰσχὰς 55. Libri ἰσχάδας. εὑρήματα] εὕρεμα VL. εὕρημα P. φιβάλεων] Scribebatur φιβαλέων et sic per totam hanc sectionem παροξυτόνως, praeterquam in Antiphanis versu quarto. κωμῳδιοποιῶν Schweigh. editio. κωμῳδοποιῶν VL. Κραπατάλοις] Scribebatur Κραπατάλλοις. Pherecratis v. 2. τρῶγε σύκων VL. σύκων τρῶγε ABCDPQ. V. 3. κἀμπιμπλάμενος] κἀμπιπλάμενος B. τῆς μεσημβρίας Schweighaeuserus. Legebatur τὰς μεσημβρίας.

75 c. Ἀντιφάνης] Recte ut videtur Porsonus Ἀπολλοφάνης, cuius Κρῆτες commemorantur XI. p. 485 e. et apud Hesychium in θεοὶ ξενικοί. Omittit hos versus epitome. μυρρινῶν] μυῤῥίνων P. βούλομαι Schweigh. editio. βούλομ᾽ PVL. βούλομ᾽ ὡς | διαταμασῶμ᾽ Blomfieldus ad Aeschyli Prometh. v. 795. τασδὶ VL. τὰς δὲ AB. τὰς φιβάλεως δὲ Meinekius. στεφανωτρίδας] στεφανωτίδας Schweigh.

χελιδονείων δὲ σύκων μνημονεύει Ἐπιγένης ἐν Βακχείᾳ·

Εἶτ᾽ ἔρχεται

d χελιδονείων μετ᾽ ὀλίγον σκληρῶν ἀδρὸς
πινακίσκος.

Ἀνδροτίων δὲ ἢ Φίλιππος ἢ Ἡγήμων ἐν τῷ Γεωργικῷ γένη σύκων τάδε ἀναγράφει οὕτως „Ἐν μὲν οὖν τῷ πεδίῳ φυτεύειν χρὴ χελιδόνεων, ἐρινεὼν, λευκερινεὼν, φιβάλεων· ὀπωροβασιλίδας δὲ πανταχοῦ. ἔχει γάρ τι χρήσιμον ἕκαστον τὸ γένος. ἐπὶ δὲ τὸ πλεῖστον οἱ κόλουροι καὶ φορμύνιοι καὶ δίφοροι καὶ Μεγαρικαὶ καὶ Λακωνικαὶ συμφέρουσιν, ἐὰν ἔχωσιν ὕδωρ."

e 8. Τῶν δὲ ἐν Ῥόδῳ γινομένων σύκων μνημονεύει Λυγκεὺς ἐν ἐπιστολαῖς σύγκρισιν ποιούμενος τῶν Ἀθήνησι γινομένων καλλίστων πρὸς τὰ Ῥοδιακά. γράφει δὲ οὕτως „Τὰ δὲ ἐρινεὰ τοῖς Λακωνικοῖς ὥστε συκάμινα σύκοις δοκεῖν ἐρίζειν. καὶ ταῦτ᾽ οὐκ ἀπὸ δείπνου καθάπερ ἐκεῖ διεστραμμένης ἤδη διὰ τὴν πλησμονὴν τῆς γεύσεως, ἀλλ᾽ ἀθίκτου τῆς ἐπιθυμίας οὔσης, πρὸ δείπνου παρατέθεικα." τῶν δ᾽ ἐν τῇ καλῇ Ῥώμῃ καλλιστρουθίων καλουμένων σύκων εἰ ὁ Λυγκεὺς ἐγεύσατο ὥσπερ ἐγὼ, ὀξυωπέστερος ἂν
f ἐγεγόνει παρὰ πολὺ τοῦ ὁμωνύμου· τοσαύτην ὑπεροχὴν ἔχει ταῦτα τὰ σῦκα πρὸς τὰ ἐν τῇ πάσῃ οἰκουμένῃ γινόμενα. ἐπαινεῖται δὲ καὶ ἄλλα σύκων γένη κατὰ τὴν Ῥώμην γινομένων, τά τε καλούμενα Χῖα καὶ τὰ Λιβιανὰ, ἔτι δὲ καὶ τὰ Χαλκιδικὰ ὀνομαζόμενα καὶ τὰ Ἀφρικανὰ, ὡς καὶ Ἡρόδοτος ὁ Λύκιος μαρτυρεῖ ἐν τῷ περὶ σύκων συγγράμματι.

---

χελιδονείων] Scribebatur χελιδονίων. Βακχείᾳ Bentleius de Phalar. p. 280. ed. Lips. Libri βραγχίᾳ.

75 d. V. 2. χελιδονείων Bentleius. Scribebatur χελιδονίων. In epitome haec tantum apposita χελιδονίων σκληρῶν ἀδρὸς πινακίσκος. γένη σύκων] γένη συκῶν Schweigh. μὲν οὖν τῷ ABP. μὲν τῷ VL. Libri χελιδονέων, ἐρινεῶν, λευκερινεῶν, φιβαλέων. Correxit Schweigh. Epitome haec habet λέγονται δέ τινες καὶ ὀπωροβασιλίδες καὶ κόλουροι καὶ δίφοροι καὶ μεγαρικαί.

75 e. Λυγκεὺς] λυγγεὺς B. Epitome, λυγκεὺς δέ φησι τὰ ἐρινεὰ τοῖς λακωνικοῖς ὡς συκάμινα σύκοις δοκεῖν ἐρίζειν.

75 f. ὀνομαζόμενα om. B.

9. *Παρμένων ὁ Βυζάντιος ἐν τοῖς ἰάμβοις τὰ ἀπὸ Καυνῶν τῆς Αἰολικῆς πόλεως ὡς διάφορα ἐπαινῶν φησιν*

76 *Ἦλθον μακρὴν θάλασσαν, οὐκ ἄγων σῦκα*
*Καναῖα φόρτον.*

*ὅτι δὲ καὶ τὰ ἀπὸ Καύνου τῆς Καρίας ἐπαινεῖται, κοινόν. ὀξαλείων δὲ σύκων οὕτως καλουμένων μνημονεύει Ἡρακλέων ὁ Ἐφέσιος καὶ Νίκανδρος ὁ Θυατειρηνὸς, παρατιθέμενοι Ἀπολλοδώρου τοῦ Καρυστίου ἐκ δράματος Προικιζομένης ἱματιοπώλιδος τάδε*

*Πλὴν τό γ' οἰνάριον πάνυ*
*ἦν ὀξὺ καὶ πονηρὸν, ὥστ' ᾐσχυνόμην.*
*τὰ λοιπὰ μὲν γὰρ ὀξαλείους χωρία*
b *συκᾶς φέρει, τοὐμὸν δὲ καὶ τὰς ἀμπέλους.*

*τῶν δ' ἐν Πάρῳ τῇ νήσῳ — διάφορα γὰρ κἀνταῦθα γίνεται σῦκα τὰ καλούμενα παρὰ τοῖς Παρίοις αἱμώνια, ταὐτὰ ὄντα τοῖς Λυδίοις καλουμένοις, ἅπερ διὰ τὸ ἐρυθρῶδες καὶ τῆς προσηγορίας ταύτης ἔτυχεν, — Ἀρχίλοχος μνημονεύει λέγων οὕτως*

*Ἔα Πάρον*
*καὶ σῦκα κεῖνα καὶ θαλάσσιον βίον.*

*τὰ δὲ σῦκα ταῦτα τοσαύτην ἔχει παραλλαγὴν πρὸς τὰ*
c *πολλαχοῦ γινόμενα ὡς τὸ τοῦ ἀγρίου συὸς κρέας πρὸς τὰ ἄλλα τὰ μὴ τῶν ἀγρίων χοίρων κρέα.*

10. *Λευκερινεὸς δέ τι εἶδός ἐστι συκῆς, καὶ ἴσως αὕτη*

---

*Παρμένων*] δ' addit Schweigh. *Καυνῶν* Palmerius Exercitt. p. 490. Libri *καύνων*.

76 a. *Καναῖα* Palmerius. Libri *καύνεα*. *φόρτον* Casaubonus. Libri *φόρτου*. *ὀξαλείων*] Libri *τοξαλλίων*. *τῶν ὀξαλλίων* Schweigh. *Νίκανδρος ὁ*] *ὁ* om. P. *Θυατειρηνὸς*] *θυατιρηνὸς* B. *ἀτιρυνὸς* Q. *ἱματιοπώλιδος* PL. *ἱματιπώλιδος* V. V. 1. *τό γ' οἰνάριον*] *τὸ οἰνάριον* libri et Eustathius p. 1910, 23. qui haec Heracleoni per errorem tribuit. V. 2. *ὀξαλείους*] Libri *τοξαλίους*. *ὀξαλλίους τὰ* Grotius in Excerptis p. 994. Scribendum fuit *ὀξαλείους*. Photius lexic. p. 339, 19. *ὀξάλειοι: συκαῖ τινες*.

76 b. V. 3. *συκᾶς*] *συκὰς* (— *ᾶς* B) *ἃς* ABPQ. *αἱμώνια*] Eustathius p. 1964, 7. *Ἀρχίλοχος*] Fragm. 46. p. 311. *σῦκα κεῖνα*] *σῦκ' ἐκεῖνα* Brunckii margo. *παραλλαγὴν* ACPQV. *τὴν παραλλαγὴν* L. *πολλαχοῦ*] *ἀλλαχοῦ* Coraës.

76 c. *Λευκερινεὸς*] Eustathius p. 1205, 5.

ἐστὶν ἡ τὰ λευκὰ σῦκα φέρουσα. μνημονεύει δ' αὐτῆς Ἕρμιππος ἐν Ἰάμβοις οὕτως

Τὰς λευκερινεὼς δὲ χωρὶς ἰσχάδας.

τῶν δ' ἐρινῶν σύκων Εὐριπίδης ἐν Σκίρωνι

Ἢ προσπηγύναι
κράδαις ἐριναῖς.

καὶ Ἐπίχαρμος ἐν Σφιγγὶ „Ἀλλ' οὐχ ὅμοιά γ' ἐρινοῖς οὐδαμῶς." Σοφοκλῆς δ' ἐν Ἑλένης Γάμῳ τροπικῶς τῷ τοῦ
d δένδρου ὀνόματι τὸν καρπὸν ἐκάλεσεν εἰπὼν

Πέπων ἐρινὸς * * ἀχρεῖος ὢν
ἐς βρῶσιν ἄλλους ἐξερινάζεις λόγῳ.

πέπων δ' ἐρινὸς εἴρηκεν ἀντὶ τοῦ πέπον ἐρινόν. καὶ Ἄλεξις ἐν Λέβητι

Καὶ τί δεῖ
λέγειν ἔθ' ἡμᾶς τοὺς τὰ σῦχ' ἑκάστοτε
ἐν τοῖς συρίχοις πωλοῦντας; οἳ κάτωθε μὲν
τὰ σκληρὰ καὶ μοχθηρὰ τῶν σύκων ἀεὶ
τιθέασιν, ἐπιπολῆς δὲ πέπονα καὶ καλά.
e εἶθ' ὁ μὲν ἔδωκεν ὡς τοιαῦτ' ὠνούμενος
τιμήν, ὁ δ' ἐγχάψας τὸ κέρμ' εἰς τὴν γνάθον
ἐρίν' ἀπέδοτο σῦκα πωλεῖν ὀμνύων.

τὸ δένδρον ἡ ἀγρία συκῆ, ἐξ ἧς τὰ ἐρινά, ἐρινὸς κατὰ τὸ ἄρρεν λέγεται. Στράττις Τρωίλῳ

---

τὰς λευκερινεὼς δὲ] τάς δε λευκυρινεώς δὲ B. σύκων] συκῶν Schweigh. κράδαις C. Scribebatur κραδαῖς. ἐριναῖς P. Scribebatur ἐρίναις. ἐρινεῖς C. Epicharmi versum om. epitome. γ' ἐρινοῖς P. Scribebatur γ' ἐρίνοις. γοῦν ἐρίνοις Schweigh. γ' ἔστ' ἐρίναις Erfurdtius p. 440. ἐν Ἑλένης γάμῳ] Fr. 5. p. 611. Affert Eustathius p. 1205, 3.

76 d. πέπων AC et Eustathius. πέπων δ' PVL. ἐρινὸς Eustathius. Scribebatur ἔρινος. Post ἐρινὸς indicavi lacunam. Porsonus ἔρινος ὣς ἀχρεῖος αὐτὸς ὤν. ἄλλους] ἄλλου B. ἐρινὸς — ἐρινόν] Libri ἔρινος — ἔρινον. ἀντὶ — ἐρινόν et Alexidis versus om. epitome. V. 2. σῦχ' VL. σῦκα ABP. V. 3. συρίχοις] ὑρίχοις? κάτωθε] κάτωθεν BP. V. 4. καὶ μοχθηρὰ] καὶ τὰ μοχθηρὰ ABP.

76 e. V. 6. εἶθ'] εἶτα B. V. 7. γνάθον] πῆθον B. V. 8. ἐρίν' B. Scribebatur ἔριν'. ἐρινὰ] Scribebatur ἔρινα. Strattidis verba om. epitome. Τρωίλῳ] τρωΐζω B.

'Ερινὸν οὖν τιν' αὐτῆς πλησίον
νενόηκας ὄντα;

καὶ Ὅμηρος

Τῷ δ' ἐν ἐρινεός ἐστι μέγας φύλλοισι τεθηλώς.

Ἀμερίας δ' ἐρινάδας καλεῖσθαι τοὺς ὀλόνθους.

11. Ἑρμῶναξ δ' ἐν Γλώσσαις Κρητικαῖς σύκων γένη
f ἀναγράφει ἁμάδεα καὶ νικύλεα. Φιλήμων δ' ἐν Ἀττικαῖς λέξεσι καλεῖσθαί φησί τινα σῦκα βασίλεια, ἀφ' ὧν καλεῖσθαι καὶ τὰς βασιλίδας ἰσχάδας, προσιστορῶν ὅτι κόλυθρα καλεῖται τὰ πέπονα σῦκα. Σέλευκος δ' ἐν ταῖς Γλώσσαις καὶ γλυκυσίδην τινὰ καλεῖσθαί φησι σύκῳ τὴν μορφὴν μάλιστα ἐοικυῖαν. φυλάττεσθαι δὲ τὰς γυναῖκας ἐσθίειν διὰ τὸ ποιεῖν ματαϊσμούς· ὡς καὶ Πλάτων ὁ κωμῳδιοποιός φησιν ἐν Κλεοφῶντι. τὰ δὲ χειμερινὰ σῦκα
77 Πάμφιλος καλεῖσθαί φησι κυδωναῖα ὑπὸ Ἀχαιῶν, τοῦτο λέγων Ἀριστοφάνην εἰρηκέναι ἐν Λακωνικαῖς Γλώσσαις. κοράκεων δὲ σύκων εἶδος Ἕρμιππος ἐν Στρατιώταις παραδίδωσι διὰ τούτων

Τῶν φιβάλεων μάλιστ' ἂν ἢ τῶν κοράκεων.

Θεόφραστος δ' ἐν δευτέρῳ φυτῶν ἱστορίας συκῶν φησι γένος τοιοῦτόν τι εἶναι οἷον ἡ χαρίτιος ἀράτειος καλουμένη. ἐν δὲ τῷ τρίτῳ περὶ τὴν Τρωικὴν φησιν Ἴδην γίνεσθαι συκῆν θαμνώδη, φύλλον ὅμοιον ἔχουσαν τῷ τῆς

---

Ἐρινὸν] Libri ἴρινον. Ὅμηρος] Odyss. μ, 103. ἐρινάδας Schweigh. Legebatur ἐρινακάς. ἐρίνακας C. ὀλόνθους AC. Scribebatur ὀλύνθους. Vide ad 77 f. et XIV. p. 651 c. Ἑρμῶναξ] Scribebatur Ἑρμώναξ. Γλώσσαις] Scribebatur Γλώτταις.

76 f. Φιλήμων] Eustathius p. 1964, 7. κόλυθρα] κόλυτρα L vitio typothetico ex Basil. γλυκυσίδην] Eustathius p. 1964, 8. ἐοικυῖαν] ἐοικός AP. φυλάττεσθαι] φυλάσσεσθαι C. κωμῳδιοποιὸς A. κωμῳδοποιὸς PVL.

77 a. κυδωναῖα] κωδωναῖα C et Eustathius p. 1964, 10. κοδώνεια ab Hesychio dicuntur. κοράκεων bis et φιβάλεων Schweigh. Libri παροξυτόνως. διὰ τούτων, ἢ τῶν φιβαλέων PL. διὰ τούτων φιβαλέων V. διὰ τουτωνὶ, Τῶν φιβάλεων Meinekius. ἐν δευτέρῳ φυτῶν ἱστορίας] Non leguntur haec apud Theophrastum. Eius testimonium om. C. συκῶν Schweigh. Scribebatur σύκων. χαρίτιος delendum utpote ex duplici scriptura ἀρίτιος et ἀράτειος natum. ἐν δὲ τῷ τρίτῳ] 17, 5. p. 112.

b φιλύρας· φέρειν δὲ σῦκα ἐρυθρὰ ἡλίκα ἐλαία τὸ μέγεθος, στρογγυλώτερα, εἶναι δὲ τὴν γεῦσιν μεσπιλώδη. περὶ δὲ τῆς ἐν Κρήτῃ καλουμένης Κυπρίας συκῆς ὁ αὐτὸς Θεόφραστος ἐν τῷ τετάρτῳ τῆς φυτικῆς ἱστορίας τάδε γράφει „Ἡ ἐν Κρήτῃ καλουμένη Κυπρία συκῆ φέρει τὸν καρπὸν ἐκ τοῦ στελέχους καὶ τῶν παχυτάτων ἀκρεμόνων, βλαστὸν δέ τινα ἀφίησι μικρὸν ἄφυλλον ὥσπερ ῥίζιον, πρὸς ᾧ ὁ καρπός. τὸ δὲ στέλεχος μέγα καὶ παρόμοιον τῇ λεύκῃ, c φύλλον δὲ τῇ πτελέᾳ. πεπαίνει δὲ τέτταρας καρπούς, ὅσαιπερ αὐτοῦ καὶ αἱ βλαστήσεις. ἡ δὲ γλυκύτης προσεμφερὴς τῷ σύκῳ καὶ ἔσωθεν τοῖς ἐρινοῖς· μέγεθος δὲ ἡλίκον κοκκύμηλον."

12. Τῶν δὲ προδρόμων καλουμένων σύκων ὁ αὐτὸς Θεόφραστος μνημονεύει ἐν τρίτῃ φυτικῶν αἰτίων οὕτως „Τῇ συκῇ ὅταν ἀὴρ ἐπιγένηται μαλακὸς καὶ ὑγρὸς καὶ θερμός, ἐξεκαλέσατο τὴν βλάστησιν· ὅθεν καὶ οἱ πρόδρομοι." καὶ προελθὼν τάδε λέγει „Πάλιν δὲ τοὺς προδρόμους αἱ μὲν φέρουσιν, ἥ τε Λακωνικὴ καὶ ἡ λευκομφά-d λιος καὶ ἕτεραι πλείους, αἱ δ' οὐ φέρουσι." Σέλευκος δ' ἐν Γλώσσαις πρωτερικήν φησι καλεῖσθαι γένος τι συκῆς, ἥτις φέρει πρώιον τὸν καρπόν. διφόρου δὲ συκῆς μνημονεύει καὶ Ἀριστοφάνης ἐν Ἐκκλησιαζούσαις

Ὑμᾶς δὲ τέως θρῖα λαβόντας
διφόρου συκῆς.

---

77 b. συκῆς — Ἡ ἐν] συκῆς, ἐν τῷ δ ὁ αὐτὸς τάδε γράφει, ἡ ἐν B. ἐν τῷ τετάρτῳ] 2, 3. p. 122. ῥίζιον] Scribebatur ῥιζίον. πρὸς ᾧ Theophrastus. Legebatur πρόσω cum libris quibusdam Theophrasti. πτελέᾳ ABP et Theophrastus. πτελέῃ VL.

77 c. ὅσαιπερ ABP. ὅσαι περ' VL. ἔσωθεν] τὰ ἔσωθεν Schweigh. ἐρινοῖς] Libri ἐρίνοις. ὁ αὐτὸς BL. ὁ om. APV. Θεόφραστος om. B. μνημονεύει add. L. om. PV. ἐν τρίτῃ] Immo V. 1, 4. p. 536. προελθὼν] 8. p. 537. φέρουσιν] φέρουσαι BP. ἥ τε] οἷον ἥ τε Theophrastus.

77 d. πρωτερικὴν CPV cum Hesychio. πρωτυρικὸν B. προτερικὴν L. πρωτερικὴν Eustathius p. 225, 44. τι συκῆς] τῆς συκῆς B. διφόρου L. διαφόρου BPV. ἐν Ἐκκλησιαζούσαις] V. 707. Aristophanis et Antiphanis loca om. C. δὲ τέως Aristophanes. δέ γε ὡς ABP. δέ γ' ὡς VL. διφόρου L. διαφόρου PV. διφορό-

καὶ Ἀντιφάνης ἐν Σκληρίαις

Ἔστι γὰρ παρ' αὐτὴν τὴν δίφορον συκῆν κάτω.

ὁ Θεόπομπος δὲ ἐν τῇ πεντηκοστῇ τετάρτῃ τῶν ἱστοριῶν κατὰ τὴν Φιλίππου φησὶν ἀρχὴν περὶ τὴν Βισαλτίαν καὶ
e Ἀμφίπολιν καὶ Γραιστωνίαν τῆς Μακεδονίας ἔαρος μέσου ὄντος τὰς μὲν συκᾶς σῦκα, τὰς δ' ἀμπέλους βότρυς, τὰς δ' ἐλαίας ἐν ᾧ χρόνῳ βρύειν εἰκὸς ἦν αὐτὰς ἐλαίας ἐνεγκεῖν, καὶ εὐτυχῆσαι πάντα Φίλιππον. ἐν δὲ τῷ δευτέρῳ περὶ φυτῶν ὁ Θεόφραστος καὶ τὸν ἐρινεὸν εἶναί φησι δίφορον· οἱ δὲ καὶ τρίφορον, ὥσπερ ἐν Κέῳ.

13. Λέγει δὲ καὶ τὴν συκῆν, ἐὰν ἐν σκίλλῃ φυτευθῇ, θᾶττον παραγίνεσθαι καὶ ὑπὸ σκωλήκων μὴ διαφθείρεσθαι· καὶ πάντα δὲ τὰ ἐν σκίλλῃ φυτευθέντα καὶ θᾶτ-
f τον αὐξάνεσθαι καὶ εὐβλαστῆ γίγνεσθαι. πάλιν δὲ ὁ Θεόφραστος ἐν τῷ δευτέρῳ τῶν αἰτίων „Ἡ Ἰνδικὴ (φησὶ) συκῆ καλουμένη θαυμαστὴ οὖσα τῷ μεγέθει μικρὸν ἔχει τὸν καρπὸν καὶ ὀλίγον, ὡς ἂν εἰς τὴν βλάστησιν ἐξαναλίσκουσα ἅπασαν τὴν τροφήν.“ ἐν δὲ τῷ δευτέρῳ τῆς φυτικῆς ἱστορίας ὁ φιλόσοφός φησιν· ἔστι καὶ ἄλλο γένος συκῆς ἔν τε τῇ Ἑλλάδι καὶ περὶ Κιλικίαν καὶ Κύπρον

---

ρου B. Σκληρίαις]? "Ἔστι γὰρ παρ"] ἔστη παρ' Iacobsius. ἔστιν παρ' Porsonus. ἔστι δὲ παρ' Brunckius. δίφορον L. διάφορον BPV. πεντηκοστῇ τετάρτῃ] νδ P. Stephanus Byz. Γαστρωνία: χώρα Μακεδονίας. Θεόπομπος εἰκοστῇ τετάρτῃ. Corrige Θεόπομπος νδ ex libro Vratislaviensi. βισαλτίαν καὶ ἀμφίπολιν ABC et Eustathius p. 1964, 20. καὶ om. PVL. καὶ Γραιστωνίαν om. epitome et Eustathius.

77 e. εἰκὸς ἦν αὐτὰς] αὐτὰς εἰκὸς ἦν Eustathius p. 1964, 21. Θεόφραστος] Non leguntur haec in Theophrasto. τρίφορον] Eustathius p. 1205, 5. Λέγει] Theophrastus H. P. II. 5. 5. p. 55. συκῆν — θᾶττον] συκῆν ἐν σκιάλῃ φυτευθεῖσαν θᾶττον B. σκίλλῃ — σκίλλῃ L ex Theophrasto. σκιάλῃ ABCPV. δὲ τὰ ἐν] δ' ἐν B. τάδε τὰ δ' ἐν P.

77 f. γίγνεσθαι. πάλιν δὲ ὁ Θεόφραστος ἐν τῷ] γίνεσθαι πάλιν δ' ἐν τῷ B. γίνεσθαι etiam P. ἐν τῷ δευτέρῳ] 10, 2. p. 413. αἰτίων] Scribebatur αἰτιῶν. φησὶ συκῆ add. ABCPV. om. L. βλάστησιν L et Theophrastus. βλάστην PV. ἐξαναλίσκουσαν BP. ἐν δὲ τῷ δευτέρῳ τῆς] ἐν τῷ β δὲ τῆς B. τῷ δευτέρῳ] Non leguntur haec in Theophrasto. φυτικῆς Pl.

ὀλυνθοφόρον, ὃ τὸ μὲν σῦκον ἔμπροσθεν φέρει τοῦ φύλλου, τὸν δὲ ὄλυνθον ἐξόπισθεν. αἱ δὲ ὅλως ἐκ τοῦ ἕνου βλαστοῦ καὶ οὐκ ἐκ τοῦ νέου. πρῶτον δὲ τοῦτο τῶν σύκων πέπονά τε καὶ γλυκὺν ἔχει καὶ οὐχ ὥσπερ τὸν παρ' ἡμῖν. γίνεται δὲ καὶ μείζων οὗτος πολὺ τῶν σύκων· ἡ δ'
a ὥρα μετὰ τὴν βλάστησιν οὐ πολύ. οἶδα δὲ καὶ ἄλλα σύκων ὀνόματα λεγόμενα· βασίλεια, συκοβασίλεια, κιρροκοιλάδια καὶ ὑλάδια, σαρκελάφεια, λαπύρια, πικρίδια, δρακόντια, λευκόφαια, μελανόφαια, κρήνεια, μυλαϊκά, ἀσκαλώνια.

14. Περὶ δὲ τῆς προσηγορίας τῶν σύκων λέγων Τρύφων ἐν δευτέρῳ φυτῶν ἱστορίας Δωρίωνά φησιν ἐν Γεωργικῷ ἱστορεῖν Συκέαν, ἕνα τινὰ τῶν Τιτάνων, διωκόμενον ὑπὸ Διὸς τὴν μητέρα Γῆν ὑποδέξασθαι καὶ ἀνεῖναι τὸ
b φυτὸν εἰς διατριβὴν τῷ παιδί, ἀφ' οὗ καὶ Συκέαν πόλιν εἶναι ἐν Κιλικίᾳ. Φερένικος δὲ ὁ ἐποποιὸς, Ἡρακλεώτης δὲ γένος, ἀπὸ Συκῆς τῆς Ὀξύλου θυγατρὸς προσαγορευθῆναι· Ὄξυλον γὰρ τὸν Ὀρίου Ἀμαδρυάδι τῇ ἀδελφῇ μιγέντα μετ' ἄλλων γεννῆσαι Καρύαν, Βάλανον, Κράνειον, Ὀρέαν, Αἴγειρον, Πτελέαν, Ἄμπελον, Συκῆν· καὶ ταύτας Ἀμαδρυάδας νύμφας καλεῖσθαι καὶ ἀπ' αὐτῶν πολλὰ τῶν δένδρων προσαγορεύεσθαι. ὅθεν καὶ τὸν Ἱππώνακτα φάναι

c Συκῆν μέλαιναν, ἀμπέλου κασιγνήτην.

Σωσίβιος δ' ὁ Λάκων ἀποδεικνὺς εὕρημα Διονύσου τὴν

---

γνωσῆς V. ὀλονθοφόρον ABC. ὀλινθοφόρον V. ὀλυνθοφόρον PL. φύλλου Dalecampius. Legebatur φυτοῦ. καρποῦ C. θρίου Schweigh. ὄλονθον ABC. ὄλινθον V. ὄλυνθον PL. Vide ad 76 e. ἕνου] ἐνοῦ P. καὶ οὐκ ἐκ] καὶ ἐκ B. τὸν παρ'] τὸ τῶν παρ' D apud Villebrunium.

78 a. οἶδα] οἶδε B. συκοβασίλεια] σύκα βασίλεια B. λαπύρια] καπύρια C. λευκόφαια, μελανόφαια Casaubonus. Libri λευκόφια, μελανόφια. κρήνεια om. C. ἀσκαλώνια] ἀσκαλώνεια P. Δωρίωνα] δωρίων C. Multa ex hoc capite repetiit Eustathius p. 1964, 12.

78 b. Ὀρίου et Ὀρέαν om. Eustathius. Κράνειον] Κράνιον Eustathius. πτελέαν PVL. πεταλέαν ABC. om. Eustathius. Ἱππώνακτα φάναι] ἱππώνακτα καταφάναι B.

78 c. εὕρημα Basil. L. et Eustathius. εὕρεμα CPV.

συκῆν διὰ τοῦτό φησι καὶ Λακεδαιμονίους συκίτην Διόνυσον τιμᾶν. Νάξιοι δέ, ὡς Ἀνδρίσκος ἔτι δ' Ἀγλαοσθένης ἱστοροῦσι, μειλίχιον καλεῖσθαι τὸν Διόνυσον διὰ τὴν τοῦ συκίνου καρποῦ παράδοσιν. διὸ καὶ πρόσωπον τοῦ θεοῦ παρὰ τοῖς Ναξίοις τὸ μὲν τοῦ Βακχέως Διονύσου καλουμένου εἶναι ἀμπέλινον, τὸ δὲ τοῦ μειλιχίου σύκινον. τὰ γὰρ σῦκα μείλιχα καλεῖσθαι.

d 15. Ὅτι δὲ πάντων τῶν καλουμένων ξυλίνων καρπῶν ὠφελιμώτερά ἐστι τοῖς ἀνθρώποις τὰ σῦκα ἱκανῶς Ἡρόδοτος ὁ Λύκιος διὰ πολλῶν ἀποδείκνυσιν ἐν τῷ περὶ σύκων συγγράμματι, εὐτραφῆ λέγων γίγνεσθαι τὰ νεογνὰ τῶν παιδίων, ἐν τῷ χυλῷ τῶν σύκων εἰ διατρέφοιτο. Φερεκράτης δὲ ἢ ὁ πεποιηκὼς τοὺς Πέρσας φησὶν

Ἦν δ' ἡμῶν σῦκόν τις ἴδῃ διὰ χρόνου νέον ποτέ,
τὠφθαλμὼ τούτῳ περιμάττομεν τὼ τῶν παιδίων.

ὡς καὶ ἰάματος οὐ τοῦ τυχόντος τῶν σύκων ὑπαρχόντων.
e ὁ δὲ θαυμασιώτατος καὶ μελίγηρυς Ἡρόδοτος ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν καὶ μέγα ἀγαθόν φησιν εἶναι τὰ σῦκα οὑτωσὶ λέγων „Βασιλεῦ, σὺ δ' ἐπ' ἄνδρας τοιούτους παρασκευάζεαι στρατεύεσθαι, οἳ σκυτίνας μὲν ἀναξυρίδας, σκυτίνην δὲ τὴν ἄλλην ἐσθῆτα φορέουσι, σιτέονταί τ' οὐχ ὅσα ἐθέλουσιν, ἀλλ' ὅσα ἔχουσι, χώρην ἔχοντες τρηχέην· πρὸς δὲ οὐκ οἴνῳ διαχρέονται, ἀλλ' ὑδροποτέουσιν· οὐ

---

διὰ τοῦτό φησι καὶ] διὸ καὶ B. Ἀγλαοσθένης Schweigh. Libri ἀγασθένης. μειλίχιον] μυλίχιον B. μείλιχον P, qui tamen infra in μειλιχίου consentit. μειλίχιον — μειλιχίου — μείλιχα] μόρυχον — μορύχου — μόρυχα Reinesius comparato Suida in μόρυχος et μωρότερος Μορύχου. Διόνυσον] διονύσιον B. Βακχέως] βαχχίος P.

78 d. Ἡρόδοτος] Epitome, ἡρόδοτος γοῦν ὁ λύκιος εὐτραφῆ λέγει γίνεσθαι —. εὐτραφῆ] Legebatur εὐτραφῆ τε. γίγνεσθαι VL. γίνεσθαι ABCP. ἐν om. epitome. Φερεκράτης] καὶ φαρεκράτης C. δὲ ἢ AC. δὲ om. PVL. τὼ φθαλμὼ A. τὠφθαλμῷ C. τῷ 'φθαλμῷ VL. ὀφθαλμῷ omisso articulo P. περιμάττομεν τούτῳ Casaubonus. τούτῳ περιμάττομεν Hermannus Elem. doctr. metr. p. 581. περιμάττομεν τοῦτο ABCP. περιμάττομέν γε τοῦτο VL. τὼ τῶν Erfurdtius p. 443. Aberat τώ.

78 e. ἐν τῇ πρώτῃ] Cap. 71. φησιν εἶναι] εἶναι φησὶ B. βασιλεῦ AB. βασιλεῦ PV. ὦ βασιλεῦ Basil. L. παρασκευάζεαι Herodotus. Legebatur παρασκευάζῃ. παρασκευάζει A. τ' (vel τε) οὐχ A. οὐχ BPV. δ' οὐχ L. δὲ οὐκ Herodotus. οὐκ οἴνῳ διαχρέονται

σῦκα ἔχουσι τρώγειν, οὐκ ἄλλο οὐδὲν ἀγαθόν.“ Πολύβιος δ' ὁ Μεγαλοπολίτης ἐν τῇ δωδεκάτῃ τῶν ἱστοριῶν „Φί-
f λιππος (φησὶν) ὁ Περσέως πατὴρ, ὅτε τὴν Ἀσίαν κατέτρεχεν, ἀπορῶν τροφῶν τοῖς στρατιώταις παρὰ Μαγνήτων, ἐπεὶ σῖτον οὐκ εἶχον, σῦκα ἔλαβε. διὸ καὶ Μυοῦντος κυριεύσας τοῖς Μάγνησιν ἐχαρίσατο τὸ χωρίον ἀντὶ τῶν σύκων.“ καὶ Ἀνάνιος δ' ὁ ἰαμβοποιὸς ἔφη

Εἴ τις καθείρξαι χρυσὸν ἐν δόμοις πολλὸν
καὶ σῦκα βαιὰ καὶ δύ' ἢ τρεῖς ἀνθρώπους,
γνοίη χ' ὅσῳ τὰ σῦκα τοῦ χρυσοῦ κρέσσω.

79 16. Τοσαῦτα τοῦ Μάγνου συκολογήσαντος Δάφνος ὁ ἰατρὸς ἔφη, Φιλότιμος ἐν τῷ τρίτῳ περὶ τροφῆς „Τὰ ἁπαλὰ (φησὶ) σῦκα διαφορὰς μὲν ἔχει πλείους πρὸς ἄλληλα καὶ τοῖς γένεσι καὶ τοῖς χρόνοις ἐν οἷς ἕκαστα γίγνεται καὶ ταῖς δυνάμεσιν, οὐ μὴν ἀλλὰ καθόλου εἰπεῖν τά τε ὑγρὰ τὰ πεπεμμένα καὶ μάλιστα αὐτῶν διαλύεται ταχέως καὶ κατεργάζεται μᾶλλον τῆς ἄλλης ὀπώρας καὶ τὴν λοιπὴν τροφὴν οὐ κωλύει κατεργάζεσθαι. δυνάμεις δ' ἔχει τῶν ὑγρῶν κολλώδεις τε καὶ γλυκείας ὑπονιτρώδεις τε, καὶ
b τὴν διαχώρησιν ἀθρουστέραν καὶ διακεχυμένην καὶ θάττω καὶ λίαν ἄλυπον παρασκευάζει. χυλὸν δ' ἁλυκὸν δριμύτητα ἔχοντα ἀναδίδωσι μεθ' ἁλῶν ἐπιπινόμενα. διαλύεται μὲν οὖν ταχέως, διότι πολλῶν καὶ μεγάλων ὄγκων εἰσενεχθέντων μετὰ μικρὸν χρόνον λαγαροὶ γινόμεθα καθ' ὑπερβολήν. ἀδύνατον δ' ἦν τοῦτο συμβαίνειν διαμενόντων καὶ μὴ ταχὺ

---

Herodotus. οὐκ οἴνῳ νὴ δία χρέονται (χρῶνται B) AB. νὴ δί' (δία P) οὐκ οἴνῳ χρέονται PVL. οὐδὲν] Scribebatur οὐθὲν. ἐν τῇ δωδεκάτῃ] Ad XVI, 24. vol. III. p. 617. retulit Valesius.

78 f. Ἀνάνιος] Hipponacti hos versus tribuit Stobaeus serm. XCVII, 12. vol. III. p. 261. V. 1. καθεῖρξαι ABP. καθεῖρξε VL. καθείρξαι Stobaeus. πολλὸν VL. πολὺν ABP et Stobaeus. πουλὺν Grotius. V. 3. γνοίη χ' ὅσῳ τὰ] γνοίη θ' ὅσσο (sic) τὰ P. γνοίη σχάσοντας Stobaeus. quod est γνοίης χ' ὅσον τὰ.

79 a. Φιλότιμος] φυλότιμος A. τῷ τρίτῳ] γ A. τῷ τρίτῳ καὶ δεκάτῳ Schweigh. ad 81 a. γίγνεται] γίνεται B. καὶ μάλιστα] καὶ om. B.

79 b. θάττω] θᾶττον B. Vid. ad 79 d. ἐπιπινόμενα] ἐπιπινόμενος A.

διαλυομένων τῶν σύκων. κατεργάζεται δὲ μᾶλλον τῆς ἄλλης, οὐ μόνον ὅτι πολλαπλάσιον λαμβάνοντες αὐτὴν τῆς λοιπῆς ὀπώρας ἀλύπως διάγομεν, ἀλλ᾽ οὐδὲ τὴν εἰωθυῖαν τροφὴν ἴσην λαμβάνοντες τούτων προχειρισθέντων οὐδὲν ἐνοχλούμεθα. δῆλον οὖν ὡς εἰ κρατοῦμεν ἀμφοτέρων, ταῦτά τε πέττεται μᾶλλον καὶ τὴν λοιπὴν οὐ κωλύει κατεργάζεσθαι τροφήν. τὰς δὲ δυνάμεις ἔχει τὰς λεγομένας, τὴν μὲν κολλώδη τε καὶ τὴν ἁλυκὴν ἐκ τοῦ κολλᾶν τε καὶ
d ῥύπτειν τὰς χεῖρας, τὴν δὲ γλυκεῖαν ἐν τῷ στόματι γινομένην ὁρῶμεν. τὴν δὲ διαχώρησιν ἄνευ στρόφων τε καὶ ταραχῆς καὶ πλείω καὶ θάττω καὶ μαλακωτέραν ὅτι παρασκευάζει λόγου προσδεῖν οὐδὲν νομίζομεν. ἀλλοιοῦται δ᾽ οὐ λίαν, οὐ διὰ τὸ δύσπεπτον αὐτῶν, ἀλλ᾽ ὅτι καταπίνομέν τε ταχέως οὐ λεάναντες καὶ τὴν διέξοδον διότι ταχεῖαν ποιεῖται. χυμὸν δ᾽ ἁλυκὸν ἀναδίδωσι, διότι τὸ μὲν νιτρῶδες ἀπεδείχθη τὰ σῦκα ἔχοντα, ἁλυκώτερον δὲ ποιήσει ἢ
e δριμὺν ἐκ τῶν ἐπιγινομένων. οἱ μὲν γὰρ ἅλες τὸν ἁλυκόν, τὸ δ᾽ ὄξος καὶ τὸ θύμον τὸν δριμὺν αὔξει χυμόν."

17. Ἡρακλείδης δ᾽ ὁ Ταραντῖνος ἐν τῷ Συμποσίῳ ζητεῖ πότερον ἐπιλαμβάνειν δεῖ μετὰ τὴν τῶν σύκων προσφορὰν θερμὸν ὕδωρ ἢ ψυχρόν. καὶ τοὺς μὲν λέγοντας θερμὸν δεῖν ἐπιλαμβάνειν, προορῶντας τὸ τοιοῦτο παρακελεύεσθαι, διότι καὶ τὰς χεῖρας ταχέως τὸ θερμὸν ῥύπτει· διὸ πιθανὸν εἶναι καὶ ἐν κοιλίᾳ συντόμως αὐτὰ τῷ
f θερμῷ διαλύεσθαι. καὶ ἐπὶ τῶν ἐκτὸς δὲ σύκων τὸ θερμὸν διαλύει τὴν συνέχειαν αὐτῶν καὶ εἰς λεπτομερεῖς τόμους ἄγει, τὸ δὲ ψυχρὸν συνίστησιν. οἱ δὲ ψυχρὸν λέγοντες προσφέρεσθαι ἡ τοῦ ψυχροῦ φασι πόματος λῆψις τὰ ἐπὶ τοῦ στομάχου καθήμενα τῷ βάρει καταφέρει· τὰ γὰρ σῦκα οὐκ

---

σύκων CVL. σωμάτων ABP et Casauboniani.

79 c. οὐδὲν PVL. οὐθὲν A. πέττεται ACP. πέπτεται VL. ῥύπτειν] ῥίπτειν BP.

79 d. στρόφων] τροφῶν C. θάττω] Scribebatur θᾶττον. Vid. ad 79 b. οὐδὲν] Scribebatur οὐθέν.

79 e. ἅλες — δριμὺν] ἅλες τὸ ἁλυκόν, τὸ δὲ ὄξος καὶ τὸ θύμον δριμὺν B. τὸ τοιοῦτο] τὸ τοιοῦτον B. ῥύπτει] ῥίπτει BP.

79 f. τόμους Dalecampius. Libri τόπους. εἰς λεπτομερῆ τόπον ἄγει C.

ἀστείως διατίθησι τὸν στόμαχον, καυσώδη καὶ ἀτονώτερον αὐτὸν ποιοῦντα· διόπερ τινὲς καὶ τὸν ἄκρατον συνεχῶς προσφέρονται. μετὰ δὲ ταῦτα ἑτοίμως καὶ τὰ ἐν τῇ κοιλίᾳ
80 προωθεῖ. δεῖ δὲ πλέονι καὶ ἀθρουστέρῳ χρῆσθαι τῷ πόματι μετὰ τὴν τῶν σύκων προσφοράν, ἕνεκα τοῦ μὴ ὑπομένειν αὐτὰ ἐν κοιλίᾳ, φέρεσθαι δὲ εἰς τὰ κάτω μέρη τῶν ἐντέρων.

18. Ἄλλοι δέ φασιν ὅτι μὴ δεῖ σῦκα προσφέρεσθαι μεσημβρίας· νοσώδη γὰρ εἶναι τότε, ὡς καὶ Φερεκράτης ἐν Κραπατάλοις εἴρηκεν. Ἀριστοφάνης δ' ἐν Προαγῶνι

Κάμνοντα δ' αὐτὸν τοῦ θέρους ἰδών ποτε
ἔτρωγ', ἵνα κάμνοι, σῦκα τῆς μεσημβρίας.

καὶ Εὔβουλος ἐν Σφιγγοκαρίωνι

b Νὴ τὸν Δί' ἠσθένουν γάρ, ὦ βέλτιστε σύ,
φαγοῦσα πρώην σῦκα τῆς μεσημβρίας.

Νικοφῶν δ' ἐν Σειρῆσιν

Ἐὰν δέ γ' ἡμῶν σῦκά τις μεσημβρίας
τρώγων καθεύδῃ χλωρά, πυρετὸς εὐθέως
ἥκει τρέχων, οὐκ ἄξιος τριωβόλου·
κᾆθ' οὗτος ἐπιπεσὼν ἐμεῖν ποιεῖ χολήν.

19. Δίφιλος δ' ὁ Σίφνιός φησι τῶν σύκων εἶναι τὰ μὲν ἁπαλὰ ὀλιγότροφα καὶ κακόχυλα, εὐέκκριτα δὲ καὶ
c ἐπιπολαστικά, καὶ εὐοικονομητότερα δὲ τῶν ξηρῶν. τὰ δὲ πρὸς τῷ χειμῶνι γινόμενα βίᾳ πεπαινόμενα χείρονα τυγχάνει· τὰ δ' ἐν τῇ ἀκμῇ τῶν ὡρῶν κρείττονα, ὡς ἂν κατὰ φύσιν πεπαινόμενα. τὰ δὲ πολὺν ὀπὸν ἔχοντα καὶ τὰ σπάνυδρα δ' εὐστομαχώτερα μέν, βαρύτερα δέ. τὰ δὲ Τραλλιανὰ ἀναλογεῖ τοῖς Ῥοδίοις, τὰ δὲ Χῖα καὶ τἆλλα πάντα τούτων εἶναι κακοχυλότερα. Μνησίθεος δ' ὁ Ἀθη-

---

διόπερ τινὲς] διὸ τινὲς B.

80 a. ἀθρουστέρῳ] ἀθρούστερον C. εἰς τὰ κάτω — προσφέρεσθαι om. B. Φερεκράτης] Vide 75 b. Κραπατάλοις] Scribebatur Κραπατάλλοις. τῆς om. P.

80 b. Σειρῆσιν] σίρησι AB. Νικοφῶν — τις μεσημβρίας om. P. εὐοικονομητότερα AC. εὐεκκριτώτερα BP. εὐοικονομικότερα V. εὐοικονομικώτερα L.

80 c. κακοχυλότερα AP. κακοχυλώτερα VL. Μνησίθεος L. μνησίθεος PV.

ναῖος ἐν τῷ περὶ ἐδεστῶν φησιν „Ὅσα δὲ ὠμὰ προσφέ-
ρεται τῶν τοιούτων, οἷον ἄπιοι καὶ σῦκα καὶ μῆλα Δελ-
d φικὰ καὶ τὰ τοιαῦτα, δεῖ φυλάττειν τὸν καιρὸν ἐν ᾧ τοὺς
χυλοὺς τοὺς ἐν αὐτοῖς μήτε ἀπέπτους μήτε σαπροὺς μήτε
κατεξηραμμένους λίαν ὑπὸ τῆς ὥρας ἕξει.“ Δημήτριος δ᾽ ὁ
Σκήψιος ἐν τῷ πεντεκαιδεκάτῳ τοῦ Τρωικοῦ διακόσμου
εὐφώνους φησὶ γίνεσθαι τοὺς μὴ σύκων ἐσθίοντας. Ἡγη-
σιάνακτα γοῦν τὸν Ἀλεξανδρέα τὸν τὰς ἱστορίας γράψαντα
κατ᾽ ἀρχὰς ὄντα πένητα καὶ τραγῳδόν φησι γενέσθαι καὶ
ὑποκριτικὸν καὶ εὔηχον, ὀκτωκαίδεκα ἐτῶν σύκων μὴ γευ-
e σάμενον. καὶ παροιμίας δὲ οἶδα περὶ σύκων λεγομένας
τοιάσδε

Σῦκον μετ᾽ ἰχθὺν, ὄσπριον μετὰ κρέα.
Σῦκα φίλ᾽ ὀρνίθεσσι, φυτεύειν δ᾽ οὐκ ἐθέλουσι.

20. *ΜΗΛΑ.* Ταῦτα Μνησίθεος ὁ Ἀθηναῖος ἐν τῷ
περὶ ἐδεστῶν μῆλα Δελφικὰ καλεῖ. Δίφιλος δέ φησι τῶν
μήλων τὰ χλωρὰ καὶ μηδέπω πέπονα κακόχυλα εἶναι καὶ
κακοστόμαχα, ἐπιπολαστικά τε καὶ χολῆς γεννητικὰ, νοσο-
ποιά τε καὶ φρίκης παραίτια. τῶν δὲ πεπόνων εὐχυλότερα
f μὲν εἶναι τὰ γλυκέα καὶ εὐεκκριτώτερα, διὰ τὸ στύψιν μὴ
ἔχειν, κακοχυλότερα δὲ εἶναι τὰ ὀξέα καὶ στατικώτερα. τὰ
δὲ τῆς γλυκύτητος ὑφειμένα, προσλαμβάνοντα δ᾽ εὐστομεῖν,
διὰ τὴν ποσὴν στύψιν, εὐστομαχώτερα. εἶναι δὲ αὐτῶν τὰ
μὲν θερινὰ κακοχυλότερα, τὰ δὲ φθινοπωρινὰ εὐχυλότερα.
τὰ δὲ καλούμενα ὀρβικλᾶτα μετὰ στύψεως ἡδείας ἔχοντα
81 καὶ γλυκύτητα εὐστόμαχα εἶναι. τὰ δὲ σητάνια λεγόμενα,

---

80 d. φυλάττειν APV. παραφυλάττειν CL. γοῦν ABC. οὖν PVL. πένητα] ? ὑποκριτικὸν] ὑποκριτὴν C.

80 e. ὄσπριον ABC et Eustathius p. 1964, 19. ὄσπρεον PVL. φίλ᾽ ὀρνίθεσσι L et Eustathius. φιλορνίθεσι BPV. φυτεύειν δ᾽ AC et Eustathius. δ᾽ om. PVL. κακόχυλα AC. κακόχυμα PVL. εὐχυλότερα APV. εὐχυλώτερα CL.

80 f. κακοχυλότερα A. κακοχυλώτερα C. κακοχυμότερα PV. κακοχυμώτερα L. στατικώτερα ABCDPV. σταλτικώτερα L. προσλαμβάνοντα δ᾽ εὐστομεῖν om. C. εἶναι δὲ — εὐχυλότερα add. L. om. PV. — χυλώτερα bis CL. — λότερα A. ὀρβικλᾶτα Brunckius ex D. ὀρβικάτα CPVL. ὀρθικῦτα A. ὀρβικάντα B. ὀρβικουλάτα Reinesius. Vide annotationem. ἡδείας] ἡδύνας B.

προσέτι δὲ πλατάνια, εὔχυλα μὲν καὶ εὐέκκριτα, οὐκ εὐστόμαχα δέ. τὰ δὲ Μορδιανὰ καλούμενα γίνεται μὲν κάλλιστα ἐν Ἀπολλωνίᾳ τῇ Μορδίῳ λεγομένῃ, ἀναλογεῖ δὲ τοῖς ὀρβικλάτοις. τὰ δὲ κυδώνια, ὧν ἔνια καὶ στρουθία λέγεται, κοινῶς ἁπάντων ἐστὶ τῶν μήλων εὐστομαχώτερα, καὶ μάλιστα τὰ πέπονα. Γλαυκίδης δέ φησιν ἄριστα τῶν ἀκροδρύων εἶναι μῆλα κυδώνια, φαύλια, στρουθία. Φιλό-
b τιμος δ' ἐν τῷ τρίτῳ καὶ δεκάτῳ περὶ τροφῆς „Τὰ μῆλα (φησὶ) τὰ μὲν ἐαρινὰ δυσπεπτότερα πολὺ τῶν ἀπίων καὶ τὰ ὠμὰ τῶν ὠμῶν, καὶ τὰ πέπονα τῶν πεπόνων. τὰς δὲ δυνάμεις ἔχει τῶν ὑγρῶν τὰ μὲν ὀξέα καὶ μήπω πέπονα στρυφνοτέρας καὶ ποσῶς ὀξείας, χυμόν τε ἀναδίδωσιν εἰς τὸ σῶμα τὸν καλούμενον ξυστικόν. καθόλου τε τὰ μῆλα τῶν ἀπίων δυσπεπτότερα εἶναι, διότι τὰ μὲν ἐλάττω φαγόντες ἧττον, τὰς δὲ πλείους προσαράμενοι μᾶλλον πέττο-
c μεν. ξυστικὸς δὲ γίνεται χυμὸς ἐξ αὐτῶν ὁ λεγόμενος ὑπὸ Πραξαγόρου, διότι τὰ μὴ κατεργαζόμενα παχυτέρους ἕξει τοὺς χυμούς· ἀπεδείχθη δὲ καθόλου τὰ μῆλα δυσκατεργαστότερα τῶν ἀπίων· καὶ ὅτι τὰ στρυφνὰ μᾶλλον ἔτι παχυτέρους παρασκευάζειν εἴωθεν αὐτούς. τὰ δὲ χειμερινὰ τῶν μήλων τὰ μὲν κυδώνια στρυφνοτέρους, τὰ δὲ στρουθία τοὺς χυμοὺς ἐλάττους ἀναδίδωσι, καὶ στρυφνοτέρους

---

81 a. προσέτι δὲ] Malim προσέτι τε. πλατάνια] πλατανίστινα dici videntur ab Galeno: vide annotationem. καλούμενα om. B. Locum de Mordianis om. epitome. ἀναλογεῖ δὲ L. ἀναλογεῖ τὲ B. ἀναλογεῖται APV. ὀρβικλάτοις Brunckius ex D. ὀρβικάτοις APVL. ὀρβικαύτοις B. στρουθία per totum hoc caput praebuerunt codices, nisi quod semel 81 d. στρουθεῖα scriptum in A. στρούθεια VL. φαύλια P. φαυλία VL. A accentu caret. Φιλότιμος] φιλότιμος AC hic et alibi. ἐν τῷ τρίτῳ καὶ δεκάτῳ Bas. et L recte: vide 82 f. ἐν τῷ τρίτῳ ἢ δεκάτῳ V. ἐν γ̅ ἢ ι̅ A. ἐν τῷ γ̅ ἢ ι̅ P.

81 b. ποσῶς CL. πόσεως ABPV. εἶναι] ἐστι Schweigh. εἶναι dixit Iacobsius p. 58. πέττομεν BC. πέπτομεν PVL. χυμὸς] ὁ χυμὸς B.

81 c. Πραξαγόρου] ἰυλώδης addit Coraës. τῶν ἀπίων] τε τῶν ἀπίων A. στρυφνὰ] στρεφνὰ B. εἴωθεν αὐτούς ACPV. εἴωθε τοὺς χυμούς L. Ex B nulla varietas praeter εἴωθεν enotata. κυδώνια] κυδώνεια P. στρουθία BCP. De A non constat.

ἧττον, πέττεσθαί τε μᾶλλον δύναται. Νίκανδρος δ' ὁ Θυα-
d τειρηνὸς τὰ κυδώνια μῆλα στρουθία φησὶ καλεῖσθαι ἀγνοῶν. Γλαυκίδης γὰρ ἱστορεῖ ἄριστα λέγων τῶν ἀκροδρύων εἶναι μῆλα κυδώνια, φαύλια, στρουθία.

21. Κυδωνίων δὲ μήλων μνημονεύει Στησίχορος ἐν Ἑλένῃ οὕτως

Πολλὰ μὲν κυδώνια
μᾶλα ποτερρίπτουν ποτὶ δίφρον ἄνακτι,
πολλὰ δὲ μύρρινα φύλλα
καὶ ῥοδίνους στεφάνους,
ἴων τε κορωνίδας οὔλας.

καὶ Ἀλκμάν. ἔτι δὲ Κάνθαρος ἐν Τηρεῖ

Κυδωνίοις μήλοισιν εἰς τὰ τιτθία.

καὶ Φιλήμων δ' ἐν Ἀγροίκῳ τὰ κυδώνια μῆλα στρουθία
e καλεῖ. Φύλαρχος δ' ἐν τῇ ἕκτῃ τῶν ἱστοριῶν τὰ κυδώνιά φησι μῆλα τῇ εὐωδίᾳ καὶ τὰς τῶν θανασίμων φαρμάκων δυνάμεις ἀπαμβλύνειν. τὸ γοῦν Φαριακὸν φάρμακον ἐμβληθὲν φησιν εἰς ῥίσκον ἔτι ὀδωδότα ἀπὸ τῆς τῶν μήλων τούτων συνθέσεως ἐξίτηλον γενέσθαι, μὴ τηρῆσαν τὴν ἰδίαν δύναμιν. κερασθὲν γοῦν καὶ δοθὲν πιεῖν τοῖς εἰς τοῦτο ἐνεδρευθεῖσιν ἀπαθεῖς αὐτοὺς διατηρῆσαι. ἐπιγνωσθῆναι δὲ τοῦτο ὕστερον ἐξ ἀνακρίσεως τοῦ τὸ φάρμακον πωλήσαντος καὶ ἐπιγνόντος τὸ γενόμενον ἐκ τῆς τῶν μήλων συνθέσεως.

---

στρούθεια VL. πέττεσθαι ABCPV. πέπτεσθαι L. Νίκανδρος] Haec om. C. δ' ὁ] τε ὁ P. κυδώνια] κυδώνεια P. μῆλα Schweigh. Legebatur μῆλα τὰ. στρουθία Schweigh. στρούθεια PVL.

81 d. κυδώνια] κυδώνεια AP. φαύλια Schweigh. φαυλία PVL. στρουθία C. στρούθεια VL. στρουθεῖα AP. Κυδωνίων] κυδωνείων P. V. 1. κυδώνια] κυδώνεια P. V. 2. ποτερρίπτουν PL. ποτ' ἐῤῥίπτουν V. τότ' ἐῤῥίπτουν Blomfieldus in Museo critico VI. p. 262. V. 3. μύῤῥινα PVL. μύρσινα AB. V. 4. στεφάνους add. PL. om. V. Κυδωνίοις Schweigh. κυδωνίοις PVL. Φιλήμων] P. 357. Meinek. κυδώνια] κυδώνεια P. στρουθία ABC. στρούθεια VL. στρουθεῖα P.

81 e. τὸ γοῦν P. τό γ' οὖν VL. τὸ οὖν C. Φαριακὸν] φάριον C. Φαρικὸν Nicander et alii dixerunt. ἐμβληθὲν] ἐκβληθὲν P. ῥίσκον AP. ῥόισκον V. ῥοίσκον CL. τηρῆσαν] τηρῆσαι B. καὶ ἐπιγνόντος] καὶ om. C.

f 22. Ἕρμων δ' ἐν Κρητικαῖς Γλώσσαις κοδύμαλα καλεῖσθαί φησι τὰ κυδώνια μῆλα. Πολέμων δ' ἐν πέμπτῳ τῶν πρὸς Τίμαιον ἄνθους γένος τὸ κοδύμαλον εἶναί τινας ἱστορεῖν. Ἀλκμὰν δὲ τὸ στρουθίον μῆλον, ὅταν λέγῃ „Μεῖον ἢ κοδύμαλον." Ἀπολλόδωρος δὲ καὶ Σωσίβιος τὸ κυδώνιον μῆλον ἀκούουσιν. ὅτι δὲ διαφέρει τὸ κυδώνιον
2 μῆλον τοῦ στρουθίου σαφῶς εἴρηκεν ὁ Θεόφραστος ἐν τῷ δευτέρῳ τῆς ἱστορίας. διάφορα δὲ μῆλα γίνεται ἐν Σιδοῦντι· κώμη δ' ἐστὶν αὕτη Κορίνθου, ὡς Εὐφορίων ἢ Ἀρχύτας ἐν Γεράνῳ φησίν·

Ὥριον οἷά τε μῆλον, ὅ τ' ἀργιλλώδεσιν ὄχθαις
πορφύρεον ἐλαχείῃ ἐνιτρέφεται Σιδόεντι.

μνημονεύει δ' αὐτῶν καὶ Νίκανδρος ἐν Ἑτεροιουμένοις οὕτως·

Αὐτίχ' ὅ γ' ἢ Σιδόεντος ἠὲ Πλείστου ἀπὸ κήπων
μῆλα ταμὼν χνοάοντα τύπους ἐνεμάσσετο Κάδμου.

b ὅτι δ' ἡ Σιδοῦς τῆς Κορίνθου ἐστὶ κώμη ὁ Ῥιανὸς εἴρηκεν ἐν πρώτῃ Ἡρακλείας καὶ ὁ Ἀπολλόδωρος ὁ Ἀθηναῖος ἐν πέμπτῳ περὶ νεῶν καταλόγου. Ἀντίγονος δ' ὁ Καρύστιος ἐν Ἀντιπάτρῳ φησίν·

---

81 f. Ἕρμων libri hic et VI. p. 267 c. Alibi Ἑρμῶναξ dicitur: quod verum videtur. δ' ἐν] δὲ ταῖς B. κοδύμαλα] In epitome semel haec vox legitur, κωδύμαλα scripta: in A primo loco κοδύμαλλα, deinde constanter κωδύμαλλα et κωδύμαλλον, nisi quod in Alcmanis verbis κωδύμαλον. τὸ κοδύμαλον] τὸ κωνδύμαλον B. κοδύμαλον] κωδύμαλλον B. κυδώνειον bis P. κυδώνιον μῆλον τοῦ] μῆλον om. B. στρουθίου B et Schweigh. editio. στρουθείου PVL.

82 a. ἐν τῷ (τῷ add. L. om. PV.) δευτέρῳ (scribebatur β')] 2, 5. p. 47. γίνεται] γίνονται B. κώμη — Κορίνθου] πόλει Κορίνθου C. Εὐφορίων] P. 63. Meinek. Euphorionis versus om. C. ὅ τ' Meinekius. Libri ὃ δ' vel ὁ δ'. ἀργιλλώδεσιν] ἀργιλώδεσιν BD. ὄχθαις] ὄχθες D. Νίκανδρος] Fr. 17. p. 284. Omisit C. ὅγ' ἢ APV. ὄγε B. ὅγ' ἐκ L. ἠὲ Πλείστου] ἢ ἐκπλείστου B. ἢ ἐπὶ πλείστου P. χνοάοντα Iacobsius ad Antholog. vol. VIII. p. 203. Legebatur χλοάοντα. νωμήσατο VL. νεμέσατο ABDP. Scribendum ἐνεμάσσετο.

82 b. ὁ Ῥιανὸς] Ῥιανὸς Casaubonus. Libri ἀρειανός. ὁ Ἀπολλόδωρος B. Aberat ὁ. Vide ad II. p. 34 a. πέμπτῳ] Scribebatur ε'.

25. ΚΙΤΡΙΟΝ. Περὶ τούτου πολλὴ ζήτησις ἐνέπεσε τοῖς δειπνοσοφισταῖς, εἴ τίς ἐστιν αὐτοῦ μνήμη παρὰ τοῖς παλαιοῖς. Μυρτίλος μὲν γὰρ ἔφασκεν, ὥσπερ εἰς αἶγας ἡμᾶς ἀγρίας ἀποπέμπων τοὺς ζητοῦντας, Ἡγήσανδρον τὸν Δελφὸν ἐν τοῖς ὑπομνήμασιν αὐτοῦ μνημονεύειν, τῆς δὲ λέξεως τὰ νῦν οὐ μεμνῆσθαι. πρὸς ὃν ἀντιλέγων ὁ Πλού-
b ταρχος· Ἀλλὰ μὴν ἔγωγε, φησί, διορίζομαι μηδ' ὅλως τὸν Ἡγήσανδρον τοῦτ' εἰρηκέναι, δι' αὐτὸ τοῦτ' ἐξαναγνοὺς αὐτοῦ πάντα τὰ ὑπομνήματα, ἐπεὶ καὶ ἄλλος τις τῶν ἑταίρων τοῦτ' ἔχειν οὕτω διεβεβαιοῦτο, ὁρμώμενος ἔκ τινων σχολικῶν ὑπομνημάτων ἀνδρὸς οὐκ ἀδόξου· ὥστε ὥρα σοι, φίλε Μυρτίλε, ἄλλον ζητεῖν μάρτυρα. Αἰμιλιανὸς δὲ ἔλεγεν Ἰόβαν τὸν Μαυρουσίων βασιλέα, ἄνδρα πολυμαθέστατον, ἐν τοῖς περὶ Λιβύης συγγράμμασι μνημονεύοντα τοῦ κιτρίου καλεῖσθαι φάσκειν αὐτὸ παρὰ τοῖς Λίβυσι μῆλον Ἑσπε-
c ρικόν, ἀφ' ὧν καὶ Ἡρακλέα κομίσαι εἰς τὴν Ἑλλάδα τὰ χρύσεα διὰ τὴν ἰδέαν λεγόμενα μῆλα. τὰ δὲ τῶν Ἑσπερίδων λεγόμενα μῆλα ὅτι ἐς τοὺς Διὸς καὶ Ἥρας λεγομένους γάμους ἀνῆκεν ἡ γῆ Ἀσκληπιάδης εἴρηκεν ἐν ἑξηκοστῷ Αἰγυπτιακῶν. πρὸς τούτους ἀποβλέψας ὁ Δημόκριτος ἔφη· Εἰ μέν τι τούτων Ἰόβας ἱστορεῖ, χαιρέτω Λιβυκαῖσι βίβλοις, ἔτι δὲ ταῖς Ἀννῶνος πλάναις. ἐγὼ δὲ τὸ μὲν ὄνομα οὔ φημι κεῖσθαι τοῦ κιτρίου παρὰ τοῖς παλαιοῖς τοῦτο, τὸ δὲ πρᾶγμα ὑπὸ τοῦ Ἐρεσίου Θεοφράστου οὕτως λεγόμενον
d ἐν ταῖς περὶ φυτῶν ἱστορίαις ἀναγκάζει με ἐπὶ τῶν κιτρίων ἀκούειν τὰ σημαινόμενα.

26. Φησὶ γὰρ ὁ φιλόσοφος ἐν τῷ τετάρτῳ τῆς περὶ φυτῶν ἱστορίας οὕτως „Ἡ δὲ Μηδία χώρα καὶ ἡ Περσὶς

---

Μυρτίλος μὲν] μὲν om. B. τῆς δὲ λέξεως Schweigh. Aberat δὲ. φησι ABP. φασι VL. διορίζομαι] διισχυρίζομαι Valckenaer. schol. in N. T. I. p. 491.

83 b. Αἰμιλιανὸς] αἰμυλιανὸς B. κιτρίου AC. κύτρου B. κίτρου PVL.

83 c. τὰ δὲ τῶν ἑσπερίδων λεγόμενα μῆλα add. A. om. PVL. μέν τι] μέν τοι B. μέν τι τοι P deleto ab eadem manu τι. ἔτι δ' ταῖς] Aberat δὲ. ἔτι τε ταῖς A. ἄννωνος PL. ἄνωνος V. οὕτως] οὕτω B. ἐν ταῖς] ἐν τῇ A. sed ad ἱστορίαις nihil enotatum.

83 d. τετάρτῳ] , 2. 3. p. 130. τῆς περὶ φυτῶν ἱστορία

ἄλλα τε ἔχει πλείω καὶ τὸ μῆλον τὸ Περσικὸν ἢ Μηδικὸν καλούμενον. ἔχει δὲ τὸ δένδρον τοῦτο φύλλον μὲν ὅμοιον καὶ σχεδὸν ἴσον τῷ τῆς δάφνης, ἀνδράχνης καὶ καρύας, ἀκάνθας δ' οἵας ἄπιος ἢ ὀξυάκανθος, λείας δὲ καὶ ὀξείας σφόδρα καὶ ἰσχυράς. τὸ δὲ μῆλον οὐκ ἐσθίεται μέν, εὔοσμον δὲ πάνυ καὶ αὐτὸ καὶ τὰ φύλλα τοῦ δένδρου· κἂν
e εἰς ἱμάτια τεθῇ τὸ μῆλον, ἄκοπα διατηρεῖ. χρήσιμον δέ, ἐπειδὰν καὶ τύχῃ τις πεπωκὼς θανάσιμον φάρμακον· δοθὲν γὰρ ἐν οἴνῳ διακόπτει τὴν κοιλίαν καὶ ἐξάγει τὸ φάρμακον. καὶ πρὸς στόματος εὐωδίαν· ἐὰν γάρ τις ἑψήσῃ ἐν ζωμῷ ἢ ἐν ἄλλῳ τινὶ τὸ εἴσω τοῦ μήλου, ἐκπιέσῃ τε εἰς τὸ στόμα καὶ καταρροφήσῃ, ποιεῖ τὴν ὀσμὴν ἡδεῖαν. σπείρεται δὲ τοῦ ἦρος εἰς πρασιὰς ἐξαιρεθὲν τὸ σπέρμα διειργασμένας ἐπιμελῶς· εἶτ' ἄρδεται διὰ τετάρτης ἢ πέμπτης
f ἡμέρας. ὅταν δὲ ἁδρὸν ᾖ, διαφυτεύεται πάλιν τοῦ ἔαρος εἰς χωρίον μαλακὸν καὶ ἔφυδρον καὶ οὐ λίαν λεπτόν. φέρει δὲ τὰ μῆλα πᾶσαν ὥραν· τὰ μὲν γὰρ ἀφῄρηται, τὰ δ' ἀνθεῖ, τὰ δ' ἐκπέττει. τῶν δ' ἀνθῶν ὅσα ἔχει καθάπερ ἠλακάτην ἐκ μέσου τινὰ ἔχουσαν, ταῦτά ἐστι γόνιμα· ὅσα δὲ μή, ἄγονα." κἂν τῷ πρώτῳ δὲ τῆς αὐτῆς πραγματείας τὰ περὶ τῆς ἠλακάτης καὶ τῶν γονίμων εἴρηκεν. ἐκ τούτων ἐγὼ κινούμενος, ὦ ἑταῖροι, ὧν φησιν ὁ Θεόφραστος περὶ χρόας, περὶ ὀδμῆς, περὶ φύλλων, τὸ κιτρίον εἶναι λέγεσθαι πεπίστευκα, καὶ μηδεὶς ὑμῶν θαυμαζέτω εἴ φησι μὴ ἐσθίε-

---

om. B. ἄλλα τε ἔχει C et Theophrastus. Legebatur ἄλλα ἔχει. ἢ] καὶ vulgo in Theophrasto: ἢ Urbinas. δάφνης et καὶ καρύας om. Theophrastus.

83 e. θανάσιμον om. Theophrastus. δοθὲν — φάρμακον om. Theophrastus. εἴσω] ἔξωθεν vulgo in Theophrasto: ἔσωθεν meliores libri. δὲ τοῦ ABC et Theophrastus. δὲ τοῦτο τοῦ PVL. διειργασμένας Schweigh. Legebatur διειργασμένον cum libris deterioribus Theophrasti: nam meliores καὶ εἰργασμένας.

83 f. χωρίον] χῶρον C. ἐκπέττει C et Eustathius p. 1572, 42. cum Theophrasto. ἐκπίπτει PVL. μέσον τινὰ ἔχουσαν ABP. μέσου ἀνέχουσαν CVL. μέσου τιν' ἀνέχουσαν Schweigh. Et sane aut sic aut cum Theophrasto μέσου τιν' ἐξέχουσαν scribendum. κἂν τῷ πρώτῳ] 13, 4. p. 40. τῆς αὐτῆς] τῆς αὐτοῦ B. ὧν φησιν] ὥς φησιν ABP. περὶ χρόας APV. περὶ τῆς χρόας L. κιτρίον] κίτριον PV hic et aliquoties alibi, sed non constanter. ἐσθίεσθαι] ἐσθίεται B.

σθαι αὐτὸ, ὁπότε γε καὶ μέχρι τῶν κατὰ τοὺς πάππους
84 ἡμῶν χρόνων οὐδεὶς ἤσθιεν, ἀλλ' ὥς τι μέγα κειμήλιον ἀπετίθεντο ἐν ταῖς κιβωτοῖς μετὰ τῶν ἱματίων.

27. Ὅτι δ' ὄντως ἐκ τῆς ἄνω χώρας ἐκείνης κατέβη εἰς τοὺς Ἕλληνας τὸ φυτὸν τοῦτο ἔστιν εὑρεῖν λεγόμενον καὶ παρὰ τοῖς τῆς κωμῳδίας ποιηταῖς, οἳ καὶ περὶ μεγέθους αὐτῶν τι λέγοντες τῶν κιτρίων μνημονεύειν φαίνονται. Ἀντιφάνης μὲν ἐν Βοιωτίᾳ

Καὶ περὶ μὲν ὄψου γ' ἠλίθιον τὸ καὶ λέγειν,
ὥσπερ πρὸς ἀπλήστους. ἀλλὰ ταυτὶ λάμβανε
b παρθένε τὰ μῆλα. Β. καλά γε. Α. καλὰ δῆτ' ὦ θεοί·
νεωστὶ γὰρ τὸ σπέρμα τοῦτ' ἀφιγμένον
εἰς τὰς Ἀθήνας ἐστὶ παρὰ τοῦ βασιλέως.
Β. παρ' Ἑσπερίδων ᾤμην γε νὴ τὴν Φωσφόρον
φασὶν τὰ χρυσᾶ μῆλα ταῦτ' εἶναι. τρία
μόνον ἐστίν. Β. ὀλίγον τὸ καλόν ἐστι πανταχοῦ
καὶ τίμιον.

Ἔριφος δ' ἐν Μελιβοίᾳ αὐτὰ ταῦτα τὰ ἰαμβεῖα προθεὶς ὡς ἴδια τὰ τοῦ Ἀντιφάνους ἐπιφέρει

Β. Παρ' Ἑσπερίδων ᾤμην γε νὴ τὴν Ἄρτεμιν
c φασὶν τὰ χρυσᾶ μῆλα ταῦτ' εἶναι. τρία
μόνον ἐστίν. Α. ὀλίγον τὸ καλόν ἐστι πανταχοῦ
καὶ τίμιον. Α. τούτων μὲν ὀβολὸν, εἰ πολὺ,
τίθημι· λογιοῦμαι γάρ. Β. αὗται δὲ ῥόαι
ὡς εὐγενεῖς. Α. τὴν γὰρ Ἀφροδίτην ἐν Κύπρῳ
δένδρον φυτεῦσαι τοῦτό φασιν ἓν μόνον.

---

84 a. ὄντως L. οὕτως PV. *Βοιωτίᾳ* Casaubonus. Legebatur *Βοιωτίῳ*, ut IX. p. 367 f. V. 1. γ' om. BP. ἠλίθιον τὸ] ἠλίθοντο AB. ἢ λήθοντο aut ἢ λίθοντο P. λέγειν] λέγει B. V. 2. ταυτὶ] ταυτὰ B.

84 b. V. 7. — 9. in epitome sic sunt decurtati, τρία μόνα, ὀλίγον ἐστὶ πανταχοῦ τὸ καλὸν καὶ τίμιον. V. 7. φασὶν VL. φησὶ ABP. ταῦτ' εἶναι PVL. ταυτὶ εἶναι AB. V. 8. μόνον ABP. μόν' VL. τὸ καλὸν ἔστι PVL. ἐστὶ τὸ καλὸν AB. προθεὶς A. προσθεὶς PVL.

84 c. V. 2. φασὶν Schweigh. Libri omnes φησί. τρία] τὰ τρία B. V. 3. μόνον ABP. μόν' VL. V. 4. μὲν] μόνων B. μόνον P. εἰ ABV. οὐ VL. V. 5. ῥόαι BP. ῥοαί VL. In fine

*B.* βέρβεια πολυτίμητα κἆτα τρεῖς μόνας
καὶ τάσδ' ἐκόμισας; *A.* οὐ γὰρ εἶχον πλείονας.

28. Τούτοις εἴ τις ἀντιλέγειν ἔχει ὅτι μὴ τὸ νῦν κιτρίον λεγόμενον σημαίνεται, σαφέστερα μαρτύρια παρατιθέσθω· καίτοι καὶ Φανίου τοῦ Ἐρεσίου ἔννοιαν ἡμῖν διδόντος, μήποτε ἀπὸ τῆς κέδρου τὸ κεδρίον ὠνόμασται. καὶ γὰρ τὴν κέδρον φησὶν ἐν πέμπτῳ περὶ φυτῶν ἀκάνθας ἔχειν περὶ τὰ φύλλα. ὅτι δὲ τὸ αὐτὸ τοῦτο καὶ περὶ τὸ κιτρίον ἐστὶ παντὶ δῆλον. ὅτι δὲ καὶ προλαμβανόμενον τὸ κιτρίον πάσης τροφῆς ξηρᾶς τε καὶ ὑγρᾶς ἀντιφάρμακόν ἐστι παντὸς δηλητηρίου εὖ οἶδα, μαθὼν παρὰ πολίτου ἐμοῦ πιστευθέντος τὴν τῆς Αἰγύπτου ἀρχήν. οὗτος κατεδίκασέ τινας γενέσθαι θηρίων βορὰν κακούργους εὑρεθέντας, καὶ ἔδει αὐτοὺς ἀποσίτοις ζώοις παραβληθῆναι. εἰσιοῦσι δὲ αὐτοῖς εἰς τὸ τοῖς λησταῖς εἰς τιμωρίαν ἀποδεδειγμένον θέατρον κατὰ τὴν ὁδὸν κάπηλίς τις γυνὴ κατ' ἔλεον ἔδωκεν οὗ μετὰ χεῖρας εἶχεν ἐσθίουσα κιτρίου, καὶ λαβόντες ἔφαγον καὶ μετ' οὐ πολὺ παραβληθέντες πελωρίοις καὶ ἀγριωτάτοις ζώοις ταῖς ἀσπίσι δηχθέντες οὐδὲν ἔπαθον. ἀπορία δὲ κατέσχε τὸν ἄρχοντα. καὶ τὸ τελευταῖον ἀνακρίνων τὸν αὐτοὺς φυλάττοντα στρατιώτην, εἴ τι ἔφαγον ἢ ἔπιον, ὡς ἔμαθε κατὰ τὸ αὐτὸ ἐξ ἀκεραίου τὸ κιτρίον δεδομένον, τῇ ἐπιούσῃ τῶν ἡμερῶν τῷ μὲν πάλιν ἐκέλευσε δοθῆναι κιτρίου, τῷ δ' οὔ· καὶ ὁ μὲν φαγὼν δηχθεὶς

---

versus γ' add. ABP. V. 8. βέρβεια] βέρβεα BP. „In βέρβεια hac deae nomen latere videtur." Meinekius. ἱέρμαια πολυτίμητα Seidlerus. V. 9. τάσδ' ἐκόμισας] Legebatur τάσδε κομίσαις. τάσδε κομίσας BP. ἔχει A. ἔχοι PVL. τὸν νῦν κίτριον P.

84 d. Φανίου] Scribebatur Φαινίου. Etymol. M. p. 515, 48. Κίτριον: Φάνης ὁ Ἐρέσιος ἔννοιαν ἡμῖν δίδωσι μήποτε ἀπὸ τῆς κέδρου τὸ κίτριον ὠνόμασται· καὶ γὰρ τὴν κέδρον φασὶν ἀκάνθας ἔχειν περὶ τὰ φύλλα, ὡς τὸ κίτριον. Ὧρος. καὶ περὶ τὸ κιτρίον] καὶ πῶς τὸ κίτριον B. προλαμβανόμενον A. προσλαμβανόμενον PVL. πιστευθέντος] πισθέντος B.

84 e. ἀποσίτοις Valckenarius apud Koen. ad Gregor. p. 529. et ad Callimachi Eleg. p. 7. Legebatur ἅπασι τοῖς. ἀπάστοις Schweigh. γυνὴ add. AC. om. PVL. ἀπορία] ἀπορεία B.

84 f. ἔμαθεν] ἔμπροσθεν P. κατὰ τὸ αὐτὸ] κατὰ τὸ αὐτὸν AB. αὐτὸ κατ' αὐτὸ vel αὐτὸ καθ' αὐτὸ Courerius.

οὐδὲν ἔπαθεν, ὁ δὲ παραυτίκα πληγεὶς ἀπέθανε. δοκιμασθέντος οὖν διὰ πολλῶν τοῦ τοιούτου εὑρέθη τὸ κιτρίον
85 ἀντιφάρμακον παντὸς δηλητηρίου φαρμάκου. ἐὰν δέ τις ἐν μέλιτι Ἀττικῷ ὅλον κιτρίον, ὡς ἔχει φύσεως, συνεψήσῃ μετὰ τοῦ σπέρματος, διαλύεται μὲν ἐν τῷ μέλιτι, καὶ ὁ ἀπ' αὐτοῦ λαμβάνων ἕωθεν δύο ἢ τρεῖς δακτύλους οὐδὲν ὁτιοῦν ὑπὸ φαρμάκου πείσεται.

29. Τούτοις εἴ τις ἀπιστεῖ, μαθέτω καὶ παρὰ Θεοπόμπου τοῦ Χίου, ἀνδρὸς φιλαλήθους καὶ πολλὰ χρήματα καταναλώσαντος εἰς τὴν περὶ τῆς ἱστορίας ἐξέτασιν ἀκριβῆ. φησὶ γὰρ οὗτος ἐν τῇ ὀγδόῃ καὶ τριακοστῇ τῶν ἱστο-
b ριῶν περὶ Κλεάρχου διηγούμενος, τοῦ Ἡρακλεωτῶν τῶν ἐν τῷ Πόντῳ τυράννου, ὡς βιαίως ἀνῄρει πολλοὺς καὶ ὡς τοῖς πλείστοις ἐδίδου κώνειον πιεῖν· „Ἐπειδὴ οὖν (φησὶ) πάντες ἔγνωσαν τὴν τοῦ φαρμάκου ταύτην φιλοτησίαν, οὐ προῄεσαν τῶν οἰκιῶν πρὶν φαγεῖν πήγανον· τοῦτο γὰρ τοὺς προφαγόντας μηδὲν πάσχειν πίνοντας τὸ ἀκόνιτον· ὃ καὶ κληθῆναί φησι διὰ τὸ φύεσθαι ἐν τόπῳ Ἀκόναις καλουμένῳ, ὄντι περὶ τὴν Ἡράκλειαν.“ ταῦτ' εἰπόντος τοῦ
c Δημοκρίτου θαυμάζοντες οἱ πολλοὶ τὴν τοῦ κιτρίου δύναμιν ἀπήσθιον ὡς μὴ πρότερον φαγόντες ἢ πιόντες τι. Πάμφιλος δ' ἐν ταῖς Γλώσσαις Ῥωμαίους φησὶν αὐτὸ κίτρον καλεῖν.

30. Ἑξῆς δὲ τοῖς προειρημένοις κατ' ἰδίαν ἐπεισενεχθέντων ἡμῖν πολλῶν ὀστρέων καὶ τῶν ἄλλων ὀστρακοδέρμων σχεδὸν τὰ πλεῖστα αὐτῶν μνήμης ἠξιωμένα παρ' Ἐπιχάρμῳ ἐν Ἥβας Γάμῳ εὑρίσκω διὰ τούτων

---

κιτρίον L. κίτρον PV.

85 a. ὅλον ABP. ὅλον τὸ CVL. κιτρίον ὡς ἔχει φύσεως] κίτριον φύσεως B. ὡς ἔχει] ὡς om. P. τούτοις εἴ τις AB. εἴ τις τούτοις PVL.

85 b. Ἡρακλεωτῶν Casaubonus. Libri ἡρακλεώτου. κώνειον] κώνιον A. Narrationem de Clearcho ex Athenaeo repetiit Stephanus Byz. in Ἀκόναι. προῄεσαν] προσῄεσαν BP. ὃ καὶ ABC. καὶ om. PVL. θαυμάζοντες B. Legebatur θαυμάσαντες.

85 c. ἀπήσθιον] ἀπείσθιον AP. Πάμφιλος] Eustathius p. 1572, 41. κίτρον] κρίτον AC. De Epicharmi fragmento vide annotationem. Ἥβας] Scribebatur Ἥβης.

Ἄγει δὲ παντοδαπὰ κογχύλια,
λεπάδας ἀσπέτους, κραβύζους, κηκιβάλους, τηθυνάκια,
d βαλάνους, πορφύρας, ὄστρεια συμμεμυκότα,
τὰ διελεῖν μέν ἐστι χαλεπά, καταφαγεῖν δ' εὐμαρέα·
μύας, ἀναρίτας τε κάρυκάς τε καὶ σκιφύδρια,
τὰ γλυκέα μὲν ἐντ' ἐπέσθειν, ἐμπαγῆμεν δ' ὀξέα,
τούς τε μακρογογγύλους σωλῆνας· ἁ μέλαινά τε
κόγχος, ἅπερ κογχοθήραν πᾶσιν ἐς τρισώνια·
θάτεραι δὲ ταὶ κόγχοι τε αἱ ἀμαθίτιδές τε
e κακοδόκιμοι τε κήγονοι, τὰς ἀνδροφυκτίδας
πάντες ἄνθρωποι καλέονθ', ἁμὲς δὲ λεύκας τοὶ θεοί.

31. Ἐν δὲ Μούσαις γράφεται·

Ἀντὶ τοῦ
κόγχος, ἂν τέλλιν καλέομες· ἔστι δ' ἄδιστον κρέας.

---

V. 1. ἄγει ABP. ἄγε VL. V. 2. ἀσπέτους B et Casauboniani. ἀσπίδους PVL. κραβύζους ABP et Casauboniani. στραβήλους VL. κηκιβάλους] κεκιβάλους B.

85 d. V. 3. πορφύρας Schweigh. πορφυρᾶς VL. πορφυρὰς P. ὄστρεια dedi ex p. 92 f. Libri ὄστρεα. συμμεμυκότα] συμπεφυκότα 92. V. 4. Doricas formas restituit Valckenar. ad Adoniaz. p. 223. διελῆν μὲν ἐντὶ — καταφαγῆν. V. 5. ἀναρίτας Basil. et L. ἀναρίπτας APV. ἀναρριπτάς B. κάρυκάς τε P. καρύκας τε VL. V. 6. ἐπέσθειν PL, ἐπίσθειν V. ἐμπαγῆμεν Valckenarius. ἐπαγῆμεν A. ἐν πάγῃ μὲν B. ἐν πάγει μὲν PVL. V. 7. μακρογογγύλους ABP. μακρογογγύλλους VL. ἁ] ἁ A. Legebatur ἡ.
V. 8. κογχόθηραν ABP. κογχόθηρα VL. „*Scripta manu lectio nihilo melior, ἅπερ κογχόθηραν πᾶσιν ἐς τρισῶνα.*“ Casaubonus. ἅπερ κογχοθήραις πᾶσιν ἐστὶν ὠνία Schneiderus ad Aristot. H. A. vol. IV. p. 376. τρισώνια] τρισύνια P. V. 9. θάτεραι] θάτερα B. δὲ ταὶ Schweigh. δέ τ' αἱ PVL. κόγχοι τε αἱ ABP. κόγχοι αἱ VL. ἀμαθίτιδες] αἱματίτιδες P.

85 e. V. 10. κακοδόκιμοι] κακοδόκιμος B. | κήγονοι Casaubonus. Libri κηγόνοι. Verborum depravatorum sententia haec fuisse videtur Schneidero l. l. „*conchae albae, inquit, in arenosis nasci dicuntur, veneri contrariae; sed epularum et deorum adeo delicias simul dici eas suspicor.*“ V. 11. καλέονθ'] Libri καλέοντι. ἁμὲς BD. ἐμὲς P. ἄμμες VL. Ἀντὶ τοῦ] Ἐντὶ Casaubonus. τοῦ] Fortasse τοι. ἂν τέλλιν] ἀντέλλιν B. ἀντέλλειν AP. ἀντέλλην VL. ἂν τέλλην Casaubonus. καλέομες] καλέομεν B. ἔστι B. ἐστιν PVL.

τὴν τελλίναν λεγομένην ἴσως δηλοῖ, ἣν Ῥωμαῖοι μίτλον ὀνομάζουσι. μνημονεύων δ' αὐτῆς Ἀριστοφάνης ὁ γραμματικὸς ἐν τῷ περὶ τῆς ἀχνυμένης σκυτάλης συγγράμματι ὁμοίας φησὶν εἶναι τὰς λεπάδας ταῖς καλουμέναις τελλίναις.
f Καλλίας δ' ὁ Μυτιληναῖος ἐν τῷ περὶ τῆς παρ' Ἀλκαίῳ λεπάδος παρὰ τῷ Ἀλκαίῳ φησὶν εἶναι ᾠδὴν ἧς ἡ ἀρχὴ „Πέτρας καὶ πολιᾶς θαλάσσας τέκνον“ ἧς ἐπὶ τέλει γεγράφθαι „Ἐκ λεπάδων χαύνοις φρένας ἁ θαλασσία λεπάς.“ ὁ δ' Ἀριστοφάνης γράφει ἀντὶ τοῦ λεπὰς χέλυς, καὶ φησὶν οὐκ εὖ Δικαίαρχον ἐκδεξάμενον λέγειν τὰς λεπάδας· τὰ παιδάρια δὲ, ἡνίκ' ἂν εἰς τὸ στόμα λάβωσιν, αὐλεῖν ἐν ταύταις καὶ παίζειν, καθάπερ καὶ παρ' ἡμῖν τὰ σπερμολόγα τῶν παιδαρίων ταῖς καλουμέναις τελλίναις,
86 ὡς καὶ Σώπατρός φησιν ὁ φλυακογράφος ἐν τῷ ἐπιγραφομένῳ δράματι Εὐβουλοθεόμβροτος

Ἀλλ' ἴσχε· τελλίνης γὰρ ἐξαίφνης μέγας
ἀκοὰς μελῳδὸς ἦχος εἰς ἐμὰς ἔβη.

πάλιν ὁ Ἐπίχαρμος ἐν Πύρρᾳ καὶ Προμαθεῖ φησι

Καὶ τελλίναν κἀναρίταν θᾶσαι δὴ καὶ λεπὰς ὅσσα.

παρὰ Σώφρονι δ' οἱ κόγχοι μελαινίδες λέγονται „Μελαινίδες γάρ τοι νησοῦντι ἐμὶν ἐκ τοῦ μικροῦ λιμένος.“

---

ἐντὶ Schweigh. τελλίναν] τελλίναν δὲ BP. λεγομένην] καλουμένην P. μίτλον AP. μίλτον B. μύτλον VL. Μυτιληναῖος] Scribebatur Μιτυληναῖος. μυτηλιναῖος B. μυτηληναῖος P.

85 f. θαλάσσας ABP. θαλάσσης VL. In A η supra versum scriptum. Ἐκ λοπάδων σαίνεις Blomfieldus ad fragm. 50. ἐκδεξάμενον Valcken. ad Phoeniss. p. 169. Libri ἐκλεξάμενον. λεπάδας PVL. λεπίδας AB.

86 a. φλυακογράφος P. φλοιακογράφος CVL. εὐβουλοθεόμβροτος B. Sic 90 e. Φανίας ἐν τῷ ἐπιγραφομένῳ τυράννων ἀναίρεσις. εὐβουλοθεομβρότῳ PVL. μέγας BC. μέ τις PVL. πάλιν A. πᾶ δ' PVL. Πύρρᾳ καὶ Προμαθεῖ] Πύρρα ἢ Προμηθεὺς haec fabulae apud Pollucem dicitur X, 82. καὶ Porsonus. τὰν Schweigh. Legebatur κᾶν. τελλίναν Casaubonus. Libri τις ἐλλήνων. κἀναρίταν Porsonus. τε κ' ἀναρίταν Casaubonus. Libri τὸν ἄνδρι τ' ἄν. ὅσσα] ὅσα B. οἱ κόγχοι] αἱ κόγχαι Schneider. in indice ad scriptor. R. R. p. 148. et ad Aristot. H. A. vol. IV. p. 370. γάρ τοι] γάρ τι B. νησοῦντι BP. νησουντι sine accentu A. νησοῦν τὶ VL.

ἐν δὲ τῷ ἐπιγραφομένῳ Ὡλιεὺς τὸν ἀγροιώταν χηράμβας
b ὀνομάζει. καὶ Ἀρχίλοχος δὲ τῆς χηράμβης μέμνηται, τοῦ δ' ἀναρίτου Ἴβυκος. καλεῖται δ' ὁ ἀναρίτης καὶ ἀνάρτης. κογχώδες δὲ ὂν τὸ ὄστρεον προσέχεται ταῖς πέτραις ὥσπερ αἱ λεπάδες. Ἡρώνδας δ' ἐν Συνεργαζομέναις

Προσφὺς ὅκως τις χοιράδων ἀναρίτης.

Αἰσχύλος δ' ἐν Πέρσαις τινὰς νήσους νηριτοτρόφους εἴρηκεν. Ὅμηρος δὲ τῶν τηθέων μέμνηται.

32. Διοκλῆς δ' ὁ Καρύστιος ἐν τοῖς Ὑγιεινοῖς κράτιστά φησιν εἶναι τῶν κογχυλίων πρὸς διαχώρησιν καὶ οὔ-
c ρησιν μύας, ὄστρεα, κτένας, χήμας. Ἄρχιππος δ' ἐν Ἰχθύσι

Λεπάσιν, ἐχίνοις, ἐσχάραις, βελόναις τε τοῖς κτεσίν τε.

ῥωμαλεώτερα δὲ τῶν κογχυλίων φησὶν εἶναι ὁ Διοκλῆς κόγχας, πορφύρας, κήρυκας. περὶ δὲ τῶν κηρύκων ὁ Ἄρχιππος τάδε λέγει

Κῆρυξ θαλάσσης τρόφιμος υἱὸς πορφύρας.

Σπεύσιππος δ' ἐν δευτέρῳ Ὁμοίων παραπλήσια εἶναι κήρυκας, πορφύρας, στραβήλους, κόγχους. τῶν στραβήλων μνημονεύει καὶ Σοφοκλῆς ἐν Καμικίοις οὕτως

d Ἁλίας στραβήλου τῆσδε τέκνον εἴ τινα
δυναίμεθ' εὑρεῖν.

ἔτι ὁ Σπεύσιππος ἑξῆς πάλιν ἰδίᾳ καταριθμεῖται κόγχους, κτένας, μῦς, πίννας, σωλῆνας, καὶ ἐν ἄλλῳ μέρει ὄστρεα, λεπάδας. Ἀραρὼς δὲ Καμπυλίωνί φησιν

---

ἐν δὲ τῷ Schweigh. Libri ἐν τῷ. ὠλιεὺς τὸν A. ὠλιευστὸν B. ωλιευ ον P. ἁλιευτικῷ VL. ἀγροιώταν] ἀγριώταν B.

86 b. χηράμβας ABP. χηράβας VL. Ἀρχίλοχος] Fr. 47. p. 311. χηράμβης AB. χηράβος PVL. ἀνάρτης B.. ἀνάρτας PVL. κογχώδες] κοχλιώδες Schweigh. ὥσπερ] ὡς αἱ B. ὅκως] ὅπως C.

Αἰσχύλος] Non leguntur haec in Persis. Quare de Epicharmo reponendo cogitavit Blomfieldus ad v. 897. τινὰς νήσους] Sic correxi librorum vitia, quorum AP τίς ἀνήρει τοὺς νήσους. BVL τίς ἀνήρει τὰς νήσους. νηριτοτρόφους ABP. ἀναῤῥιτοτρόφους V. ἀναριτοτρόφους L. Ὅμηρος] Iliad. π, 747. τῶν] τοὶ A. κράτιστα] κρατίστη B.

86 c. κτεσίν Elmsleius in Edinburgh Review fasc. XXXVII. p. 88. Legebatur κτένεσι. Vide ad 90 f. ubi hic versus repetitur. κογχυλίων AB. κογχίων PVL. Καμικίοις cum aliis Brunckius p. 624. Legebatur Καμικοῖς. Conf. ad IX. p. 388 f.

86 d. δυναίμεθ'] δυνάμεσθ' B. πίννας] πίνας BP. Ἀραρὼς]

Τὰ κομψὰ μὲν δὴ ταῦτα, νωγαλεύματα,
κόγχαι τε καὶ σωλῆνες, αἵ τε κάμπυλαι
καρῖδες ἐξήλλοντο δελφίνων δίκην.

e Σώφρων δ᾽ ἐν Μίμοις „Τίνες δέ ἐντί ποκα, φίλα, ταίδε τοι μακραὶ κόγχαι; Β. σωλῆνές θην τοῦτοί γα, γλυκύκρεον κογχύλιον, χηρᾶν γυναικῶν λίχνευμα.“ τῶν δὲ πιννῶν μνημονεύει Κρατῖνος ἐν Ἀρχιλόχοις :

Ἡ μὲν δὴ πίννῃσι καὶ ὀστρείοισιν ὁμοίη.

Φιλύλλιος δ᾽ ἢ Εὔνικος ἢ Ἀριστοφάνης ἐν Πόλεσι

Πουλυπόδειον,
σηπιδάριον, κάραβον, ἀστακὸν, ὄστρεον * *
χήμας, λεπάδας, σωλῆνας, μῦς, πίννας, κτένας ἐκ Μυτιλήνης·
αἱρετ᾽ ἀνθρακίδας, τρίγλη, σαργὸς, κεστρεὺς, πέρκη, κορακῖνος.

f Ἀγίας δὲ καὶ Δερκύλος ἐν Ἀργολικοῖς τοὺς στραβήλους ἀστραβήλους ὀνομάζουσι, μνημονεύοντες αὐτῶν ὡς ἐπιτηδείων ὄντων εἰς τὸ σαλπίζειν.

---

Vide ad II. p. 47 d. ἄραρως P. V. 1. μὲν δὴ Schweigh. δὴ ABCP. δήπου VL. V. 2. 3. Vide infra p. 105 e.

86 e. ταίδε τοι Toupius Emend. vol. III. p. 155. ταίδε ταὶ Blomfieldus in Museo crit. VII. p. 343. τὸ (τε P.) δέ τοι PVL. σωλῆνες θὴν A. σωληνέσθην V. σωληνισθην B. σωλῆνα θην P. σωλὴν L. Demetrius de elocutione sect. 152. ex Sophrone affert σωλῆνες γλυκύκρεον κογχύλιον χηρῶν γυναικῶν λιχνεύμασιν. τοῦτοί γα A. τοῦτοιγα B. του τοι γα P. τοῦτί γα VL. γλυκύκρεον ABP cum Demetrio. γλυκύκρεων VL et qui postrema Sophronis verba habet C. κογχύλεον ABPV. κογχύλιον L. χηρᾶν VL. χῆραν P. χήραν AC. πιννῶν] πινῶν B. δὴ πίννῃσι Meinekius. σηπίῃσι libri. De hoc versu p. 92 f. haec affert πίννῃσι — ὁμοίη. ὀστρείοισιν 92. Scribebatur ὀστρέοισιν. δ᾽ ἢ Εὔνικος Schweigh. δ᾽ ἢ δύνικος AP. (ad vocis δύνικος litteram primam in margine P φρ scriptum est.) δ᾽ ἠδύνικος B. δ᾽ ἢ φρύνιχος VL. V. 1. Πουλυπόδειον Erfurdtius p. 445. πολυπόδιον libri. V. 2. ἀστακὸν] P. 104 f. ὄστρεον ABP. ὄστρεα VL. Indicavi lacunam. Versum 3. repetit p. 92 e. πίννας] πίνας AB. Μυτιλήνης] Μηθύμνης 92. vitiose. Scribebatur hic et alibi Μιτυλήνης. V. 4. αἱρετ᾽ (αἵρετ᾽ B.) ἀνθρακίδας libri. ἀνθρακίδες Dalecampius. Scribendum videtur πάρα τ᾽ ἀνθρακίδες.

86 f. Δερκύλος] Scribebatur Δέρκυλος.

33. Τὰς δὲ κόγχας ἔστιν εὑρεῖν λεγομένας καὶ θηλυκῶς καὶ ἀρσενικῶς. Ἀριστοφάνης Βαβυλωνίοις

Ἀνέχασκον εἷς ἕκαστος ἐμφερέστατα
87 ὀπτωμέναις κόγχαισιν ἐπὶ τῶν ἀνθράκων.

Τηλεκλείδης δ᾽ ἐν Ἡσιόδοις κόγχῃ φησὶ διελεῖν. καὶ Σώφρων γυναικείοις „Αἵ γα μὰν κόγχαι ὥσπερ αἵ κ᾽ ἐξ ἑνὸς κελεύματος κεχάνανται ἀμῖν πᾶσαι, τὸ δὲ κρῆς ἑκάσταις ἐξέχει.“ ἀρσενικῶς δ᾽ Αἰσχύλος ἐν Ποντίῳ Γλαύκῳ „Κόγχοι, μύες κὤστρεια.“ Ἀριστώνυμος Θησεῖ „Κόγχος ἦν βαπτῶν
b ἁλῶν.“ [ὁμοίως] παραπλησίως δ᾽ εἴρηκε καὶ Φρύνιχος Σατύροις. Ἱκέσιος δὲ ὁ Ἐρασιστράτειος τῶν χημῶν φησι τὰς μὲν τραχείας λέγεσθαι, τὰς δὲ βασιλικάς. καὶ τὰς μὲν τραχείας καὶ κακοχύλους εἶναι, ὀλιγοτρόφους καὶ εὐεκκρίτους, χρῆσθαι δὲ αὐταῖς καὶ δελέασι τοὺς πορφυρευομένους· τῶν δὲ λείων κατὰ τὰ μεγέθη καὶ τὰς διαφορὰς εἶναι κρατίστας. Ἡγήσανδρος δ᾽ ἐν ὑπομνήμασι τὰς τραχείας φησὶ κόγχας ὑπὸ μὲν Μακεδόνων κωρύκους καλεῖσθαι, ὑπὸ δὲ Ἀθηναίων κρείσυς.

c 34. Τὰς δὲ λεπάδας ὁ Ἱκέσιος τῶν προειρημένων εὐεκκρίτους μᾶλλον εἶναι, τὰ δ᾽ ὄστρεα ἀτροφώτερά τε τούτων καὶ πλήσμια εὐεκκριτώτερά τε τούτων. „Οἱ δὲ κτένες τροφιμώτεροι μέν εἰσι, κακοχυλότεροι δὲ καὶ δυσεκκριτώτεροι. τῶν δὲ μυῶν οἱ μὲν Ἐφέσιοι καὶ οἱ τούτοις ὅμοιοι τῇ εὐχυλίᾳ τῶν μὲν κτενῶν βελτίονες, τῶν δὲ χημῶν λειπόμενοι· οὐρητικώτεροι δὲ μᾶλλον ἢ ἐπὶ τὴν κοιλίαν φερόμενοι. εἰσὶ δ᾽ αὐτῶν ἔνιοι καὶ σκιλλώδεις κακόχυλοί τε

---

βαβυλωνίοις AB. ἐν βαβυλωνίοις PVL.

87 a. κόγχῃ ABPV. κόγχην L. Σώφρων] Etymol. M. p. 502, 19. Κέλευμα, ἐκ τοῦ κελεύω. Σώφρων, Οὔγε μὰν κόχλοι ὥσπερ ἐξ ἑνὸς κελεύματος. Αἵ γα μὰν] . . γαμαν P. κελεύματος ABPV. κελεύσματος L. ἀμῖν ABC. ἀμὶν D. ἄμιν P. ἄμμιν VL. κρῆς] κρὴς P. ἑκάστας VL. ἕκαστος ABDP. κὤστρεια] Libri κ᾽ ὄστρεα. βαπτῶν ἁλῶν Porsonus. Legebatur βάπτων ἄλλων. ὁμοίως delendum vidit Porsonus.

87 b. Ἐρασιστράτειος L. ἐρασιστράτιος AB. ἐρασίστρατος PV. καὶ εὐεκκρίτους L. καὶ om. PV. αὐταῖς καὶ] καὶ deleo.

87 c. μέν εἰσι ABPV. μέν εἰσι τούτων CL. Ἐφέσιοι] ἐφεύσιοι B. τῶν μὲν κτενῶν] μὲν om. B. χημῶν] χυμῶν B. σκιλ-

d καὶ πρὸς τὴν πέψιν ἀπειθεῖς. οἱ δ' ἐλάσσονες τούτων
καὶ δασεῖς ἔξωθεν οὐρητικώτεροι μέν εἰσι καὶ εὐχυλότεροι
τῶν σκιλλωδῶν, ἀτροφώτεροι δὲ διά τε τὸ μέγεθος καὶ
τῷ γένει ὄντες τοιοῦτοι. οἱ δὲ τῶν κηρύκων τράχηλοι εὐ-
στόμαχοί τέ εἰσι καὶ ἀτροφώτεροι μυῶν τε καὶ χημῶν καὶ
κτενῶν, τοῖς δ' ἀσθενῆ τὸν στόμαχον ἔχουσι καὶ μὴ ῥα-
δίως ἀποδιωθοῦσι τὴν τροφὴν εἰς τὸ κύτος τῆς κοιλίας
χρήσιμοι, δύσφθαρτοι ὄντες. τὰ γὰρ ὁμολογουμένως εὔ-
πεπτα κατὰ τοὐναντίον ἀλλότρια τῆς διαθέσεως ταύτης
e ἐστὶν, εὐχερῶς διαφθειρόμενα, διὰ τὸ ἁπαλὰ καὶ εὐδιά-
λυτα εἶναι. ὅθεν αἱ μήκωνες αὐτῶν πρὸς μὲν τὰς τῶν
στομάχων εὐτονίας οὐκ εὐθετοῦσι, πρὸς δὲ τὴν τῆς κοι-
λίας ἀσθένειαν χρήσιμοι. τροφιμώτεραι δὲ τούτων εἰσὶ καὶ
ἀπολαυστικώτεραι αἱ τῆς πορφύρας μήκωνες, πλὴν σκιλ-
λωδέστεραι ὑπάρχουσι· καὶ γὰρ ὅλον τὸ κογχύλιον τοιοῦ-
τόν ἐστιν. ἴδιον δὲ καὶ ταύταις καὶ τοῖς σωλῆσι παρέπε-
ται τὸ ἑψομέναις παχὺν ποιεῖν τὸν ζωμόν. ἑψόμενοι δὲ
f τὸ καθ' ἑαυτοὺς καὶ οἱ τράχηλοι τῶν πορφυρῶν εὐθε-
τοῦσι πρὸς τὰς τῶν στομάχων διαθέσεις." μνημονεύει δ'
αὐτῶν Ποσείδιππος ἐν Λοκρίσιν οὕτως

Ὥρα περαίνειν ἐγχέλεια, καράβους,
κόγχας, ἐχίνους προσφάτους, μηκώνια,
πίννας, τραχήλους, μύας.

35. Αἱ βάλανοι δ' εἰ μείζονες, εὐέκκριτοι καὶ εὔστο-
μοι. τὰ δ' ὠτάρια, γίνεται δὲ ταῦτα κἀν τῇ κατὰ τὴν
Ἀλεξάνδρειαν λεγομένῃ Φάρῳ νήσῳ, τροφιμώτερα τῶν
88 προειρημένων ἁπάντων, οὐκ εὐέκκριτα δέ. Ἀντίγονος δ' ὁ
Καρύστιος ἐν τῷ περὶ λέξεως τὸ ὄστρεον τοῦτο ὑπὸ Αἰο-

---

λώδεις PVL. σκυλλώδεις Casauboni *membranae omnes et epitome:* unde Salmasius in Exerc. Plin. p. 793. σκυλώδεις.

87 d. δ' ἐλάσσονες] δὲ ἐλασσούμενοι C. ἀποδιωθοῦσι PL. ἀποδιηθοῦσι V. κύτος L. αὐτὸ PV. δύσφθαρτοι Schweigh. Legebatur δύσφθαρτοί τε.

87 e. ἑψομέναις] ἑψομένοις C.

87 f. Ποσείδιππος] ποσίδιππος ABP. λοκρίσιν A. λοκροῖσιν PVL. ὥρα PL. ὧραι V. ἐγχέλεια Porsonus. ἐγχέλυα V. ἐγχέλυσι B. ἐγχέλια L. καράβους BPV et, nisi fallor, A. καὶ καράβους L. πίννας] πινας AB.

88 a. ὑπὸ Αἰολέων καλεῖσθαι] οἱ ἁλιεῖς καλοῦσι Hesychius in οἰκ

λέων καλεῖσθαι οὓς Ἀφροδίτης. αἱ δὲ φωλάδες πολυτροφώτεραι, βρωμώδεις δέ. τὰ δὲ τήθη παραπλήσια τοῖς προειρημένοις καὶ πολυτροφώτερα. γίνεται δέ τινα καὶ ἄγρια λεγόμενα ὄστρεα· πολύτροφα δ' ἐστὶ καὶ βρωμώδη, προσέτι τε εὐτελῆ κατὰ τὴν γεῦσιν. Ἀριστοτέλης δ' ἐν τῷ
b περὶ ζῴων „Ὄστρεα (φησὶ) πίννη, ὄστρεον, μῦς, κτείς, σωλήν, κόγχη, λεπάς, τῆθος, βάλανος. πορευτικὰ δὲ κῆρυξ, πορφύρα, ἡδυπορφύρα, ἐχῖνος, στράβηλος. ἔστι δ' ὁ μὲν κτεὶς τραχυόστρακος, ῥαβδωτός, τὸ δὲ τῆθος ἀρράβδωτον, λειόστρακον, ἡ δὲ πίννη λεπτόστομον, τὸ δὲ ὄστρεον παχύστομον, δίθυρον δὲ καὶ λειόστρακον, λεπὰς δὲ μονόθυρον καὶ λειόστρακον, συμφυὲς δὲ μῦς, μονοφυὲς δὲ καὶ λειόστρακον σωλὴν καὶ βάλανος, κοινὸν δ' ἐξ ἀμφοῖν
c κόγχη." τὸ δ' ἐντὸς τῆς πίννης Ἐπαίνετος ἐν Ὀψαρτυτικῷ καλεῖσθαί φησι μήκωνα. ἐν δὲ πέμπτῳ ζῴων μορίων ὁ Ἀριστοτέλης „Γίνονται (φησὶν) αἱ μὲν πορφύραι περὶ τὸ ἔαρ, οἱ δὲ κήρυκες λήγοντος τοῦ χειμῶνος. ὅλως δὲ (φησὶ) τὰ ὀστρακόδερμα ἐν τῷ ἔαρι φαίνεται ἔχοντα τὰ καλούμενα ᾠά· κἂν τῷ μετοπώρῳ δέ, πλὴν τῶν ἐχίνων τῶν ἐδωδίμων. οὗτοι δὲ μάλιστα μὲν ἐν ταύταις ταῖς ὥραις ἀεί τε ἰσχύουσι καὶ τὸ πλέον ἐν ταῖς πανσελήνοις καὶ ταῖς ἀλεει-

---

Ἀφροδίτης. Vulgata scriptura est apud Eustathium p. 1821, 54. καλεῖσθαι] καλεῖσθαί φησιν Schweigh. βρωμώδεις — βρωμώδη] βρομώδεις — βρομώδη ACP. πολυτροφώτερα] πολυτροφωτέροις C. ἄγρια λεγόμενα ὄστρεα] ἀέρια ὄστρεα C. Ἀριστοτέλης] Excerpta haec ex H. A. IV, 4. p. 144. 145. et aliunde.

88 b. πίννη] πίνη AB, et sic infra. Plura ex hoc loco attulit Eustathius p. 1485, 36. τραχυόστρακος PVL. τραχεόστρακος B et Eustathius. ἀρράβδωτον VL et Eustathius. ἀράβδωτον BP et Schweigh. editio. Post ἀράβδωτον sic pergit P, λειόστρακον. λεπὰς δὲ δίθυρον καὶ λειόστρακον —. δίθυρον — μονόθυρον Gesnerus de Aquatil. p. 689. Libri μονόθυρον — δίθυρον. συμφυὲς δὲ μῦς om. C.

88 c. Ὀψαρτυτικῷ] Legebatur ἀρτυτικῷ. Ἀριστοτέλης] H. A. V. 10. p. 196. μορίων ABCPL et Casauboniani. ἱστορίας V. ᾠά A et infra ᾠῶν cum iota adscripto, quo carere solent PVL. ἰσχύουσι] Schweighaeuserum ἴσχουσι edidisse poenituit. Apud Aristotelem scriptum οὗτοι δὲ μάλιστα μὲν ἐν ταύταις ταῖς ὥραις, οὐ μὴν ἀλλὰ καὶ ἀεὶ ἴσχουσι καὶ μάλιστα ταῖς πανσελήνοις.

ναῖς ἡμέραις, πλὴν τῶν ἐν τῷ Εὐρίπῳ τῶν Πυῤῥαίων·
d ἐκεῖνοι δ' ἀμείνονες τοῦ χειμῶνος, καὶ εἰσὶ μικροὶ, πλήρεις δὲ ᾠῶν. κύοντες δὲ φαίνονται καὶ οἱ κοχλίαι πάντες ὁμοίως τὴν αὐτὴν ὥραν."

36. Προελθὼν δὲ πάλιν φησὶν ὁ φιλόσοφος „Αἱ μὲν οὖν πορφύραι τοῦ ἔαρος συναθροιζόμεναι εἰς τὸ αὐτὸ ποιοῦσι τὴν καλουμένην μελίκηραν, * * * ἀλλ' οὐχ οὕτω γλαφυρὸν, ὥσπερ ἂν εἰ ἐκ λεπύρων ἐρεβίνθων λευκῶν πολλὰ συμπαγείη. ἔχει δὲ ἀνεῳγμένον οὐδὲν τούτων· οὐδὲ
e γίνονται ἐκ τούτων αἱ πορφύραι, ἀλλὰ φύονται αὗται καὶ τἆλλα ὀστρακόδερμα ἐξ ἰλύος καὶ σήψεως. τοῦτο δὲ συμβαίνει ὥσπερ ἀποκάθαρμα καὶ ταύταις καὶ τοῖς κήρυξι· κηριάζουσι γὰρ καὶ οὗτοι. ἀφιᾶσι δ' ἀρχόμεναι κηριάζειν γλισχρότητα μυξώδη, ἐξ ὧν τὰ λεπυρώδη συνίσταται. ταῦτα μὲν οὖν ἅπαντα διαχεῖται, ἀφίησι δ' ἰχῶρα εἰς τὴν γῆν· καὶ ἐν τούτῳ τῷ τόπῳ γίνεται ἐν τῇ γῇ συστάντα πορφύρια μικρὰ, ἃ ἔχουσαι ἁλίσκονται αἱ πορφύραι.
f ἐὰν δὲ πρὶν ἐκτεκεῖν ἁλῶσιν, ἐνίοτε ἐν ταῖς φορμίσιν, εἰς δὲ τοῦτο συνιοῦσαι ἐκτίκτουσι, καὶ γίνεται οἱονεὶ βότρυς. ἔστι δὲ τῶν πορφυρῶν γένη πλείονα· καὶ ἔνιαι μὲν μεγάλαι, οἷον αἱ περὶ τὸ Σίγειον καὶ τὸ Λέκτον, αἱ δὲ μικραὶ, οἷον ἐν τῷ Εὐρίπῳ καὶ περὶ Καρίαν. καὶ αἱ μὲν
89 ἐν τοῖς κόλποις μεγάλαι καὶ τραχεῖαι· καὶ τὸ ἄνθος αἱ

---

πυῤῥαίων VL. πυρρίων ABCP.

88 d. κοχλίαι PL. κογχίαι V. ὁμοίως] ὅμοιοι C. ὥραν om. B. Eius loco duo puncta habet P. προελθὼν] V. 13. p. 204. 205. μελίκηραν B. μελικήραν PVL. Post μελίκηραν editores ex Aristotele addiderunt τοῦτο δ' ἐστὶν οἷον κηρίον —. Ego indicavi lacunam. ἀλλ' οὐχ] πλὴν οὐχ Aristoteles. οὕτω] οὕτως BP. ὥσπερ] ἀλλ' ὥσπερ Aristoteles. λεπύρων ἐρεβίνθων] λεπυρίων ἐρεβινθίνων Aristoteles. ἐρεβίνθων λευκῶν] ἐρεβίνθου λευκοῦ C. ἀνεῳγμένον] Adde πόρον ex Aristotele.

88 e. αὗται] αὐταὶ C. ὀστρακόδερμα] ὄστρακα C. ἰχῶρα] Apud Aristotelem vitiose ὃ εἶχεν.

88 f. εἰς δὲ τοῦτο] εἰς τὸ αὐτὸ Sylburgius. Apud Aristotelem ἐνίοτε ἐν ταῖς φορμίσιν οὐχ ὅπου ἔτυχεν ἐκτίκτουσιν, ἀλλ' εἰς ταὐτὸ ἰοῦσαι. σίγειον PVL. σίγιον AB. Λέκτον L. λεκτὸν CPV. καὶ περὶ — τραχεῖαι add. ABCL. om. PV. Ex suo epitomes libro Hoeschelius addiderat καὶ περὶ Καρίαν, καὶ ἐν τῷ κόλπῳ μὲν μεγάλαι καὶ τραχεῖαι.

μὲν πλεῖσται μέλαν ἔχουσιν, ἔνιαι δ' ἐρυθρὸν μικρῷ. γίνονται δ' ἔνιαι τῶν μεγάλων καὶ μναϊαῖαι. αἱ δ' ἐν τοῖς αἰγιαλοῖς καὶ περὶ τὰς ἀκτὰς τὸ μὲν μέγεθός εἰσι μικραί, τὸ δὲ ἄνθος ἐρυθρὸν ἔχουσιν. ἔτι δ' ἐν μὲν τοῖς προσβόρροις μέλαιναι, ἐν δὲ τοῖς νοτίοις ἐρυθραὶ ὡς ἐπὶ τὸ πλεῖστον."

37. Ἀπολλόδωρος δ' ὁ Ἀθηναῖος ἐν τοῖς περὶ Σώφρονος προθεὶς τὸ „Λιχνοτέρα τᾶν πορφυρᾶν" φησὶν ὅτι παροιμία ἐστὶ καὶ λέγει ὡς μέν τινες ἐπὶ τοῦ βάμματος·
b οὗ γὰρ ἂν προσψαύσῃ ἕλκει ἐφ' ἑαυτὸ καὶ τοῖς προσπαρατιθεμένοις ἐμποιεῖ χρώματος αὐγήν· ἄλλοι δ' ἐπὶ τοῦ ζώου. „Ἁλίσκονται δὲ (φησὶν ὁ Ἀριστοτέλης) τοῦ ἔαρος· ὑπὸ κύνα δ' οὐχ ἁλίσκονται. οὐ γὰρ νέμονται, ἀλλὰ κρύπτουσιν ἑαυτὰς καὶ φωλεύουσι. τὸ δὲ ἄνθος ἔχουσιν ἀνὰ μέσον τοῦ μήκωνος καὶ τοῦ τραχήλου. ἔχει δὲ καὶ αὐτὴ καὶ ὁ κῆρυξ τὰ ἐπικαλύμματα, κατὰ τὰ αὐτὰ καὶ τὰ ἄλλα τὰ στρομβώδη ἐκ γενετῆς πάντα. νέμονται δ' ἐξείροντα

---

89 a. ἐρυθρὸν μικρῷ AC. ἐρυθρὸν μικρὸν PVL cum vulgatis libris Aristotelis. Schneiderus ἐρυθρὸν καὶ μικρὸν ex libris duobus et Thomae interpretatione Latina. μναϊαῖαι L et Eustathius p. 1878, 58. 1905, 37. μναιαῖαι V. μνᾶαι A. μναῖαι P et Aristotelis liber unus: ceteri μναῖαι. αἱ δ' ἐν τοῖς] ἐν δὲ ταῖς P. τοῖς προσβόρροις] ταῖς πρὸς βορροῖς A. ταῖς προσβοροῖς P, τοῖς πρὸς βορροῖς B. τοῖς προσβόροις CV. τοῖς βορείοις L et vulgati Aristotelis libri: τοῖς προσβορείοις meliores. Ἀπολλόδωρος] Epitome haec tantum habet ἡ δὲ παροιμία ἡ λέγουσα λιχνότερος πορφύρας, ὡς μέν τινες —. προθεὶς A. προσθεὶς PVL. τὸ V. τὰ L et codex Romanus in excerptis Aegianis: sed τὸ libri omnes VII. p. 281 e. λιχνοτέρα Schweigh. Scribebatur λιχνότερα. Recte Blomfieldus in Museo critico VII. p. 341. hoc fragmentum coniunxit cum eo quod VII, p. 281 e. affertur: in quam sententiam etiam Schweigh. annotatione ad illum locum inclinavit, et λιχνοτέραν scribi voluit. πορφυρᾶν] πορφύραν BP. φησὶν add. AB et codex Romanus. om. PVL. ἐπὶ τοῦ β. Schweigh. Legebatur ἀπὸ τοῦ β.

89 b. ἐπὶ τοῦ ζ. ABP. ἀπὸ τοῦ ζ. CVL. Ἀριστοτέλης] H. A. V. 13, 4. p. 206. ἔχει δὲ] ἔχουσι δὲ P. Scribendum videtur ἔχουσι δὲ καὶ αὗται —. Vide Aristotelem V. 13, 7. p. 207. καὶ αὐτὴ] καὶ αὐτὰ B. καὶ αὐτοὶ P. ἐξείροντα] Vitiose in Aristotele ἕαίροντα.

c τὴν καλουμένην γλῶτταν ὑπὸ τὸ κάλυμμα. τὸ δὲ μέγεθος τῆς γλώσσης ἔχει ἡ πορφύρα μεῖζον δακτύλου, ᾧ νέμεται καὶ διατρυπᾷ καὶ τὰ κογχύλια καὶ τὸ ἑαυτῆς ὄστρακον. μακρόβια δ' ἐστὶ καὶ ἡ πορφύρα καὶ ὁ κῆρυξ καὶ ζῇ περὶ ἔτη ἕξ. φανερὰ δὲ ἡ αὔξησις ἐκ τῆς ἐν τῷ ὀστράκῳ ἕλικος. αἱ δὲ κόγχαι καὶ χῆμαι καὶ σωλῆνες καὶ κτένες ἐν τοῖς ἀμμώδεσι λαμβάνουσι τὴν σύστασιν."

38. „Αἱ δὲ πίνναι ὀρθαὶ φύονται ἐκ τοῦ βυθοῦ, ἔχουσί
d τε ἐν αὑταῖς τὸν πιννοφύλακα αἱ μὲν καρίδιον, αἱ δὲ καρκίνιον, οὗ στερόμεναι θᾶττον διαφθείρονται." τοῦτο δὲ Πάμφιλος ὁ Ἀλεξανδρεὺς ἐν τοῖς περὶ ὀνομάτων συμπεφυκέναι φησὶν αὐταῖς. Χρύσιππος δ' ὁ Σολεὺς ἐν τῷ πέμπτῳ περὶ τοῦ καλοῦ καὶ τῆς ἡδονῆς „Ἡ πίννη (φησὶ) καὶ ὁ πιννοτήρης συνεργὰ ἀλλήλοις, κατ' ἰδίαν οὐ δυνάμενα συμμένειν. ἡ μὲν οὖν πίννη ὄστρεόν ἐστιν, ὁ δὲ πιννοτήρης καρκίνος μικρός. καὶ ἡ πίννη διαστήσασα τὸ
e ὄστρακον ἡσυχάζει τηροῦσα τὰ ἐπεισιόντα ἰχθύδια, ὁ δὲ πιννοτήρης παρεστὼς, ὅταν εἰσέλθῃ τι, δάκνει αὐτὴν ὥσπερ σημαίνων, ἡ δὲ δηχθεῖσα συμμύει. καὶ οὕτως τὸ ἀποληφθὲν ἔνδον κατεσθίουσι κοινῇ." φασὶ δέ τινες καὶ συγγεννᾶσθαι αὐτὰ αὐτοῖς καὶ ὡς ἂν ἐξ ἑνὸς σπέρματος γίνεσθαι. πάλιν δὲ ὁ Ἀριστοτέλης φησὶ „Πάντα δὲ τὰ ὀστρακώδη γίνεται καὶ ἐν τῇ ἰλύϊ· ἐν μὲν τῇ βορβορώδει τὰ ὄστρεα, ἐν δὲ τῇ ἀμμώδει κόγχαι καὶ τὰ ῥηθέντα, περὶ δὲ τὰς σήραγγας τῶν πετρῶν τήθεα καὶ βάλανοι καὶ τὰ ἐπιπολάζοντα, οἷον λεπάδες καὶ νηρῖται."

f 39. „Τὸν αὐτὸν δὲ τρόπον γίνεται τοῖς ὀστρακοδέρμοις

---

89 c. καὶ τὸ ἑαυτῆς ὄστρακον om. C. ἐκ τῆς] ἀπὸ τῆς C. αἱ δὲ κόγχαι] Aristoteles ibidem sect. 8. p. 208. βυθοῦ] βύσσου Aristotelis libri: βυσσοῦ Sylburgius.

89 d. πιννοφύλακες] πινοφύλακες B. ἐν τῷ πέμπτῳ] ἐκ τοῦ ε' B.

89 e. ἀποληφθὲν] ἀπολειφθὲν B. συγγεννᾶσθαι] συγγενᾶσθαι BP. Ἀριστοτέλης] Ibidem. πάντα δὲ τὰ ABC. πάντα τὰ PVL. γίνεται καὶ ἐν] γίνεται ἐν C. γίνεται αὐτόματα ἐν Aristoteles, ubi libri quidam γίνεται καὶ αὐτόματα ἐν. σήραγγας] σύριγγας B. σήριγγας P.

89 f. Τὸν αὐτὸν] Aristoteles H. A. V, 14. p. 210.

καὶ τὰ μὴ ἔχοντα ὄστρακον, καθάπερ αἵ τε κνίδαι καὶ οἱ σπόγγοι ἐν ταῖς σήραγξι τῶν πετρῶν. ἔστι δὲ τῶν κνιδῶν δύο γένη. αἱ μὲν γὰρ ἐν τοῖς κοίλοις οὐκ ἀπολύονται τῶν πετρῶν, αἱ δὲ ἐν τοῖς λείοισι καὶ πλαταμώδεσιν ἀπολυόμεναι μεταχωροῦσι." τὰς δὲ κνίδας ὁ Εὔπολις ἐν Αὐ-
0 τολύκῳ ἀκαλήφας ὀνομάζει, ἔτι δὲ Ἀριστοφάνης ἐν Φοινίσσαις οὕτως „Ἔχε τὸν πρῶτον πάντων ἴφυα φῦναι, εἶθ᾽ ἑξῆς τὰς κραναὰς ἀκαλήφας." καὶ ἐν Σφηξί. Φερεκράτης δ᾽ ἐν Αὐτομόλοις

Κἂν ἀκαλήφαις τὸν ἴσον χρόνον ἐστεφανῶσθαι.

Δίφιλος δ᾽ ὁ Σίφνιος ἰατρὸς „Ἡ δὲ ἀκαλήφη (φησὶν) ἐστὶν εὐκοίλιος, οὐρητική, εὐστόμαχος· κνησμὸν δὲ ποιεῖ τοῖς συνάγουσιν, ἐπειδὰν μὴ προαλείψωνται. ὄντως γὰρ ἀνιᾷ τοὺς θηρεύοντας αὐτήν· ὑφ᾽ ὧν κατὰ παραφθορὰν
b νῦν ἀκαλήφη ὀνομάζεται· τάχα δὲ ἴσως διὰ ταύτην καὶ ἡ βοτάνη. κατ᾽ εὐφημισμὸν γὰρ τῆς ἀντιφράσεως ὠνόμασται· οὐ γὰρ πραεῖά ἐστι καὶ ἁπαλὴ τῇ ἀφῇ, τραχεῖα δὲ καὶ ἀηδής." τῆς μέντοι θαλασσίας ἀκαλήφης μνημονεύει καὶ Φιλιππίδης ἐν Ἀμφιαράῳ οὕτως „Ὄστρε᾽, ἀκαλήφας, λεπάδας παρέθηκέ μοι." τὸ δ᾽ ἐν Λυσιστράτῃ Ἀριστοφάνους πέπαικται

---

κνίδαι] κνίδοι ABP. ἐν ταῖς] ἐν τοῖς AB. σήραγξι] σύραγξι B. λείοισι ABP. λείοις CVL et Aristotelis codices duo. μείζοσι vulgo apud Aristotelem. τὰς δὲ κνίδας — ἐστεφανῶσθαι] τὰς δὲ κνίδας εὔπολις ἀκαλήφας ὀνομάζει, καὶ ἀριστοφάνης. ὁ μὲν εἰπών, κραναὰς ἀκαλήφας· ὁ δὲ ἀκαλήφ᾽ ἐστεφανῶσθαι C.

90 a. ἔτι δὲ B. Legebatur ἔτι τε. Ἀριστοφάνης] Vide II. p. 62 d. Apud Suidam in ἀκαλήφη scriptum εἰκὸς δήπου πρῶτον πάντων φύα φῦναι (εἰκὸς δήπου πρῶτον φυαφῦναι grammaticus Bekkeri p. 370, 20.) καὶ τὰς κραναὰς ἀκαλήφας. ἀκαλήφην ex Phoenissis memorat Crates in scholio ad Aristoph. Vesp .v. 879. ἔχε τὸν πρῶτον ABCDPV corrupte. ἔχε τὸ πρῶτον L. solum πρῶτον 62. ἐν Σφηξί] V. 884. Pherecratis fragmentum integrius servatum in scholio ad Aristoph. Equit. v. 420., Suida in ἀκαλήφη et Bekkeri Anecdotis p. 370, 24.

νὴ τὴν Δήμητρ᾽ ἀνιαρὸν (adde ἄρ᾽) ἦν τὸ κακῶς ᾄδοντος ἀκούειν·
βουλοίμην γὰρ κἂν ἀκαλήφαις τὸν ἴσον χρόνον ἐστεφανῶσθαι.

90 b. ἀκαλήφης om. B. Ὄστρε᾽] ὁ δ᾽ ὄστρε᾽ Iacobsius p. 61. Puterat etiam καὶ λεπάδας scribere. παρέθηκε] παρέθηκεν BP. Λυσιστράτῃ] V. 549.

Ἀλλ' ὦ τηθῶν ἀνδρειοτάτη καὶ μητριδίων ἀκαληφῶν, ἐπεὶ τήθεα τὰ ὄστρεα. μέμικται γὰρ κωμῳδικῶς πρὸς τὴν τήθην καὶ μητέρα.

c 40. Καὶ περὶ τῶν ἄλλων ὀστρέων ὁ Δίφιλος τάδε φησὶν „Χημῶν δὲ τῶν τραχειῶν αἱ μικραὶ καὶ λεπτὴν ἔχουσαι τὴν σάρκα ὄστρεα λέγονται καὶ εὐστόμαχοί εἰσι καὶ εὐέκκριτοι· αἱ δὲ λεῖαι, βασιλικαὶ δὲ πρός τινων καλούμεναι, πελώριαί τε λεγόμεναι, τρόφιμοι, δυσέκκριτοι, εὔχυλοι, εὐστόμαχοι, καὶ μάλιστα αἱ μείζους. τελλῖναι γίνονται μὲν ἐν Κανώβῳ πολλαὶ καὶ ὑπὸ τὴν τοῦ Νείλου ἀνάβασιν πληθύουσιν. ὧν λεπτότεραι μέν εἰσιν αἱ βασιλι-
d καί, διαχωρητικαί τε καὶ κοῦφαι, ἔτι δὲ καὶ τρόφιμοι, αἱ δὲ ποτάμιαι γλυκύτεραι. οἱ δὲ μύες μέσως εἰσὶ τρόφιμοι, διαχωρητικοί, οὐρητικοί· κράτιστοι δὲ οἱ Ἐφέσιοι, καὶ τούτων οἱ φθινοπωρινοί. αἱ δὲ μυΐσκαι τῶν μυῶν οὖσαι μικρότεραι γλυκεῖαί τε καὶ εὔχυλοί εἰσι, προσέτι τε καὶ τρόφιμοι. οἱ δὲ σωλῆνες μὲν πρός τινων καλούμενοι, πρός τινων δὲ καὶ αὐλοὶ καὶ δόνακες καὶ ὄνυχες, πολύχυλοι καὶ κακόχυλοι, κολλώδεις. καὶ οἱ μὲν ἄρρενες αὐτῶν ῥαβδωτοί εἰσι καὶ οὐ μονοχρώματοι· εἰσὶ δὲ τοῖς λιθιῶσι καὶ ἄλλοις
e δυσουροῦσιν εὔθετοι. οἱ δὲ θήλεις μονοχρώματοί τέ εἰσι καὶ γλυκύτεροι. λαμβάνονται δὲ ἑφθοὶ καὶ τηγανιστοί· κρείττονες δ' εἰσὶν οἱ μέχρι τοῦ χανεῖν ἐπ' ἀνθράκων ὀπτώμενοι." σωληνισταὶ δ' ἐκαλοῦντο οἱ συνάγοντες τὰ ὄστρεα ταῦτα, ὡς ἱστορεῖ Φανίας ὁ Ἐρέσιος ἐν τῷ ἐπιγραφομένῳ τυράννων ἀναίρεσις ἐκ τιμωρίας γράφων οὕτως „Φιλόξενος ὁ καλούμενος σωληνιστὴς ἐκ δημαγωγοῦ τύ-

---

μέμικται ABCDP et Casauboniani. μέμιται V. μέμνηται temere Basil. et L. τήθην Schweigh. Scribebatur τηθὴν. τροφὸν C.

90 c. τραχειῶν Casaubonus. παχειῶν BC et epitome Hoescheliana. παχετῶν PVL. Vide 87 b. λεῖαι Schneiderus ad Aristotelis H. A. vol. IV. p. 375. Legebatur παχεῖαι. Κανώβῳ] καννώβῳ B.

90 d. μυΐσκαι Schneiderus in indice ad scriptores rei rusticae p. 253. et Coraës ad Xenocratem p. 141. Legebatur μύες καὶ. οὖσαι] αἱ C. δὲ καὶ αὐλοὶ] δὲ αὐλοὶ B. καὶ κακόχυλοι] καὶ om. C. οὐ μονοχρώματοι ACL, Casauboniani, in quibus epitome Hoeschelii. οὐρανοχρώματοι BPV. λιθιῶσι PL. λιθῶσι BV.

90 e. θήλεις] θήλεες C. Φανίας L. φαινίας ABCPV.

ραννος ἀνεφάνη, ζῶν τὸ μὲν ἐξ ἀρχῆς ἀλιευόμενος καὶ σωληνοθήρας ὤν· ἀφορμῆς δὲ λαβόμενος καὶ ἐμπορευσάμενος βίον ἐκτήσατο.“ — „Τῶν δὲ κτενῶν ἁπαλώτεροι μέν εἰσιν οἱ λευκοί· ἄβρωμοι γὰρ καὶ εὐκοίλιοι. τῶν δὲ μελάνων καὶ πυρρῶν οἱ μείζονες καὶ ἐαρινοὶ εὔστομοι. κοινῶς δὲ πάντες εὐστόμαχοι, εὔπεπτοι, εὐκοίλιοι λαμβανόμενοι μετὰ κυμίνου καὶ πεπέρεως.“ μνημονεύει δ᾽ αὐτῶν καὶ Ἄρχιππος ἐν Ἰχθύσιν

*Λεπάσιν, ἐχίνοις, ἐσχάραις, βελόναις τε τοῖς κτεσίν τε.*

„Αἱ δὲ βάλανοι καλούμεναι ἀπὸ τῆς πρὸς τὰς δρῦϊνας ὁμοιότητος διαφέρουσι παρὰ τοὺς τόπους. αἱ μὲν γὰρ Αἰγύπτιαι γλυκεῖαι, ἁπαλαί, εὔστομοι, θρεπτικαί, πολύχυλοι, οὐρητικαί, εὐκοίλιοι, αἱ δὲ ἄλλαι ἁλυκώτεραι. τὰ δὲ ὠτία δύσπεπτα, τρόφιμα δὲ μᾶλλον τηγανιζόμενα. αἱ δὲ φωλάδες εὔστομοι, βρωμώδεις δὲ καὶ κακόχυλοι.“

41. „Ἐχῖνοι δὲ ἁπαλοὶ μέν, εὔχυλοι, βρωμώδεις, πλήσμιοι, εὔφθαρτοι, μετὰ δὲ ὀξυμέλιτος λαμβανόμενοι καὶ σελίνου καὶ ἡδυόσμου εὐστόμαχοι γλυκεῖς τε καὶ εὔχυλοι. προσηνέστεροι δ᾽ αὐτῶν οἱ ἐρυθροὶ καὶ οἱ μήλινοι καὶ οἱ παχύτατοι καὶ οἱ ἐν τῷ ξύεσθαι τὴν σάρκα γαλακτῶδες ἀνιέντες. οἱ δὲ περὶ τὴν Κεφαλληνίαν γινόμενοι καὶ περὶ τὴν Ἰκαρίαν καὶ τὸν Ἀδρίαν, τινὲς αὐτῶν καὶ ὑπόπικροί εἰσιν· οἱ δ᾽ ἐπὶ τοῦ σκοπέλου τῆς Σικελίας κοιλίας λυτικοί.“ Ἀριστοτέλης δέ φησι τῶν ἐχίνων πλείω γένη εἶναι· ἓν μὲν τὸ ἐσθιόμενον, ἐν ᾧ τὰ καλούμενά ἐστιν ᾠά, ἄλλα δὲ δύο, τό τε τῶν σπατάγγων καὶ τὸ τῶν καλουμένων

---

90 f. ἄβρωμοι VL. ἄβρομοι ACP. μείζονες] μείζους C. καὶ ἐαρινοὶ Casaubonus. καὶ ἐνεάριοι libri, nisi quod P καὶ ἐννεάριοι. Omisit C. κοινῶς] κοινῇ B. Ἄρχιππος] Vide p. 86 c. τοῖς om. B. κτεσίν] Legebatur κτένεσιν. κτένεσι P. κτέσιν B.

91 a. τόπους L. πόντους PVL. ἁλυκώτεραι] ἀλικώτεραι P. βρωμώδεις L. βρομώδεις ACPV. βρωμώδεις VL. βρομώδεις ACP. σελίνου] σελήνου B. εὐστόμαχοι] εὐστόμαχοί τε B.

91 b. παχύτατοι] παχύτεροι C. τὴν σάρκα add. L. om. PV. κεφαλληνίαν P. κεφανληνίαν V. κεφαληνίαν L et Schweigh. editio. Ἀδρίαν] ἀνδρίαν B. ἀδρίαν P. Ἀριστοτέλης] H. A. IV, 5. p. 152. εἶναι om. B. ᾠά A. ᾠὰ PVL. σπατάγγων PVL. σπατάνων BC. „*Vetus lectio partim habet σπατάνων, partim σπαράγγων. Hesychio auctore scribendum σπαταγγῶν. Ait enim Σπα-*

βρυσσῶν. μνημονεύει δὲ καὶ τῶν σπατάγγων ὁ Σώφρων, καὶ Ἀριστοφάνης ἐν Ὁλκάσιν οὕτως

c Δάπτοντα, μιστύλλοντα, διαλείχοντά μου
τὸν κάτω σπατάγγην.

καὶ Ἐπίχαρμος δὲ ἐν Ἥβας γάμῳ περὶ τῶν ἐχίνων φησὶ

Καρκίνοι θ' ἵκοντ' ἐχῖνοί θ', οἳ καθ' ἁλμυρὰν ἅλα
νεῖν μὲν οὐκ ἴσαντι, πεζᾷ δ' ἐμπορεύονται μόνοι.

Δημήτριος δ' ὁ Σκήψιος ἐν ἕκτῳ καὶ εἰκοστῷ τοῦ Τρωικοῦ διακόσμου Λάκωνά φησί τινα κληθέντα ἐπὶ θοίνην παρατεθέντων ἐπὶ τὴν τράπεζαν θαλαττίων ἐχίνων ἐπιλαβέσθαι ἑνός, οὐκ εἰδότα τὴν χρῆσιν τοῦ ἐδέσματος, ἀλλ'
d οὐδὲ προσέχοντα τοῖς συνδειπνοῦσι πῶς ἀναλίσκουσιν· ἐνθέντα δὲ εἰς τὸ στόμα σὺν τῷ κελύφει βρύκειν τοῖς ὀδοῦσι τὸν ἐχῖνον. δυσχρηστούμενον οὖν τῇ βρώσει καὶ οὐ συνιέντα τὴν ἀντιτυπίαν τῆς τραχύτητος εἰπεῖν, Ὦ φάγημα μιαρόν, οὔτε μὴ νῦν σε ἀφέω μαλθακισθεὶς οὔτ' αὖθις ἔτι λάβοιμι. ὅτι δὲ οἱ ἐχῖνοι, λέγω δὲ καὶ τοὺς χερσαίους καὶ τοὺς θαλαττίους, καὶ ἑαυτῶν εἰσι φυλακτικοὶ πρὸς τοὺς θηρῶντας, προβαλλόμενοι τὰς ἀκάνθας ὥσπερ τι χαράκωμα, Ἴων ὁ Χῖος μαρτυρεῖ ἐν Φοίνικι ἢ Καινεῖ λέγων οὕτως

---

τάγγαι οἱ μεγάλοι ἐχῖνοι οἱ θαλάσσιοι." Casaubonus. In Aristotele meliores libri σπαταγγίων, alii σπατάγγων, editiones veteres σπατάγων. βρυσσῶν ABCDPV. βρίσσων L ex Basil. cum edd. veteribus Aristotelis, cuius libri meliores βυρσῶν, unus βρύσσων. βρυττῶν Schneiderus. μνημονεύει δὲ καὶ τῶν B. Legebatur μνημονεύει τῶν. σπατάγγων PVL. σπατάγων BC. ὁ σώφρων B. Legebatur καὶ Σώφρων.

91 c. Δάπτοντα Porsonus. Libri δαρδάπτοντα. σπατάγγην P. σπαταγγήν VL. σπατάγην BC. καρκίνοι AP. καρχῖνοι B. καρκῖνοι VL. θ' ἵκοντ'] Libri θ' ἵκοντι (θίκοντι B.) ἐχῖνοι ABP. ἐχῖνοι VL. θ', οἳ καθ'. Toupius append. ad Theocrit. p. 31. τε τοὶ καθ' VL. τε καθ' P. πεζᾷ Toupius. Libri πεζαὶ. θοίνην] θοίναν A. παρατεθέντων] παραθέντων B.

91 d. ἀφέω] Aut ἀφῶ aut ἀφήσω scribendum. μαλθακισθεὶς ABC. μαλακισθεὶς PVL. αὖθις CL. αὖτις APV. Mirum est Ionica ἀφέω et αὖτις in Laconis sermonem esse illata. θαλαττίους] θαλασσίους B. Φοίνικι ἢ Καινεῖ Dalecampius. Libri φοίνικη καινῇ. Vide IV. p. 184 f. Affertur Ionis locus in Zenobii

Ἀλλ' ἐν γε χέρσῳ τᾶς λέοντος ἥνεσα
e ἢ τὰς ἐχίνου μᾶλλον οἰζυρὰς τέχνας·
ὃς εὖτ' ἂν ἄλλων κρεισσόνων ὁρμὴν μάθῃ,
στρόβιλος ἀμφ' ἄκανθαν εἱλίξας δέμας
κεῖται δακεῖν τε καὶ θιγεῖν ἀμήχανος.

42. „Τῶν δὲ λεπάδων (φησὶν ὁ Δίφιλος) τινὲς μὲν εἰσι μικραὶ, τινὲς δὲ καὶ ὀστρέοις ἐοικυῖαι. εἰσὶ δὲ σκληραὶ καὶ ὀλιγόχυλοι καὶ οὐκ ἄγαν δριμεῖαι, εὔστομοι δὲ καὶ εὐκατέργαστοι, ἑφθαὶ δὲ πόσως εὔστομοι. αἱ δὲ πίνναι οὐρητικαὶ, τρόφιμοι, δύσπεπτοι, δυσανάδοτοι. ἐοίκασι δ' αὐταῖς καὶ οἱ κήρυκες. ὧν οἱ μὲν τράχηλοι εὐστόμαχοι,
f δυσκατέργαστοι δέ· διὸ τοῖς ἀσθενοῦσι τὸν στόμαχον οἰκεῖοι· δυσέκκριτοί τε καὶ μέσως τρόφιμοι. τούτων δ' αἱ μήκωνες λεγόμεναι πρὸς τοῖς πυθμέσιν ἁπαλαὶ, εὔφθαρτοι. διὸ τοῖς τὴν γαστέρα ἀσθενοῦσιν οἰκεῖαι. αἱ δὲ πορφύραι μεταξὺ πίννης εἰσὶ καὶ κήρυκος· ὧν οἱ μὲν τράχηλοι πολύχυλοι, εὔστομοι, τὸ δὲ λοιπὸν αὐτῶν ἁλυκὸν καὶ γλυκὺ καὶ εὐανάδοτον εἰς ἐπίκρασίν τ' ἐπιτήδειον. τὰ δὲ ὄστρεα γεννᾶ-
2 ται μὲν καὶ ἐν ποταμοῖς καὶ ἐν λίμναις καὶ ἐν θαλάσσῃ. κράτιστα δὲ τὰ θαλάττια, ὅταν λίμνη ἢ ποταμὸς παρακέηται· γίνεται γὰρ εὔχυλα καὶ μείζονα καὶ γλυκύτερα. τὰ δὲ πρὸς ᾐόσι καὶ πέτραις ἰλύος καὶ ὕδατος ἀμιγῆ μικρὰ, σκληρὰ, δηκτικά. τὰ δὲ ἐαρινὰ ὄστρεα καὶ τὰ κατὰ τὴν τοῦ θέρους ἀρχὴν κρείσσονα, πλήρη, θαλασσίζοντα μετὰ γλυκύτητος, εὐστόμαχα, εὐέκκριτα. τὰ δὲ συνεψόμενα μαλάχῃ

---

proverbiis V, 68. p. 140. et duo postremi versus a Plutarcho Moral. p 971 F.

91 e. V. 3. κρεισσόνων ὁρμὴν] θηρίων ὅς μὴν (sic) Zenobius: unde θηρίων ὁσμὴν dederunt Basil. et L. V. 4. ἀμφ' ἄκανθαν] ἀμφάκανθαν P. ἀμφάκανθον Salmasius ad aram Dosiadae p. 133. ἑλίξας δὲ μὲν κεῖται ex hoc versu superest in loco lacero Diogeniani proverb. VII, 83. p. 247. quod vidit Valckenarius ad Phoeniss. p. 407. V. 5. θιγεῖν] Scribebatur θίγειν. Plutarchus et Zenobius θίγειν τε καὶ δακεῖν. δακεῖνται καὶ θίγειν B. σκληραὶ] καὶ σκληραὶ B. εὔστομοι δὲ καὶ] εὔστομοί τε καὶ B. εὔστομοί τε καὶ δυσκατέργαστοι· ἑφθαὶ δὲ ποσῶς εὐστόμαχοι Coraës ad Xenocratem p. 137.

91 f. καὶ κήρυκος B. Legebatur καὶ τοῦ κήρυκος. ἐπίκρασιν] ἐπίκρισιν B.

ἢ λαπάθῳ ἢ ἰχθύσιν, ἢ καθ' αὑτά, τρόφιμα καὶ εὐκοίλια."

b 43. Μνησίθεος δ' ὁ Ἀθηναῖος ἐν τῷ περὶ ἐδεστῶν φησιν „Ὄστρεα καὶ κόγχαι καὶ μύες καὶ τὰ ὅμοια τὴν μὲν σάρκα δυσκατέργαστά ἐστι διὰ τὴν ὑγρότητα τὴν ἐν αὐτοῖς ἁλυκήν. διόπερ ὠμὰ μὲν ἐσθιόμενα κοιλίας ἐστὶν ὑπακτικὰ διὰ τὴν ἁλυκότητα, τὰ δὲ ἑψόμενα ἀφίησιν ἤτοι πᾶσαν ἢ τὴν πλείστην ἅλμην εἰς τὴν συνέψουσαν αὐτὴν ὑγρότητα. διόπερ αἱ μὲν ὑγρότητες ἐν αἷς ἂν ἑψηθῇ τι τῶν ὀστρέων ταρακτικαὶ καὶ ὑπακτικαὶ κοιλίας εἰσίν, αἱ δὲ σάρκες τῶν ἑψομένων ὀστρέων ψόφους ποιοῦσιν ἐστερη-
c μέναι τῶν ὑγρῶν. τὰ δὲ ὀπτὰ τῶν ὀστρέων, ἐάν τις αὐτὰ καλῶς ὀπτήσῃ, ἀλυποτάτην ἔχει διάθεσιν· πεπύρωται γάρ. διὸ οὐχ ὁμοίως τοῖς ὠμοῖς ἐστι δύσπεπτα καὶ τὰς ὑγρότητας ἐν αὐτοῖς ἔχει κατεξηραμμένας, δι' ὧν ἔκλυτος ἡ κοιλία γίνεται. τροφήν τε δίδωσιν ὑγράν τε καὶ δύσπεπτον ἅπαν ὄστρεον, καὶ πρὸς τὰς οὐρήσεις ἐστὶν οὐκ εὔοδα. ἀκαλήφη δὲ καὶ ἐχίνων ᾠὰ καὶ τὰ τοιαῦτα τροφὴν μὲν δίδωσιν ὑγρὰν καὶ μικράν, τῆς δὲ κοιλίας ἐστὶ λυτικὰ καὶ οὐρήσεως κινητικά."

44. Νίκανδρος δ' ὁ Κολοφώνιος ἐν Γεωργικοῖς τάδε τῶν ὀστρέων καταλέγει

d Ἠὲ καὶ ὄστρεα τόσσα βυθοὺς ἅτε βόσκεται ἅλμης,
νηρῖται στρόμβοι τε πελωριάδες τε μύες τε,
γλίσχραι τ' ἀλλὰ σύνες τε καὶ αὐτῆς φωλεὰ πίννης.

καὶ Ἀρχέστρατος δ' ἐν Γαστρονομίᾳ φησὶ

Τοὺς μῦς Αἶνος ἔχει μεγάλους, ὄστρεια δ' Ἄβυδος,
τὰς ἄρκτους Πάριον, τοὺς δὲ κτένας ἡ Μυτιλήνη·

---

92 a. ἢ καθ'] ἢ καὶ καθ' Coraës ad Xenocratem p. 143.
92 b. ἁλυκὴν] ἁλικὴν B. ὀστρέων ABCPV. ὀστρείων Basil. L. ἑψομένων AC. ὀψομένων B. ἑψημένων PVL.
92 c. κατεξηραμμένας] κατεξηραμένας B. κατεξηραμμένους C. κατεξηρασμένας PL. κατεξηραιμένας V. Νίκανδρος] Fragm. 15. p. 283.
92 d. V. 2. πελωριάδες] πελωρίδες ABP. V. 3. γλίσχραι ταλλασυνες] γλίσχραι τελλῖναί τε Casaubonus. γλίσχραι τ' ἀλλασύνες P. φωλεὰ] φωλεοὶ B. Archestrati v. 1. Αἶνος] θ' ἡ αἶνος ABP. ἡ αἶνος C. ὄστρεια] ὄστρεα ABCP. V. 2. τὰς ἄρκτους] τοὺς ἄρκτους C et Casauboniani. Μυτιλήνη] Scribebatur Μιτυλήνη.

πλείστους δ' Ἀμβρακία παρέχει, καὶ ἄπλατα μετ' αὐτῶν· * *
Μεσσήνη δὲ πελωριάδας στενοπορθμίδι κόγχας·
κἀν Ἐφέσῳ λήψει τὰς λείας οὔ τι πονηράς·
τήθεα Καλχηδών, τοὺς κήρυκας δ' ἐπιτρίψαι
ὁ Ζεύς, τούς τε θαλασσογενεῖς καὶ τοὺς ἀγοραίους,
πλὴν ἑνὸς ἀνθρώπου· κεῖνος δέ μοι ἐστὶν ἑταῖρος,
Λέσβον ἐριστάφυλον ναίων, Ἀγάθων δὲ καλεῖται.

καὶ Φιλύλλιος δὲ ἢ ὅστις ἐστὶν ὁ ποιήσας τὰς Πόλεις φησὶ „Χήμας, λεπάδας, σωλῆνας, μῦς, πίννας, κτένας ἐκ Μυτιλήνης."

ὄστρεια δὲ μόνως οὕτως ἔλεγον οἱ ἀρχαῖοι. Κρατῖνος Ἀρχι-
f λόχοις „Πίννῃσι καὶ ὀστρείοισιν ὁμοίη." καὶ Ἐπίχαρμος ἐν Ἥβας γάμῳ „Ὄστρεια συμπεφυκότα." ὄστρεον δὲ ὡς ὄρνεον. Πλάτων ἐν Φαίδρῳ „Ὀστρέου τρόπον (φησὶ) δεδεσμευμένοι." καὶ ἐν Τιμαίῳ „Τὸ τῶν ὀστρέων γένος συμπάντων." ἐν δὲ τῷ τῆς Πολιτείας δεκάτῳ ὄστρεια εἶπε „Συμπεφυκέναι ὄστρειά τε καὶ φυκία." αἱ δὲ πελωρίδες ὠνομάσθησαν παρὰ τὸ πελώριον. μεῖζον γάρ ἐστι χήμης
93 καὶ παρηλλαγμένον. Ἀριστοτέλης δέ φησι καὶ ἐν ἄμμῳ αὐτὰς γίνεσθαι. τῶν δὲ χημῶν μνημονεύει Ἴων ὁ Χῖος

---

V. 3. ἄπλατα] ὕπλατα VL. ἀπλάτα P. Post μετ' αὐτῶν indicavi lacunam. In C scriptum πλεῖστα δ' ἀμβρακία παρέχει. κόγχας δ' ἐν ἐφέσῳ λήψῃ τὰς λείας οὔτι πονηράς. V. 4. μεσσήνη BP. Μεσήνη VL. πελωριάδας V. πελωριάδαις A. πελωρίδας P. πελωριάδες L. στενοπορθμίδι] στενοπορθμίδαι BP. κόγχας APV. κόγχαι L.

92 e. V. 5. λήψει ABDP. λήψῃ VL. λείας ABC. χείας P. χήμας V. χήμας L. Μυτιλήνης dedi ex p. 86 e. Legebatur Μηθύμνης. ὄστρεια δὲ VL. ὄστρεα δὲ AC. Κρατῖνος] P. 86 e. Ἀρχιλόχοις] ἀρχίλοχος B. ὀστρείοισιν] ὀστρείῃσιν P.

92 f. γάμῳ] Legebatur γάμοις. συμπεφυκότα] συμμεμυκότα p. 85 d. Φαίδρῳ] P. 250 c. δεδεσμευμένοι ABCD. δεδεσμένοι VL. δεδεγμένοι P. καὶ ἐν AB. καὶ ἐν τῷ PVL. Τιμαίῳ] P. 92 b. ἰχθύων ἔθνος καὶ τὸ τῶν ὀστρέων ξυναπάντων τε ὅσα ἔνυδρα γέγονε. Πολιτείας δεκάτῳ] P. 611 d. ὄστρεια] Scribebatur ὄστρεα. Συμπεφυκέναι] προσπεφυκέναι Plato. ὄστρειά τε P. ὄστριά τε A. ὀστρεῖοι τε B. ὄστρεά τε VL. φυκία ABP. φυκίας VL. μεῖζον Schweigh. editio. μείζων PVL.

93 a. Ἀριστοτέλης] Videtur ad H. A. V. 13, 8. p. 208. spectare

ἐν Ἐπιδημίαις. καὶ ἴσως οὕτως ὠνόμασται τὰ κογχύλια
παρὰ τὸ κεχηνέναι.

45. Περὶ δὲ τῶν κατὰ τὴν Ἰνδικὴν γινομένων ὀστρέων,
οὐ γὰρ ἄκαιρον καὶ τούτων μνησθῆναι διὰ τὴν τῶν μαργα-
ριτῶν χρῆσιν, Θεόφραστος μὲν ἐν τῷ περὶ λίθων γράφει
οὕτως „Τῶν θαυμαζομένων δὲ λίθων ἐστὶ καὶ ὁ μαργα-
ρίτης καλούμενος, διαφανὴς μὲν τῇ φύσει· ποιοῦσι δ' ἐξ
αὐτοῦ τοὺς πολυτελεῖς ὅρμους. γίνεται δὲ ἐν ὀστρέῳ τινὶ
b παραπλησίῳ ταῖς πίνναις, πλὴν ἐλάττονι. μέγεθος δὲ ἡλί-
κον ἰχθύος ὀφθαλμὸς εὐμεγέθης." Ἀνδροσθένης δ' ἐν τῷ
τῆς Ἰνδικῆς Περίπλῳ γράφει οὕτως „Τῶν δὲ στρόμβων
καὶ χοιρίνων καὶ τῶν λοιπῶν κογχυλίων ποικίλαι αἱ ἰδέαι
καὶ πολὺ διάφοροι τῶν παρ' ἡμῖν. γίνονται δὲ πορφύραι
καὶ ὀστρέων πολὺ πλῆθος τῶν λοιπῶν· ἓν δὲ ἴδιον, ὃ
καλοῦσιν ἐκεῖνοι βέρβερι, ἐξ οὗ ἡ μαργαρῖτις λίθος γίνεται.
αὕτη δ' ἐστὶ πολυτελὴς κατὰ τὴν Ἀσίαν, καὶ πωλεῖται
περὶ Πέρσας τε καὶ τοὺς ἄνω τόπους πρὸς χρυσίον. ἔστι
δ' ἡ μὲν τοῦ ὀστρέου ὄψις παραπλησία τῷ κτενί, οὐ
c διέγλυπται δέ, ἀλλὰ λεῖον τὸ ὄστρακον ἔχει καὶ δασύ, οὐδὲ
ὦτα ἔχει δύο ὥσπερ ὁ κτείς, ἀλλὰ ἕν. ἡ δὲ λίθος γίνεται
ἐν τῇ σαρκὶ τοῦ ὀστρέου, ὥσπερ ἐν τοῖς ὑείοις ἡ χάλαζα,
καὶ ἔστιν ἡ μὲν χρυσοειδὴς σφόδρα, ὥστε μὴ ῥᾳδίως δια-
γνῶναι, ὅταν παρατεθῇ παρὰ τὸ χρυσίον, ἡ δὲ ἀργυροει-
δής, ἡ δὲ τελέως λευκή, ὁμοία τοῖς ὀφθαλμοῖς τῶν ἰχθύων."
Χάρης δ' ὁ Μυτιληναῖος ἐν ἑβδόμῃ τῶν περὶ Ἀλέξανδρον
ἱστοριῶν φησι „Θηρεύεται δὲ κατὰ τὴν Ἰνδικὴν θάλασσαν,
ὡσαύτως δὲ καὶ κατὰ τὴν Ἀρμενίαν καὶ Περσικὴν καὶ
d Σουσιανὴν καὶ Βαβυλωνίαν, παρόμοιον ὀστρέῳ· τὸ δ' ἐστὶν
ἁδρὸν καὶ πρόμηκες, ἔχον ἐν αὐτῷ σάρκα καὶ μεγάλην καὶ

---

περὶ λίθων] Sect. 36. p. 695. πλὴν — εὐμεγέθης om. Theophrastus.

93 b. Περίπλῳ] Legebatur παράπλῳ. Conf. ad VI p. 265 c. χοιρίνων ABC, χοιρίων PVL. ποικίλαι αἱ ἰδέαι Coraës, αἱ ποικίλαι ἡδεῖαι libri. πορφύραι καὶ B. πορφύραι τε καὶ DP. Legebatur πορφύρα τε καί. ἡ μαργαρῖτις] ἡ μαργαρίτης C. κατὰ] μετὰ BP. περὶ] παρὰ C. δ' ἡ om. B.

93 c. οὐ διέγλυπται] Eustathius p. 759, 51. γίνεται] γίνεται καὶ C. ὑείοις C. συείοις VL. σύοις AP. ἑβδόμῃ] ἑβδόμῳ B.

λευκότητι ἀνόμοια σφόδρα. ἐξ ὧν ἐξαιροῦντες ὀστᾶ λευκὰ προσαγορεύουσι μὲν μαργαρίτας, κατασκευάζουσι δ' ἐξ αὐτῶν ὁρμίσκους τε καὶ ψέλια περὶ τὰς χεῖρας καὶ τοὺς πόδας· περὶ ἃ σπουδάζουσι καὶ Πέρσαι καὶ Μῆδοι καὶ πάντες Ἀσιανοὶ πολὺ μᾶλλον τῶν ἐκ χρυσίου γεγενημένων."

46. Ἰσίδωρος δ' ὁ Χαρακηνὸς ἐν τῷ τῆς Παρθίας
e Περιηγητικῷ κατὰ τὸ Περσικὸν πέλαγος νῆσόν φησιν εἶναι τινα ἔνθα πλείστην μαργαρῖτιν εὑρίσκεσθαι. διόπερ σχεδίας καλαμίνας πέριξ εἶναι τῆς νήσου, ἐξ ὧν καθαλλομένους εἰς τὴν θάλασσαν ἐπ' ὀργυιὰς εἴκοσιν ἀναφέρειν διπλοῦς κόγχους. φασὶ δ' ὅταν βρονταὶ συνεχεῖς ὦσι καὶ ὄμβρων ἐκχύσεις, τότε μᾶλλον τὴν πίνναν κύειν, καὶ πλείστην γίγνεσθαι μαργαρῖτιν καὶ εὐμεγέθη. τοῦ δὲ χειμῶνος εἰς τὰς ἐμβυθίους θαλάμας δύνειν εἰώθασιν αἱ πίνναι·
f θέρους δὲ τὰς μὲν νύκτας κεχήνασι διανηχόμεναι, ἡμέρας δὲ μύουσιν. ὅσαι δ' ἂν πέτραις ἢ σπιλάσι προσφυῶσι ῥιζοβολοῦσι, κἀνταῦθα μένουσαι τὴν μαργαρῖτιν γεννῶσι. ζωογονοῦνται δὲ καὶ τρέφονται διὰ τοῦ προσπεφυκότος τῇ σαρκὶ μέρους. τοῦτο δὲ συμπέφυκε τῷ τοῦ κόγχου στόματι, χηλὰς ἔχον καὶ νομὴν εἰσφέρον. ὃ δή ἐστιν ἐοικὸς καρκίνῳ μικρῷ, καλούμενον πιννοφύλαξ. διήκει δ' ἐκ τούτου ἡ σὰρξ μέχρι μέσου τοῦ κόγχου οἱονεὶ ῥίζα, παρ' ἣν ἡ μαργαρῖτις γεννωμένη αὔξεται διὰ τοῦ στερεοῦ τῆς κόγχης καὶ τρέφεται ὅσον ἂν ᾖ προσπεφυκυῖα χρόνον. ἐπειδὰν δὲ
94 παρὰ τὴν ἔκφυσιν ὑποδυομένη ἡ σὰρξ καὶ μαλακῶς ἐντέμνουσα χωρίσῃ τὴν μαργαρῖτιν ἀπὸ τοῦ κόγχου, ἀμπέχουσα μὲν οὐκέτι τρέφει, λειοτέραν δ' αὐτὴν καὶ διαυγεστέραν ποιεῖ καὶ καθαρωτέραν. ἡ μὲν οὖν ἐμβύθιος πίννα διαυγεστάτην ποιεῖ καὶ καθαρωτάτην καὶ μεγάλην γεννᾷ μαργαρῖτιν, ἡ δὲ ἐπιπολάζουσα καὶ ἀναφερὴς διὰ τὸ ὑπὸ τοῦ ἡλίου ἀκτινοβολεῖσθαι δύσχρους καὶ ἥσσων. κινδυνεύουσι δ' οἱ θηρῶντες τοὺς μαργαρίτας, ὅταν εἰς κεχηνότα

---

93 d. μαργαρίτας B. Legebatur μαργαρίτην. ψέλια P. Scribebatur ψάλια. σπουδάζουσι καὶ B. Legebatur σπουδάζουσιν οἱ.

93 e. γίγνεσθαι] γίνεσθαι BP. θαλάμας AC. θαλάσσας PVL.

93 f. δ' ἂν] δ' ἐν B. γεννωμένη] γινομένη B.

94 a. χωρίσῃ] χωρήσῃ C. ἀμπέχουσα om. epitome. καθαρωτάτην B. Legebatur καθαρωτέραν. ὑπὸ] ἀπὸ B.

b κόγχον κατ' εὐθὺ ἐκτείνωσι τὴν χεῖρα· μύει γὰρ τότε, καὶ πολλάκις οἱ δάκτυλοι αὐτῶν ἀποπρίονται· ἔνιοι δὲ καὶ παραχρῆμα ἀποθνήσκουσιν. ὅσοι δ' ἂν ἐκ πλαγίου ὑποθέντες τὴν χεῖρα τύχωσι, ῥᾳδίως τοὺς κόγχους ἀπὸ τοῦ λίθου ἀποσπῶσιν." μαράγδων δὲ μνημονεύει Μένανδρος ἐν Παιδίῳ·

Μάραγδον εἶναι ταῦτ' ἔδει καὶ Σάρδια.

ἄνευ δὲ τοῦ σ λεκτέον. παρὰ γὰρ τὸ μαρμαίρειν ὠνόμασται τῷ διαυγὴς ὑπάρχειν.

c 47. Μετὰ ταῦτα περιηνέχθησαν πίνακες ἔχοντες τῶν ἐξ ὕδατος κρεῶν πολλά, πόδας καὶ κεφαλὰς καὶ ὠτία καὶ σιαγόνας, ἔτι δὲ καὶ χορδὰς καὶ κοιλίας καὶ γλώσσας, ὥσπερ ἔθος ἐστὶν ἐν τοῖς κατὰ τὴν Ἀλεξάνδρειαν λεγομένοις ἑφθοπωλίοις. εἴρηται γάρ, Οὐλπιανέ, καὶ τὸ ἑφθοπώλιον παρὰ Ποσειδίππῳ ἐν Παιδίῳ. καὶ πάλιν ζητούντων τοὺς ὀνομάσαντάς τι τούτων ὁ μέν τις ἔλεγε, Τῶν ἐδωδίμων κοιλιῶν μνημονεύει Ἀριστοφάνης ἐν Ἱππεῦσι
d „Φήσω σε ἀδεκατεύτους κοιλίας πωλεῖν." καὶ ἑξῆς

Τί μ' ὠγάθ' οὐ πλύνειν ἐᾷς τὰς κοιλίας
πωλεῖν τε τοὺς ἀλλᾶντας, ἀλλὰ καταγελᾷς;

καὶ πάλιν

Ἐγὼ δέ γ' ἤνυστρον βοὸς καὶ κοιλίαν ὑείαν
καταβροχθίσας, κᾆτ' ἐκπιὼν τὸν ζωμὸν ἀναπόνιπτος
λαρυγγιῶ τοὺς ῥήτορας καὶ Νικίαν ταράξω.

καὶ πάλιν

e Ἡ δ' Ὀβριμοπάτρα γ' ἑφθὸν ἐκ ζωμοῦ κρέας

---

94 b. Μένανδρος] P. 132. παιδίῳ P et Casaubonus. πεδίῳ VL. πεδία B.

94 c. περιηνέχθησαν BP. Legebatur παρηνέχθησαν. ἑφθοπωλίοις AB. ἑφθοπώλοις PVL. Post ἑφθοπώλιον sic pergit C, ἔτι τὴν σιαγόνα —. (94 f.) ποσειδίππῳ C. Scribebatur Ποσιδίππῳ. παιδίῳ (αι) AB et Casauboniani. πεδίῳ VL. πεδίῳ P.

94 d. Φήσω] V. 300. ubi φανῶ. ἀδεκατεύτους] αἱ δὲ κατεύτους B. Τί μ'] V. 160. 'γάθ'] ἀγαθὲ ABP. Ἐγὼ] V. 356. δέ γ' ἤνυστρον] δ' ἤνυστραν A. δὲ ἠνύστραν P. δὲ χνύστραν B. ὑείαν Aristophanes. ὑίνην ABP, ὑείνην VL. ἀναπόνιπτος] ἀπόνιπτος BP.

94 e. Ἡ δ'] V. 1178. Ὀβριμοπάτρα] ὀβριμοπάτραν B.

καὶ χόλικος ἠνύστρου τε καὶ γαστρὸς τόμον.

σιαγόνος δὲ Κρατῖνος Πλούτοις „Περὶ σιαγόνος βοείας μαχόμενος.“ καὶ Σοφοκλῆς Ἀμύκῳ „Σιαγόνας τε δὴ μαλθακὰς τίθησι.“ Πλάτων δ' ἐν Τιμαίῳ γράφει „Καὶ τὰς σιαγόνας ἄκρας αὐτοῖς συνέδησεν ὑπὸ τὴν φύσιν τοῦ προσώπου.“ καὶ Ξενοφῶν ἐν τῷ περὶ ἱππικῆς „Σιαγόνα μι-
f κρὰν συνεσταλμένην.“ οἱ δὲ διὰ τοῦ υ στοιχείου ἐκφέροντες κατ' ἀναλογίαν λέγουσιν ἀπὸ τοῦ ὑός. χορδῶν τε μέμνηται Ἐπίχαρμος, ἃς ὀρύας ὀνομάζει, ἐπιγράψας τι καὶ τῶν δραμάτων Ὀρύαν. Ἀριστοφάνης δ' ἐν Νεφέλαις „Ἐν μου χορδὴν τοῖς φροντισταῖς παραθέντων.“ Κρατῖνος ἐν Πυτίνῃ

Ὡς λεπτός, ἦ δ' ὅς, ἔσθ' ὁ τῆς χορδῆς τόμος.

καὶ Εὔπολις ἐν Αἰξίν. Ἄλεξις δ' ἐν Λευκαδίᾳ ἢ Δραπέταις
95 „Χορδαρίου τόμος ἧκε καὶ περίκομμά τι.“ Ἀντιφάνης ἐν Γάμοις „Ἐκκεμὼν χορδῆς μεσαῖον.“

96. Ποδῶν δὲ καὶ ὠτίων ἔτι δὲ ῥύγχους Ἄλεξις ἐν Κρατεύᾳ ἢ Φαρμακοπώλῃ· τὸ δὲ μαρτύριον ὀλίγον ὕστερον ἐκθήσομαι, πολλὰ ἔχον τῶν ζητουμένων ὀνομάτων. Θεόφιλος Παγκρατιαστῇ

Ἑφθῶν μὲν σχεδὸν
τρεῖς μνᾶς. B. λέγ' ἄλλο. A. ῥυγχίον, κωλῆν, πόδας

---

Σοφοκλῆς] Apud Brunckium in lexico Sophocleo p. 739. Σιαγόνας] Porsonus Σιαγόνας τε μαλθακὰς τίθησι δή. τε δὴ PVL. δὲ δὴ Schweigh. editio. Πλάτων] πλάτωνος B. Τιμαίῳ] P. 75 d. περὶ ἱππικῆς] 1, 8. μικρὰν AB et Casauboniani. μακρὰν VL.

94 f. οἱ δὲ διὰ AB. οἱ δὲ σιαγόνα διὰ PVL. οἱ δὲ ὑαγόνα διὰ Casaubonus ex epitome. In C scriptum ὅτι τὴν σιαγόνα ὑαγόνα τινές φασὶ διὰ τοῦ υ στοιχείου κατὰ ἀναλογίαν ἀπὸ τοῦ ὕειν. Formam ὑαγόνα memorat Eustathius p. 842, 52. ὀρύας] Eustathius p. 1915, 21. δ' ἐν B. δ' om. PVL. Νεφέλαις] V. 455. Ἐν μου] ἐν 'μοῦ V. ἐν μοῦ PL. πυτίνῃ PL. πυτίνῃ V. ἔσθ'] ἐστὶν B. Λευκαδίᾳ] λευκαδία B.

95 a. Χορδαρίου] καὶ χορδαρίου Meinekius ad Menandr. p. 180. ἧκε] Libri ἧκεν. περίκομμά τι Casaubonus. Libri περικομματίων. μέσαιον. Ποδῶν δὲ L. μέσαιον. ποδῶν τε ABPV. μέσαιον in μεσαῖον mutavi. μεσαῖον θυννάδος dixit Antiphanes VII. p. 303 f. ῥύγχους L. ῥύγχους BPV. ἐν L. δ' ἐν ABPV. Κρατεύᾳ Casaubonus. Libri κρατείᾳ. ὕστερον] P. 107 a. κωλῆν] Libri κωλήν.

b τέτταρας ὑείους. Β. Ἡράκλεις. Α. βοὸς δὲ τρεῖς. Ἀναξίλας Μαγείροις·

Τῶν Αἰσχύλου πολὺ μᾶλλον εἶναί μοι δοκεῖ
ἰχθύδι' ὀπτᾶν. Β. τί σὺ λέγεις; ἰχθύδια;
συσσίτους μέλλεις κοσμήσειν; ὅσα
ἀκροκώλι' ἡμιν ** ῥύγχη, πόδας.

Ἀναξίλας δ' ἐν Κίρκῃ „δεινὸν μὲν γὰρ ἔχοντ' ὑὸς ῥύγχος, ὦ φίλε Κινησία." καὶ ἐν Καλυψοῖ·

c Ῥύγχος φορῶν ὕειον ᾐσθόμην τότε.

ἀπάριον δ' ὠνόμασε καὶ Ἀναξανδρίδης ἐν Σατύρῳ. Ἀξιόνικος δ' ἐν Χαλκιδικῷ φησι·

Ζωμὸν ποιῶ
θερμὸν ἰχθὺν ἐπανακυλάττων, ἡμίβρωτα λείψανα
συντιθεὶς, οἴονται εἶναι ἐτεράλικα σιλφίῳ
σφενδονῶν, ἀλλᾶντα τέμνω, παραφέρω χορδῆς τόμον,
ῥύγχος εἰς ὄξος πιέζων, ὥστε πάντας ὁμολογεῖν
τῶν γάμων κρείττω γεγονέναι τὴν ἄλλην ἡμέραν.

d Ἀριστοφάνης Προαγῶνι·

Ἐγευσάμην χορδῆς ὁ δύστηνος κύων.
πῶς εἰσίδω ῥύγχος περικεκαυμένον;

Φερεκράτης Λήροις·

Ὡς οὐχὶ τουτὶ ῥύγχος ἀτεχνῶς ἔσθ' ὑός.

καὶ τόπος δέ τις οὕτω καλεῖται Ῥύγχος περὶ Στράτον τῆς Αἰτωλίας, ὥς φησι Πολύβιος ἐν ἕκτῃ τῶν ἱστοριῶν. Στησίχο-

---

95 b. ἡμιν ** ῥύγχη] Legebatur ἡμῖν ἐστι ῥύγχη, ἐστι om. BP. ῥύγχη, πόδας] ῥύγχη καὶ πόδας Casaubonus. ῥύγχος L. ῥάχος BPV. Καλυψοῖ Casaubonus. καμψοῖ PVL. καμψοῖ B. In A καλυψοῖ ita exaratum esse ait Schweigh. ut pro καμψοῖ accipi possit.

95 c. σατύρῳ PVL. σατυρίῳ A. σατύρῳ B. Χαλκιδικῷ Hemsterhusius. Libri Χαλκιδ. V. 1. Ζωμὸν ποιῶ Casaubonus. Libri ζωμοποιῶ. V. 3. Verbis depravatis οιονταιειναιετεραλικα nihil praesidii nec libri nec criticorum coniecturae afferunt. ἐτέρα λικα σιλφίῳ B. ἐτεράλικα σιλφίῳ P. ἔντερ' ἄλλα καὶ σιλφίῳ Seidlerus. In C. post ζωμοποιῶ θερμὸν ἰχθὺν haec sequuntur ἀλλᾶντα τέμνω —. V. 5. πιέζων] Libri πιέζω.

95 d. προαγῶνι AB. ἐν προαγῶνι PVL. κύων Iacobsius p. 65. τέκνον VL. τέκνων AP. εἰσίδω] ἰδω AP. περικεκαυμένον] περὶξ κεκαυμένον? Πολύβιος] Inter fragmenta vol. II. p. 582. ἕκτῃ] ς BP. τῶν ἱστοριῶν B. τῶν om. PVL.

ρὸς τέ φησιν ἐν Συοθήραις' „Κρύψαι δὲ ῥύγχος ἄκρον γᾶς ὑπένερθεν." ὅτι δὲ κυρίως λέγεται ῥύγχος ἐπὶ τῶν
e συῶν προείρηται. ὅτι δὲ καὶ ἐπ' ἄλλων ζώων Ἄρχιππος Ἀμφιτρύωνι δευτέρῳ κατὰ παιδιὰν εἶπε καὶ ἐπὶ τοῦ προσώπου οὕτως

Καὶ ταῦτ' ἔχων τὸ ῥύγχος οὑτωσὶ μακρόν.

καὶ Ἀραρὼς Ἀδώνιδι

Ὁ γὰρ θεὸς τὸ ῥύγχος ὡς ἡμᾶς στρέφει.

49. Ἀκροκωλίων δὲ μέμνηται Ἀριστοφάνης Αἰολοσίκωνι

Καὶ μὴν τὸ δεῖν' ἀκροκώλιά δέ σοι τέτταρα
f ἥψησα τακερά.

καὶ ἐν Γηρυτάδῃ „Ἀκροκώλια, ἄρτοι, κάραβοι." Ἀντιφάνης Κορινθίᾳ

Ἔπειτα κἀκροκώλιον
ὕειον Ἀφροδίτῃ, γελοῖον. B. ἀγνοεῖς·
ἐν τῇ Κύπρῳ δ' οὕτω φιληδεῖ ταῖς ὑσὶν
δέσποτα, ὥστε σκατοφαγεῖν ἀπεῖρξε
τὸ ζῶον, τοὺς δὲ βοῦς ἠνάγκασεν.

ὅτι δ' ὄντως Ἀφροδίτῃ ὗς θύεται μαρτυρεῖ Καλλίμαχος ἢ

---

Scribendum videtur Κρύψε δὲ ῥύγχος: quae fortasse in fine hexametri collocata fuere. ἄκρον] ἄκραν B.

95 e. παιδιὰν] παιδίαν BP. εἶπε B. Legebatur εἴρηκε. In C haec sic scripta, ὅτι κυρίως ῥύγχος ἐπὶ τῶν συῶν. λέγεται δὲ καὶ ἐπ' ἄλλων ζώων. ἄρχιππος δὲ κατὰ παιδιὰν εἴρηκε καὶ ἐπὶ τοῦ προσώπου οὕτως, καὶ ταῦτ' ἔχων —. τὸ ῥύγχος] τὸ om. B. μακρόν] μικρόν C. ὡς ἡμᾶς στρέφει] εἰς ἡμᾶς τρέφει Phrynichus in Bekkeri Anecdotis p. 113, 9. Αἰολοσίκωνι] αἰολοσίγχωνι B. δέ σοι] γέ σοι Brunckjus. ἀκροκώλι' ἄγε σοὶ Porsonus ad Eurip. Orest. 79.

95 f. Γηρυτάδῃ] γηρατάδι B. Ἀκροκώλια] In Etymol. M. p. 53, 14. sine scriptoris nomine haec leguntur, Ἀκροκώλια, ἄρτοι, βολβοί, φακῆ. Quae si Aristophanis verba sunt, integrum trimetrum restituere licebit, Ἀκροκώλι', ἄρτοι, κάραβοι, βολβοί, φακῆ. V. 1. κἀκροκώλιον] Scribebatur καὶ ἀκροκώλιον. V. 3. ὑσὶν] ὕεσιν V. ὕεσι L. ὕεσιν B. φιληδεῖ ταῖς ὕεσσιν P. V. 4. δέσποτα — ἀπεῖρξε] ὦ δέσποθ' — ἐξεῖρξατο vir doctus apud Schweigh. σκατοφαγεῖν ADP. κατοφαγεῖν V. καταφαγεῖν Basil. L. ὅτι ἀφροδίτῃ ὗς θύεται, καὶ μάλιστα παρ' ἀργείοις· παρ' οἷς καὶ ἑορτὴ ἀφροδίτης τὰ ὑστήρια C. Quae repetiit Eustathius p. 853, 34. Καλλίμαχος] P. 474.

96 Ζηνόδοτος ἐν Ἱστορικοῖς ὑπομνήμασί γράφων ὧδε „Ἀργεῖοι Ἀφροδίτῃ ὗν θύουσι, καὶ ἡ ἑορτὴ καλεῖται Ὑστήρια.“ Φερεκράτης δ' ἐν Μεταλλεῦσι

Σχελίδες δ' ὁλόκνημοι πλησίον τακερώταται
ἐπὶ πιναχίσκοις καὶ δίεφθ' ἀκροκώλια.

Ἄλεξις Κυβευταῖς·

Ἠριστηκότων
σχεδόν τι δ' ἡμῶν ἐξ ἀκροκωλίου τινός.

κἀν Παννυχίδι ἢ Ἐρίθοισιν

Ἡμίοπτα μὲν
τὰ κρεάδι' ἐστὶ, τὸ περίκομμ' ἀπόλλυται,
b ὁ γόγγρος ἑφθὸς, τὰ δ' ἀκροκώλι' οὐδέπω.

τῶν δ' ἑφθῶν ποδῶν μνημονεύει Φερεκράτης ἐν Δουλοδιδασκάλῳ

Ὡς παρασκευάζεται δεῖπνον πῶς ἂν εἴπαθ' ἡμῖν.
B. καὶ δῆθ' ὑπάρχει τέμαχος ἐγ-
χέλειον ὑμῖν, τευθὶς, ἄρ-
νειον κρέας, φύσκης τόμος,
ποὺς ἑφθὸς, ἧπαρ, πλευρὸν, ὀρ-
νίθεια πλήθει πολλὰ, τυ-
ρὸς ἐν μέλιτι, μερὶς κρεῶν.

Ἀντιφάνης Παρασίτῳ

Χοιρίων
σκέλη καπυρ'. B. ἀστεῖόν γε νὴ τὴν Ἑστίαν
c ἄριστον. A. ἑφθὸς τυρὸς ἐπεδόνει πολύς.

Ἐκφαντίδης δ' ἐν Σατύροις

---

96 a. ὗν AP. ὗν B. ὗς VL. ὑστήρια BCP. ὑστηρία ADV. ὑστυρία L. Φερεκράτης] VI. p. 269 a. et apud Pollucem VI, 59. σχελίδες] σκελίδες Schweigh. Vide ad 269. Παννυχίδι] παννυχίδι' B. ἢ add. PVL. om. AB. Ἐρίθοισιν] Quidni Ἐρίθοις? nisi scribendum Ἐρίθοις Ἶν' ἡμίοπτα.

96 b. V. 1. Ἕως παρασκευάζεται τὸ δεῖπνον εἴπαθ' ἡμῖν Elmsleius in Edinburgh Review XXXVII. p. 88. παρασκευάζετε P. V. 2. δῆθ'] Libri δῆτα. V. 3. ἐγχέλειον Schweigh. Libri ἐγχέλιον. ὑμῖν BDV. ἡμῖν P, Basil. L. V. 4. ἄρνειον Schweigh. ἀρνεῖον PVL. ἀρνίον AB. V. 6. ὀρνίθεια Elmsleius. Scribebatur ὀρνίθια. πλήθει] πλήθη B. Χοιρίων Schweigh. Legebatur Χοιρέων. καπυρ' L. καπυρὰ ABPV.

*Πόδας τ'; ἐπεὶ δέοι, πριάμενον καταφαγεῖν*
*ἑφθοὺς ὑός.*

*γλώσσης δὲ μέμνηται Ἀριστοφάνης ἐν Ταγηνισταῖς διὰ τούτων*
*Ἅλις ἀφύης μοι· παρατέταμαι γὰρ τὰ λιπαρὰ κάπτων.*
*ἀλλὰ φέρετ' ἀπόβασιν, ἡπάτιον,*
*ἢ καπριδίου νέου κόλλοπά τιν'· εἰ δὲ μή,*
*πλευρὸν, ἢ γλῶτταν, ἢ σπληνὸς, ἢ νῆστιν, ἢ*
*δέλφακος ὀπωρινῆς ἠτριαίαν φέρετε*
*δεῦρο μετὰ κολλάβων χλιαρῶν.*

d 50. *Τοσούτων λεχθέντων καὶ περὶ τούτων οὐδὲ τῶν ἰατρῶν οἱ παρόντες ἀσύμβολοι μετειλήφασιν. ἔφη γὰρ ὁ Διονυσιοκλῆς, Μνησίθεος ὁ Ἀθηναῖος ἐν τῷ περὶ ἐδεστῶν ἔφη „Κεφαλὴ καὶ πόδες ὑὸς οὐ πολὺ τὸ τρόφιμον καὶ λιπαρὸν ἐν ἑαυτοῖς ἔχουσι.“ καὶ ὁ Λεωνίδης, Δήμων ἐν τετάρτῳ Ἀτθίδος „Ἀφείδαντα (φησὶ) βασιλεύοντα Ἀθηνῶν Θυμοίτης ὁ νεώτερος ἀδελφὸς, νόθος ὢν, ἀποκτείνας αὐτὸς ἐβασίλευσεν. ἐφ' οὗ Μέλανθος Μεσσήνιος ἐκπε-*
e *σὼν τῆς πατρίδος ἐπήρετο τὴν Πυθίαν ὅπου κατοικήσει. ἡ δὲ ἔφη, ἔνθα ἂν ξενίοις πρῶτον τιμηθῇ, τοὺς πόδας*

---

96 c. τ' ἐπεὶ] Legebatur τε εἰ. δέοι] δέει P. πριάμενον] πριάμενος P. Ἀριστοφάνης] Conf. p. 107 f. 110 f. IX. p. 374 f. schol. ad Aristoph. Equit. 642. Acharn. 640. Suidas in ἅλις, ἀφύα, θωπεύει et παρατέταγμαι, Etymol. M. p. 439, 44. Photius in νῆστις, Eustathius p. 1752, 16. V. 1. ἀφύης μοι] ἀφύηομοι B. παρατέταμαι] παρατέταγμαι A. τὰ λιπαρὰ κάπτων] ἐσθίων schol. Aristoph. ad Acharn. et Suidas, omissis τὰ λιπαρά. V. 2. φέρετ'] φέρε τα τ' B. ἀπόβασιν] ὀπτὰ, βάτιν Seidlerus de Aristophanis fragm. p. 19. Quod ὀπτὰ, βατίδ' scribendum erat. V. 3. τιν'] Scribebatur τινα. V. 4. σπληνὸς] σπλῆνα Schweigh. ex Photio, cuius haec sunt verba p. 299, 5. Νῆστιν: τὸ ἔντερον ἢ σπλῆνα ἢ γλῶτταν· Ἀριστοφάνης. σπλῆνά γ' Hermannus. σπλῆνας Seidlerus. ἢ νῆστιν ABDP. ἢν ἔστιν VL. V. 5. ὀπωρινῆς ex aliis Athenaei locis repositum. Libri ἢ ῥίνης. ἢ τρίαι PV. ἢ τριαί L. Scribendum ἠτριαίαν: vide Athenaei et Etymologi locos supra indicatos. V. 6. χλιαρῶν] χλιερῶν 110.

96 d. ἀσύμβολοι] ἀσύμβουλοι BP. ὑὸς ABC. ὑῶν PVL. ἑαυτοῖς AC. αὑτοῖς VL. αὐτοῖς P. Δήμων ἐν τ. Ἀ. Ἀφείδαντα] δαίμων ἐν δ̄ ἀτμίδος, ἀφίδοντα B. Θυμοίτης] Θ' οἱ μοίτης B.

96 e. ὅπου] ὅποι C. κατοικήσει B. Scribebatur κατοικήσῃ.

αὐτῷ καὶ τὴν κεφαλὴν ἐπὶ τῷ δείπνῳ παραθέντων. καὶ τοῦτ᾽ ἐγένετο αὐτῷ ἐν Ἐλευσῖνι· τῶν ἱερειῶν γὰρ τότε πάτριόν τινα ἑορτὴν ἐπιτελουσῶν καὶ πάντα τὰ κρέα κατηναλωκυιῶν, τῶν δὲ ποδῶν καὶ τῆς κεφαλῆς ὑπολοίπων ὄντων, ταῦτα τῷ Μελάνθῳ ἀπέστειλαν."

51. ΜΗΤΡΑ ἑξῆς ἐπεισηνέχθη, μητρόπολίς τις ὡς ἀληθῶς οὖσα καὶ μήτηρ τῶν Ἱπποκράτους υἱῶν, οὓς εἰς
f ὑωδίαν κωμῳδουμένους οἶδα. εἰς ἣν ἀποβλέψας ὁ Οὐλπιανός, "Ἄγε δή, ἔφη, ἄνδρες φίλοι, παρὰ τίνι κεῖται ἡ μήτρα; ἱκανῶς γὰρ γεγαστρίσμεθα, καὶ καιρὸς ἤδη ἐστὶ καὶ λέγειν ἡμᾶς. τοῖς δὲ κυνικοῖς τοῦτο παρακελεύομαι σιωπᾶν κεχορτασμένοις ἀφειδῶς, πλὴν εἰ μὴ καὶ τῶν σιαγόνων καὶ τῶν κεφαλῶν κατατρῶξαι βούλονται καὶ τὰ ὀστᾶ, ὧν οὐδεὶς φθόνος αὐτοῖς ἀπολαύειν ὡς κυσί· τοῦτο γάρ εἰσι καὶ
97 εὔχονται καλεῖσθαι. „Νόμος δὲ λείψαν᾽ ἐκβάλλειν κυσὶν" ἐν Κρήσσαις ὁ Εὐριπίδης ἔφη. πάντα γὰρ ἐσθίειν καὶ πίνειν θέλουσιν, ἐπὶ νοῦν οὐ λαμβάνοντες ὅπερ ὁ θεῖος Πλάτων ἔφη ἐν Πρωταγόρᾳ „Τὸ περὶ ποιήσεως διαλέγεσθαι ὁμοιότατον εἶναι τοῖς συμποσίοις τοῖς τῶν φαύλων καὶ ἀγοραίων ἀνθρώπων. καὶ γὰρ οὗτοι διὰ τὸ μὴ δύνασθαι ἀλλήλοις δι᾽ αὑτῶν συνεῖναι ἐν τῷ πότῳ μηδὲ διὰ τῆς ἑαυτῶν φωνῆς καὶ λόγων τῶν ἑαυτῶν ὑπὸ ἀπαιδευσίας τιμίας ποιοῦσι τὰς αὐλητρίδας, πολλοῦ μισθούμενοι
b ἀλλοτρίαν φωνήν, τὴν τῶν αὐλῶν, καὶ διὰ τῆς ἐκείνων φωνῆς ἀλλήλοις ξύνεισιν. ὅπου δὲ καλοὶ καὶ ἀγαθοὶ ξυμπόται καὶ πεπαιδευμένοι εἰσίν, οὐκ ἂν ἴδοις οὔτ᾽ αὐλητρίδας οὔτε ὀρχηστρίδας οὔτε ψαλτρίας, ἀλλ᾽ αὐτοὺς ἑαυτοῖς

---

ἱερειῶν] ἱερέων B. κατηναλωκυιῶν B. Scribebatur κατανα-λωκυιῶν. μητρόπολις L. μητροποιός V. μητροποτς P. In C compendio non satis claro scriptum. οὖσα] οὔση B.

96. f. ἤδη ἐστὶ] ἤδ᾽ ἐστὶ BP. τοῦτο] τούτοις Schweigh. βούλονται B. Legebatur βούλωνται. εὔχονται] ἔχονται B.

97 a. Νόμος δὲ λείψαν᾽] νόμοι δὲ λείψανα B. ὅπερ] ὥσπερ B. Πρωταγόρᾳ] P. 91 c. Τὸ περὶ] τὰ περὶ B. τοῖς συμποσίοις — καὶ γὰρ] τοῖς τῶν φαύλων καὶ ἀγοραίων συμποσίοις. καὶ γὰρ B. αὐτῶν] Scribebatur αὑτῶν. συνεῖναι] Libri συνιέναι. πότῳ] τόπῳ ABP. ἀλλοτρίαν] τὴν ἀλλοτρίαν B.

97 b. ἴδοις οὔτ᾽ αὐλητρίδας AC. ἴδοις οὐδὲ αὐλητρίδας B. ἴδοις αὐλητρίδας PVL. οὔτε ὀρχηστρίδας om. B.

ἱκανοὺς ὄντας ξυνεῖναι ἄνευ τῶν λήρων τε καὶ παιδιῶν τούτων διὰ τῆς ἑαυτῶν φωνῆς, λέγοντάς τε καὶ ἀκούοντας ἐν μέρει ἑαυτῶν κοσμίως, κἂν πάνυ πολὺν οἶνον πίωσι." τοῦτο δ' ὑμεῖς ποιεῖτε, ὦ Κύνουλκε πίνοντες, μᾶλλον δ' ἐκπίνοντες, αὐλητρίδων καὶ ὀρχηστρίδων δίκην ἐμποδίζετε
c τὴν διὰ τῶν λόγων ἡδονήν, ζῶντες, κατὰ τὸν αὐτὸν Πλάτωνα, ὡς ἐν τῷ Φιλήβῳ φησίν, οὐκ ἀνθρώπου βίον, ἀλλά τινος πλεύμονος ἢ τῶν ὅσα θαλάττια μετ' ὀστρέων ἐμψύχων ἐστὶ σωμάτων.

52. Καὶ ὁ Κύνουλκος ὀργισθεὶς, Γάστρων, ἔφη, καὶ κοιλιόδαιμον ἄνθρωπε, οὐδὲν ἄλλο σὺ οἶσθα, οὐ λόγους διεξοδικοὺς εἰπεῖν, οὐχ ἱστορίας μνησθῆναι, οὐ τῆς ἐν λόγοις χάριτος ἀπάρξασθαί ποτε, ἀλλὰ τὸν χρόνον ἅπαντα περὶ ταῦτα κατετρίβης ζητῶν, Κεῖται; οὐ κεῖται; εἴρηται;
d οὐκ εἴρηται; ἐξονυχίζεις τε πάντα τὰ προσπίπτοντα τοῖς συνδιαλεγομένοις, τὰς ἀκάνθας συνάγων

ὡς ἂν ἐχινόποδας καὶ ἀνὰ τρηχεῖαν ὄνωνιν

ἀεὶ διατρίβων, ἀνθέων τῶν ἡδίστων μηδὲν συναθροίζων. ἢ οὐ σὺ εἶ ὁ καὶ τὴν ὑπὸ Ῥωμαίων καλουμένην στρῆναν, κατά τινα πατρίαν παράδοσιν λεγομένην καὶ διδομένην τοῖς φίλοις, ἐπινομίδα καλῶν; καὶ εἰ μὲν τὴν Πλάτωνος ζηλώσας, μαθεῖν βουλόμεθα· εἰ δὲ παρά τινι οὕτως εὑρὼν λεγομένην, ἐμφάνισον τὸν εἰπόντα. ἐγὼ γὰρ οἶδα ἐπινομίδα καλουμένην καὶ μέρος τι τριήρους, ὡς Ἀπολλώνιος ἐν τριη-

---

ξυνεῖναι C. Scribebatur συνεῖναι. τούτων] τούτου B. κἂν] καὶ B. τοῦτο δ' — σωμάτων] σημείωσαι ὅτι διαφέρειν ἔοικε παρὰ τῷ ῥήτορι τούτῳ τὸ πίνειν τοῦ ἐκπίνειν· εἶναι γὰρ ἐκπίνειν καὶ τὸ πάνυ πίνειν. ὃς καὶ φησὶ τοὺς πίνοντας, οὐκ ἀνθρώπου βίον, ἀλλὰ τινὸς πνεύμονος, ἢ τῶν ὅσα θαλάσσης σώματα, ζῆν C.

97 c. ὡς] ὅς P. Φιλήβῳ] P. 21 b. πλεύμονος APV. πνεύμονος L. ἢ τῶν ὅσα] ἢ ὅσα B. ὀστρέων ἐμψύχων] Corrige ex Platone ὀστρεΐνων ἔμψυχα. κατετρίβης] κατατρίβεις B.

97 d. συνάγων] συλλέγων scriptum in annotatione Wyttenbachii ad Plutarch. vol. VI. p. 385. ὡς ἄν] Ignoti poetae versum addito pentametro φύονται μαλακῶν ἄνθεα λευκοΐων affert Plutarchus Moral. p. 44 e. 485 a. 621 e. ἀνὰ τρηχεῖαν] ἀνὰ τρηχίαν AB. ἀνατρυχίαν. P. ὄνωνιν ἀεὶ] ὄνων, ἵν' ἀεὶ B. ὄνων ἵνα ἀεὶ P. ἀνθέων] ἀναθέως AB. τριήρους B et Eustathius p. 1165, 49. Legebatur τῆς τριήρους.

e ρικῷ παρατίθεται. σὺ σὺ εἶ ὁ καὶ τὸν καινὸν καὶ οὐδέπω ἐν χρείᾳ γενόμενον φαινόλην, εἴρηται γάρ, ὦ βέλτιστε, καὶ ὁ φαινόλης, εἰπών; „Παῖ Λεῦκε, δός μοι τὸν ἄχρηστον φαινόλην." εἰς βαλανεῖον δέ ποτε πορευόμενος οὐκ ἔφης πρὸς τὸν πυνθανόμενον Ποῖ δή; „Ἀπολούμενος, ἦν δ' ἐγώ, ἐπείγομαι." κἀκείνης σοι τῆς ἡμέρας ὁ καλὸς καυνσῖνος ὑπὸ λωποδυτῶν ἀνηρπάσθη, ὡς γέλωτα πάμπολυν ἐν τῷ βαλανείῳ γενέσθαι, ἀχρήστου ζητουμένου φαινόλου. ἄλλοτε δέ, ὦ ἑταῖροι φίλτατοι, πρὸς γὰρ ὑμᾶς εἰρήσεται
f τἀληθῆ, προσέπταισε λίθῳ καὶ τὴν κνήμην ἔλυσε· θεραπευθεὶς οὖν προῄει καὶ πρὸς τοὺς πυνθανομένους Τί τοῦτο Οὐλπιανέ; ὑπώπιον ἔλεγε. κἀγώ, ξυνῆν γὰρ αὐτῷ, τότε τὸν γέλωτα φέρειν οὐ δυνάμενος, παρά τινι τῶν φίλων ἰατρῷ ὑπαλειψάμενος τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς παχεῖ φαρμάκῳ, πρὸς τοὺς πυνθανομένους Τί δὲ σύ; πρόσκομμα ἔφασκον.

53. Τῆς δ' αὐτῆς ταύτης σοφίας καὶ ἕτερός ἐστι ζηλωτής, Πομπηιανὸς ὁ Φιλαδελφεύς, ἄνθρωπος οὐκ ἀπά-
98 νουργος, ὀνοματοθήρας δὲ καὶ αὐτός. ὅστις πρὸς τὸν οἰκέτην διαλεγόμενος μεγάλῃ τῇ φωνῇ καλέσας τοὔνομα, Στρομβιχίδη, ἔφη, κόμιζέ μοι ἐπὶ τὸ γυμνάσιον τὰς βλαύτας τὰς ἀφορήτους καὶ τὴν ἐφεστρίδα τὴν ἄχρηστον. ἐγὼ γὰρ ὑποδησάμενος τὸν πώγωνα προσαγορεύσω τοὺς ἑταίρους· ὀπτὸς γάρ ἐστί μοι τάριχος. κόμιζε δὲ τοῦ ἐλαίου τὴν λήκυθον· πρότερον γὰρ συντριβησόμεθον, ἔπειθ' οὕτως ἀπολούμεθον." ὁ δ' αὐτὸς οὗτος σοφιστὴς Φεβρουα-
b ρίῳ μηνί, ὡς Ῥωμαῖοι λέγουσι, τὸν δὲ μῆνα τοῦτον κληθῆναί φησιν ὁ Μαυρούσιος Ἰόβας ἀπὸ τῶν καθουδαίων φόβων κατ' ἀναίρεσιν τῶν δειμάτων, ἐν ᾧ τοῦ χειμῶνός ἐστι τὸ ἀκμαιότατον, καὶ ἔθος τότε τοῖς κατοιχομένοις τὰς

---

97 e. εἶ ὁ καὶ] ὁ om. B. δός μοι] δός μὴ B. καυνσῖνος AP. καυνσινὸς VL.

97 f. τἀληθῆ APV. τἀληθὲς L. προσέπταισε] προσέπται P. ἰατρῷ PVL. ἰατρῶν A et Casauboniani. πρόσκομμα] Eustathius p. 914, 40.

98 a. τάριχος Basil. et L. λάριχος BPV. In A prima vocis littera est τ, sed ita exarata ut pro λ haberi potuerit. συντριβησόμεθα, εἶτα ἀπολούμεθα C. Φεβρουαρίῳ] φευρουαρίῳ BP.

χοὰς ἐπιφέρειν πολλαῖς ἡμέραις· πρός τινα τῶν φίλων, Οὐκ εἶδές με, ἔφη, πολλῶν ἡμερῶν διὰ τὰ καύματα. τῆς δὲ τῶν Παναθηναίων ἑορτῆς ἐπιτελουμένης, δι' ἧς τὰ δικαστήρια οὐ συνάγεται, ἔφη, Γενέθλιός ἐστι τῆς ἀλέκτορος Ἀθηνᾶς καὶ ἄδικος ἡ τῆτες ἡμέρα. ἐκάλεσε δέ ποτε καὶ τὸν ἐκ Δελφῶν ἐπανελθόντα ἡμῶν ἑταῖρον οὐδὲν αὐτῷ
c χρήσαντος τοῦ θεοῦ ἄχρηστον. δεῖξιν δέ ποτε λόγων δημοσίᾳ ποιούμενος καὶ ἐγκώμιον διεξερχόμενος τῆς βασιλευούσης πόλεως ἔφη, Θαυμαστὴ δ' ἡ Ῥωμαίων ἀρχὴ ἡ ἀνυπόστατος.

54. Τοιοῦτοί τινές εἰσιν, ὦ ἑταῖροι, οἱ Οὐλπιάνειοι σοφισταί, οἱ καὶ τὸ μιλιάριον καλούμενον ὑπὸ Ῥωμαίων, τὸ εἰς τὴν τοῦ θερμοῦ ὕδατος κατεργασίαν κατασκευαζόμενον, ἰπνολέβητα ὀνομάζοντες, πολλῶν ὀνομάτων ποιηταὶ καὶ πολλοῖς παρασάγγαις ὑπερδραμόντες τὸν Σικελιώτην
d Διονύσιον, ὃς τὴν μὲν παρθένον ἐκάλει μένανδρον, ὅτι μένει τὸν ἄνδρα, καὶ τὸν στῦλον μενεκράτην, ὅτι μένει καὶ κρατεῖ, βαλάντιον δὲ τὸ ἀκόντιον, ὅτι ἐναντίον βάλλεται, καὶ τὰς τῶν μυῶν διεκδύσεις μυστήρια ἐκάλει, ὅτι τοὺς μῦς τηρεῖ. Ἄθανις δ' ἐν πρώτῳ Σικελικῶν τὸν αὐτόν φησι Διονύσιον καὶ τὸν βοῦν γαρόταν καλεῖν, καὶ τὸν χοῖρον ἴακχον. τοιοῦτος ἦν καὶ Ἀλέξαρχος, ὁ Κασάνδρου τοῦ Μακεδονίας βασιλεύσαντος ἀδελφός, ὁ τὴν Οὐρανόπο-
e λιν καλουμένην κτίσας. ἱστορεῖ δὲ περὶ αὐτοῦ Ἡρακλείδης ὁ Λέμβος ἐν τῇ τριακοστῇ ἑβδόμῃ τῶν ἱστοριῶν λέγων οὕτως „Ἀλέξαρχος ὁ τὴν Οὐρανόπολιν κτίσας διαλέκτους ἰδίας εἰσήνεγκεν· ὀρθροβόαν μὲν τὸν ἀλεκτρυόνα καλῶν καὶ βροτοκέρτην τὸν κουρέα, καὶ τὴν δραχμὴν ἀργυρίδα, τὴν δὲ

---

98 b. δι' ἧς BC. δι' ἣν PVL. τὰ B. καὶ τὰ PVL.

98 c. ἀνυπόστατος] Eustathius p. 1093, 9. οὐλπιάνειοι CVL. οὐλπιάνοι AP. οὐλπίανοι B. εἰς τὴν τοῦ θερμοῦ B. Legebatur εἰς θερμοῦ. θερμοῦ ὕδατος] θερμῶν ὑδάτων C.

98 d. βαλάντιον ABC et Casauboniani. βαλλάντιον PVL. καὶ τὰς τῶν] καὶ τάς δε τῶν B. διεκδύσεις Basil., C et epitome Hoeschelii. δι' ἐκδύσεις V. δ' ἐκδύσεις PL. καλεῖν] καλεῖ B. Κασάνδρου] Scribebatur Κασσάνδρου.

98 e. ὀρθροβόαν CL et epitome Hoeschel. cum Eustathio p. 1120, 12. ὀρθοβόαν PV. καλῶν C et epitome Hoeschelii. Scribebatur καλῶν. βροτοκέρτην L. βροτοκέρην BPV.

χοίνικα ἡμεροτροφίδα καὶ τὸν κήρυκα ἀπύτην. καὶ τοῖς Κασανδρέων δὲ ἄρχουσι τοιαῦτά ποτ' ἐπέστειλεν „Ἀλέξαρχος ὁ μάρμων πρόμοις γαθεῖν. τοὺς ἡλιοκρεῖς οἰῶν, οἶδα λιποῦσα θεωτῶν ἔργων κρατήτορας μορσίμῳ τύχᾳ κεκυρωμένας θεοῦ πόγαις χυτλώσαντες αὐτοὺς καὶ φύλακας ὀρι-
f γενεῖς." τί δὲ ἡ ἐπιστολὴ αὕτη δηλοῖ νομίζω 'γὼ μηδὲ τὸν Πύθιον διαγνῶναι. κατὰ γὰρ τὸν Ἀντιφάνους Κλεοφάνη

Τὸ δὲ τυραννεῖν ἐστιν,
ἢ τί ποτε τὸ σπουδαῖον ἀκολουθεῖν ἔρις
ἐν τῷ Λυκείῳ μετὰ σοφιστῶν νὴ Δία
λεπτῶν, ἀσίτων, συκίνων, λέγονθ' ὅτι
99 τὸ πρᾶγμα τοῦτ' οὐκ ἔστιν, εἴπερ γίγνεται.
οὐδ' ἔστι γάρ πω γιγνόμενον ὃ γίγνεται,
οὔτ' εἰ πρότερον ἦν, ἔστιν ὅγε νῦν γίγνεται.
ἔστιν γὰρ οὐκ ὂν οὐδέν. ὃ δὲ μὴ γέγονέ πω,
οὐκ ἔστιν, ὥσπερ γέγονεν ᾧ γε μὴ γέγονέ πω.
ἐκ τοῦ γὰρ εἶναι γέγονεν· εἰ δ' οὐκ ἦν ὅθεν,
πῶς ἐγένετ' ἐξ οὐκ ὄντος; οὐχ οἷόν τε γάρ.
εἰ δ' αὐτόθεν ποι γέγονεν, οὐκ ἔσται
κεῖποι δέ πω τις εἴη, πόθεν γενήσεται τὸ οὐκ ὄν,

---

Κασανδρέων] Scribebatur Κασσανδρέων. δὲ ἄρχουσι] δὲ om. B. ποτ' B. ποτε PVL. μάρμων] μάρκων epitome Hoeschelii. λιποῦσα θεωτῶν] λιπουσαθεωτων C. κρατήτορας L. κρατίτορας ABCPV.

98 f. θεοῦ πόγαις] θεουπογαις C. φύλακας] φύλακες C. 'γὼ BP. ἐγὼ VL. Κλεοφάνη] κλεοφάνην B. V. 1. Τὸ δὲ] Libri τόδε. τόδε — λέγονθ' om. C. τυραννεῖν]? V. 2. XIII. p. 565 f. τοὺς ἀκολουθοῦντας ἐν τῷ Λυκείῳ μετὰ σοφιστῶν νὴ Δία λεπτῶν, ἀσίτων, σκυτίνων, κατὰ τὸν Ἀντιφάνην. ἐστιν ἢ τί ποτε ABPV. ἐστιν ἢ Τί δή ποτε L. τὸ om. P. ἔρις] ἐρεῖς Scaliger. V. 3. Λυκείῳ] λυκίῳ ABP. νὴ Δία λεπτῶν 565. ἢ διαλέπτων VL. ἢ διὰ λεπτῶν P. V. 4. λέγονθ' L. λέγοντα ABPV.

99 a. V. 5. τὸ om. B. V. 5. 6. 7. Scribebatur γίνεται et γινόμενον. V. 6. οὐδ'] Immo οὔτ', aut οὐκ — οὐδ'. ὃ ACPV. ὅπερ L. V. 7. ὅγε ABCPL. ὃ V. V. 9. ὅγε Schweighaeuserus. Legebatur ὃ δὲ. δὲ om. C. V. 12. ἔσται ABCP. ἔσται πάλιν VL. V. 13. Loco verborum corruptissimorum κεῖποι — γενήσεται haec habet C, πόθεν γὰρ γενήσεται. κεῖποι δέ πω PVL. κίποι δέ πο A. πω] πως B. εἴη πόθεν AP. εἴς ποθεν B. εἴποθεν VL. τὸ οὐκ ὂν PVL. τοὐκ ὂν AC.

*εἰς οὐκ ὄν· εἰς οὐκ ὂν γὰρ οὐ δυνήσεται.*
b *ταυτὶ δ' ὅ τι ἐστὶν οὐδ' ἂν ἀπόλλων μάθοι.*

55. *Οἶδα δ' ὅτι καὶ Σιμωνίδης που ὁ ποιητὴς ἀρί-
σταρχον εἶπε τὸν Δία, καὶ Αἰσχύλος τὸν Ἅιδην ἀγησί-
λαον, Νίκανδρος δὲ ὁ Κολοφώνιος ἰοχέαιραν τὴν ἀσπίδα
τὸ ζῶον. διὰ ταῦτα καὶ τὰ τοιαῦτα ὁ θαυμασιώτατος
Πλάτων ἐν τῷ Πολιτικῷ εἰπὼν ξηροβατικὰ τινα ζῶα καὶ
ἀθροβατικὰ ἄλλα, ξηροτροφικόν τε καὶ ὑγροτροφικὸν καὶ
ξηρονομικὸν, ἐπὶ ζώων χερσαίων καὶ ἐνύγρων καὶ ἐναερίων,*
c *ἐπιλέγει, ὥσπερ παρακελευόμενος τούτοις τοῖς ὀνοματο-
ποιοῖς φυλάττεσθαι τὴν καινότητα, γράφων καὶ κατὰ λέ-
ξιν τάδε „Κἂν διαφυλάξῃς τὸ μὴ σπουδάζειν ἐπὶ τοῖς
ὀνόμασι, πλουσιώτερος καὶ εἰς γῆρας ἀναφανήσῃ φρονή-
σεως.“ οἶδα δὲ καὶ Ἡρώδην τὸν Ἀττικὸν ῥήτορα ὀνομά-
ζοντα τροχοπέδην τὸ διαβαλλόμενον ξύλον διὰ τῶν τρο-
χῶν, ὅτε κατάντεις τόπους ὀχούμενος ἐπορεύετο, καίτοι
Σιμαρίστου ἐν τοῖς Συνωνύμοις ἐποχλέα τὸ ξύλον τοῦτο
ἐπονομάζοντος. καὶ Σοφοκλῆς δέ που ὁ ποιητὴς τὸν φύ-*
d *λακα μοχλόν που ὠνόμασεν ἐν τούτοις*

*Θάρσει, μέγας σοι τοῦδ' ἐγὼ φόβου μοχλός.*

*κἀν ἄλλοις δὲ τὴν ἄγκυραν ἰσχάδα κέκληκε διὰ τὸ κατέ-
χειν τὴν ναῦν*

---

V. 14. Verba *εἰς οὐκ ὂν* bis scripta in ABCP, semel in VL.

99 b. V. 15. *ὅτι* CP. *ὅτ'* VL. *ἀπόλλων*] Libri *ἀπόλλων*. *ὅτι καὶ Σιμωνίδης*] *ὅτι σιμωνίδης* B. Fr. 165. p. 403. *καὶ τά* om. L typothetae errore. *θαυμασιώτατος* C. Legebatur *θαυμάσιος*. *Πολιτικῷ*] P. 264 d. Quae sequuntur sex verba om. C. *ἀθροβατικὰ* ABP. *ἀδροβατικὰ* V. *ὑδροβατικὰ* L. Nihil horum legitur in Platone, cuius haec sunt verba, *Τῆς τῶν ἀγελαίων τροφῆς ἔστι μὲν ἔνυδρον, ἔστι δὲ καὶ ξηροβατικόν.* *ἄλλα, ξηρ.* L. *ἀλλὰ ξηρ.* BV. *ξηρονομικὸν* aperte vitiosum Schweigh. in *ἀερονομικὸν* mutabat. Apud Platonem scriptum, *Τὸ μὲν ἕτερον ὑγροτροφικὸν ὀνομάζοντες, τὸ δ' ἕτερον ξηροτροφικόν.* *ἐναερίων*] *ἀερίων* B.

99 c. *Κἂν διαφυλάξῃς*] P. 261 e. *καὶ εἰς γῆρας* ABCPV. *εἰς τὸ γῆρας* L ex Platone. *ὀχούμενος* APV. *ὁ ὀχούμενος* L. om. C. *ἐπορεύετο*] *πορεύοιτο* C. *Σιμαρίστου* Schweigh. Libri *σιμαριστοῦ*. *ἐπονομάζοντος* B. Legebatur *ἐπονομάσαντος*. *Σοφοκλῆς*] Fr. 41. p. 619. Eustathius p. 1944, 26.

99 d. *κατέχειν*] *ἴσχειν* C.

> Ναῦται δὲ μηρύσαντο νηὸς ἰσχάδα.

καὶ Δημάδης δὲ ὁ ῥήτωρ ἔλεγε τὴν μὲν Αἴγιναν εἶναι λήμην τοῦ Πειραιῶς, τὴν δὲ Σάμον ἀπορρῶγα τῆς πόλεως, ἔαρ δὲ τοῦ δήμου τοὺς ἐφήβους, τὸ δὲ τεῖχος ἐσθῆτα τῆς πόλεως, τὸν δὲ σαλπιγκτὴν κοινὸν Ἀθηναίων ἀλέκτορα. ὁ
e δ᾽ ὀνοματοθήρας οὗτος σοφιστὴς ἀκάθαρτον ἔφη γυναῖκα ἧς ἐπεσχημένα ἦν τὰ γυναικεῖα. πόθεν δέ σοι ὦ Οὐλπιανὲ καὶ κεχορτασμένος εἰπεῖν ἐπῆλθε, δέον τῷ κορεσθῆναι χρήσασθαι;

56. Πρὸς ταῦτα ὁ Οὐλπιανός πως ἡδέως γελάσας, Ἀλλὰ μὴ βαΰζε, εἶπεν, ὦ ἑταῖρε, μηδὲ ἀγριαίνου τὴν κυνικὴν προβαλλόμενος λύσσαν, τῶν ὑπὸ κύνα οὐσῶν ἡμερῶν, δέον αἰκάλλειν μᾶλλον καὶ προσσαίνειν τοῖς συνδείπνοις, μὴ καί τινα Κυνοφόντιν ἑορτὴν ποιησώμεθα ἀντὶ
f τῆς παρ᾽ Ἀργείοις ἐπιτελουμένης. χορτασθῆναι εἴρηται ὦ δαιμόνιε ἀνδρῶν παρὰ μὲν Κρατίνῳ ἐν Ὀδυσσεῦσιν οὕτως

> Ἧσθε πανημέριοι χορταζόμενοι γάλα λευκόν.

καὶ Μένανδρος δὲ ἐν Τροφωνίῳ ἔφη χορτασθείς. Ἀριστοφάνης δ᾽ ἐν Γηρυτάδῃ

> Θεράπευε καὶ χόρταζε τῶν μονῳδιῶν.

Σοφοκλῆς δ᾽ ἐν Τυροῖ

> Σίτοισι παγχόρτοισιν ἐξενίζομεν.

100 Εὔβουλος δ᾽ ἐν Δόλωνι

> Ἐγὼ κεχόρτασμαι μὲν ἄνδρες οὐ κακῶς,
> ἀλλ᾽ εἰμὶ πλήρης, ὥστε καὶ μόλις πάνυ
> ὑπεδησάμην ἅπαντα δρῶν τὰς ἐμβάδας.

---

δὲ μηρύσαντο] δ᾽ ἐμηρύσαντο Brunckius. ἀπορρῶγα CL. ἀπόρυγα APV. σαλπιγκτὴν] σαλπικτὴν B.

99 e. κεχορτασμένος B. Legebatur κεχορτασμένοι. Fortasse praestat κεχορτασμένοις: vide p. 96 f. χρήσασθαι] λέγεσθαι B. προσσαίνειν] προσαίνειν BP. τοῖς συνδείπνοις] τοὺς συνδείπνους C. μὴ καί τινα] μή κέ τινα B.

99 f. Ἧσθε Priscianus p. 1214. (II. p. 272. Krehl.) ἧσθε VL. ἦσθα B, ἧσθαι P. Μένανδρος] P. 162. Τροφωνίῳ] τεροφωνίῳ B. δ᾽ ἐν Τυροῖ] Legebatur τε ἐν Τυροῖ. δ᾽ ἐν τυρεῖ B. Fr. 7. p. 660. Σίτοισι Porsonus. οἳ τοῖσι VL. οἱ τοῖσι P. παγχόρτοισιν P. Scribebatur πανχόρτοισιν.

Σώφιλος δ' ἐν Φιλάρχῳ

Γαστρισμὸς ἔσται δαψιλής· τὰ προοίμια
ὁρῶ * * * * χορτασθήσομαι.
νὴ τὸν Διόνυσον, ἄνδρες, ἤδη στρηνιῶ.

καὶ Ἄμφις ἐν Οὐρανῷ

Εἰς τὴν ἑσπέραν χορτάζομεν
ἅπασιν ἀγαθοῖς.

b ταῦτα μὲν οὖν, ὦ Κύνουλκε, εἰπεῖν προχείρως ἔχω σοι τὰ νῦν, αὔριον δὲ ἢ ἔννηφι, τὴν γὰρ εἰς τρίτην Ἡσίοδος εἴρηκεν οὕτως, πληγαῖς σε χορτάσω, ἐάν περ μὴ εἴπῃς ὁ κοιλιοδαίμων παρὰ τίνι κεῖται. σιωπήσαντος δ' ἐκείνου, Ἀλλὰ μὴν καὶ τοῦτο αὐτός σοι ὦ κύον ἐρῶ, ὅτι Εὔπολις τοὺς κόλακας ἐν τῷ ὁμωνύμῳ δράματι οὕτω κέκληκε· τὸ δὲ μαρτύριον ἀναβαλοῦμαι, ἔστ' ἂν ἀποδῶ σοι τὰς πληγάς.

57. Ἡσθέντων οὖν ἐπὶ τοῖς πεπαιγμένοις ἁπάντων, Ἀλλὰ μὴν, ἔφη ὁ Οὐλπιανὸς, καὶ τὸν περὶ τῆς μήτρας
c λόγον ἀποδώσω. Ἄλεξις γὰρ ἐν τῷ Ποντικῷ ἐπιγραφομένῳ δράματι Καλλιμέδοντα τὸν ῥήτορα, Κάραβον δὲ ἐπικαλούμενον, κωμῳδῶν, ἦν δ' οὗτος εἷς τῶν κατὰ Δημοσθένη τὸν ῥήτορα πολιτευομένων, φησὶν

Ὑπὲρ πάτρας μὲν πᾶς τις ἀποθνήσκειν θέλει,
ὑπὲρ δὲ μήτρας Καλλιμέδων ὁ Κάραβος
ἑφθῆς ἴσως προσεῖτ' ἂν ἄλλως ἀποθανεῖν.

ἦν δὲ ὁ Καλλιμέδων καὶ ἐπὶ ὀψοφαγίᾳ διαβόητος. μνη-
d μονεύει τῆς μήτρας καὶ Ἀντιφάνης ἐν Φιλομήτορι οὕτως

Ἔμμητρον ἂν ᾖ τὸ ξύλον, βλάστην ἔχει·
μητρόπολίς ἐστιν, οὐχὶ πατρόπολις·

---

100 a. Φιλάρχῳ] Scribebatur Φυλάρχῳ. Φίλαρχος Sophili fabula dicitur p. 125 c. et apud Suidam in Σώφιλος. V. 1. προοίμια AP. προοίμι' VL. V. 2. Indicavi lacunam. Οὐρανῷ Εἰς τὴν] οὐρανῷ δὲ τὴν B. Amphidis verba om. C. χορτάζομεν ἅπασιν Porsonus. Libri χορταζόμενα πᾶσιν.

100 b. ἔννηφι VL. ἔνηφι ABP. Ἡσίοδος] Ἔργ. v. 408. κοιλιοδαίμων] Conf. p. 97 c. αὐτός σοι] αὐτό σοι B.

100 c. γὰρ ἐν τῷ PVL. δ' ἐν τῷ B. ἦν δ' οὗτος] ἦν οὗτος B. ἴσως προσεῖτ' ἂν ἄλλως ἀποθανεῖν Schweighaeuserus. Libri ἴσω πρὸς ἰταλῶν ἀποθανεῖν. Quae post ἑφθῆς sequuntur om. C. ὀψοφαγίᾳ] ὀψιφαγία B.

100 d. Ἔμμητρον L. ἔνμητρον PV. ἂν] Scribebatur ἐάν.

μήτραν τινὲς πωλοῦσιν, ἥδιστον κρέας.
Μήτρας ὁ Χῖός ἐστι τῷ δήμῳ φίλος.

Εὔφρων δ' ἐν Παραδιδομένῃ
Οὑμὸς διδάσκαλος δὲ μήτραν σκευάσας
παρέθηκε Καλλιμέδοντι κάσθιονθ'. ἅμα
ἐποίησε πηδᾶν, ὅθεν ἐκλήθη Κάραβος.

e Διώξιππος δ' ἐν Ἀντιπορνοβοσκῷ
Οἵων δ' ἐπιθυμεῖ βρωμάτων, ὡς μουσικῶν,
ἤνυστρα, μήτρας, χόλικας.

ἐν δὲ Ἱστοριογράφῳ
Τὴν στοὰν διεξέπαιεν Ἀμφικλῆς μήτρας δύο
κρεμαμένας δείξας, Ἐκεῖνον πέμπε, φὰς, ἐὰν ἴδῃς.

Εὔβουλος δ' ἐν Δευκαλίωνι
Ἡπάτια, νῆστις, πλεύμονες, μήτρα.

58. Ὁ Λυγκεὺς δ' ὁ Σάμιος, ὁ Θεοφράστου γνώριμος, καὶ τὴν σὺν ὀπῷ χρῆσιν αὐτῆς οἶδεν. ἀναγράφων γοῦν τὸ
f Πτολεμαίου συμπόσιόν φησιν οὕτως „Μήτρας τινὸς περιφερομένης ἐν ὄξει καὶ ὀπῷ." τοῦ δὲ ὀποῦ μέμνηται Ἀντιφάνης ἐν Δυσέρωσι περὶ Κυρήνης τὸν λόγον ποιούμενος
Ἐκεῖσε διαπλέω
ὅθεν διεσπάσθημεν, ἐρρῶσθαι λέγων
ἅπασιν, ἵπποις, σιλφίῳ, συνωρίσι,
καυλῷ, κέλησι, μασπέτοις, πυρετοῖς, ὀποῖς.

101 τῆς δὲ διαφορᾶς τῆς περὶ τὴν ἐκτομίδα μνημονεύει Ἵππαρχος ὁ τὴν Αἰγυπτιακὴν Ἰλιάδα συνθεὶς ἐν τούτοις
Ἐν λοπάσιν μ' εὐφραίνει μήτρης καλὰ πρόσωπα
ἐκβολάδος, δέλφαξ ἐν κλιβάνῳ ἡδέα ὄζων.

---

ἥδιστον] ἥδυστον B. κάσθιονθ'] κάσθιον B. κάσθιον θ' P.

100 e. διεξέπαιεν Casaubonus. Libri διεξέπαιον. κρεμαμένας AP. κρεμμαμένας VL. φὰς] Legebatur φῄς. Ὁ Λυγκεὺς] ὁ λυγγεὺς B. αὐτῆς] αὐτοῖς B.

100 f. γοῦν] οὖν B. διαπλέω ὅθεν Schweigh. Legebatur δ' ἐκπλέω ὅθεν. διουπλεωθεν AP. μασπέτοις Casaubonus. μαστοῖς libri. πυρετοῖς] δίφροις Lennepius ad Phalarin p. 321. ὀποῖς VL. ὀπίσω ABP.

101 a. Ἐν λοπάσιν μ'] ἀλλαλοπὰ σύ μ' AV. ἀλλὰ λοπὰ σύ μ' P. ἀλλὰ ἐν λοπάσιν μ' L. εὐφραίνει L. εὐφραίνῃ APV. δέλφαξ] δ' vel τ' addit Schweighaeuserus.

Σώπατρος δ' ἐν μὲν Ἱππολύτῳ φησὶν

Ἀλλ' οἷα μήτρα καλλίκαρπος ἐκβολὰς
διεφθα λευκανθεῖσα τυροῦται δέμας.

ἐν δὲ Φυσιολόγῳ

Μήτρας ὑείας οὐκ ἀφεψηθεὶς τόμος,
b τὴν δηξίθυμον ἐντὸς ὀξάλμην ἔχων.

ἐν δὲ Σίλφαις

Μήτρας ὑείας ἑφθὸν ὡς φάγῃς τόμον,
δριμεῖαν ὠθῶν πηγανῖτιν εἰς χολήν.

59. Οἱ μέντοι ἀρχαῖοι πάντες πρὸ τοῦ δειπνεῖν οὐ παρέφερον οὔτε μήτρας οὔτε θρίδακας οὔτ' ἄλλο τι τῶν τοιούτων, ὥσπερ νῦν γίνεται. Ἀρχέστρατος γοῦν ὁ ὀψοδαίδαλος μετὰ τὸ δεῖπνον καὶ τὰς προπόσεις καὶ τὸ μύροις χρήσασθαί φησιν

Ἀεὶ δὲ στεφάνοισι κάρα παρὰ δαῖτα πυκάζου
c παντοδαποῖς, οἷς ἂν γαίας πέδον ὄλβιον ἀνθῇ,
καὶ στακτοῖσι μύροις ἀγαθοῖς χαίτην θεράπευε,
καὶ σμύρναν λίβανόν τε πυρὸς μαλακὴν ἐπὶ τέφραν
βάλλε πανημέριος, Συρίης εὐώδεα καρπόν.
ἐμπίνοντι δέ σοι φερέτω τοιόνδε τράγημα,
γαστέρα καὶ μήτραν ἑφθὴν ὑὸς, ἔν τε κυμίνῳ
ἔν τ' ὄξει δριμεῖ καὶ σιλφίῳ ἐμβεβαῶσαν,
ὀρνίθων τ' ὀπτῶν ἁπαλὸν γένος, ὡς ἂν ὑπάρχῃ
d ὥρη. τῶν δὲ Συρακοσίων τούτων ἀμέλησον,
οἳ πίνουσι μόνον βατράχων τρόπον οὐδὲν ἔδοντες.
ἀλλὰ σὺ μὴ πείθου κείνοις, ἃ δ' ἐγὼ λέγω ἔσθε

---

101 b. δηξίθυμον ἅλμην Eustathius p. 1506, 64. V. 1. Ἀεὶ] αἰεὶ P et Brunckius fortasse ex D.

101 c. V. 2. ἀνθῇ AC. ἀνθεῖ PVL. V. 4. μαλακὴν] μαλερὴν vir doctus apud Schweigh. V. 6. ἐμπίνοντι] ἐμπίπτοντι C. V. 7. γαστέρα] γαστέραν B. κυμίνῳ] μίνῳ A et margo P. V. 9. τ' PL. τ' εἰ V. τε B. ὡς] ὧν Casaubonus.

101 d. V. 10. Συρακοσίων] συρακουσίων B. V. 11. ἔδοντες] ἴδοντες P. ἴθοντες C et epitome Hoeschelii. Quam scripturam disertis verbis agnoscit Eustathius p. 773, 36. ἔδουσιν Archestratus p. 111. f. V. 12. σὺ μὴ πείθου] συμπείθου AB. σὺ πείθου P.

βρωτά. τὰ δ᾽ ἄλλα γ᾽ ἐκεῖνα τραγήματα πάντα πέφυκε
πτωχείας παράδειγμα κακῆς, ἑφθοί τ᾽ ἐρέβινθοι,
καὶ κύαμοι καὶ μῆλα καὶ ἰσχάδες. ἀλλὰ πλακοῦντα
e αἴνει Ἀθήνησιν γεγενημένον· εἰ δὲ μή, ἄν που
αὐτὸν ἔχῃς ἑτέρωθι, μέλι ζήτησον ἀπελθὼν
Ἀττικόν, ὡς τοῦτ᾽ ἔστιν ὃ ποιεῖ κεῖνον ὑβριστήν.
οὕτω τοι δεῖ ζῆν τὸν ἐλεύθερον, ἢ κατὰ τῆς γῆς
καὶ κατὰ τοῦ βαράθρου καὶ ταρτάρου ἐς τὸν ὄλεθρον
ἥκειν καὶ κατορωρύχθαι σταδίους ἀναρίθμους.

Λυγκεὺς δὲ διαγράφων τὸ Λαμίας τῆς αὐλητρίδος δεῖπνον, ὅτι ὑπεδέχετο Δημήτριον τὸν Πολιορκητήν, εὐθέως τοὺς εἰσελθόντας ἐπὶ τὸ δεῖπνον ἐσθίοντας ποιεῖ ἰχθῦς παντοίους καὶ κρέα. ὁμοίως καὶ τὸ Ἀντιγόνου τοῦ βασι-
f λέως δεῖπνον διατιθεὶς ἐπιτελοῦντος Ἀφροδίσια καὶ τὸ Πτολεμαίου τοῦ βασιλέως ἰχθῦς πρῶτον παρατίθησι καὶ κρέα.

60. Θαυμάζειν δ᾽ ἐστὶν ἄξιον τοῦ τὰς καλὰς ὑποθήκας παραδιδόντος ἡμῖν Ἀρχεστράτου, ὃς Ἐπικούρῳ τῷ σοφῷ τῆς ἡδονῆς καθηγεμὼν γενόμενος, κατὰ τὸν Ἀσκραῖον ποιητὴν γνωμικῶς καὶ ἡμῖν συμβουλεύει τισὶ μὲν μὴ πείθεσθαι, αὐτῷ δὲ προσέχειν τὸν νοῦν· καὶ ἐσθίειν παρακελεύεται τὰ καὶ τά, οὐδὲν ἀποδέων τοῦ παρὰ Δαμοξένῳ τῷ κωμῳδιοποιῷ μαγείρου, ὃς ἐν Συντρόφοις φησὶν

102 Ἐπικούρου δέ με
ὁρᾷς μαθητὴν ὄντα τοῦ σοφοῦ, παρ᾽ ᾧ
ἐν δύ᾽ ἔτεσιν καὶ μησὶν οὐχ ὅλοις δέκα

---

V. 13. ἄλλα γ᾽ ἐκεῖνα] ἄλλα γε κεῖνα C. Malim βρώματα· τἄλλα δ᾽ ἐκεῖνα. V. 14. πτωχείας παραδείγματα ἐρέβινθοι, κύαμοι, μῆλα, ἰσχάδες C. κακῆς Schweigh. Libri καλῆς. ἑφθοί τ᾽ Casaubonus. Libri ἑφθῆς.

101 e. V. 16. ἀθήνησιν P. Scribebatur Ἀθήνησι. V. 21. ἀναρίθμους PVL. ἀναριθμήτους ABC. Λυγκεὺς] λυγγεὺς B.

101 f. αὐτῷ] Scribebatur αὐτῷ. κωμῳδιοποιῷ Schweigh. editio. κωμῳδοποιῷ PVL.

102 a. V. 3. ἔτεσιν] ἔτεσι B.

τάλαντ᾽ ἐγώ σοι κατεπύκνωσα τέτταρα.
*B.* τοῦτο δὲ τί ἐστιν, εἰπέ μοι. *A.* καθήγησα.
*B.* μάγειρος ἦν κἀκεῖνος; *A.* οὐκ ᾔδει θεοί.
*B.* ποῖος μάγειρος; *A.* ἡ φύσις πάσης τέχνης
ἀρχέγονόν ἐστ᾽, ἀρχέγονον, ὦ λιτήριε.
οὐκ ἔστιν οὐδὲν τοῦ πονεῖν σοφώτερον,
ἦν τ᾽ εὐχερὲς τὸ πρᾶγμα τοῦ λόγου τριβὴν
b ἔχοντι τούτου· πολλὰ γὰρ συμβάλλεται.
διόπερ μάγειρον ὅταν ἴδῃς ἀγράμματον
μὴ Δημόκριτόν τε πάντα διανεγνωκότα
[μᾶλλον δὲ κατέχοντα, καταγέλα ὡς κενοῦ]
καὶ τὸν Ἐπικούρου κανόνα, μισθώσας ἄφες
ὡς ἐκ διατριβῆς. τοῦτο δεῖ γὰρ εἰδέναι,
τίν᾽ ἔχει διαφορὰν πρῶτον, ὦ βέλτιστε σύ,
γλαυκίσκος ἐν χειμῶνι καὶ θέρει, πάλιν
c ποῖος περὶ δύσιν Πλειάδος συνειδέναι

---

V. 4. κατεπύκνωσα] κατεπίκνωσα B. V. 5.—12. om. C. V. 5. καθήγησα Hermannus praefat. ad Draconem p. XXV. καθήγησε ABP. καθήγησαι VL. V. 6. οὐκ ᾔδει θεοί] Scribendum videtur οὐκ ᾔδεισθα σύ; „E cod. D sic scribendum, μάγειρος ἦν κἀκεῖνος. B. οὐκ ᾔδη, θεοί, ποῖος μάγειρος. A. ἡ φύσις πάσης τέχνης ἀρχέγονόν ἐστ᾽, ἀρχέγονον, ὦ ἀλιτήριε." Brunckius. V. 8. ἀρχέγονόν ἐστιν, ἀρχέγονον ὦ ABP. ἀρχέγονον ἐστὶν ὦ VL. ἀλιτήριε ABP. ἀλιτήρια. VL. V. 9. οὐδὲν] Scribebatur οὐθὲν. τοῦ πονεῖν] τοῦ ᾽πινοεῖν Reisigius Coniectan. I. p. 31. V. 10. ἦν] ἣν P. πᾶν Reisigius.

102 b. V. 11. ἔχοντι L. ἔχοντα PV. V. 13. δημόκριτον ABCDPV. Δημοκρίτου Basil. L. Versum 14 ut ex interpretatione enatum delebat Hermannus praefat. ad Draconem. Quae et mihi vera ratio videtur et Reisigio visa est p. 32. quamvis Hermannus ipse sententiam mutavit in Elem. doctr. metr. p. 135. δὲ καὶ κατέχοντα B. καταγέλα ὡς ABCP. καταγέλα σύ γ᾽ ὡς VL. Trimetrum, si hoc agis, sic restituas licet, μᾶλλον δὲ καὶ κατέχοντα, καταγέλα κενοῦ: quod certe praestare videtur Hermanni coniecturae μᾶλλον δὲ κατέχοντ᾽, εὖ καταγέλα ὡς κενοῦ. V. 15.—18. om. C. V. 15. μισθώσας ἄφες Grotius in Excerptis p. 701. et Hermannus in Elem. doctr. metr. Libri μισθώσω σαφὲς. μισθώσας ἄφες Hermannus in praefat. ad Draconem. V. 17. πρῶτον D. Legebatur πρῶτος.

102 c. V. 19. ποῖος] ποῖον B. περὶ ABC. ἐπὶ VL. Πλειάδος] „Scripta lectio ἐπὶ δύσιν πλειάδων." Casaubonus. Sic DP.

*ἰχθὺς ὑπὸ τροπάς τ' ἐστὶ χρησιμώτατος.*
*αἱ μεταβολαὶ γάρ αἵ τε κινήσεις κακὸν*
*ἠλίβατον ἀνθρώποισιν ἀλλοιώματα*
*ἐν ταῖς τροφαῖς ποιοῦσι· μανθάνεις; τὸ δὲ*
*ληφθὲν καθ' ὥραν ἀποδίδωσι τὴν χάριν.*
*B. τίς παρακολουθεῖ ταῦτα. A. τοιγαροῦν στρόφοι*
*καὶ πνευμάτια γιγνόμενα τὸν κεκλημένον*
d *ἀσχημονεῖν ποιοῦσι. παρὰ δ' ἐμοὶ τρέφει*
*τὸ προσφερόμενον βρῶμα, καὶ λεπτύνεται*
*ὀρθῶς τε διαπνεῖ. τοιγαροῦν εἰς τοὺς πόρους*
*ὁ χυμὸς ὁμαλῶς πανταχοῦ συνίσταται.*
*χυμὸς λέγεις Δημόκριτος οὐδὲν πρᾶγμα τὰ*
*γιγνόμενα ποιεῖ τὸν φαγόντ' ἀρθριτικόν.*
*B. καὶ τῆς ἰατρικῆς τι μετέχειν μοι δοκεῖς.*
*A. καὶ πᾶς ὁ φύσεως ἐντός. ἡ δ' ἀπειρία*
e *τῶν νῦν μαγείρων κατανόει πρὸς τῶν θεῶν*
*οἷα 'στίν. ὀσμὴν ὅταν ἴδῃς ἐξ ἰχθύων*
*ὑπεναντίων αὐτοῖσι ποιούντων μίαν,*
*καὶ σήσαμ' ὑποτρίβοντας εἰς ταύτην, λαβὼν*
*ἕκαστον αὐτῶν κατὰ μέρος προσπαρδέτω.*
*B. ὥς μοι κέχρησαι. A. τί γὰρ ἂν εὖ γένοιτ' ἔτι*

---

V. 20. τ' accessit ex C. V. 22. ἠλίβατον ἐν ἀνθρώποισιν VL. ἠλίβατόν ἐστ' ἀνθρώποις A. ἠλίβατον ἐστ' ἐν ἀνθρώποις BP. ἠλίβατον ἐν τ' ἀνθρώποις C. ἠλίβατον ἀνθρώποισιν Porsonus. ἀλλοιώματα] ἀλλοιώματ' C. ἀλλοίωμά τε Porsonus. V. 23. τροφαῖς Grotius. Libri τροπαῖς. V. 26. 32. γιγνόμενα] Scribebatur γινόμενα.

102 d. V. 29. διαπνεῖ] διὰ δείπνου P. V. 30. ὁ χυμὸς ὁμαλῶς] ὁμαλῶς ὁ χυμὸς C. V. 31. 32. om. C. V. 31. πρᾶγμα τὰ] πράγματα Petitus: quo parum proficitur in loco corruptissimo. V. 32. ἀρθριτικὸν ABP, ἀρθρητικόν VL.

102 e. V. 36. οἷα 'στίν Grotius. οἷαν τὴν VL. οἷαν τὴν ABP. ὀσμὴν] ἅλμην Meinekius. ἐδωδὴν Casaubonus. οἷα 'στί. ὅταν Reisigius p. 32. V. 37. αὐτοῖσι] Scribebatur αὐτοῖσι. αὐτοῖς P. ποιούντων] ποιοῦντας Schweigh. ποιοῦντ' οὖν Reisigius. V. 38. ὑποτρίβοντας] ἐπιτρίβοντας Reisigius. V. 39. ἕκαστον αὐτῶν] ἕκαστος αὐτὴν Grotius. V. 40. ὥς μοι κέχρησαι] ὀσμῇ κέχρησαι Iacobsius p. 68. comparato v. 36. ὥς μοι κεχάρισαι Meinekius. προσπαρδέτω, ὅς μοι κέχρηται Casaubonus. γένοιτ'

τῆς ἰδιότητος πρὸς ἑτέραν μεμιγμένης
καὶ συμπλεκομένης οὐχὶ συμφώνους ἁφάς;
f τὸ ταῦτα διορᾶν ἐστιν εὐψύχου τέχνης,
οὐ τὸ διανίζειν λοπάδας οὐδ᾽ ὄζειν καπνοῦ.
ἐγὼ γὰρ εἰς τοὐπτάνιον οὐκ εἰσέρχομαι,
ἀλλά τι θεωρῶ πλησίον καθήμενος,
πονοῦσι δ᾽ ἑτέροισιν λέγω τὰς αἰτίας
καὶ τἀποβαῖνον, ὀξὺ τὸ περίκομμ᾽, ἄφες.
Β. ἁρμονικὸς, οὐ μάγειρος. Α. ἐπίτεινον τὸ πῦρ·
ὁμαλιζέτω τις ὡς τάχος· ἡ πρώτη λοπὰς
103 ζεῖ ταῖς ἐφεξῆς οὐχὶ συμφώνως. νοεῖς
τὸν τύπον; Β. Ἄπολλον. καὶ τὶ φαίνεται τέχνη.
Α. εἶτ᾽ οὐδὲν εἰκῇ παρατίθημι, μανθάνεις;
βρῶμ᾽, ἀλλὰ μίξας πάντα κατὰ συμφωνίαν.
Β. πῶς; Α. ἔστιν αὐτοῖς ἃ διὰ τεττάρων ἔχει
κοινωνίαν, διὰ πέντε, διὰ πασῶν πάλιν,
ταῦτα προσάγω πρὸς αὐτὰ τὰ διαστήματα
καὶ ταῖς ἐπιφοραῖς εὐθὺς οἰκείως πλέκω·
ἐνίοτε δ᾽ ἀφεστὼς παρακελεύομαι, πόθεν
ἅπτει; τί τούτῳ μιγνύειν μέλλεις; ὅρα·
b διάφωνον ἕλκεις· οὐχ ὑπερβήσει σοφόν;
Ἐπίκουρος οὕτω κατεπύκνου τὴν ἡδονήν·

---

ἔτι ABDP. γένοιτό τι VL. V. 42. συμπλεκομένης BC. συμπλεκομένας PVL.

102 f. V. 45. τοὐπτάνιον Valckenar. ad Phoenissas p. 252. τοὐπτανεῖον VL. τοὐπτάνειον P. V. 47. Legebatur ποιοῦσι δ᾽ ἕτεροι σοὶ δὲ λέγω. Emendavit Meinekius. ποιοῦσι δ᾽ ἕτεροι, ἐγὼ δὲ λέγω C. V. 50. τις ὡς τάχος ἡ] Libri τοῖς στάχεσι (στάχεσιν A). πρώτη ABCPL. πρώτην V.

103 a. V. 51. ζεῖ] ζῇ B. ταῖς Casaubonus „*adiuvante Hoescheliana epitome*," in qua τοῖς reperisse videtur, ut in C scriptum est. τοὺς ABPVL. συμφώνως] συμφώνους B. V. 53. οὐδὲν] Scribebatur οὐθὲν. παρατίθημι — πάντα om. P. παρατίθημι μανθάνεις βρῶμα ABD. παρατίθεμαι βρῶμα C. παρατίθεμαι τοῖς συμπόταις βρῶμ᾽ VL. V. 56. Post διὰ πασῶν sic pergit C, καὶ ἄλλα ληρήσας ἐπάγει, οὕτως ἐπίκουρος κατεπύκνου τὴν ἡδονήν. V. 59. ἐνίοτε δ᾽] ἐνίοτ᾽ Hermannus Elem. doctr. metr. p. 131. V. 60. τούτῳ A. τούτων PVL.

103 b. V. 61. ὑπερβήσει] Scribebatur ὑπερβήσῃ. σοφόν corruptum. V. 62. Ἐπίκουρος οὕτω] οὕτως ἐπίκουρος C.

ἐμασῶτ' ἐπιμελῶς, εἶδε τἀγαθὸν μόνος
ἐκεῖνος οἷόν ἐστιν· οἱ δ' ἐν τῇ στοᾷ
ζητοῦσι συνεχῶς οἷόν ἐστ' οὐκ εἰδότες.
οὐκοῦν ὅ γ' οὐκ ἔχουσιν, ἀγνοοῦσι δὲ,
οὐδ' ἂν ἑτέρῳ δοίησαν. οὕτω σοι δοκεῖ;
ἀφῶμεν οὖν τὰ λοιπά. B. δῆλα δὴ πάλαι.

61. *Καὶ Βάτων δ' ἐν Συνεξαπατῶντι δυσχεραίνοντα ποιήσας μειρακίου πατέρα, ὡς διαφθαρέντος κατὰ τὴν*
c *δίαιταν ὑπὸ τοῦ παιδαγωγοῦ, φησὶν*

Ἀπολώλεκας τὸ μειράκιόν μου παραλαβὼν,
ἀκάθαρτε, καὶ πέπεικας ἐλθεῖν εἰς βίον
ἀλλότριον αὑτοῦ, καὶ πότους ἑωθινοὺς
πίνει διὰ σὲ νῦν πρότερον οὐκ εἰθισμένον.
B. εἶτ' εἰ μεμάθηκε, δέσποτα, ζῆν, ἐγκαλεῖς;
A. ζῆν δὲ τὸ τοιοῦτον; B. ὡς λέγουσιν οἱ σοφοί.
ὁ γοῦν Ἐπίκουρός φησιν εἶναι τἀγαθὸν
τὴν ἡδονὴν δήπουθεν· οὐκ ἔστιν δ' ἔχειν
d ταύτην ἑτέρωθεν, ἐκ δὲ τοῦ ζῆν δὴ καλῶς
εὔσως ἅπαντας ἢ τυχὸν δώσεις ἐμοί.
A. ἑόρακας οὖν φιλόσοφον εἰπέ μοί τινα
μεθύοντ' ἐπὶ τούτοις θ' οἷς λέγεις κηλούμενον;
B. ἅπαντας. οἱ γοῦν τὰς ὀφρῦς ἐπηρκότες

---

V. 65. ἐστ' οὐκ] ἐστὶν οὐκ B. V. 66. ὅ γ' οὐκ AD. ὅτ' οὐκ CVL. ὅτε οὐκ B. ὅ γ' οὖν οὐκ P. ἀγνοοῦσι δὲ ABCP. ἀγνοοῦσί τε L. ἀγνοοῦσι V. *Βάτων* Casaubonus. Libri *πλάτων* eodem errore quo VII. p. 279 a. ubi hi versus repetuntur. δ' ἐν Συνεξαπατῶντι] δὲ ξυνεξαπατῶντα B.

103 c. V. 1. τὸ μειράκιόν μου 279. Libri μου τὸ μειράκιον. παραλαβὼν] παρακαλῶν C. V. 3. αὑτοῦ] αὐτοῦ A. ἑαυτοῦ C. V. 4. εἰθισμένον] εἰθισμένος 279. V. 5. εἶτ' εἰ 279. Libri εἶ τι.

V. 6. ζῆν δὲ τὸ τοιοῦτον; ὡς] ζῆν δ' ἐστὶ τὸ τοιοῦτον ὡς ABCPVL. ζῆν δ' ἐστὶ τὸ τοιοῦθ' ὡς VL 279. ζῆν δ' ἐστὶ τὸ τοιοῦτον Schweigh. deleto ὡς. V. 8. δήπουθεν L. δήποθεν PV.

103 d. V. 9. ταύτην om. P. δὴ καλῶς] παγκάλως 279 recte. εἰ μὴ ἐκ τοῦ ζῆν καλῶς C. V. 10. εὔσως ἅπαντας ἢ 279. Legebatur ὦ σωσία πάντη. εὐσωσία πάντη BP. Totum versum om. C. V. 11. ἑόρακας οὖν] Legebatur ἑώρακας σύ. ἑώρακας οὖν 279. ἑώρακας δὲ σὺ C. V. 12. μεθύοντ' ἐπὶ τούτοις L. μεθύοντα ἐπὶ τούτοις ABCPV. μεθύοντα τούτοις Grotius in Excerptis p. 485. τούτοις θ' οἷς AC et 279. τούτοις οἷς PVL. V. 13. γοῦν] γὰρ 279.

καὶ τὸν φρόνιμον ζητοῦντες ἐν τοῖς περιπάτοις
καὶ ταῖς διατριβαῖς ὥσπερ ἀποδεδρακότα
οὕτως, ἐὰν γλαυκίσκος αὐτοῖς παρατεθῇ,
ἴσασιν οὗ δεῖ πρῶτον ἅψασθαι τόπου,
e καὶ τὴν κεφαλὴν ζητοῦσιν ὥσπερ πράγματος,
ὥστ' ἐκπεπλῆχθαι πάντας.

62. Καὶ παρ' Ἀντιφάνει δὲ ἐν Στρατιώτῃ ἢ Τύχωνι παραινέσεις εἰσφέρων ἄνθρωπος τοιοῦτός ἐστιν, ὅς φησιν

Ὅστις ἄνθρωπος δὲ φὺς
ἀσφαλές τι κτῆμ' ὑπάρχειν τῷ βίῳ λογίζεται,
πλεῖστον ἡμάρτηκεν. ἢ γὰρ εἰσφορά τις ἥρπακε
τἄνδοθεν πάντ', ἢ δίκῃ τις περιπεσὼν ἀπώλετο,
f ἢ στρατηγήσας προσῶφλεν, ἢ χορηγὸς αἱρεθεὶς
ἱμάτια χρυσᾶ παρασχὼν τῷ χορῷ ῥάκος φορεῖ,
ἢ τριηραρχῶν ἀπήγξατ', ἢ πλέων ἥλωκέ ποι,
ἢ βαδίζων ἢ καθεύδων κατακέκοφθ' ὑπ' οἰκετῶν.
οὐ βέβαιον οὐδέν ἐστι, πλὴν ὅσ' ἂν καθ' ἡμέραν
104 εἰς ἑαυτὸν ἡδέως τις εἰσαναλίσκων τύχῃ.
οὐδὲ ταῦτα σφόδρα τι· καὶ γὰρ τὴν τράπεζαν ἁρπάσαι
κειμένην ἄν τις προσελθών· ἀλλ' ὅταν τὴν ἔνθεσιν
ἐντὸς ἤδη τῶν ὀδόντων τυγχάνῃς κατεσπακώς,
τοῦτ' ἐν ἀσφαλεῖ νόμιζε τῶν ὑπαρχόντων μόνον.

τὰ αὐτὰ εἴρηκε καὶ ἐν Ὑδρίᾳ.

63. Εἰς ταῦτ' οὖν τις ἀποβλέπων, ἄνδρες φίλοι, εἰκό-

---

V. 14. 15. om. C. In Ἀνδροφόνῳ fabula repetiit Bato IV. p. 163 b. V. 14. ζητοῦντες 279. Libri ζῶντες. V. 16. οὕτως om. C.

103 e. V. 18. 19. om. C. V. 18. ὥσπερ Porsonus. Libri ὡς περὶ. ἀντιφάνει C. ἀντιφάνῃ vel ἀντιφάνη PVL. Στρατιώτῃ] στρατιῶτι B. ἢ Τύχωνι Casaubonus. Libri τυχών. V. 1. δὲ om. C.

103 f. V. 5. ἢ χορηγὸς Casaubonus. χορηγὸς ABP. χορηγός θ' CVL. V. 6. χρυσᾶ Grotius in Excerptis p. 627. καὶ χρύσα V. καὶ χρυσᾶ L. καὶ χρυσία ABP et, quantum ex scripturae ductibus colligere licuit, C. ῥάκος CPL. ῥάκκος ABV. V. 7. ποι] που D. V. 9. οὐδέν PVL. οὐθέν AC. ὅσ' C. ὅς ABPV. ὃ L.

104 a. V. 10. εἰσαναλίσκων Casaubonus. Legebatur εἰσαναλίσκειν. ἐναλίσκειν C. τύχῃ Porsonus. Libri τύχοι. V. 12. ἄν τις προσελθὼν] ἀντιπροσελθὼν BP. ἔνθεσιν] ἔκθεσιν B. V. 13. τυγχάνῃς C. Legebatur τυγχάνῃ.

b τως ἂν ἐπαινέσειε τὸν καλὸν Χρύσιππον, κατιδόντα ἀκριβῶς τὴν Ἐπικούρου φύσιν καὶ εἰπόντα μητρόπολιν εἶναι τῆς φιλοσοφίας αὐτοῦ τὴν Ἀρχεστράτου Γαστρολογίαν, ἣν πάντες οἱ τῶν φιλοσόφων γαστρίμαργοι Θέογνίν τινα αὐτῶν εἶναι λέγουσι, τὴν καλὴν ταύτην ἐποποιίαν. πρὸς οὓς καὶ Θεόγνητος ἐν Φάσματι ἢ Φιλαργύρῳ φησὶν ἐκ τούτων

Ἄνθρωπ᾽, ἀπολεῖς με. τῶν γὰρ ἐκ τῆς ποικίλης
στοᾶς λογαρίων ἀναπεπλησμένος νοσεῖς·
c „Ἀλλότριόν ἐσθ᾽ ὁ πλοῦτος ἀνθρώπῳ, πάχνη·
σοφία δ᾽ ἴδιον, κρύσταλλος. οὐδεὶς πώποτε
ταύτην λαβὼν ἀπώλεσ᾽." ὢ τάλας ἐγώ,
οἵῳ μ᾽ ὁ δαίμων φιλοσόφῳ συνῴκισεν.
ἐπαρίστερ᾽ ἔμαθες, ὦ πόνηρε, γράμματα·
ἀνέστροφέν σου τὸν βίον τὰ βιβλία·
πεφιλοσόφηκας γῇ τε κοὐρανῷ λαλῶν,
οἷς οὐδέν ἐστιν ἐπιμελὲς τῶν σῶν λόγων.

64. Ἔτι τοῦ Οὐλπιανοῦ διαλεγομένου παῖδες ἐπεισῆλθον φέροντες ἐπὶ δίσκων καράβους μείζονας Καλλιμέδοντος τοῦ ῥήτορος, ὃς διὰ τὸ φιληδεῖν τῷ βρώματι Κάραβος
d ἐπεκλήθη. Ἄλεξις μὲν οὖν αὐτὸν ἐν Δορκίδι ἢ Ποππυζούσῃ φίλιχθυν εἶναι κοινῶς παραδίδωσι, καθάπερ καὶ ἄλλοι τῶν κωμῳδιοποιῶν, λέγων οὕτως

Τοῖς ἰχθυοπώλαις ἐστὶν ἐψηφισμένον,
ὥς φασι, χαλκῆν Καλλιμέδοντος εἰκόνα
στῆσαι Παναθηναίοισιν ἐν τοῖς ἰχθύσιν,
ἔχουσαν ὀπτὸν κάραβον ἐν τῇ δεξιᾷ,

---

104 b. Θέογνιν Welckerus ad Theognidem p. LXXXIII.: vid. VII. p. 310 a. Legebatur Θεογονίαν. Θεόγνητος] Θέογνις C. V. 2. νοσεῖς ἀλλότριον Grotius. Legebatur νοσεῖς ἐρεῖς (ἐρεῖ libri Casauboniani) ἀλλότριον.

104 c. V. 3. πάχνη Grotius. Libri πάχνης. V. 4. κρύσταλλος] κρύσταλος B. οὐδεὶς VL. οὐθεὶς ABP. V. 6. — 10.] XV. p. 671 b. V. 7. πόνηρε] πονηρὲ C. V. 8. ἀνέστροφεν Porsonus. Libri ἀντέστροφεν. βιβλία] βυβλία P. V. 9. γῇ τε κ᾽ οὐρανῷ PVL. γῇ τε καὶ οὐρανῷ AC. τε γῇ καὶ οὐρανῷ B. V. 10. οὐδέν C et 671. οὐθέν PVL. σῶν om. C.

104 d. αὐτὸν] αὐλὸν B. κωμῳδιοποιῶν A. κωμῳδοποιῶν PVL. V. 3. στῆσαι] στήσειν C. Idem fortasse in B est, ex quo si-

ὡς αὐτὸν ὄντ᾽ αὐτοῖσι τῆς τέχνης μόνον
e σωτῆρα, τοὺς ἄλλους δὲ πάντας ζημίαν.

περισπούδαστος δὲ ἦν πολλοῖς ἡ τοῦ καράβου βρῶσις, ὡς ἔστι δεῖξαι διὰ πολλῶν τῆς κωμῳδίας μερῶν· ἀρκέσει δὲ τὰ νῦν Ἀριστοφάνης ἐν ταῖς Θεσμοφοριαζούσαις οὕτως λέγων

Ἰχθῦς ἐώνηταί τις ἢ σηπίδιον
ἢ τῶν πλατειῶν καρίδων ἢ πουλύπους,
ἢ νῆστις ὀπτᾶτ᾽, ἢ γαλεὸς, ἢ τευθίδες;
Β. μὰ τὸν Δί᾽ οὐ δῆτ᾽. Α. οὐδὲ βατίς; Β. οὔ φημ᾽ ἐγώ.
f Α. οὐ χόριον οὐδὲ πῦος, οὐδ᾽ ἧπαρ κάπρου,
οὐδὲ σχαδόνες, οὐδ᾽ ἤτριαῖον δέλφακος,
οὐδ᾽ ἐγχέλειον, οὐδὲ κάραβον μέγαν
γυναιξὶ κοπιώσαισιν ἐπεκουρήσατε;

πλατείας δὲ καρῖδας ἂν εἴη λέγων τοὺς ἀστακοὺς καλουμένους, ὧν μνημονεύει Φιλύλλιος ἐν Πόλεσι. καὶ Ἀρχέστρατος γὰρ ἐν τῷ διαβοήτῳ ποιήματι οὐδ᾽ ὅλως που κάραβον ὀνομάζων ἀστακὸν προσαγορεύει, ὥσπερ κἀν τούτοις

105 Ἀλλὰ παρεὶς λῆρον πολυώνυμον ἀστακὸν ὠνοῦ
τὸν τὰς χεῖρας ἔχοντα μακρὰς ἄλλως τε βαρείας,
τοὺς δὲ πόδας μικροὺς, βραδέως δ᾽ ἐπὶ γαῖαν ὀρούει.
εἰσὶ δὲ πλεῖστοι μὲν πάντων ἀρετῇ τε κράτιστοι
ἐν Λιπάραις, πολλοὺς δὲ καὶ Ἑλλήσποντος ἀθροίζει.

---

κόνω σπῆσαι enotatum, in quo nihil est ab edita scriptura dissensionis. V. 5. αὐτοῖσι BCP. αὐτοῖσιν VL.

104 e. τὰ νῦν] τὰ om. P. Ἀριστοφάνης om. B. Θεσμοφοριαζούσαις] Secundis. Om. hoc fragmentum C. V. 1. ἰχθῦς PV. ἰχθύς L. ἐώνηταί τις VII. p. 324 b. Legebatur τις ἐώνηται. V. 2. πουλύπους VL. πολύπους ABP. V. 4. οὐδὲ] οὐ καὶ sola L, peccato typothetico. βατίς] Libri βάτις. Vide VII. p. 286 b. οὔ φημ᾽ Porsonus. Libri οὐδὲ φημ᾽.

104 f. V. 5. οὐ χόριον Porsonus. Libri οὐδὲ χόριον. πῦος] πυὸς L. πυίνος V. πυυὸς P. V. 6. οὐδε σχαδόνες Brunckius. Libri οὐ δὴ σχαδόνες. οὐδ᾽ ἠσχαδόνες B. ἤτριαῖον] Etymol. M. p. 430, 42. V. 7. μέγαν] μέγα A. V. 8. κοπιώσαισιν] Libri κοπιώσαις. Φιλύλλιος] Supra p. 86 e.

105 a. V. 1. πολυώνυμον Valckenarius ad Herodoti VII, 5. Legebatur πολὺν. V. 3. βραδέως δ᾽] δ᾽ om. B. V. 4. ἀρετῇ

καὶ Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ τὸν προειρημένον ἀστακὸν ὑπὸ τοῦ Ἀρχεστράτου δηλοῖ ὅτι κάραβός ἐστι λέγων οὕτως

b Ἐντὶ δ' ἀστακοὶ κολύβδαινάί τε χῶς τὰ πόδι' ἔχει μικρὰ, τὰς χεῖρας δὲ μακρὰς, κάραβος δὲ τὤνυμα.

65. Ἴδιον δ' ἐστὶ γένος καράβων τε καὶ ἀστακῶν ἄλλο, ἔτι δὲ καρίδων. τὸν δ' ἀστακὸν οἱ Ἀττικοὶ διὰ τοῦ ο ὀστακὸν λέγουσι, καθάπερ καὶ ὀσταφίδας. Ἐπίχαρμος δὲ ἐν Γᾷ καὶ Θαλάσσᾳ φησὶ „Κἀστακοὶ γαμψώνυχοι.“ Σπεύσιππος δὲ ἐν δευτέρῳ Ὁμοίων παραπλήσιά φησιν εἶναι τῶν μαλακοστράκων κόρακον, ἀστακὸν, νύμφην, ἄρκτον, καρκίνον, πάγουρον. Διοκλῆς δ' ὁ Καρύστιός φησι „Καρῖδες, καρκίνοι, κάραβοι, ἀστακοὶ εὔστομα καὶ διουρητικά.“ c κολύβδαιναν δ' εἴρηκεν Ἐπίχαρμος ἐν τοῖς προεκκειμένοις, ὡς μὲν Νίκανδρός φησι, τὸ θαλάσσιον αἰδοῖον, ὡς δ' ὁ Ἡρακλείδης ἐν Ὀψαρτυτικῷ, τὴν καρῖδα. Ἀριστοτέλης δ' ἐν πέμπτῳ ζώων μορίων „Τῶν μαλακοστράκων ὀχεύονται (φησὶ) κάραβοι, ἀστακοὶ, καρῖδες καὶ τὰ τοιαῦτα, ὥσπερ καὶ τὰ ὀπισθουρητικὰ τῶν τετραπόδων. ὀχεύονται δὲ τοῦ ἔαρος ἀρχομένου πρὸς τῇ γῇ· ἤδη γὰρ ὦπται ἡ ὀχεία πάντων τῶν τοιούτων· ἐνιαχοῦ δὲ, ὅταν τὰ σῦκα ἄρχηται πεπαίνεσθαι. γίνονται δ' οἱ μὲν κάραβοι ἐν τοῖς τραχέσι d καὶ πετρώδεσιν, οἱ δ' ἀστακοὶ ἐν τοῖς λείοις, ἐν δὲ τοῖς πηλώδεσιν οὐδέτεροι. διὸ καὶ ἐν Ἑλλησπόντῳ μὲν καὶ περὶ Θάσον ἀστακοὶ γίνονται, περὶ δὲ τὸ Σίγειον καὶ τὸν Ἄθω

---

τε PVL. ἀρετῇ δὲ BD. καὶ ἀρετῇ C. Ἥβας] Scribebatur Ἥβης.

105 b. τε, χ' ὃς τὰ πόδι' ἔχει Porsonus. τ' ἔχοισαι πόδι ἔχει A. τε χ' ὅστα πο ἔχει P. (δη superscr.) τε τὰ πόδι' (πόδι' C.) ἔχουσαι BC. τ' ἐχόσαι ποδία V. τ' ἔχουσαι ποδία L. καράβων τε καὶ] καράβων καὶ C. ἔτι δὲ] ἔτι καὶ C. γαμψώνυχοι] γαμψώνυχος B. Quod ex γαμψώνυχες corruptum videtur. δευτέρῳ] Scribebatur β'. κόρακον] κάραβον Gesnerus de Aquatil. p. 300.

105 c. προεκκειμένοις] προσεκκειμένοις BP. ὁ Ἡρακλείδης L. ὁ om. PV. Ἀριστοτέλης] H. A. V, 6. p. 188. ἐν πέμπτῳ ζώων Basil. et L. ἐν ζώων ABPV. ἐν τῷ περὶ ζώων C. κάραβοι ἀστακοὶ] κάραβος ἀστυκὸς B. ἔαρος ἀρχομένου Basil. et L. ἀέρος ἐρχομένου V. ἔαρος ἐρχομένου AP. ἔαρος ἐρχόμενα C. ἄρχηται] ἄρχεται B. ἄρξηται Aristoteles. γίνονται] Ibidem V, 15. p. 214.

105 d. Σίγειον] σίγιον B.

κάραβοι. εἰσὶ δ' οἱ κάραβοι μακρόβιοι πάντες." Θεόφραστος δ' ἐν τῷ περὶ τῶν φωλευόντων τοὺς ἀστακοὺς καὶ καράβους καὶ καρῖδας ἐκδύεσθαί φησι τὸ γῆρας.

66. Περὶ δὲ τῶν καρίδων, ὅτι καὶ πόλις ἦν Καρίδες περὶ Χίον τὴν νῆσον Ἔφορος ἐν τῇ πρώτῃ ἱστορεῖ, κτίσαι φάσκων αὐτὴν τοὺς διασωθέντας ἐκ τοῦ ἐπὶ Δευκα-
e λίωνος γενομένου κατακλυσμοῦ μετὰ Μάκαρος, καὶ μέχρι νῦν τὸν τόπον καλεῖσθαι Καρίδας. ὁ δὲ ὀψοδαίδαλος Ἀρχέστρατος παραινεῖ τάδε

Ἢν δέ ποτ' εἰς Ἴασὸν Καρῶν πόλιν εἰσαφίκηαι,
καρῖδ' εὐμεγέθη λήψει, σπανία δὲ πρίασθαι·
ἐν δὲ Μακηδονίᾳ τε καὶ Ἀμβρακίᾳ μάλα πολλαί.

ἐκτεταμένως δ' εἴρηκε καρῖδα Ἀραρὼς μὲν ἐν Καμπυλίωνι

Αἵ τε καμπύλαι
καρῖδες ἐξήλλοντο δελφίνων δίκην
f εἰς σχοινόπλεκτον ἄγγος.

καὶ Εὔβουλος ἐν Ὀρθάνῃ

Καρῖδα καθῆκα κάτω κἀνέσπασ' αὖθις.

Ἀναξανδρίδης Λυκούργῳ

Καὶ συμπαίζει καριδαρίοις
μετὰ περκιδίων καὶ θριττιδίων,
καὶ ψηττταδίοις μετὰ κωθαρίων,
καὶ σκινδαρίοις μετὰ κωβιδίων.

---

Θεόφραστος] Vol. I. p. 836. πόλις ACL et epitome Hoeschelii. πολλαῖς B. πολλαὶ PV. πρώτῃ] τρίτῃ Marxius ad Ephorum p. 136.

105 e. γενομένου] γινομένου B. μάκαρος ABC et Casauboniani. μάκαρας PVL. καὶ μέχρι] ἢ μέχρι B. Ἴασον] Ἰασὸς ὀξυτόνως scribitur in Strabone XIV, 21. p. 40. Cor. et alibi. Scribebatur λήψῃ. λήψεις ABP. Quare λήψει dedi: vide VII. p. 328 a. σπανία Schweigh. σπάνια ABP. σπανίαν C. σπάνιαι V. σπανίαι L. Μακηδονίᾳ] μακεδονίᾳ C. Ἀραρὼς] P. 86 d. Eustathius p. 1220, 52. ἀράρως P.

105 f. ὀρθάνῃ ABL. ὀρθάννῃ PV. καθῆκα κάτω] κατήκατω B. καθήκατο P. Anaxandridis v. 1. 2. repetuntur VII. p. 329 e. V. 1. —ζει] —ζειν 329. καριδαρίοις] κορακινιδίοις 329. V. 2. περκιδίων 329. Legebatur περδικίων. θριττιδίων] Corrige θραττιδίων ex 329. V. 3. ψητταδίοις P. ψιτταδίοις VL. ψητταρίοις Lobeck. ad Phrynich. p. 74. κωθαρίων Schweigh. Libri κωβιδαρίων.

ὁ δ' αὐτὸς κἀν Πανδάρῳ φησὶν

106 Οὐκ ἐπικεκυφὼς ὀρθὸς, ὦ βέλτιστ', ἔσει·
αὕτη δὲ καριδοῖ τὸ σῶμα καμπύλη
ἄγκυρά τ' ἐστὶν ἄντικρυς τοῦ σώματος.

ἐν δὲ Κερκίῳ

Ἐρυθρότερον καρῖδος ὀπτῆς σ' ἀποφανῶ.

Εὔβουλος Τιτθαῖς

Καρῖδάς τε τῶν κυφῶν.

καὶ Ὠφελίων Καλλαίσχρῳ

Κυρταὶ δ' ὁμοῦ καρῖδες ἐν ξηρῷ πέδῳ.

καὶ ἐν Ἰαλέμῳ

Ὠρχοῦντο δ' ὡς καρῖδες ἀνθράκων ἔπι
b πηδῶσι κυρταί.

συνεσταλμένως δ' εἴρηκεν Εὔπολις ἐν Αἰξὶν οὕτως

Πλὴν
ἅπαξ ποτ' ἐν Φαίακος ἔφαγον καρίδας.

καὶ ἐν Δήμοις

Ἔχων τὸ πρόσωπον καρίδος μασθλητίνης.

67. Ὠνομάσθησαν δὲ καρῖδες ἀπὸ τοῦ κάρα· τὸ πλεῖστον γὰρ μέρος τοῦ σώματος ἡ κεφαλὴ ἀπηνέγκατο. καρίδες δὲ βραχέως οἱ Ἀττικοὶ ἀναλόγως· παρὰ γὰρ τὸ κάρη
c γέγονε, διὰ τὸ μείζονι κεχρῆσθαι κεφαλῇ. ὡς οὖν παρὰ τὸ γραφὴ γραφὶς καὶ βολὴ βολὶς, οὕτω καὶ παρὰ τὸ κάρη

---

106 a. V. 1. ἐπικεκυφὼς Casaubonus. ἐπικεκρυφὼς PV. ἐπικεκρυφὼς L. ἔσει] Scribebatur ἔσῃ. V. 2. καριδοῖ] καρίδος B. καμπύλη ἄγκυρά τ' VL. καμπύλη τ' ἄγκυρα C et Eustathius p. 1220, 49. καμπύλη τ' ἄγκυρά τ' ABP. Κερκίῳ] Κερκύονι Reinesius Defens. Var. lect. p. 72. ἐρυθρότερον CPL et Eustathius p. 1220, 53. ἐρυθρώτερον AV. ὀπτῆς C et Eustathius. ὀπτῶν ABPVL. Τιτθαῖς] Libri τηθαῖς. καρίδας τε ABP. καρῖδα τε V. καρίδα τε L. κυφῶν Schweigh. Libri κύφων. καὶ ὠφελίων καλλαίσχρῳ AL et Casauboniani. ὤφελλον καλλαίσχρῳ B. ὤφελλων καλλαίσχρῳ P. καὶ ἐν καλλαίσχρῳ V. Ὠρχοῦντο δ'] δ' om. ABCP et Eustathius p. 1220, 53. ὠρχοῦντ' P. ὡς VL. ὥσπερ ABCP et Eustathius. ὠρχοῦνθ' ἅπερ καρῖδες Meinekius.

106 b. ἐν Φαίακος] ἐκ φαίακος P. Ἔχων — μασθλητίνης ex Cratino affert Etymol. M. p. 491, 40. τὸ πρόσωπον] τὸ om. Etymol. καρίδες δὲ] καρίδας δὲ C.

καρίς. ταθείσης δὲ τῆς παρατελευταίας ἐτάθη καὶ τὸ τέλος,
καὶ ὁμοίως λέγεται τῷ ψηφὶς καὶ κρηπὶς καὶ τευθίς.
Περὶ δὲ τῶν ὀστρακοδέρμων τούτων Δίφιλος μὲν ὁ
Σίφνιος οὕτω γράφει „Τῶν δ᾽ ὀστρακοδέρμων καρὶς, ἀστα-
κὸς, κάραβος, καρκίνος, λέων τοῦ αὐτοῦ γένους ὄντα δια-
φέρουσι. μείζων δ᾽ ἐστὶν ὁ λέων τοῦ ἀστακοῦ. οἱ δὲ κά-
d ραβοι καὶ γραψαῖοι λέγονται· τῶν καρκίνων δ᾽ εἰσὶ σαρ-
κωδέστεροι. ὁ δὲ καρκίνος βαρὺς καὶ δύσπεπτος.“ Μνησί-
θεος δ᾽ ὁ Ἀθηναῖος ἐν τῷ περὶ ἐδεστῶν „Κάραβοι (φησὶ)
καὶ καρκίνοι καὶ καρῖδες καὶ τὰ ὅμοια, δύσπεπτα μὲν
ταῦτα, τῶν δ᾽ ἄλλων ἰχθύων εὐπεπτότερα πολλῷ. πρέπει
δ᾽ αὐτοῖς ὀπτᾶσθαι μᾶλλον ἢ ἕψεσθαι.“ κουρίδας δὲ τὰς
καρῖδας εἴρηκε Σώφρων ἐν γυναικείοις οὕτως „Ἴδε καλᾶν
κουρίδων, ἴδε καμμάρων, ἴδε φίλα· θᾶσαι μὰν ὡς ἐρυ-
e θραί τ᾽ ἐντὶ καὶ λειοτριχιῶσαι.“ Ἐπίχαρμος δ᾽ ἐν Γᾷ καὶ
Θαλάσσᾳ „Κουρίδες τε φοινίκιαι.“ ἐν δὲ Λόγῳ καὶ Λο-
γίννᾳ διὰ τοῦ ω εἴρηκεν „Ἀφύας τε κωρίδας τε καμπύ-
λας.“ Σιμωνίδης δὲ

Θύννοισι τευθὶς, κωβιοῖσι κωρίδες.

68. Ἑξῆς εἰσεκομίσθη ταγηνιστὰ ἤπατα περιειλημ-
μένα τῷ καλουμένῳ ἐπίπλῳ, ὃν Φιλέταιρος ἐν Τηρεῖ ἐπί-
πλοιον εἴρηκεν. εἰς ἃ ἀποβλέψας ὁ Κύνουλκος, Λέγε ἡμῖν,
ἔφη, ὦ σοφὲ Οὐλπιανὲ, εἴ που κεῖται οὕτως τὸ ἧπαρ ἐντε-
f τυλιγμένον. καὶ ὃς, Ἐὰν πρότερον δείξῃς σὺ παρὰ τίνι ὁ
ἐπίπλους εἴρηται ἐπὶ τοῦ λίπους καὶ τοῦ ὑμένος. ἀντικο-
ρυσσομένων οὖν τούτων ὁ Μυρτίλος ἔφη; Ὁ μὲν ἐπίπλους

---

106 c. παρατελευταίας] παρατελευτῆς C, in quo rubro superscriptum παραληγούσης. παρατελεύτου Eustathius p. 1220, 51. ψηφὶς καὶ κρηπὶς B. Aberat καὶ. οὕτω B. οὕτως PVL.

106 d. ταῦτα] πάντα Coraës ad Xenocratem p. 193. Ἴδε] Ἴδεν BP. καλᾶν VL. καλὰν ABP. ἴδε] ἰδὲ P. καμμάρων] VII. p. 306 c. ἴδε] ἰδὲ P.

106 e. θᾶσαι μὰν] θασαίμαν P. λειοτριχιῶσαι L. λείως τριχιῶσαι V. λειστριχιῶσαι P. φοινίκιαι] φοινίκεαι C. Λογίννᾳ Porsonus apud Gaisford. ad Hephaest. p. 45. λογιναὶ PVL. λογιναι sine accentu A. τοῦ ω Koenius ad Gregorium p. 634. Libri τούτων. Σιμωνίδης] Fr. 201. p. 406. κωβιοῖσι L. κωβίοισι PV. Φιλέταιρος] φιλέτερος B. εἰς ἃ PL. εἰς ἅπαν V.

106 f. εἴρηται PL. εἴρηκεν V.

παρ' Ἐπιχάρμῳ ἐν Βάκχαις „Καὶ τὸν ἄρτον ἐπικαλύψας
107 ἐπιπλόῳ." καὶ ἐν Θεαροῖς „Ὀσφύος τε πέρι καὶ ἐπίπλου." καὶ ὁ Χῖος δὲ Ἴων ἐν ταῖς Ἐπιδημίαις ἔφη „Τῷ ἐπίπλῳ ἐπικαλύψας." ἀπέχεις, φίλη κεφαλὴ Οὐλπιανέ, τὸν ἐπίπλουν, ἵν' ἤδη ποτὲ αὐτῷ ἐντυλιχθεὶς κατακαυθῇς καὶ πάντας ἡμᾶς ζητήσεων ἀπαλλάξῃς. τό τε μαρτύριον τοῦ οὕτω διεσκευασμένου ἥπατος δίκαιος εἶ σὺ ἀπομνημονεῦσαι, προειρημένου σοι πάλαι, ὅτε περὶ τῶν ὠτίων καὶ ποδῶν ἐζητοῦμεν, Ἄλεξις ἐν Κρατεύᾳ ἢ Φαρμακοπώλῃ εἴρηκε. πᾶσα δ' ἡ ἐκλογὴ χρησίμη οὖσα εἰς πολλά· ἐπεὶ τὰ νῦν
b διὰ μνήμης οὐ κρατεῖς, αὐτὸς ἐγὼ διεξελεύσομαι. φησὶ δ' οὕτως ὁ κωμικὸς

Πρῶτον μὲν * ὄστρεια παρὰ Νηρεῖ τινι
ἰδὼν γέροντι φυκί' ἠμφιεσμένα
ἔλαβον ἐχίνους τ'· ἔστι γὰρ προοίμιον
δείπνου χαριέντως ταῦτα πεπρυτανευμένου.
τούτων δ' ἀπολυθεὶς, κειμένων ἰχθυδίων
μικρῶν, τρεμόντων τῷ δέει τί πείσεται,
θαρρεῖν κελεύσας ἕνεκ' ἐμοῦ ταῦτ', οὐδὲ ἓν
φήσας ἀδικήσειν, ἐπριάμην γλαῦκον μέγαν.
c ἔπειτα νάρκην ἔλαβον, ἐνθυμούμενος

---

ἄρτον VL. ἄρχον BP. ἀρχον A sine accentu. ἐπικαλύψας Schweigh. et Porsonus. Libri ἐπικάμψας. Θεαροῖς Koenius ad Gregorium p. 197. Scribebatur Θεάροις.

107 a. ἔφη Τῷ ἐπίπλῳ ἐπικαλύψας Schweigh. et Porsonus. ἔφη τῷ ἐπίπλῳ ἐπικάμψας A. ἔφη τῷ ἐπικάμψας P. ἔφη τὸ ἐπικάμψας (ἐπικάψας D) VL. ἵν' ἤδη ABCL et epitome Hoeschelii. ἦν δή V. ἐπίπλουν ἡ δή ποτε P. οὕτω B. οὕτως PVL. εἶ] ἢ BP. σὺ add. A. om. PVL. προειρημένου ABPV. προειρημένον Basil. L. Κρατεύᾳ L. κρατείᾳ BPV. Vide ad 95 a. δ' ἡ ἐκλογὴ] δ' ἐκλογὴ B. δὴ ἐκλογὴ P. ἐπεὶ] ἐπὶ B.

107 b. V. 1. — 4. cum dimidio quinto om. C. V. 1. Post μὲν haud dubie excidit οὖν. ὄστρεια] Scribebatur ὄστρεα. V. 2. φυκί'] Legebatur φυκίοισιν. φυκίοις ABP. ἠμφιεσμένα Coraës. Legebatur ἠμφιεσμένῳ. V. 4. πεπρυτανευμένου] πεπρυτευμένου BP. V. 7. ἕνεκ'] ἕνεκεν C. ταῦτ' οὐδὲ ἓν CP. ταὐτοῦ δὲ ἓν VL.

107 c. V. 9. — 11. ex Alexidis Demetrio affert VII. p. 314 d. Eosdem in utraque fabula versus posuisse Alexidem probabile fit

ὅτι δεῖ γυναικὸς ἐπιφερούσης δακτύλους
ἁπαλοὺς ὑπ' ἀκάνθης μηδὲ ἓν τούτων παθεῖν.
ἐπὶ τὸ τάγηνον φυκίδας, ψήττας τινὰς,
καρῖδα, φύκην, κωβιὸν, πέρκην, σπάρον,
ἐποίησά τ' αὐτὸ ποικιλώτερον ταῶ.
κρεάδι' ἄττα, ποδάρια, ῥύγχη τινὰ,
ὠτάρι' ὕει', ἡπάτιον ἐγκεκαλυμμένον·
d αἰσχύνεται γὰρ πελιτνὸν ὂν τῷ χρώματι.
τούτοις μάγειρος οὐ πρόσεισ', οὐκ ὄψεται·
οἰμώξεται γὰρ νὴ Δί'. ἀλλ' ἐγὼ σοφῶς
ταῦτ' οἰκονομήσω καὶ γλαφυρῶς καὶ ποικίλως,
οὕτω, ποιῶ γὰρ τοὔψον αὐτὸς, ὥστε τοὺς
δειπνοῦντας εἰς τὰ λοπάδι' ἐμβάλλειν ποιῶ
ἐνίοτε τοὺς ὀδόντας ὑπὸ τῆς ἡδονῆς.
τὰς σκευασίας πάντων δὲ καὶ τὰς σκευάσεις
τούτων ἕτοιμός εἰμι δεικνύειν, λέγειν,
e προῖκα προδιδάσκειν, ἂν θέλῃ τις μανθάνειν.

70. Ὅτι δ' ἔθος τῷ ἐπίπλῳ περικαλύπτεσθαι τὰ ἡπάτια Ἡγήσανδρος ὁ Δελφὸς ἐν ὑπομνήμασί φησι, Μετάνειραν τὴν ἑταίραν ὡς ἐν τοῖς κεκαλυμμένοις ἡπατίοις αὐτὴ πνευμόνιον ἔλαβε, καὶ ὡς περιελοῦσα τὸ στέαρ εἶδεν, ἀνέκραγεν

---

comparanti p. 108 a. V. 10. δεῖ C. Legebatur δή. V. 11. τούτων] τούτους 314. παθεῖν] ποθεῖν B. V. 12. ἐπὶ τὸ] ἐπὶ τό τε C. ψήττας] τήττας C. V. 14. αὐτὸ C. αὐτὸν PVL. V. 15. κρεάδι' ἄττα Dobraeus ad Aristoph. Plut. 228. p. 27. Legebatur κρεάδια. ῥύγχη] ῥύχη B. V. 16. ὠτάρι' ὕει', ἡπάτιον] Legebatur ὠτάρια, ὕειον ἡπάτιον. ὠτάρια ὕτ ἡπάτιον P.

107 d. V. 17. πελιτνὸν Porsonus. Scribebatur πελιδνόν. ὂν additum ex C. V. 18. πρόσεισ' L. πρόσοισ' P. πρόσα,σ' V. ὄψεται] ὄττεται C. V. 19. Δί' ἀλλ' ἐγὼ L et epitome Hoeschelii. δία λέγω ABPV. σοφῶς C. σαφῶς B. σαφῶς PVL. V. 21. 22. ποιῶ] Scribebatur ποῶ. ὥστε τοὺς — ἡδονῆς] Iisdem verbis in Asclepioclide usus est Alexis IV. p. 169 d. nisi quod βατάνια pro λοπάδια posuit. V. 22. λοπάδι' ἐμβάλλειν] Libri λοιπὰ διεμβάλλειν. Emendatum ex 169. ἐμβάλλειν] ἐκβαλεῖν 169. Igitur ἐμβαλεῖν.

107 e. V. 26. ἂν] ἂν Porsonus Adversar. p. 232. Ἡγήσανδρος] ἡττήσανδρος B. αὐτὴ om. C. αὐτὴ (sic) PVL. εἶδεν B. Scribebatur ἴδεν. ἀνέκραγεν APV. ἀνέκραγεν ἀστείως CL.

*Ἀπόλωλα, πέπλων μ' ὤλεσαν περιπτυχαί.*

μήποτε δὲ καὶ Κρώβυλος ὁ κωμῳδιοποιὸς αἰσχυνόμενον εἶπε τὸ τοιοῦτον ἧπαρ, ὥσπερ καὶ Ἄλεξις, ἐν Ψευδυποβολιμαίῳ λέγων οὕτως

f *Καὶ πλεκτάνην στιφρὰν σφόδρ' ἐν τούτοις τέ που*
*αἰσχυνόμενον ἧπαρ καπρίσκου σκατοφάγου.*

ἡπάτιον δ' εἴρηκεν Ἀριστοφάνης ἐν Ταγηνισταῖς καὶ Ἀλκαῖος ἐν Παλαίστρᾳ Εὔβουλός τ' ἐν Δευκαλίωνι. δασυντέον δὲ λέγοντας τὸ ἧπαρ. καὶ γὰρ ἡ συναλοιφή ἐστι παρ' Ἀρχιλόχῳ διὰ δασέος. φησὶ γὰρ

*Χολὴν γὰρ οὐκ ἔχεις ἐφ' ἥπατι.*

108 ἔστι δὲ καὶ ἰχθύς τις ἥπατος καλούμενος, ὅν φησιν ὁ αὐτὸς Εὔβουλος ἐν Λάκωσιν ἢ Λήδᾳ οὐκ ἔχειν χολήν.

*Οὐκ ᾤου με*
*χολὴν ἔχειν, ὡς δ' ἡπάτῳ μοι διελέγου.*
*ἐγὼ δέ γ' εἰμὶ τῶν μελαμπύγων ἔτι.*

Ἡγήσανδρος δ' ἐν ὑπομνήμασιν ἐν ταῖς κεφαλαῖς φησι τὸν ἥπατον δύο λίθους ἔχειν τῇ μὲν αὐγῇ καὶ τῷ χρώματι παραπλησίους τοῖς ὀστρείοις, τῷ δὲ σχήματι ῥομβοειδεῖς.

71. Ταγηνιστῶν δ' ἰχθύων μνημονεύει Ἄλεξις ἐν Δημητρίῳ, καθάπερ κἀν τῷ προκειμένῳ δράματι. Εὔβουλος
b Ὀρθάνῃ

*Πᾶσα δ' εὔμορφος γυνὴ*
*ἐρῶσα φοιτᾷ τηγάνῳ τε συντρυφᾷ*

---

καὶ Κρώβυλος] καιρώβουλος BP. εἶπε τὸ τοιοῦτον B. Scribebatur εἶπεν τὸ τοιοῦτο. Ἄλεξις] Supra v. 17.

107 f. στιφρὰν] στίφραν P. ἧπαρ καπρίσκου σκατοφάγου Porsonus. ἧπαρ καὶ πρίσκους καταφαγοῦ BPV. ἧπαρ καὶ καπρίσκους καταφαγοῦ L. Ἀριστοφάνης] P. 96 c. Εὔβουλός τ' ἐν] εὔβουλός τε δ' ἐν B. δὲ λέγοντας om. B. δὲ om. P. συναλοιφὴ PVL. συναλιφὴ B. Ἀρχιλόχῳ] Fr. 48. p. 311. διὰ δασέος om. P. Χολὴν γὰρ] γὰρ om. B.

108 a. ὁ αὐτὸς] Aberat ὁ. Λάκωσιν ἢ Λήδᾳ οὐκ Schweigh. λάκωσιν ἤδη δὲ (δ' AP) οὐκ ABP. λάκωσιν οὐκ VL. ἔχειν] ἔχει P. V. 1. με] σύ με Porsonus. δέ με Iacobsius p. 70. ὀστρείοις AB. ὀστρίοις PVL. ἄλεξις AB. καὶ ἄλεξις PVL.

108 b. Ὀρθάνῃ] ὀρθάννη AP. V. 1. 2. 7. 8. repetuntur VI. p. 228 f. V. 2. ἐρῶσα φοιτᾷ 228. Legebatur ἐρῶος ἀπήδει (ἀπήδη B). τηγάνῳ τε συντρυφᾷ 228. Legebatur τηγάνων τε σύντροφα.

τριβαλλοπανόθρεπτα μειρακύλλια,
ὁμοῦ δὲ τευθὶς καὶ φαληρὶς ἡ κόρη
σπλάγχνοισιν ἀρνείοισι συμμεμιγμένη
πηδᾷ, χορεύει, πῶλος ὣς ἀπὸ ζυγοῦ.
ῥιπὶς δ' ἐγείρει φύλακας Ἡφαίστου κύνας,
θερμῇ παροξύνουσα τηγάνου πνοῇ·
ὀσμὴ δὲ πρὸς μυκτῆρας ἠρεθισμένη
c ᾄσσει· μεμιγμένη δὲ Δήμητρος κόρη
κοίλη φάραγγος δακτύλου πιάσματι
σύρει τριήρους ἐμβολὰς μιμουμένη
δείπνου πρόδρομον ἄριστον.

ἤσθιον δὲ καὶ ταγηνιστὰς σηπίας. Νικόστρατος ἢ Φιλέταιρος ἐν Ἀντύλλῳ φησὶν

Οὔποτ' αὖθις
σηπίαν ἀπὸ τηγάνου
τολμήσαιμι φαγεῖν μόνος.

Ἡγήμων δ' ἐν Φιλίννῃ καὶ γόνον ἐκ ταγήνου ἐσθίοντας ποιεῖ ἐν τούτοις

Μάλα ταχέως αὐτῶν πρίω * πουλύπουν,
καὶ δὸς καταφαγεῖν κἀπὸ τηγάνου γόνον.

d 72. Ἐπὶ τούτοις οὐχ ἡσθεὶς ὁ Οὐλπιανὸς, ἀνιαθεὶς

---

V. 3. τριβαλλοπανόθρεπτα μειρακύλλια PL. τριβαλλομπάνος θρεπταμειρακύλλια V. τριβαλλοποπανόθρεπτα μειρακύλλια Casaubonus. V. 4. φαληρὶς ἡ] φαληρικὴ Dalecampius. V. 6. ἀπὸ Iacobsius p. 70. comparato Euripid. Orest. v. 45. δεμνίων ἄπο | πηδᾷ δρομαῖος πῶλος ὣς ἀπὸ ζυγοῦ. Libri ὑπό. V. 8. τηγάνου πνοῇ L. πνοῇ τηγάνου V. πνοιῇ τηγάνου P. V. 9. ὀσμὴ] ὀσμῇ P.

108 c. V. 10. δήμητρος κόρη AC. δὴ μητροσκόρη V. δὴ μητρὸς κόρη PL. V. 11. πιάσματι] πιέσματι Valckenar. schol. in N. T. vol. I. p. 377. V. 12. σύρει] σείρει P. ἤσθιον C. εἴσθιον PVL. νικόστρατος ἢ φιλέταιρος AB. inverso ordine PVL. Οὔποτ' αὖθις] οὔποτ' ἂν αὖθις αὖ Porsonus. Ἡγήμων] Scribebatur Ἡγέμων. Φιλίννῃ] φιλλίνῃ B. V. 1. πρίω] πριῶ AP. Indicavi lacunam. τὸν add. Schweigh. αὐτῶν πρίω μοι πουλύπουν Meinekius p. 60. qui αὐτῶν de numis intelligit, quorum in praegressis mentio facta fuerit. αὐτῷ πρίω σὺ πώλυπον Coraës ad Xenocratem p. 206. πουλύπουν] πόλυπον PL. πώλυπον AV. V. 2. κἀπὸ VL. ἀπὸ P. καὶ ἀπὸ B.

δὲ, ἀποβλέψας ὡς ἡμᾶς καὶ τὰ ἐξ Ὀρθάνου Εὐβούλου ἰαμβεῖα εἰπών.

Ὡς εὖ νεναυάγηκεν ἐπὶ τοῦ τηγάνου
ὁ θεοῖσιν ἐχθρὸς Μυρτίλος·

ὅτι γὰρ οὐδὲν τούτων πριάμενός ποτε ἔφαγεν εὖ οἶδα τῶν τινος οἰκετῶν αὐτοῦ εἰπόντος μοί ποτε τὰ ἐκ Πορνοβοσκοῦ Εὐβούλου ἰαμβεῖα τάδε

Τρέφει με Θετταλός τις ἄνθρωπος βαρὺς,
πλουτῶν, φιλάργυρος δὲ κἀλιτήριος,
ὀψοφάγος, ὀψωνῶν δὲ μέχρι τριωβόλου.

ἐπεὶ δὲ πεπαιδευμένος ἦν ὁ νεανίσκος καὶ οὐχὶ παρὰ τῷ Μυρτίλῳ γε, ἀλλὰ παρ᾽ ἄλλῳ τινὶ, ὡς ἐπυνθανόμην αὐτοῦ πῶς εἰς τὸν Μυρτίλον ἐνέπεσεν, ἔφη μοι τὰ ἐκ Νεοττίδος Ἀντιφάνους τάδε

Παῖς ὢν μετ᾽ ἀδελφῆς εἰς Ἀθήνας ἐνθάδε
ἀφικόμην ἀχθεὶς ὑπό τινος ἐμπόρου,
Σύρος τὸ γένος ὤν. περιτυχὼν δ᾽ ἡμῖν ὁδὶ
κηρυττομένοις ὀβολοστάτης ὢν ἐπρίατο,
ἄνθρωπος ἀνυπέρβλητος εἰς πονηρίαν,
τοιοῦτος οἷος μηδὲν εἰς τὴν οἰκίαν
μηδ᾽ ὧν ὁ Πυθαγόρας ἐκεῖνος ἤσθιεν
ὁ τρισμακαρίτης εἰσφέρειν, ἔξω θύμου.

73. Ἔτι τοῦ Οὐλπιανοῦ τοιαῦτά τινα παίζοντος ὁ Κύνουλκος ἀνέκραγεν, Ἄρτου δεῖ, καὶ οὐ τοῦ Μεσσαπίων βασιλέως λέγω τῶν ἐν Ἰαπυγίᾳ, περὶ οὗ καὶ σύγγραμμά ἐστι Πολέμωνι. μνημονεύει δ᾽ αὐτοῦ καὶ Θουκυδίδης ἐν ἑβδόμῃ

---

108 d. Ὀρθάνου L. ὀρθάννου AP. ὀρθάννης BV. ἰαμβεῖα] ἰαμβία A. οὐδὲν τούτων] οὐδὲν, ἔφη, τούτων Schweigh. ἰαμβεῖα] ἰαμβία A. βαρὺς, πλουτῶν] βαρὺ πλουτῶν Boissonadius.

108 e. ἐνέπεσεν Schweigh. Libri νέον ἔπεσεν. V. 1. παῖς A. Legebatur πῶς. V. 3. δ᾽ ἡμῖν ὁδὶ] δέ μοι ὁδὶ B. V. 4. κηρυττομένοις AL. κηρυττομένης B. κηρυττόμενος PV. ὀβολοστάτης] ὀβολοστίκης B. ἐπρίατο] ἐπριᾶτο A.

108 f. V. 7. ἤσθιεν] εἴσθιεν AP. V. 8. τρισμακαρίτης] „τρισμακάριστος vel τρισμακάριτος MSS.“ Casaubonus. μεσσαπίων P. Scribebatur Μεσαπίων. τῶν Schweigh. Libri τοῦ. ἑβδόμῃ] Cap. 33. p. 48. Bekk. καὶ τῷ Ἄρτᾳ — ἀνανεωσάμενοί τινα παλαιὰν φιλίαν.

καὶ Δημήτριος ὁ κωμῳδιοποιὸς ἐν τῷ ἐπιγραφομένῳ δράματι Σικελίᾳ διὰ τούτων

109 Κἀκεῖθεν εἰς τὴν Ἰταλίαν ἀνέμῳ νότῳ
διεβάλομεν τὸ πέλαγος εἰς Μεσσαπίους·
Ἄρτος δ' ἀναλαβὼν ἐξένισεν ἡμᾶς καλῶς.
ξένος δὲ χαρίεις ἦν ἐκεῖ μέγας
καὶ λαμπρός.

οὐ τούτου οὖν τοῦ Ἄρτου ὁ νῦν καιρὸς ἦν, ἀλλὰ τῶν εὑρημένων ὑπὸ τῆς Σιτοῦς καλουμένης Δήμητρος καὶ Ἱμαλίδος· οὕτως γὰρ ἡ θεὸς παρὰ Συρακοσίοις τιμᾶται, ὡς ὁ αὐτὸς Πολέμων ἱστορεῖ ἐν τῷ περὶ τοῦ Μορύχου. ἐν δὲ τῷ πρώτῳ τῶν πρὸς Τίμαιον ἐν Σκώλῳ φησὶ τῷ Βοιω-
b τιακῷ Μεγαλάρτου καὶ Μεγαλομάζου ἀγάλματα ἱδρῦσθαι. ἐπεὶ δὲ ἤδη ἄρτοι εἰσεκομίζοντο καὶ πλῆθος ἐπ' αὐτοῖς παντοδαπῶν βρωμάτων, ἀποβλέψας εἰς αὐτὰ ἔφη

Τοῖς ἄρτοις ὅσας
ἱστᾶσι παγίδας οἱ ταλαίπωροι βροτοί,

φησὶν Ἄλεξις ἐν Τῇ εἰς τὸ φρέαρ. ἡμεῖς οὖν εἴπωμέν τι καὶ περὶ ἄρτων.

74. Προφθάσας δ' αὐτὸν ὁ Ποντιανὸς ἔφη, Τρύφων ὁ Ἀλεξανδρεὺς ἐν τοῖς φυτικοῖς ἐπιγραφομένοις ἄρτων ἐκτίθεται γένη, εἴ τι κἀγὼ μέμνημαι, ζυμίτην, ἄζυμον,
c σεμιδαλίτην, χονδρίτην, συγκομιστὸν — τοῦτον δ' εἶναί φησι καὶ διαχωρητικώτερον τοῦ καθαροῦ — τὸν ἐξ ὀλυ-

---

κωμῳδιόποιος A. κωμῳδοποιὸς PVL.

109 a. V. 1. κἀκεῖθεν VL. κεῖθεν ABP. τὴν om. B. V. 2. διεβάλλομεν P. V. 3. Ἄρτος] αὐτὸς ABP. ἄρτοι P in margine. ἐξένισεν P. ἐξένιζεν AB. ἐξένιζ' VL. V. 4. ξένος δὲ (ξένος γε AP) χαρίεις ἦν ἐκεῖ μέγας ABP. Legebatur ξένος χαρίεις ἐκεῖ μέγας. ἐκεῖ] ἐκεῖνος καὶ? V. 5. καὶ λαμπρός B. καὶ λαμπρὸς ἦν PVL. Σιτοῦς] ὅτι παρὰ συρακουσίοις τιμᾶται δημήτηρ σιτὼ καὶ σιμαλία C: quae repetit Eustathius p. 265, 33. omissis καὶ σιμαλία. Ἱμαλίδος Schweigh. Legebatur Σιμαλίδος. συρακοσίοις P. Scribebatur Συρακουσίοις. ὁ αὐτὸς] Aberat ὁ. Μορύχου Schweigh. Scribebatur Μωρύχου. μωρίχου B. πρώτῳ] ἐνάτῳ vitiose X. p. 416 c Σκώλῳ ABCL et Eustathius p. 265, 29. σκόλῳ V. Βοιωτιακῷ] βοιωτικῷ CP. vide ad 416.

109 b. ἱδρῦσθαι B. ἱδρύσθαι PVL. βροτοὶ om. P.

109 c. τῶν ἐξ ὀλυρῶν P.

ρῶν, τὸν ἐκ τιφῶν, τὸν ἐκ μελινῶν. γίνεται δὲ, φησὶν, ὁ χονδρίτης ἐκ τῶν ζειῶν· ἐκ γὰρ κριθῆς χόνδρον μὴ γίνεσθαι. παρὰ δὲ τὰς ὀπτήσεις ὀνομάζεσθαι ἰπνίτην, οὗ μνημονεύειν Τιμοκλέα ἐν Ψευδοληστaῖς οὕτως

Καταμαθὼν δὲ κειμένην σκάφην
θερμὴν ἰπνιτῶν ἤσθιον.

ἐσχαρίτην. τούτου μνημονεύει Ἀντίδοτος ἐν Πρωτοχόρῳ

Λαβόντα θερμοὺς ἐσχαρίτας, πῶς γὰρ οὔ;
d τούτους ἀνειλίττοντα βάπτειν εἰς γλυκύν.

καὶ Κρώβυλος ἐν Ἀπαγχομένῳ

Καὶ σκάφην λαβών τινα
τῶν ἐσχαριτῶν τῶν καθαρῶν.

Λυγκεὺς δ' ὁ Σάμιος ἐν τῇ πρὸς Διαγόραν ἐπιστολῇ συγκρίνων τὰ Ἀθήνησι γινόμενα τῶν ἐδωδίμων πρὸς τὰ ἐν Ῥόδῳ φησὶν „Ἔτι δὲ σεμνυνομένων παρ' ἐκείνοις τῶν ἀγοραίων ἄρτων, ἀρχομένου μὲν τοῦ δείπνου καὶ μεσοῦντος οὐδὲν λειπομένους ἐπιφέρουσιν, ἀπειρηκότων δὲ καὶ
e πεπληρωμένων ἡδίστην ἐπεισάγουσι διατριβὴν τὸν διάχρηστον ἐσχαρίτην καλούμενον, ὃς οὕτω κέκραται τοῖς μειλίγμασι καὶ τῇ μαλακότητι καὶ τοιαύτην ἐνθρυπτόμενος ἔχει πρὸς τὸν γλυκὺν συναυλίαν ὥστε ὁμοῦ προσβιαζόμενος θαυμαστόν τι συντελεῖ· καθάπερ γὰρ ἀνανήφειν πολλάκις γίνεται τὸν μεθύοντα, τὸν αὐτὸν τρόπον ὑπὸ τῆς

---

γίνεται δὲ C. Legebatur γίνεται μὲν. ἰπνίτην CP. ἰανίτην VL. κειμένην σκάφην θερμὴν Dobraeus ad Aristoph. Plut. 718. p. 90. Libri κειμένην θερμὴν σκάφην θερμῶν. ἤσθιον BCD. εἴσθιον PVL. ἐσχαρίτην V. ἐσχαρίτης PL. Πρωτοχόρῳ Schweigh. Legebatur Πρωτόχρῳ. οὐδὲν] Scribebatur οὐθὲν.

109 d. λειπομένους] λιπομένους BP. λειπομένοις C, in quo hic locus sic scriptus„ λυγκεὺς δ' ὁ σάμιός φησι περὶ τοῦ ἀθήνησιν ἢ ἐν ῥόδῳ ἐσχαρίτου ὅτι οὕτω κέκραται τοῖς μειλ. καὶ τῇ μαλακ. καὶ τοιαύτην ἐνθρυπτ. πρ. τ. γλ. ἔχει συναυλίαν ὥστε προσβιαζόμενος δαιτυμόσιν οὐδὲν λειπομένοις, ἀπειρηκόσι δὲ καὶ πεπληρωμένοις ἡδίστην ἐπεισάγει διατριβήν. καθάπερ γὰρ ἀνανήφειν —.

109 e. ἐπεισάγουσι] ἐπισυνάγουσι B. διάχρηστον] διάχρειστον B. Qui fortasse διάχριστον voluit. συναυλίαν, ὥστε ὁμοῦ προσβ. Schweighaeuserus. συναυλίαν, ὁμοῦ προσβ., ὡς Casaubonus. συναυλίαν, ὁμοῦ προσβ. A. συναυλίαν ὥστε προσβ. C. συναυλιασμὸν προσβ. PVL. προσβιαζόμενος] προσβιβαζόμενος Schweigh. καθάπερ γὰρ C. Aberat γάρ.

ἡδονῆς ἀναπεινῆν γίνεται τὸν ἐσθίοντα." ἀταβυρίτην. Σώπατρος ἐν Κνιδίᾳ·

Ἀταβυρίτης δ' ἄρτος ἦν πλησίγναθος.

ἀχαΐνας. τούτου τοῦ ἄρτου μνημονεύει Σῆμος ἐν ὀγδόῳ
f Δηλιάδος λέγων ταῖς θεσμοφόροις γίνεσθαι. εἰσὶ δὲ ἄρτοι μεγάλοι, καὶ ἑορτὴ καλεῖται Μεγαλάρτια, ἐπιλεγόντων τῶν φερόντων „Ἀχαΐνην στέατος ἔμπλεων τράγον." κριβανίτην. τούτου μνημονεύει Ἀριστοφάνης ἐν Γήρᾳ· ποιεῖ δὲ λέγουσαν ἀρτόπωλιν διηρπασμένων αὐτῆς τῶν ἄρτων ὑπὸ τῶν τὸ γῆρας ἀποβαλλόντων

Τουτὶ τί ἦν τὸ πρᾶγμα; B. θερμούς, ὦ τέκνον.
A. ἀλλ' ἢ παραφρονεῖς; B. κριβανίτας, ὦ τέκνον.
[πάνυ λευκούς.]

ἐγκρυφίαν. τούτου μνημονεύει Νικόστρατος ἐν Ἱεροφάντῃ καὶ ὁ ὀψοδαίδαλος Ἀρχέστρατος, οὗ κατὰ καιρὸν τὸ μαρτύριον παραθήσομαι. δίπυρον. Εὔβουλος ἐν Γανυμήδει.

Διπύρους τε θερμούς. B. οἱ δίπυροι δ' εἰσὶν τίνες;
B. ἄρτοι τρυφῶντες·

---

ἀταβυρίτην Meinekius. ταβυρίτην ABCD et epitome Hoeschelii. ταβαρίτην PV. ταβαρίτης L. Κνιδίᾳ] κνηδία B. Ἀταβυρίτης Meinekius. ταβυρίτης ABCD. ταβαρίτης PVL. Post πλησίγναθος sic pergit C, ἐστὶ δὲ μέγας ἄρτος καὶ ἑορτή τις καλεῖται τὰ μεγαλάρτια. Quae fraudi fuerunt Eustathio p. 265, 32. ut ἄρτον quendam μέγαν dictum comminisceretur. ἀχαϊνὰς PL. ἀχαΐνας AV.

109 f. ὀγδόῳ] $\overset{\omega}{\bar{\eta}}$ P. Ἀχαΐνην] ἀχαίνου B. ἔμπλεων AD. ἐμπλεῶ B. ἔμπλεον VL. compendio scriptum in P. κριβανίτην ABPV. κριβανίτης L. Γήρᾳ] γήρει B. λέγουσαν ἀρτόπωλιν] λεαρτόπωλιν B. ἀποβαλλόντων ABP. ἀποβαλόντων VL. In C haec sic contracta, κριβανίτας δὲ λευκοὺς ἄρτους ἀριστοφάνης πού φησι. V. 2. ἀλλ' ἦ Brunckius. Scribebatur ἀλλ' ἢ. ἀλλὴ A. κριβανίτας ὦ τέκνον A omissis πάνυ λευκούς. κριβανίτας πάνυ δὲ λευκοὺς ὦ τέκνον P. κριβανίτας (δὲ add. BD) πάνυ λευκοὺς ὦ τέκνον VL. V. 3. πάνυ λευκοὺς] λευκοὺς πάνυ Schweigh.

110 a. ἐγκρυφίαν ABPV. ἐγκρυφίας L. παραθήσομαι] P. 112 b. δίπυρον ABPV. δίπυρος L. Εὔβουλος] Fortasse Ἀλκαῖος scribendum deletis quae infra leguntur Ἀλκαῖος Γανυμήδει. Pollux VII, 23. Ἀλκαῖος δὲ ἐν Γανυμήδει διπύρους ἄρτους εἶπεν· οἱ δὲ δίπυροι ἄρτοι τινές εἰσι (τίνες εἰσὶ MS. Iungerm.) τρυφῶντες. Διπύρους τε] διπύρους δὲ B.

Ἀλκαῖος Γανυμήδει. λάγανον. τοῦτο ἐλαφρόν τ' ἐστὶ καὶ ἄτροφον, καὶ μᾶλλον αὐτοῦ ἔτι ἡ ἐπανθρακὶς καλουμένη. μνημονεύει δὲ τοῦ μὲν Ἀριστοφάνης ἐν Ἐκκλησιαζούσαις φάσκων „Λάγανα πέττεται," τῆς δ' ἐπανθρακίδος
b Διοκλῆς ὁ Καρύστιος ἐν πρώτῃ Ὑγιεινῶν οὕτωσὶ λέγων „Ἡ δ' ἐπανθρακίς ἐστι τῶν λαγάνων ἁπαλωτέρα. ἔοικε δὲ καὶ οὗτος ἐπ' ἀνθράκων γίνεσθαι, ὥσπερ καὶ ὁ παρ' Ἀττικοῖς ἐγκρυφίας· ὃν καὶ Ἀλεξανδρεῖς τῷ Κρόνῳ ἀφιεροῦντες προτιθέασιν ἐσθίειν τῷ βουλομένῳ ἐν τῷ τοῦ Κρόνου ἱερῷ."

75. Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ κἀν Μούσαις — τοῦτο δὲ τὸ δρᾶμα διασκευή ἐστι τοῦ προκειμένου — ἄρτων ἐκτίθεται γένη „Κριβανίτην, ὅμωρον, σταιτίτην, ἐγκρίδα, ἀλειφατίτην, ἡμιάρτιον." ὧν καὶ Σώφρων ἐν γυ-
c ναικείοις μίμοις μνημονεύει λέγων οὕτως „Δεῖπνον ταῖς θείαις κριβανίτας καὶ ὁμώρους, καὶ ἡμιάρτιον Ἑκάτᾳ." οἶδα δ', ἄνδρες φίλοι, ὅτι Ἀττικοὶ μὲν διὰ τοῦ ρ στοιχείου λέγουσι καὶ κρίβανον καὶ κριβανίτην, Ἡρόδοτος δ' ἐν δευτέρᾳ τῶν ἱστοριῶν ἔφη „Κλιβάνῳ διαφανεῖ·" καὶ ὁ Σώφρων δ' ἔφη „Τίς σταιτίτας, ἢ κλιβανίτας, ἢ ἡμιάρτια πέσσει;" ὁ δ' αὐτὸς μνημονεύει καὶ πλακίτα τινὸς

---

λάγανον] λάσγανον BP. ἐπανθρακὶς ABCP. ἀπανθρακὶς VL. Ἐκκλησιαζούσαις] V. 843. ubi πόπανα legitur. Λάγανα πέττεται] λάρναν ἀπετότεται BP. τῆς δ'] τοῦ δ' A. τοῦδε B. τοῦ δὲ P.

110 b. ἐπανθρακίδος BC. ἀπανθρακίδος PVL. ἐπανθρακίς C. ἀπανθρακίς ABPVL. ὁ παρ' Ἀττ.] παρ' ἀττ. ὁ B. προτιθέασιν AC. προστιθέασιν PVL. ἥβας P. Scribebatur Ἥβης. ἐκτίθεται] ἐντίθεται B. ὅμωρον AP. ὅμορον VL. σταιτίτην AVL et Eustathius p. 975, 51. (conf. p. 1407, 25.) στατίτην BCP et Casauboniani. ἀλειφατίτην CVL et Eustathius p. 975, 51. ἀλιφατίτην ABP. ἡμιάρτιον] ἡμιόρτιον B. P utrdm dare voluerit non apparet.

110 c. γυναικείοις] γυναικίοις B. ταῖς θείαις] τεσθίαις P. ὁμώρους A. ὁμόρους PVL. Ἑκάτᾳ Schweigh. ἑκάται A. ἐκ αται BPVL. „*Reperi in Huraldino codice eam vocem, cuius in libris aliis tenues solum extant reliquiae. Ita igitur scribe*, καὶ ἡμιάρτιον ἐκτίθεται." Casaubonus. οἶδα δ'] Scribebatur οἶδα δέ. οἶδ' B. στοιχείου om. B. λέγουσι καὶ] καὶ om. B. ἐν δευτέρᾳ] Cap. 92. ἢ ἡμιάρτια C. ἢ om. PVL.

ἄρτου ἐν γυναικείοις „Εἰς νύκτα μ᾽ ἑστιᾷ σὺν ἄρτῳ πλακίτᾳ." καὶ τυρῶντος δ᾽ ἄρτου μνημονεύει ὁ Σώφρων ἐν
d τῇ ἐπιγραφομένῃ Πενθερᾷ οὕτως „Συμβουλεύω τ᾽ ἐμφαγεῖν· ἄρτον γάρ τις τυρῶντα τοῖς παιδίοις ἴαλε." Νίκανδρος δ᾽ ὁ Κολοφώνιος ἐν ταῖς Γλώσσαις τὸν ἄζυμον ἄρτον καλεῖ δάρατον. Πλάτων δ᾽ ὁ κωμῳδιοποιὸς ἐν Νυκτὶ μακρᾷ τοὺς μεγάλους ἄρτους καὶ ῥυπαροὺς Κιλικίους ὀνομάζει διὰ τούτων

Κᾆθ᾽ ἧκεν ἄρτους πριάμενος
μὴ τῶν καθαρύλλων, ἀλλὰ μεγάλους Κιλικίους.

ἐν δὲ τῷ Μενελάῳ ἐπιγραφομένῳ ἀγελαίους τινὰς ἄρτους
e καλεῖ. αὐτοπύρου δ᾽ ἄρτου μνημονεύει Ἄλεξις ἐν Κυπρίῳ

Τὸν δ᾽ αὐτόπυρον ἄρτον ἀρτίως φαγών.

Φρύνιχος δ᾽ ἐν Ποαστρίαις αὐτοπυρίτας αὐτοὺς καλῶν φησιν

Αὐτοπυρίταισί τ᾽ ἄρτοις καὶ λιπῶσι στεμφύλοις.

ὀρίνδου δ᾽ ἄρτου μέμνηται Σοφοκλῆς ἐν Τριπτολέμῳ, ἤτοι τοῦ ἐξ ὀρύζης γινομένου ἢ ἀπὸ τοῦ ἐν Αἰθιοπίᾳ γι-
f νομένου σπέρματος, ὅ ἐστιν ὅμοιον σησάμῳ. κολλάβους δ᾽ ἄρτους ὁ Ἀριστοφάνης ἐν Ταγηνισταῖς

Λαμβάνετε κόλλαβον ἕκαστος.

καὶ πάλιν

---

μ᾽ ἑστιᾷ Casaubonus. Libri μι αἰτιᾷ.

110 d. ἐμφαγεῖν L. ἐνφαγεῖν V. ἐμφαγεῖν P. γάρ τις ABDP. γ᾽ ἄρτι VL. γ᾽ ἄρτι τις Huschkius de Annio Cimbro p. 68. παιδίοισιαλε A. παιδίοσιν ἀλε D. παιδίοισιν .. αλε P. παιδίοισιν .... αλη L. παιδίοισι V. νίκανδρος B. δάρατον] P. 114 b. κωμῳδιοποιὸς A. κωμῳδοποιὸς PVL. κωμικὸς C. Κιλικίους] καὶ κιλικίους C. Κᾆθ᾽ ἧκεν ἄρτους Meinekius p. 17. Legebatur κᾆτ᾽ ἄρτους ἧκε. κᾆτ᾽ om. Eustathius p. 1817, 60. καθαρύλλων C et Eustathius. καθαρυλλῶν PVL. ἀγελαίους] Eustathius p. 265, 32. ἀγαλαίους B.

110 e. μνημονεύει B. Legebatur μέμνηται. Ποαστρίαις] ποαστρείαις A. τραστρείαις B. ὀρίνδου Casaubonus. Libri ὀρνίδου. Τριπτολέμῳ] Fr. 5. p. 657. γινομένου σπ. B. Scribebatur γιγνομένου σπ.

110 f. ὁ Ἀριστοφάνης L. ὁ om. PV. λαμβάνετε ADP. λαμβάνεταί τε V. λαμβάνεται B. λαμβάνετέ τε L. καὶ πάλιν] Vide p. 96 c.

Η

δέλφακες ὀπωρινῆς ἠρωιάδα φέρετε
δεῦρο μετὰ κολλάβων χλιερῶν.

γίνονται δ᾽ οἱ ἄρτοι οὗτοι ἐκ νέου πυροῦ, ὡς Φιλύλλιος ἐν Αὔγῃ παρίστησιν·

Αὐτὸς φέρων πάρειμι πυρῶν ἐκγόνους τριμήνων,
γαλακτοχρῶτας κολλάβους θερμούς.

μακωνίδων δ᾽ ἄρτων μνημονεύει Ἀλκμὰν ἐν τῷ πέμπτῳ οὕτως·

111 Κλῖναι μὲν ἑπτὰ καὶ τόσαι τράπεσδαι
μακωνίδων ἄρτων ἐπιστέφοισαι
λίνῳ τε σασάμῳ τε κὴν πελίχναις
παίδεσσι χρυσοκόλλα.

(ἔστι βρωμάτιον διὰ μέλιτος καὶ λίνου.) τῆς δὲ κολλύρας καλουμένου ἄρτου Ἀριστοφάνης ἐν Εἰρήνῃ

Κολλύραν μεγάλην καὶ κόνδυλον ὄψον ἐπ᾽ αὐτῇ.

καὶ ἐν Ὁλκάσι

Καὶ κολλύραν τοῖσι περῶσιν διὰ τοὺν Μαραθῶνι
τρόπαιον.

b 76. Ὁ δὲ ὀβελίας ἄρτος κέκληται ἤτοι ὅτι ὀβολοῦ πιπράσκεται, ὡς ἐν Ἀλεξανδρείᾳ, ἢ ὅτι ἐν ὀβελίσκοις ὠπτᾶτο. Ἀριστοφάνης Γεωργοῖς

---

ἠτριαίαν A. ἢ τρίαιναν PVL. φέρετε] φέρεται B. χλιερῶν ABCDP. χλιαρῶν VL et 96. Αὔγῃ Schweigh. Libri αὐτῇ. Αὔγῃ Casaubonus. φέρων] ἔχων C. ἐκγόνους] ἐγγόνους B. τριμήνων] τριμήνους P. ἐν τῷ πέμπτῳ Schweigh. auctore A, qui ἐν τῷ ιέ. ἐν τῷ ιε P. ἐν ιε B. ἐν τῷ πεντεκαιδεκάτῳ VL.

111 a. V. 2. ἐπιστέφοισαι λίνῳ APV. ἐπιστέφοι σε λινῷ B. ἐπιστεφεῖς σελίνῳ CL et epitome Hoeschelii. V. 3. κὴν DP. κῆν VL. πελλίχναις P. V. 4. παίδεσσι Schweigh. πέδεσσι ABDP. πέδαισι VL. Εἰρήνῃ] V. 122. Κολλύραν Aristophanes. καὶ κολύραν V. καὶ κολλύραν ABDP. κολύραν L. καὶ κολλύραν ABDP. καὶ κολύραν VL. τοῖσι περῶσιν] Libri τοῖς περῶσι. τοὺν — τρόπαιον] τοῦ — τροπαίου Elmsleius ad Acharn. v. 343.

111 b. ὀβελίας — πιπράσκεται] Eustathius p. 951, 55. 1405, 26. ὡς ἐν B. Legebatur ὡς ἐν τῇ. ὠπτᾶτο ABC. ὀπτᾶται VL. ὠπτᾶται P.

Εἶτ᾽ ἄρτον ὀπτῶν τυγχάνει τις ὀβελίαν.

Φερεκράτης Ἐπιλήσμονι

Ὤλεν ὀβελίαν σπόδιν, ἄρτου δὲ μὴ προτιμᾶν.

ἐκαλοῦντο δὲ καὶ ὀβελιαφόροι οἱ ἐν ταῖς πομπαῖς παραφέροντες αὐτοὺς ἐπὶ τῶν ὤμων. Σωκράτης ἐν ἕκτῳ Ἐπικλήσεων τὸν ὀβελίαν φησὶν ἄρτον Διόνυσον εὑρεῖν ἐν ταῖς στρατείαις. ἐτνίτας ἄρτος, ὁ προσαγορευόμενος λεκιθίτας,
c ὥς φησιν Εὐκράτης. πανὸς, ἄρτος, Μεσσάπιοι. καὶ τὴν πλησμονὴν πανίαν, καὶ πάνια τὰ πλήσμια, Βλαῖσος ἐν Μεσοτρίβᾳ καὶ Δεινόλοχος ἐν Τηλέφῳ Ῥίνθων τε ἐν Ἀμφιτρύωνι. καὶ Ῥωμαῖοι δὲ πᾶνα τὸν ἄρτον καλοῦσι. ναστὸς ἄρτος ζυμίτης καλεῖται μέγας, ὥς φησι Πολέμαρχος καὶ Ἀρτεμίδωρος· Ἡρακλέων δὲ πλακοῦντος εἶδος. Νικόστρατος δ᾽ ἐν Κλίνῃ

Ναστὸς τὸ μέγεθος τηλικοῦτος, δέσποτα,
λευκός· τὸ πάχος γὰρ ὑπερέκυπτε τοῦ κανοῦ.
d ὀσμὴ δὲ, τοὐπίβλημ᾽ ἐπεὶ περιῃρέθη,
ἐβάδιζ᾽ ἄνω καὶ μέλιτι μεμιγμένη
ἀτμίς τις εἰς τὰς ῥῖνας· ἔτι γὰρ θερμὸς ἦν.

κνηστὸς ἄρτος ποιὸς παρὰ Ἴωσιν, Ἀρτεμίδωρος ὁ Ἐφέσιός φησιν ἐν Ἰωνικοῖς ὑπομνήμασι. θρόνος ἄρτου ὄνομα, Νεάνθης ὁ Κυζικηνὸς ἐν δευτέρῳ Ἑλληνικῶν γράφων οὕτως „Ὁ δὲ Κόδρος τόμον ἄρτου τὸν καλούμενον θρόνον

---

ἄρτον AD. ἄρτων PVL. ὀβελίαν ACDP. ὀβελιᾶν V. ὀβελιῶν L. Ὤλεν corruptum. σπόδιν AB. (A sine accentu) σπόνδιν D. σποδιῇ VL. σποδιὴν (linea subductum) σποδῆιν P. σποδεῖν Dobraeus ad Aristoph. Plut. 598. p. 78. προτιμᾶν L. τιμᾶν PV. παραφέροντες] περιφέροντες D a pr. m., superscripto παραφ. Ἐπικλήσεων Dalecampius. Libri ἐπικλήσεως. στρατείαις Schweigh. στρατειαῖς P. στρατιαῖς VL. ἐτνίτας Casaubonus. Libri εὐνίτας. ἐνίταν libri p. 114 b.

111 c. πανὸς] πανὸς δέ τις ἄρτος οὕτως καλεῖται. ὅτι μεσσάπιοι τὴν πλησμονὴν πανίαν καὶ πάνια τὰ πλήσμια φασί C. πλήσμια ABCD et margo P et Casauboniani. πλήσματα PVL. Βλαῖσος P et Casaubonus. βλέσος VL. Δεινόλοχος Ruhnkenius ad Velleium p. 20. Libri ἀρχίλοχος. ναστὸς ἄρτος] ναιστὸς ἄρτος B. V. 2. τὸ πάχος γὰρ Porsonus Adversar. p. 242. Libri τὸ γὰρ πάχος.

111 d. Versum 4. explet Brunckius posito συμμεμιγμένη. ποιὸς] ποιός τις C et Eustathius p. 872, 9. θρόνος] Eustathius p. 1365, 22. Ἑλληνικῶν APV. τῶν Ἑλληνικῶν L. τὸν καλούμενον θρόνον — νέμουσι] τοῦ καλουμένου θρόνου — νέμει Casaubonus.

λαμβάνει καὶ κρέας καὶ τῷ πρεσβυτάτῳ νέμουσι.“ βάκχυλος δ᾽ ἐστὶν ἄρτος σποδίτης παρ᾽ Ἠλείοις καλούμενος, ὡς
e Νίκανδρος ἐν δευτέρῳ Γλωσσῶν ἱστορεῖ. μνημονεύει δ᾽ αὐτοῦ καὶ Δίφιλος ἐν Διαμαρτανούσῃ οὕτως,

Ἄρτους σποδίτας χρησερίτας περιφέρειν.

ἄρτου δ᾽ εἶδός ἐστι, καὶ ὁ ἀποπυρίας καλούμενος, ἐπ᾽ ἀνθράκων δ᾽ ὀπτᾶται. καλεῖται δ᾽ οὗτος ὑπό τινων ζυμίτης. Κρατῖνος Μαλθακοῖς „Πρῶτον ἀποπυρίαν ἔχω ζυμιταμιάδου πλέους κνέφαλλον.“

77. Ἀρχέστρατος δ᾽ ἐν τῇ Γαστρονομίᾳ περὶ ἀλφίτων καὶ ἄρτων οὕτως ἐκτίθεται

f Πρῶτα μὲν οὖν δώρων μεμνήσομαι ἠϋκόμοιο
Δήμητρος, φίλε Μόσχε· σὺ δ᾽ ἐν φρεσὶ βάλλεο σῇσιν.
ἔστι γὰρ οὖν τὰ κράτιστα λαβεῖν βέλτιστά τε πάντων,
εὐκάρπου κριθῆς καθαρῶς ἠσκημένα πάντα,
ἐν Λέσβῳ, κλεινῆς Ἐρέσου περικύμονι μαστῷ,
λευκότερ᾽ αἰθερίας χιόνος. θεοὶ εἴπερ ἔδουσιν
112 ἄλφιτ᾽, ἐκεῖθεν ἰὼν Ἑρμῆς αὐτοῖς ἀγοράζει.
ἔστι δὲ κἀν Θήβαις ταῖς ἑπταπύλοις ἐπιεικῆ
κἀν Θάσῳ ἔν τ᾽ ἄλλαις πόλεσίν τισιν, ἀλλὰ γίγαρτα
φαίνονται πρὸς ἐκεῖνα. σαφεῖ τάδ᾽ ἐπίστασο δόξῃ.

---

βάκχυλος] An βαυχίλος scribi praestet dubitat Boissonad. ad Aristaenetum p. 441.

111 e. ἱστορεῖ om. B. Διαμαρτανούσῃ] διαμανθανούσῃ B. χρησερίτας Schweigh. χρησειρίτας A. κρισειλριτας BP. χρισείρητας V. χρισειρήτας L. περιφέρειν AB. περιφέρει PVL. τινων AC. τινος PVL. ζυμιταμιάδου] Vox corrupta ζυμηταμιάδου scripta in AP, nisi quod A accentu caret. ζυμίταν, σποδοῦ πλέων, ἁπαλόν Coraës. πλέους] πλέου B. κνέφαλλον AB. κνέφαλον PVL. γνάφαλλον ex Cratini Μαλθακοῖς afferre videtur Herodianus περὶ μονήρους λέξεως p. 39, 26.

111 f. V. 1. δώρων] δῶρα B. V. 3. ἔστι] ἔστιν P. οὖν add. A. om. PVL. V. 5. Eustathius p. 280, 8. Ἀρχέστρατος εἰπὼν τὴν κλεινὴν Λέσβον λευκότερα αἰθερίας χιόνος ἄλφιτα φέρειν, καὶ ἐπαγαγὼν, θεοὶ εἴπερ ἔδουσιν ἄλφιτα, ἐκεῖθεν ἰὼν Ἑρμῆς αὐτοῖς ἀγοράζει, τὰ δ᾽ ἄλλα γίγαρτα φαίνεσθαι πρὸς ἐκείνας φάμενος. V. 6. αἰθερίας] αἰθερείας B. λευκότεραι θερίας P.

112 a. V. 7. ἄλφιτ᾽] ἄλφιτα ABCP. αὐτοῖς ABCL et Eustathius. αὐτὸς V. V. 9. πόλεσιν] πόλεσι BP. V. 10. φαίνονται] φαίνοντα BP. ἐκεῖνα. σαφεῖ L. ἐκείνας ἀφεὶς ABPV. ἐκείνας C omissa altera versus parte. δόξῃ VL. δόξης ABP.

στρογγυλοδίνητος δὲ τετριμμένος εὖ κατὰ χεῖρα
κόλλιξ Θεσσαλικός σοι ὑπαρχέτω, ὃν καλέουσι
b κεῖνοι κριμματίαν, οἱ δ' ἄλλοι χόνδρινον ἄρτον.
εἶτα τὸν ἐν Τεγέαις σεμιδάλεος υἱὸν ἐπαινῶ,
ἐγκρυφίαν. τὸν δ' εἰς ἀγορὰν ποιεύμενον ἄρτον
αἱ κλειναὶ παρέχουσι βροτοῖς κάλλιστον Ἀθῆναι.
ἐν δὲ φερεσταφύλοις Ἐρυθραῖς ἐκ κλιβάνου ἐλθὼν
λευκὸς, ἁβραῖς θάλλων ὥραις, τέρψει παρὰ δεῖπνον.

ταῦτ' εἰπὼν ὁ τένθης Ἀρχέστρατος καὶ τὸν τῶν ἄρτων c ποιητὴν ἔχειν συμβουλεύει Φοίνικα ἢ Λυδόν· ἠγνόει γὰρ τοὺς ἀπὸ τῆς Καππαδοκίας ἀρτοποιοὺς ἀρίστους ὄντας. λέγει δ' οὕτως

Ἔστω δή σοι ἀνὴρ Φοίνιξ ἢ Λυδὸς ἐν οἴκῳ,
ὅστις ἐπιστήμων ἔσται σίτοιο, κατ' ἦμαρ
παντοίας ἰδέας τεύχων, ὡς ἂν σὺ κελεύῃς.

78. Τῶν δ' Ἀττικῶν ἄρτων ὡς διαφόρων μνημονεύει καὶ Ἀντιφάνης ἐν Ὀμφάλῃ οὕτως

Πῶς γὰρ ἄν τις εὐγενὴς γεγὼς
δύναιτ' ἂν ἐξελθεῖν ποτ' ἐκ τῆσδε στέγης,
d ὁρῶν μὲν ἄρτους λευκοσωμάτους ἰπνὸν
καταμπέχοντας ἐν πυκναῖς διεξόδοις,
ὁρῶν δὲ μορφὴν κριβάνοις ἠλλαγμένους,

---

V. 11. στρογγυλοδίνητος] γυλοδίνητος P.

112 b. V. 13. κριμνατίαν Schweigh. χόνδρινον ABC. χόνδριβον PVL. V. 15. τὸν δ' εἰς] τῶν εἰς B. V. 17. φερεσταφύλοις] φέρει σταφύλοις B. Ἐρυθραῖς] ἐρυθροῖς AB. κλιβάνου] λιβάνου B. V. 18. ἁβραῖς] ἅβραι B. τένθης] τέθης B. τῶν ἄρτων ABCP. τῶν ἄρτου VL.

112 c. ἠγνόει] ἠγήσει C. Archestrati versus om. C. ἐπιστήμων ἔσται ABP. ἐπιστήμων νόσυ ἔσται VL. σίτοιο Porsonus. σοι ὃ B. σοῖ ὁ V. σοῖο L. σοι ο P. Antiphanis versus om. C. V. 1. γεγὼς VL. γεγονὼς ABP. V. 2. δύναιτ'] δύνατ' B. ποτ' ἐκ τῆσδε στέγης Porsonus in Miscellaneis p. 178. ποτε δ' ἐκ τῆς στέγης ABP. ποτε τῆσδ' ἐκ τῆς στέγης V. ποτε τῆσδ' ἐκ στέγης L.

112 d. V. 3. ἄρτους Porsonus. Libri ἄρτους τούσδε. λευκοσωμάτους] λευκοσωμα P. ἰπνὸν] ἔπνον P. V. 4. καταμπέχοντας] κατεμπέχοντας ABP.

μίμημα χειρὸς Ἀττικῆς, οὓς δημόταις
Θεαρίων ἔδειξεν.

οὗτός ἐστι Θεαρίων ὁ ἀρτοποιὸς, οὗ μνημονεύει Πλάτων ἐν Γοργίᾳ, συγκαταλέγων αὐτῷ καὶ Μίθαικον, οὕτως γράφων „Οἵτινες ἀγαθοὶ γεγόνασιν ἢ εἰσὶ σωμάτων θεραπευταὶ, ἔλεγές μοι πάνυ σπουδάζων· Θεαρίων ὁ ἀρτοκόπος καὶ Μίθαικος ὁ τὴν ὀψοποιίαν συγγεγραφὼς τὴν Σικελι-
e κὴν καὶ Σάραμβος ὁ κάπηλος, ὅτι οὗτοι θαυμάσιοι γεγόνασι σωμάτων θεραπευταὶ, ὁ μὲν ἄρτους θαυμαστοὺς παρασκευάζων, ὁ δὲ ὄψον, ὁ δὲ οἶνον.“ καὶ Ἀριστοφάνης ἐν Γηρυτάδῃ καὶ Αἰολοσίκωνι διὰ τούτων

Ἥκω Θεαρίωνος ἀρτοπώλιον
λιπὼν, ἵν᾽ ἐστὶ κριβάνων ἑδώλια.

Κυπρίων δ᾽ ἄρτων μνημονεύει Εὔβουλος ὡς διαφόρων ἐν Ὀρθάνῃ διὰ τούτων

f Δεινὸν μὲν ἰδόντα παριππεῦσαι
Κυπρίους ἄρτους·
μαγνῆτις γὰρ λίθος ὣς ἕλκει
τοὺς πεινῶντας.

τῶν δὲ κολλικίων ἄρτων, οἱ αὐτοὶ δ᾽ εἰσὶ τοῖς κολλάβοις, Ἔφιππος ἐν Ἀρτέμιδι μνημονεύει οὕτως

Παρ᾽ Ἀλεξάνδρου δ᾽ ἐκ Θετταλίας
κόλλικα φαγὼν κρίβανος ἄρτων.

Ἀριστοφάνης δ᾽ ἐν Ἀχαρνεῦσιν

Ὦ χαῖρε κολλικοφάγε Βοιωτίδιον.

113 79. Τούτων οὕτως λεχθέντων ἔφη τις τῶν παρόντων γραμματικῶν, Ἀρριανὸς ὄνομα, Ταῦτα σιτία Κρονικά

---

V. 6. δημόταις Porsonus. Legebatur δὴ γυναῖς. δὴ γυναῦς B. ὁ ἀρτοποιὸς] ὁ om. B. Γοργίᾳ] P. 518 b. συγγεγραφὼς AC. συγκαταγεγραφὼς PVL.

112 e. καὶ σάραμβος ὁ κάπηλος ABC. καὶ σάραμβος ὁ κάραβος ὁ κάπηλος PVL. καὶ ἀριστοφάνης AB. καὶ om. PVL. Aristophanea om. C. Θεαρίωνος Toupius Emend. vol. I. p. 15. Θεαρίων ὃς. Imitatur Hecubae initium. ἑδώλια Casaubonus. ἐδωδία V. ἐδωδία APL. Ὀρθάνῃ] ὀρθάνῃ P.

112 f. Ἀχαρνεῦσιν] V. 872.

ἐστιν, ὦ ἑταῖροι. ἡμεῖς γὰρ οὔτ᾽ ἀλφίτοισι χαίρομεν, πλή-
ρης γὰρ ἄρτων ἡ πόλις, οὔτε τῷ τῶν ἄρτων τούτων κα-
ταλόγῳ. ἐπεὶ δὲ καὶ ἄλλῳ Χρυσίππου τοῦ Τυανέως συγ-
γράμματι ἐνέτυχον ἐπιγραφομένῳ Ἀρτοποιικῷ καὶ πεῖραν
ἔσχον τῶν αὐτόθι ὀνομασθέντων παρὰ πολλοῖς τῶν φί-
λων, ἔρχομαι καὶ αὐτὸς λέξων τι περὶ ἄρτων. ὁ ἀρτοπτί-
b κιος ἄρτος καλούμενος κλιβανικίου καὶ φουρνικίου διαφέρει.
ἐὰν δ᾽ ἐκ σκληρᾶς ζύμης ἐργάζῃ αὐτὸν, ἔσται καὶ λαμ-
πρὸς καὶ εὔβρωτος πρὸς ξηροφαγίαν· εἰ δ᾽ ἐξ ἀνειμένης,
ἔσται μὲν ἐλαφρὸς, οὐ λαμπρὸς δέ. κλιβανίκιος δὲ καὶ
φουρνίκιος χαίρουσιν ἁπαλωτέρᾳ τῇ ζύμῃ. παρὰ δὲ τοῖς
Ἕλλησι καλεῖταί τις ἄρτος ἁπαλὸς, ἀρτυόμενος γάλακτι
ὀλίγῳ καὶ ἐλαίῳ καὶ ἁλσὶν ἀρκετοῖς. δεῖ δὲ τὴν ματερίαν
ἀνειμένην εἶναι. οὗτος δὲ ὁ ἄρτος λέγεται Καππαδόκιος,
ἐπειδὴ ἐν Καππαδοκίᾳ κατὰ τὸ πλεῖστον ἁπαλὸς ἄρτος
c γίνεται. τὸν δὲ τοιοῦτον ἄρτον οἱ Σύροι λαχμὰν προσαγο-
ρεύουσι, καὶ ἔστιν οὗτος ἐν Συρίᾳ χρηστότατος γινόμε-
νος, διὰ τὸ θερμότατος τρώγεσθαι, καὶ ἔστιν ἄνθει πα-
ραπλήσιος. ὁ δὲ βωλητῖνος καλούμενος ἄρτος πλάττεται
μὲν ὡς βωλήτης, καὶ ἀλείφεται ἡ μάκτρα ὑποπασσομένης
μήκωνος, ἐφ᾽ ᾗ ἐπιτίθεται ἡ ματερία, καὶ ἐν τῷ ζυμοῦ-
σθαι οὐ κολλᾶται τῇ καρδόπῳ. ἐπειδὰν δ᾽ ἐμβληθῇ εἰς
τὸν φοῦρνον, ὑποπάσσεται τῷ κεράμῳ χόνδρος τις, καὶ τότ᾽
ἐπιτίθεται ὁ ἄρτος καὶ ἕλκει χρῶμα κάλλιστον, ὅμοιον τῷ
d φουμώσῳ τυρῷ. ὁ δὲ στρεπτίκιος ἄρτος συναναλαμβάνεται
γάλακτι ὀλίγῳ καὶ προσβάλλεται πέπερι καὶ ἔλαιον ὀλί-
γον· εἰ δὲ μή, στέαρ. εἰς δὲ τὸ καλούμενον ἀρτολάγανον

---

113 a. οὔτ᾽ ἀλφίτοισι — πόλις] Poetae alicuius verba. καὶ ἄλλῳ] καλῷ Iacobsius p. 77. λέξων AB. λέγων PVL. ἀρτοπτίκιος Harduinus: vide annotationem. ἀρτοπτίκιτος A. ἀρτοπτίνικος BC. ἀρτοπτικῖνος VL. ἀρτοπτικῖνος P. φουρνικίου C. φουρνακίου AB. φουρναρίου P. φουρινακίου Basil. L.

113 b. ἐὰν δὲ ἐκ Schweigh. Libri ἐὰν δὲ καί. κλιβανίκιος] καὶ βανίκιος A. ἀνειμένην εἶναι B. Legebatur ἀνειμένην ποιεῖν.

113 c. βωλήτης ABCP. βουλίτης V. βωλίτης L. ἐφ᾽ ᾗ ACP. ἐφ᾽ ἧς VL. ἂν ἐμβληθῇ B. κεράμῳ ABCL et epitome Hoeschelii. ῥήμῳ PV. κάλλιστον ABC. ἄριστον PVL. ὅμοιον — τυρῷ om. C. ὅμοιον AB. οἷον PVL.

ἐμβάλλεται οἰνάριον ὀλίγον καὶ πέπερι γάλα τε καὶ ἔλαιον ὀλίγον ἢ στέαρ. εἰς δὲ τὰ καπυρίδια καλούμενα τράκτα μίξεις ὥσπερ καὶ εἰς ἄρτον.

60. Ταῦτ᾽ ἐκθεμένου τἀριστάρχεια δόγματα τοῦ Ῥωμαίων μεγαλοσοφιστοῦ ὁ Κύνουλκος ἔφη, Δάματερ σοφίας. οὐκ ἐτὸς ἄρα ψαμμακοσίους ἔχει μαθητὰς ὁ θαυμάσιος
e Βλεψίας καὶ πλοῦτον ἀπηνέγκατο τοσοῦτον ἐκ τῆς καλῆς ταύτης σοφίας ὑπὲρ Γοργίαν καὶ Πρωταγόραν. ὅθεν ὀκνῶ μὰ τὰς θεὰς εἰπεῖν πότερον αὐτὸς οὐ βλέπει, ἢ οἱ τοὺς μαθητὰς αὐτῷ παραδιδόντες πάντες ἕνα ἔχουσιν ὀφθαλμόν, ὡς μόλις διὰ τὸ πλῆθος ὁρᾶν. μακαρίους οὖν αὐτούς, μᾶλλον δὲ μακαρίτας εἶναί φημι τοιαύτας δείξεις τῶν διδασκάλων ποιουμένων. πρὸς ὃν ὁ Μάγνος, φιλοτράπεζος ὢν καὶ τὸν γραμματικὸν τοῦτον ὑπερεπαινῶν διὰ τὴν ἐκτέ-
f νειαν, ἔφη, Οὗτοι ἀνιπτόποδες, χαμαιευνάδες, ἀερίοικοι, κατὰ τὸν κωμικὸν Εὔβουλον, ἀνόσιοι λάρυγγες, ἀλλοτρίων κτεάνων παραδειπνίδες, οὐχ ὁ προπάτωρ ὑμῶν Διογένης, πλακοῦντά ποτε ἐσθίων ἐν δείπνῳ λάβρως, πρὸς τὸν πυνθανόμενον ἔλεγεν ἄρτον ἐσθίειν καλῶς πεποιημένον; ὑμεῖς δ᾽ ὦ λοπαδάγχναι, κατὰ τὸν αὐτὸν ποιητὴν Εὔβουλον, λευκῶν ὑπογαστριδίων, ἑτέροις οὐ παραχωροῦντες φθέγ-
114 γεσθαι τὰς ἡσυχίας οὐκ ἄγετε, ἕως ἄν τις ὑμῖν ὡς κυνιδίοις ἄρτων ἢ ὀστέων προσρίψῃ. πόθεν ὑμῖν εἰδέναι ὅτι καὶ κύβοι, οὐχ οὓς ἀεὶ μεταχειρίζεσθε, ἄρτοι εἰσί, τετράγωνοι, ἡδυσμένοι ἀνήθῳ, τυρῷ καὶ ἐλαίῳ, ὥς φησιν Ἡρακλείδης ἐν Ὀψαρτυτικῷ. παρεῖδε δὲ τοῦτον ὁ Βλεψίας,

---

113 d. ὀλίγον ἢ στέαρ] ὀλίγον καὶ στέαρ B. εἰς δὲ] οἱ δὲ C. καπυρίδια ABC et Eustathius p. 1087, 63. καπύρια PVL. καλούμενα] τὰ καλούμενα C. λεγόμενα B. ταῦτ᾽] ταῦτα δ᾽ B.

113 e. μόλις διὰ τὸ] διὰ om. B. φιλοτράπεζος PL. φιλοτράπελος V. ἐκτένειαν] κτένειαν B.

113 f. κωμικὸν] κωμῳδὸν B. ὑμῶν] ἡμῶν B. δ᾽ ὦ] δὲ ὁ B. πεποιημένον] πεπεμμένον Porsonus. λοπαδάγχναι] λοπαδάγχαι Casaubonus. φθέγγεσθαι τὰς PV. φθέγγεσθαι καὶ τὰς AB. φθέγγεσθε τὰς L. φθέγγεσθε καὶ τὰς Schweigh.

114 a. μεταχειρίζεσθε] μεταχειρίζεσθαι B. τυρῷ B. Legebatur καὶ τυρῷ. Ὀψαρτυτικῷ] ὀψαρτυκῷ B. θάργηλον] θάργυλον B. et sic infra.

ὥσπερ καὶ τὸν θάργηλον, ὅν τινες καλοῦσι θαλύσιον — Κράτης δ' ἐν δευτέρᾳ Ἀττικῆς διαλέκτου θάργηλον καλεῖσθαι τὸν ἐκ τῆς συγκομιδῆς πρῶτον γινόμενον ἄρτον — καὶ τὸν σησαμίτην. οὐχ ἑόρακε δὲ οὐδὲ τὸν ἀνάστατον καλούμενον, ὃς ταῖς ἀρρηφόροις γίνεται. ἔστι δὲ καὶ ὁ πυραμοῦς, ἄρτος διὰ σησάμων πεττόμενος καὶ τάχα ὁ αὐτὸς τῷ σησαμίτῃ ὤν. μνημονεύει δὲ πάντων τούτων Τρύφων ἐν πρώτῳ φυτικῶν, καθάπερ καὶ τῶν θιαγόνων ὀνομαζομένων· οὗτοι δ' εἰσὶν ἄρτοι θεοῖς πεττόμενοι ἐν Αἰτωλίᾳ. δράμικες δὲ καὶ ἄραξις παρ' Ἀθαμᾶσιν ἄρτοι τινὲς οὕτω καλοῦνται.

b

81. Καὶ οἱ γλωσσογράφοι δὲ ἄρτων ὀνόματα καταλέγουσι. Σέλευκος μὲν δράμιν ὑπὸ Μακεδόνων οὕτως καλούμενον, δάρατον δ' ὑπὸ Θετταλῶν. ἐτνίταν δέ φησιν ἄρτον εἶναι λεκιθίτην, ἐρικίταν δὲ καλεῖσθαι τὸν ἐξ ἐρηρειγμένου καὶ ἀσήστου πυροῦ γιγνόμενον καὶ χονδρώδους. Ἀμερίας δὲ καλεῖ ξηροπυρίταν τὸν αὐτόπυρον ἄρτον· ὁμοίως δὲ καὶ Τιμαχίδας. Νίκανδρος δὲ θιαγόνας φησὶν ἄρτους ὑπ' Αἰτωλῶν καλεῖσθαι τοὺς τοῖς θεοῖς γινομένους. Αἰγύπτιοι δὲ τὸν ὑποξίζοντα ἄρτον κυλλάστιν καλοῦσιν. μνημονεύει δ' αὐτοῦ Ἀριστοφάνης ἐν Δαναΐσι

c

Καὶ τὸν κυλλάστιν φθέγγου καὶ τὸν Πετόσιριν.

---

θαλύσιον] Eustathius p. 772, 24. θηλύσιον B. σησαμίτην Casaubonus. σαμίτην PVL. γρ. σησαμίτην P in marg. ἑόρακε] Scribebatur ἑώρακε. ἀνάστατον Piersonus ad Moerin p. 142. et Valckenarius ad Adoniaz. p. 398 b. ex Suida in ἀνάστατοι et Pausania apud Eustathium p. 1165, 10. ναστὸν PV. νάστον Basil. L. ὅς] ὃν P. ἀρρηφόροις A et Suidas. ἀρνηφόροις PVL.

114 b. σησάμων PL. σησαμένων V. θιαγόνων] θεαγόνων B. ὀνομαζομένων om. B. παρ' Ἀθαμᾶσιν Schweigh. παρ' Ἀθάμασιν VL. παρα θαμασιν A. παρὰ θάμασιν P. οὕτω BP. οὕτως VL. καλοῦνται Coraës. Libri καὶ δηλοῦνται. δάρατον δ' Casaubonus: vide p. 110 d. Libri δ' ἄρτον. Θετταλῶν B. Θεσσαλῶν PVL. ἐτνίταν Casaubonus: vide p. 111 b. Libri ἐνίταν. ἐρικίταν] ἐρρεικίτης dicitur in C. ἐρειγγίτην vel ἠρειγγίτην voluit Reinesius in annot. ad Suidam p. 109. δὲ B. τε PVL. ἐξ ἐρηρειγμένου A. ἐξ ἐῤῥειγμένου V. ἐξ ἐρρηγμένου C. ἐξ ἐρηρειγμένου L. ἐξερειγμένου P.

114 c. ἀσήστου] ἀσύστου B. τὸν αὐτόπυρον] τὸν om. B.

μνημονεύουσιν αὐτοῦ καὶ Ἑκαταῖος καὶ Ἡρόδοτος καὶ ὁ Φανόδημος ἐν ἑβδόμῃ Ἀτθίδος. ὁ δὲ Θυατειρηνὸς Νίκανδ δρος τὸν ἐκ τῆς κριθῆς ἄρτον γινόμενον ὑπὸ τῶν Αἰγυπτίων κυλλάστιν φησὶ καλεῖσθαι. τοὺς δὲ ῥυπαροὺς ἄρτους φαιοὺς ὠνόμασεν Ἄλεξις ἐν Κυπρίῳ οὕτως

Ἔπειτα πῶς ἦλθες; Β. μόλις γ᾽ ὀπτωμένους
κατέλαβον. Α. ἐξόλοι᾽. ἀτὰρ πόσους φέρεις;
Β. ἑκκαίδεκ᾽ οἴσω δεῦρο,
λευκοὺς μὲν ὀκτώ, τῶν δὲ φαιῶν τοὺς ἴσους.

βλῆμα δέ φησι καλεῖσθαι τὸν ἐντεθρυμμένον ἄρτον καὶ θερμὸν Σέλευκος. Φιλήμων δ᾽ ἐν πρώτῳ παντοδαπῶν χρηστηρίων πυρνόν φησι καλεῖσθαι τὸν ἐκ πυρῶν ἀσήe στων γινόμενον ἄρτον καὶ πάντα ἐν ἑαυτῷ ἔχοντα. βλωμιλίους δὲ ἄρτους ὀνομάζεσθαι λέγει τοὺς ἔχοντας ἐντομάς, οὓς Ῥωμαῖοι κοδράτους λέγουσι· βραττίμην τε καλεῖσθαι τὸν πιτυρίτην ἄρτον, ὃν εὔκονον [τεύκονον] ὀνομάζουσιν Ἀμερίας καὶ Τιμαχίδας. Φιλητᾶς δ᾽ ἐν τοῖς Ἀτάκτοις σπολέα καλεῖσθαί τιν᾽ ἄρτον, ὃν ὑπὸ τῶν συγγενῶν μόνον καταναλίσκεσθαι.

82. Καὶ μάζας δ᾽ ἔστιν εὑρεῖν ἀναγεγραμμένας παρά τε τῷ Τρύφωνι καὶ παρ᾽ ἄλλοις πλείοσιν. παρ᾽ Ἀθηναίοις f μὲν φυστὴν τὴν μὴ ἄγαν τετριμμένην, ἔτι δὲ καρδαμάλην καὶ βήρηκα, καὶ τολύπας καὶ ἀχίλλειον· καὶ ἴσως αὕτη ἐστὶν ἡ ἐξ ἀχιλλείων κριθῶν γινομένη· θριδακίνας τε καὶ

---

μνημονεύουσιν] μνημονεύει δ᾽ B. Ἡρόδοτος] II, 77.

114 d. τῶν αἰγυπτίων B. τῶν om. PVL. κυλλάστιν φησὶ] Scribebatur κύλλαστίν φησι. φαιοὺς] φαινοὺς B. V. 1. ἦλθες PL. ἦλθε B. ἦλθεν V. μόλις γ᾽ VL. γ᾽ om. ABP. Fortasse scripsit ἔπειτα πῶς ἦλθες σύ; Β. μόλις ὀπτωμένους —. V. 2. ἐξόλοιο ἄταρπος οὓς φέρειν B. ἐξόλοιο ἀταρπὸς οὓς φέρεις P. βλῆμα] βλῆμμα P. βλῆθα Hesychius.

114 e. ἀσήστων] ἀσύστων BP. βλωμιλίους] βωμιλίους BC. βλωμιαίους Salmasius ad Vopiscum p. 614. δ᾽ ἄρτους B. τε ἄρτους PVL. βραττίμην AB. βρατίμην PVL. ἄρτον om. B. εὔκονον τεύκονον ABP. εὔκονον ἢ τεύκονον VL. Φιλητᾶς] Scribebatur Φιλήτας. τιν᾽ B. τινα PVL. φυστὴν] Scribebatur φύστην.

114 f. ἔτι δὲ] ἔστι δὲ B. ἔστι δὲ καὶ P. καρδαμάλην] καρδαμύλην C et Eustathius p. 743, 17. 1414, 31. βήρηκα ABP. (βήρηξ oratione aliter conformata C.) βήρακα VL. ἀχίλλειον] ἀχίλλιον B.

οἰνοῦτταν καὶ μελιτοῦτταν καὶ κρίνον, καλούμενον καὶ σχῆμά τι χορικῆς ὀρχήσεως παρ' Ἀπολλοφάνει ἐν Δαλίδι. αἱ δὲ παρ' Ἀλκμᾶνι θριδακίσκαι λεγόμεναι αἱ αὐταί εἰσι ταῖς Ἀττικαῖς θριδακίναις. λέγει δ' οὕτως ὁ Ἀλκμὰν

Θριδακίσκας τε καὶ κριβανωτώς.

Σωσίβιος δ' ἐν τρίτῳ περὶ Ἀλκμᾶνος κρίβανά φησι λέγεσθαι πλακοῦντάς τινας τῷ σχήματι μαστοειδεῖς. ὑγεία δὲ καλεῖται ἡ διδομένη ἐν ταῖς θυσίαις μᾶζα, ἵνα ἀπογεύσωνται. καὶ Ἡσίοδος δὲ μᾶζάν τιν' ἀμολγαίαν καλεῖ

Μᾶζά τ' ἀμολγαίη γάλα τ' αἰγῶν σβεννυμενάων,

τὴν ποιμενικὴν λέγων καὶ ἀκμαίαν· ἀμολγὸς γὰρ τὸ ἀκμαιότατον. παραιτητέον δὲ καταλέγειν, οὐδὲ γὰρ οὕτως εὐτυχῶς μνήμης ἔχω, ἃ ἐξέθετο πόπανα καὶ πέμματα Ἀριστομένης ὁ Ἀθηναῖος ἐν τρίτῳ τῶν πρὸς τὰς ἱερουργίας.
b ἔγνωμεν δὲ καὶ ἡμεῖς τὸν ἄνδρα τοῦτον, νεώτεροι πρεσβύτερον. ὑποκριτὴς δ' ἦν ἀρχαίας κωμῳδίας, ἀπελεύθερος τοῦ μουσικωτάτου βασιλέως Ἀδριανοῦ, καλούμενος ὑπ' αὐτοῦ Ἀττικοπέρδιξ. καὶ ὁ Οὐλπιανὸς ἔφη, Ὁ δ' ἀπελεύθερος παρὰ τίνι κεῖται; εἰπόντος δέ τινος καὶ δρᾶμα ἐπιγράφεσθαι Φρυνίχου Ἀπελευθέρους, Μένανδρον δ' ἐν Ῥαπιζομένῃ καὶ ἀπελευθέραν εἰρηκέναι, καὶ ἐπισυνάπτοντος πάλιν ἔφη, Τίνι δὲ διαφέρει ἐξελευθέρου; ταῦτα μὲν οὖν ἔδοξε κατὰ τὸ παρὸν ἀναβαλέσθαι.

---

μελιτοῦτταν Schweigh. μελιττοῦταν PVL. Δαλίδι Schweigh.: vide XI. p. 467 f. et Suidam in Ἀπολλοφάνης. δαλνίδι VL. δαλνίδει ABP (ἀπολλοφάνει ἐνδαλνίδεια δὲ παρ' B). Δαυλίδι Casaubonus, quod verum videtur. Ἀλκμὰν] Scribebatur Ἀλκμᾶν. θριδακίσκας PVL. θριδακίσκαι B. θριδακίσκα AC et epitome Hoeschelii. κριβανωτώς P. Legebatur κριβανωτός.

115 a. Ἡσίοδος] Ἔργ. v. 588. τιν' ἀμολγαίαν] Scribebatur τινὰ ἀμολγαίαν. τινὰ μολγαίαν B. Μᾶζά τ'] Scribebatur μάζα τ'. μάζα δ' B. λέγων καὶ ἀκμαίαν CVL. λέγων ἀκμαίαν ABP. Debebant saltem λέγων ἢ ἀκμαίαν: de quo vide annotationem.

115 b. ἀδριανοῦ P. Scribebatur Ἀδριανοῦ. Φρυνίχου — εἰρηκέναι addunt ABL et Casauboniani. om. PV. ἀπελευθέρους AB. ἀπελευθέρος L, ex quo ἀπελεύθερος factum in Casauboni editionibus secunda et tertia. Ῥαπιζομένη Schweigh. Libri ῥαπιζομένῳ. ἐπισυνάπτοντος] ἄλλα τινὰ add. Schweigh. οὖν om. B.

c 83. *Καὶ ὁ Γαληνὸς μελλόντων ἡμῶν ἐφάπτεσθαι τῶν
ἄρτων, Οὐ πρότερον, ἔφη, δειπνήσομεν, ἕως ἂν καὶ παρ'
ἡμῶν ἀκούσητε ὅσα εἰρήκασι περὶ ἄρτων ἢ πεμμάτων ἔτι
δὲ ἀλφίτων Ἀσκληπιαδῶν παῖδες. Δίφιλος μὲν ὁ Σίφνιος
ἐν τῷ περὶ τῶν προσφερομένων τοῖς νοσοῦσι καὶ τοῖς
ὑγιαίνουσιν „Ἄρτοι (φησὶν) οἱ ἐκ πυρῶν κριθίνων εἰσὶ
πολυτροφώτεροι καὶ εὐοικονομητότεροι καὶ τὸ ὅλον κρείτ-
τονες· εἶθ' οἱ σεμιδαλῖται· μεθ' οὓς οἱ ἀλευρῖται· εἶθ'
d οἱ συγκομιστοί, ἐξ ἀσήστων ἀλεύρων γινόμενοι. οὗτοι γὰρ
πολυτροφώτεροι εἶναι δοκοῦσι.“ Φιλιστίων δ' ὁ Λοκρὸς τῶν
χονδριτῶν τοὺς σεμιδαλίτας πρὸς ἰσχὺν φησι μᾶλλον πε-
φυκέναι· μεθ' οὓς τοὺς χονδρίτας τίθησιν, εἶτα τοὺς
ἀλευρίτας. οἱ δὲ ἐκ γυρέως ἄρτοι γινόμενοι κακοχυλότεροί
τέ εἰσι καὶ ὀλιγοτροφώτεροι. πάντες δ' οἱ θερμοὶ ἄρτοι
τῶν ἐψυγμένων εὐοικονομητότεροι πολυτροφώτεροί τε καὶ
εὐχυλότεροι, ἔτι δὲ πνευματικοὶ καὶ εὐανάδοτοι. οἱ δ'
ἐψυγμένοι πλήσμιοι, δυσοικονόμητοι. οἱ δὲ τελείως παλαιοὶ
καὶ κατεψυγμένοι ἀτροφώτεροι στατικοί τε κοιλίας καὶ κα-
e κόχυλοι. ὁ δ' ἐγκρυφίας ἄρτος βαρὺς δυσοικονόμητός τε
διὰ τὸ ἀνωμάλως ὀπτᾶσθαι. ὁ δὲ ἰπνίτης καὶ χαμινίτης
δύσπεπτοι καὶ δυσοικονόμητοι. ὁ δ' ἐσχαρίτης καὶ ἀπὸ
τηγάνου διὰ τὴν τοῦ ἐλαίου ἐπίμιξιν εὐεκκριτώτερος, διὰ
δὲ τὸ κνισὸν κακοστομαχώτερος [γάρ]. ὁ δὲ κλιβανίτης πά-
σαις ταῖς ἀρεταῖς περιττεύει· εὔχυλος γὰρ καὶ εὐστόμαχος
καὶ εὔπεπτος καὶ πρὸς ἀνάδοσιν ῥᾷστος· οὔτε γὰρ ἱστά-
νει κοιλίαν οὔτε παρατείνει.“ Ἀνδρέας δὲ ὁ ἰατρὸς ἄρτους*

115 c. *ἔτι δὲ*] Legebatur *ἔτι τε*. *καὶ τὸ ὅλον*] *τὸ* om. P. *ἀσήστων* L. *ἀσήτων* BPV.

115 d. *γινόμενοι* ABC. *γενόμενοι* PVL. *οἱ δὲ ἐκ — ὀλιγοτροφώτεροι* om. C. *πάντες — πολυτροφώτεροι* add. ABCL. om. PV. *θερμοὶ ἄρτοι* ABC et liber Aegianus. *ἄρτοι* om. L. *εὐχυλότεροι*] *εὐχυλώτεροι* PVL. *τελειως* ABCPV. *τελέως* L.

115 e. *δυσοικονόμητός τε*] *τε* om. B. *ἰπνίτης καὶ* ABC. *ἰπνίτης καλούμενος καὶ* PVL. *δύσπεπτοι καὶ δυσοικονόμητοι* AB et Casauboniani. *δύσπεπτος καὶ δυσοικονόμητος* CL et epitome Hoeschelii. *δύσπεπτος* omissis *καὶ δυσοικονόμητος* V. *δύσπεπτοι* omissis *καὶ δυσοικονόμητοι* P. *ἐπίμιξιν*] *ἐπιμιξίαν* C. *κνισὸν*] *κνισσὸν* C. *κακοστομαχώτερος* BC. *κακοστομαχώτεροι* PVL. *γὰρ* add. ABPVL. om. C. In *γίνεται* mutabat Coraës ad Xenocratem p. 168. *παρατείνει*] *ταράττει* Coraës.

τινάς φησιν ἐν Συρίᾳ γίνεσθαι ἐκ συκαμίνων, ὧν τοὺς
f φαγόντας τριχορρυεῖν. Μνησίθεος δέ φησι τὸν ἄρτον τῆς μάζης εὐπεπτότερον εἶναι καὶ τοὺς ἐκ τῆς τίφης μᾶλλον ἱκανῶς τρέφειν· πέττεσθαι γὰρ αὐτοὺς καὶ οὐ μετὰ πολλοῦ πόνου. τὸν δ' ἐκ τῶν ζειῶν ἄρτον ἄδην φησὶν ἐσθιόμενον βαρὺν εἶναι καὶ δύσπεπτον· διὸ οὐχ ὑγιαίνειν τοὺς
a αὐτὸν ἐσθίοντας. εἰδέναι δὲ ὑμᾶς δεῖ ὅτι τὰ μὴ πυρωθέντα ἢ τριφθέντα σιτία φύσας καὶ βάρη καὶ στρόφους καὶ κεφαλαλγίας ποιεῖ.

84. Μετὰ τὰς τοσαύτας διαλέξεις ἔδοξεν ἤδη ποτὲ καὶ δειπνεῖν. καὶ περιενεχθέντος τοῦ καλουμένου ὡραίου ὁ Λεωνίδης ἔφη, Εὐθύδημος ὁ Ἀθηναῖος, ἄνδρες φίλοι, ἐν τῷ περὶ ταρίχων Ἡσίοδόν φησι περὶ πάντων τῶν ταριχευομένων τάδ' εἰρηκέναι·

Ἀμφάκες μὲν πρῶτον στόμα καὶ κριταιαντα καὶ θιόην
γναθμῶν ἠνδάξαντο δυσείμονες ἰχθυβολῆες,
b οἷς ὁ ταριχόπλεως ἄδε Βόσπορος, οἱ πιθόγαστροι
τμήγοντες τετράγωνα ταρίχια τεκταίνονται.

---

115 f. φαγόντας] φεύγοντας B. τριχοῤῥυεῖν Schweigh. τριχοῤῥύειν L. τριχορεύειν ABCPV. δέ φησι C. δὲ om. PVL. μάζης] μάζας B. πέττεσθαι ACP. πέπτεσθαι VL. ἄδην] ἅδην P. αὐτὸν B. φησὶν Schweigh. Libri φασὶν. ἐσθιόμενον] αἰσθιόμενον B. ὑμᾶς AV. ἡμᾶς P, Basil. L.

116 a. τριφθέντα] τρυφθέντα C. βάρη] βάρυ B. κεφαλαλγίας ABC. κεφαλαλγίαν PVL. μετὰ τὰς A. τὰς om. PVL. De Hesiodi qui dicitur versibus haec habet C, ὅτι εὐθύδημος ὁ ἀθηναῖος παρατίθεται ἡσίοδον λέγοντα ἄλλα τε καὶ ὅτι θύννων ὡραίων βυζάντιον ἔπλετο μήτηρ καὶ σκόμβρων· καὶ πάριον κολιῶν κυδνὴ τροφὸς ἔσκε πολίχνη. οὗτος δὲ ὁ ῥήτωρ φησὶν ὅτι μαγείρου ταῦτα ἔπη μᾶλλον —. V. 1. κριταιαντα sine accentu A. κριταίαντα B. κριταίαν PVL. V. 2. γναθμῶν] γναθμὸν P. ἠνδάξαντο] ἠδάξαντο, si huic verbo locus sit, Piersonus ad Moerin p. 41. ηὐδάξαντο Coraës ad Xenocratem p. 173. δυσείμονες P, Basil. L. δυσείμμονες V.

116 b. V. 3. ταριχόπλεως Casaubonus. ταριπόλεως PVL. ἅδε P. ἄδε VL. πιθόγαστροι Casaubonus. πυθόγαστρι AB (B omisso accentu). πυθόγαστροι PVL. V. 4. τμήγοντες A. τμήσσοντες PVL. μηγων της B. τετράγωνα PVL. τε τρωαγονα A. τὲ τρωάγωνα B. ταχη τρια A. τάχη τρία BP. τὰ χητρία VL. ταρίχια Coraës ad Xenocratem p. 162.

ναὶ μὴν οὐκ ἀκλεὶς θνητοῖς γένος ὀξυορύγχου,
ὃν καὶ ὅλον καὶ τμητὸν ἅλες τρηχεῖς ἐκόμισσαν.
θύννων δ' ὡραίων Βυζάντιον ἔπλετο μήτηρ,
c καὶ σκόμβρων βυθίων τε καὶ εὐχόρτου λιβιβάττεω.
καὶ Πάριον κολιῶν κυδνὴ τροφὸς ἔσκε πολίχνη.
Ἰόνιον δ' ἀνὰ κῦμα φυγὼν Γαδείραθεν ἄξει
Βρέττιος, ἢ Καμπανὸς, ἢ ἐξ ἀγαθοῖο Τάραντος,
ὀρκύνοιο τρίγωνα, τά τ' ἐν σταμνοισι τεθέντα
ἀμφαλλὰξ δείπνοισιν ἐνὶ πρώτοισιν ὀπηδεῖ.

ταῦτα τὰ ἔπη ἐμοὶ μὲν δοκεῖ τινος μαγείρου εἶναι μᾶλλον
d ἢ τοῦ μουσικωτάτου Ἡσιόδου. πόθεν γὰρ εἰδέναι δύναται Πάριον ἢ Βυζάντιον, ἔτι δὲ Τάραντα καὶ Βρεττίους καὶ Καμπανοὺς πολλοῖς ἔτεσι τούτων πρεσβύτερος ὤν; δοκεῖ οὖν ἐμοὶ αὐτοῦ τοῦ Εὐθυδήμου εἶναι τὰ ποιήματα. καὶ ὁ Διονυσιοκλῆς ἔφη, Ὅτου μὲν ἐστι τὰ ποιήματα, ὦ ἀγαθὲ Λεωνίδη, ὑμῶν ἐστι κρίνειν τῶν δοκιμωτάτων γραμματικῶν· ἀλλ' ἐπεὶ περὶ ταρίχων ἐστὶν ὁ λόγος, περὶ ὧν οἶδα καὶ παροιμίαν μνήμης ἠξιωμένην ὑπὸ τοῦ Σολέως Κλεάρχου

e Σαπρὸς τάριχος τὴν ὀρίγανον φιλεῖ·

ἔρχομαι κἀγὼ λέξων τι περὶ αὐτῶν, τὰ τῆς τέχνης.

85. Διοκλῆς μὲν ὁ Καρύστιος ἐν τοῖς Ὑγιεινοῖς ἐπιγραφομένοις τῶν ταρίχων φησὶ τῶν ἀπμέλων κράτιστα εἶναι τὰ ὡραῖα, τῶν δὲ πιόνων τὰ θύννεια. Ἱκέσιος δ'

---

V. 5. ναὶ] καὶ Schweigh. οὗ κακὰ ἐς ABP., οὐκ ἀδαλὲς VL. quod prope abest ab οὐκ ἀδαλς. οὐκ ἀκλεὶς Schweigh. θνησοις sine accentu A. ὀξυορύγχου] ὀξυορύχου B. V. 6. ἅλες τρηχεῖς Schweigh. ἀλεστρηχεῖς VL. ἄλεστρηχεις A. ἀλεστρήχεις P. ἐκόμισσαν Schweigh. Legebatur ἐκόμησαν. ἐκόσμισαν P, qui primum ἐκόσμησαν habuit. ἐκόσμησαν B.

116 c. V. 8. εὐχόρτου] ἐκχόρτου B. V. 9. κολιῶν C. κολίων V. κωλιων A. κωλίων P. κυδνὴ BC, κυδρὴ PVL. V. 10. φυγὼν] φεύγων ABP. V. 12. ὀρκύνοιο] ὀρκυνίοιο B. τριγωνατα τ' σταμνοισι A. V. 13. ἀμφαλλὰξ Schweigh. Scribebatur ἀμφάλλαξ. ἐνὶ πρώτοισιν addita ex A. ταῦτα τὰ ABP. τὰ om. VL.

116 d. ἐμοὶ L. μοι PV. ἠξιωμένην L. ἠξιωμένης PV.

116 e. Σαπρὸς τάριχος] P. 119 e. θύννεια C. θύννια PVL.

ἱστορεῖ οὐκ εἶναι εὐεκκρίτους κοιλίας οὔτε πηλαμύδας οὔτε τὰ ὡραῖα, τὰ δὲ νεώτερα τῶν θυννείων τὴν αὐτὴν ἀναλογίαν ἔχειν τοῖς κυβίοις, μεγάλην τε εἶναι διαφορὰν πρὸς πάντα τὰ ὡραῖα λεγόμενα. ὁμοίως δὲ λέγει καὶ τῶν Βυζαντίων ὡραίων, πρὸς τὰ ἀφ' ἑτέρων τόπων λαμβανόμενα,
f καὶ οὐ μόνον τῶν θυννείων, ἀλλὰ καὶ τῶν ἄλλων τῶν ἁλισκομένων ἐν Βυζαντίῳ. τούτοις προσέθηκεν ὁ Ἐφέσιος Δάφνος, Ἀρχέστρατος μὲν ὁ περιπλεύσας τὴν οἰκουμένην γαστρὸς ἕνεκα καὶ τῶν ὑπὸ γαστέρα φησὶ

Καὶ Σικελοῦ θύννου τέμαχος
τμηθέν, ὅ τ' ἐν βίκοισι ταριχεύεσθαι ἔμελλεν.
117 σαπέρδῃ δ' ἐνέπω κλαίειν μακρά, Ποντικῷ ὄψῳ,
καὶ τοῖς κεῖνον ἐπαινοῦσιν. παῦροι γὰρ ἴσασιν
ἀνθρώπων ὅτι φαῦλον ἔφυ καὶ ἀκιδνὸν ἔδεσμα.
ἀλλὰ τριταῖον ἔχειν σκόμβρον, πρὶν ἐς ἁλμυρὸν ὕδωρ
ἐλθεῖν, ἀμφορέως ἐντός, νέον, ἡμιτάριχον.
ἂν δ' ἀφίκῃ κλεινοῦ Βυζαντίου εἰς πόλιν ἁγνήν,
b ὡραίου φάγε μοι τέμαχος πάλιν· ἔστι γὰρ ἐσθλὸν
καὶ μαλακόν.

παρέλιπεν ὁ τένθης Ἀρχέστρατος συγκαταλέξαι ἡμῖν καὶ τὸ παρὰ Κράτητι τῷ κωμῳδιοποιῷ ἐν Σαμίοις λεγόμενον ἐλεφάντινον τάριχος, περὶ οὗ φησιν

Σκυτίνῃ ποτ' ἐν χύτρᾳ τάριχος ἐλεφάντινον
ἦψε ποντιὰς χελώνη πευκίνοισι κύμασι,
καρκίνοι ποδάνεμοί τε καὶ τανύπτεροι λύκοι

εὐεκκρίτους L. εὐεκρίτους BPV et similiter alibi. κοιλίας ABCP. κοιλίαις VL. πηλαμύδας ABCP. πηλαμίδας VL. θυννείων] Scribebatur θυννίων hic et infra. κυβίοις] κοβίοις B. πάντα τὰ L. τὰ om. BPV. ἑτέρων] ἑσπέρων B.

116 f. τῆς γαστρὸς PVL. τῆς om. B. γαστέρα P. Legebatur τὴν γαστέρα. V. 1. Σικελοῦ — ἔμελλεν] Eustathius p. 1163, 29. τέμαχος] τέμμαχος Eustathius.

117 a. V. 3. σαπέρδη L. σαρπέδη V. σαπέρδην P. V. 4. ἐπαινοῦσιν] ἐπαινοῦσι B. V. 5. ἀκιδνὸν ἔδεσμα VL. ἀκιδνὸν (ἄκιδνον P) κενεόν τε ἔδεσμα ABCP. V. 6. σκόμβρον] σκόμβρων P. V. 7. ἐντὸς νέον om. B. ἐντόνεον P.

117 b. V. 9. πάλιν ἔστι γὰρ] πάνυ γάρ ἐστιν BC. συγκαταλέξαι PL. συγκαταλέξας V. κωμῳδιοποιῷ A. κωμῳδοποιῷ PVL. V. 2. ποντιὰς] ποντία C. V. 3. — 5. om. C. V. 3. καρκῖνοι

*ὑσοριμαχεῖν ἄνδρες οὐρανοῦ κατύματα.*
c *παῖ' ἐκεῖνον, ἄγχ' ἐκεῖνον. ἐν Κέῳ τίς ἡμέρα;*

*ὅτι δὲ διαβόητον ἦν τὸ τοῦ Κράτητος ἐλεφάντινον τάριχος μαρτυρεῖ Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις διὰ τούτων*

*Ἠ μέγα τι βρῶμ' ἐστὶν ἡ τρυγῳδοποιομουσική,*
*ἡνίκα Κράτητί τε τάριχος ἐλεφάντινον*
*λαμπρὸν ἐκόμιζεν ἀπόνως παραβεβλημένον,*
*ἄλλα τε τοιαῦθ' ἕτερα μυρί' ἐκιχλίζετο.*

86. *Ὠμοτάριχον δέ τινα κέκληκεν Ἄλεξις ἐν Ἀπεγλαυκωμένῳ. ὁ δ' αὐτὸς ποιητὴς ἐν Πονήρᾳ περὶ σκευασίας*
d *ταρίχων μάγειρόν τινα παράγει λέγοντα τάδε*

*Ὅμως λογίσασθαι πρὸς ἐμαυτὸν βούλομαι*
*καθεζόμενος ἐνταῦθα τὴν ὀψωνίαν,*
*ὁμοῦ τε συντάξαι τί πρῶτον οἰστέον*
*ἡδυντέον τε πῶς ἕκαστόν ἐστί μοι.*
*τάριχός ἐστι πρῶτον ὡραῖον τοδί,*
*διωβόλου τοῦτ' ἔστι. πλυτέον εὖ μάλα.*
*εἶτ' εἰς λοπάδιον ὑποπάσας ἡδύσματα,*
*ἐνθεὶς τὸ τέμαχος, λευκὸν οἶνον ἐπιχέας,*

---

*πόδην ἐμοί τε* B. *καρκίνοι πόδαν ἐμοί τε* P. V. 4. *ὑσοριμαχεῖν*] *ὑσορυμαχεῖν* B. *οὐρανοῦ*] *ὄυνοῦ* P.

117 c. V. 5. *παῖ' ἐκεῖνον* A. *παὶ ἐκεῖνον* V. *παῖε ἐκεῖνοι* L. *παῖε κεῖνον* P. *ἄγχ' ἐκεῖνον*] Scribebatur *ἄγχε κεῖνον*. *ἐν Κέῳ τίς* Porsonus: vide Hesychium in *ἐν Κέῳ τίς ἡμέρα*. Legebatur *ἐγκαιῷ τις*. *ἐγκαιῶτις* AP. *Θεσμοφοριαζούσαις*] Secundis. Omittit hoc fragmentum C. V. 1. *Ἠ*] *Ἦν* Elmsleius ad Acharn. 499. p. 125. *βρῶμ'*] *χρῆμ'* Elmsleius. *ἐστὶν ἡ*] *ἔνι* Porsonus in Miscellaneis p. 236. *ἔτι* Elmsleius. *τρυγῳδοποιομουσικῇ* Porsonus. *τραγῳδοποιομουσικὴ* B. V. 2. *ἡνίκα* Porsonus et Elmsleius. *ἦν* BPVL. *ἦνὶ* A. *τε* add. ABP. om. VL. V. 3. *ἐκόμιζεν* Casaubonus. Libri *ἐνόμιζεν*. *παραβεβλημένον*] *παρακεκλημένον* BP. V. 4. *μύρια ἐκιχλίζετο* P. *Ἀπεγλαυκωμένῳ* P et Schweigh. *ἀπεγλαυκωμένῳ* VL.

117 d. V. 1. Fortasse *Ὅμως δέ*. V. 2. *καθεζόμενος*] *καθεζόμενον* B. *καθεζόμενος ἐνταῦθα* om. C. V. 3. *πρῶτον*] *πρώτιστον* BC. V. 5. *ἐστι* om. BCP. post *πρῶτον* positum est in A. *τοδί. διωβόλου*] *τοδὶ ὀβολοῦ* VL. *τὸ διοβολοῦ* B. *τὸ διοβόλου* P. V. 6. *τοῦτ'* ABCP. *μόνου* (*μόνον* L) *τοῦτ'* V. V. 7. *εἶτ' εἰς*] *εἴ τις* AP. *λοπάδιον*] *τὸ λοπάδιον* BC. *ὑπὸ πάσας* P. *ἡδύσματα*]

ἐπισκίδασα τοὔλαιον· εἶθ' ἕψων ποιῶ
e μυελὸν, ἀφεῖλόν τ' ἐπιγανώσας σιλφίῳ.

ἐν δὲ τῷ Ἀπεγλαυκωμένῳ σύμβολάς τις ἀπαιτούμενός φησι

Παρ' ἐμοῦ δ', ἐὰν μὴ καθ' ἓν ἕκαστον πάντα δῷς,
χαλκοῦ μέρος δωδέκατον οὐκ ἂν ἀπολάβοις.
B. δίκαιος ὁ λόγος. A. ἀβάκιον, ψῆφον. λέγε.
B. ἔστ' ὠμοτάριχος πέντε χαλκῶν. A. λέγ' ἕτερον.
f B. μῦς ἑπτὰ χαλκῶν. A. οὐδὲν ἀσεβὲς οὐδέπω.
λέγε. B. τῶν ἐχίνων ὀβολός. A. ἁγνεύεις ἔτι.
B. ἆρ' ἦν μετὰ ταῦθ' ἡ ῥάφανος, ἣν ἐβοᾶτε; A. ναί·
χρηστὴ γὰρ ἦν. B. ἔδωκα ταύτης δύ' ὀβολούς.
A. τί γὰρ ἐβοῶμεν; B. τὸ κύβιον τριωβόλου.
8 A. ὀνεῖν κεχειρῶν γε οὐκ ἐπράξατ' οὐδὲ ἕν.
B. οὐκ οἶσθά γ' ὦ μακάριε τὴν ἀγορὰν, ὅτι
κατεδηδόκασι τὰ λάχαν' αἱ τρωξαλλίδες.
A. διὰ τοῦτο τὸ τάριχος τέθεικας διπλασίου;
B. ὁ ταριχοπώλης ἐστίν· ἐλθὼν πυνθάνου.
γόγγρος δέκ' ὀβολῶν. A. οὐχὶ πολλοῦ. λέγ' ἕτερον.
B. τὸν ὀπτὸν ἰχθὺν ἐπριάμην δραχμῆς. A. παπαῖ,
ὥσπερ πυρετὸς ἀνῆκεν, εἶτ' ἐν ἐπιτέλει.

---

ἡδύσματι B. V. 9. τοὔλαιον] τοὔλεον P. ποιῶ] ποῶ C. πῶ B. ποτὶ VL. ποτὶ P.

117 e. V. 10. ἀφεῖλόν τ'] Legebatur ἄφειλον. ἀφεῖλοντ' B. μύελος ἀφεῖλοντ' P. σιλφίῳ] σίλφω P. Ἀπεγλαυκωμένῳ P et Schweigh. ἀπευγλαυκωμένῳ VL. Omittit hoc fragmentum C. συμβολάς τις A. σύμβολά τις PVL. V. 1. ἓν] ἵνα B. δῷς] δ' ὡς P. V 3. λέγε. ἔστ' VL. λέγεσθαι ABP. V. 4. ὠμοτάριχος] ὠμοτέριχος B.

117 f. V. 6. ἁγνεύεις A. ἀγνεύεις BPVL. ἔτι VL. ὅτι ABP. V. 7. ἆρ'] Scribebatur ἄρ'. (Ἀρ' V. ἀρ' BP.) ἣν ἐβοᾶτε; A. ναί· χρηστὴ γὰρ ἦν Kiddius ad Porsoni Miscellanea p. 236. ἣν ἐβόα χρηστὴν, οὐ γὰρ ἦν VL. ἣν ἐβοᾶτ' εἶναι, χρηστὴ γὰρ ἦν AB. ἣν ἐβοᾶτ' εἶναι χρηστὴν οὐ γὰρ ἦν P. V. 9. τριωβόλου] τριωβόλους BP.

118 a. V. 10. Reliqui corruptam scripturam ὀνεῖν (ὀνεῖν PV. ὠνεῖν L. σονεῖν A) κεχειρῶν γε. οὐδὲ ἓν] οὐδεὶν P. V. 11. οἶσθά γ' ὦ] οἶσθα ὦ P. V. 12. κατεδηδόκασι B. Scribebatur κατεδηδόκασιν. λάχαν' αἱ] Libri λάχανα. V. 13. τὸ addidit Schweigh. V. 16. παπαῖ] Scribebatur παπαί. V. 17. De corrupta scriptura ἐν ἐπιτέλει (ἐνεπιτέλει P) vide annotationem.

Β. πρόσθες τὸν οἶνον, ὃν μεθυόντων προσέλαβον ὑμῶν, χόας τρεῖς, δέκ᾽ ὀβολῶν ὁ χοῦς.

87. Ἱκέσιος δ᾽ ἐν δευτέρῳ περὶ ὕλης πηλαμύδας κύβια
b εἶναί φησι μεγάλα. κυβίων δὲ μνημονεύει Ποσείδιππος ἐν Μεταφερομένῳ. Εὐθύδημος ἐν τῷ περὶ ταρίχων τὸν δελκανόν φησιν ἰχθὺν ὀνομάζεσθαι ἀπὸ Δέλκωνος τοῦ ποταμοῦ, ἀφ᾽ οὗπερ καὶ ἁλίσκεσθαι καὶ ταριχευόμενον εὐστομαχώτατον εἶναι. Δωρίων δ᾽ ἐν τῷ περὶ ἰχθύων τὸν [λεπτινὸν] λεβίαν ὀνομάζων φησὶ λέγειν τινὰς ὡς ὁ αὐτός ἐστι τῷ δελκανῷ, τόν τε κορακῖνον ὑπὸ πολλῶν λέγεσθαι σαπέρδην καὶ εἶναι κράτιστον τὸν ἐκ τῆς Μαιώτιδος λίμνης.
c θαυμαστοὺς δὲ εἶναι λέγει καὶ τοὺς περὶ Ἄβδηρα ἁλισκομένους κεστρεῖς, μεθ᾽ οὓς τοὺς περὶ Σινώπην, καὶ ταριχευομένους εὐστομάχους ὑπάρχειν. τοὺς δὲ προσαγορευομένους φησὶ μύλλους ὑπὸ μὲν τινῶν καλεῖσθαι ἀγνωτίδια, ὑπὸ δὲ τινῶν πλατιστάκους, ὄντας τοὺς αὐτούς, καθάπερ καὶ τὸν χελλαρίην· καὶ γὰρ καὶ τοῦτον ἕνα ὄντα ἰχθὺν πολλῶν ὀνομασιῶν τετυχηκέναι· καλεῖσθαι γὰρ καὶ βάκχον καὶ ὀνίσκον καὶ χελλαρίην. οἱ μὲν οὖν μείζονες αὐτῶν ὀνομάζονται πλατίστακοι, οἱ δὲ μέσην ἔχοντες ἡλικίαν μύλλοι, οἱ δὲ βαιοὶ τοῖς μεγέθεσιν ἀγνωτίδια. μνημονεύει δὲ τῶν
d μύλλων καὶ Ἀριστοφάνης ἐν Ὁλκάσι

Σκόμβροι, κολίαι, λέβιοι, μύλλοι, σαπέρδαι, θυννίδες.

88. Ἐπὶ τούτοις σιωπήσαντος τοῦ Διονυσιοκλέους ὁ

---

V. 18. ὃν om. BP. V. 19. ὁ χοῦς] ὄχους P. πηλαμύδας ACP. πηλαμίδας VL.

118 b. Ποσείδιππος] ποσίδιππος ABP. λεπτινὸν om. C, in quo postquam de delcano dictum est, sic pergitur, ᾧ τὸν αὐτόν φασιν εἶναι τὸν λεβιανὸν καλούμενον. λεβίαν Casaubonus. Libri λεβιανὸν. ὁ αὐτός L. ὁ om. PV. θαυμαστοὺς δὲ B. Legebatur θαυμαστούς τε.

118 c. τοὺς add. ABPV. om. L. μὲν τινῶν] Scribebatur μέν τινων. ἀγνωτίδια C. γνωτίδια PVL. δὲ τινῶν B. Scribebatur δέ τινων. πλατιστάκους] Scribebatur πλατιστακούς. Conf. ad VII. p. 308 f. πλασιακοὺς B. χελλαρίην] Legebatur χελλάρην. καὶ γὰρ καὶ B. Legebatur καὶ γάρ. χελλαρίην AB. χελλιρὴν PVL. In C oratione aliter conformata nominativo casu χελλαρίας. πλατίστακοι PV. πλατιστακοί L. δὲ τῶν] δ᾽ αὐτῶν B.

118 d. λέβιοι] Immo λεβίαι. διονυσοκλέους P.

γραμματικὸς ἔφη Οὔαρος, Ἀλλὰ μὴν καὶ Ἀντιφάνης ὁ ποιητὴς ἐν Δευκαλίωνι ταρίχων τῶνδε μέμνηται

Τάριχος ἀνταχαῖον εἴ τις βούλετ᾽ ἢ
Γαδειρικὸν, Βυζαντίας δὲ θυννίδος
ὀσμαῖσι χαίρει.

καὶ ἐν Παρασίτῳ

Τάριχος ἀνταχαῖον ἐν μέσῳ
πῖον, ὁλόλευκον, θερμόν.

e Νικόστρατός τε ἢ Φιλέταιρος ἐν Ἀντύλλῳ

Βυζάντιόν τε τέμαχος ἐπιβακχευσάτω
Γαδειρικόν θ᾽ ὑπογάστριον παρεισίτω.

καὶ προελθὼν

Ἀλλ᾽ ἐπριάμην παρ᾽ ἀνδρὸς, ὦ γῆ καὶ θεοὶ,
ταριχοπώλου πάνυ καλοῦ τε κἀγαθοῦ
τίλτον μέγιστον, ἄξιον δραχμῆς, δυοῖν
ὀβολοῖν, ὃν οὐκ ἂν καταφάγοιμεν ἡμερῶν
τριῶν κατεσθίοντες, οὐδὲ δώδεκα·
ὑπερμέγεθες γάρ ἐστιν.

f ἐπὶ τούτοις ὁ Οὐλπιανὸς ἀποβλέψας εἰς τὸν Πλούταρχον ἔφη, Μήποτ᾽ οὔτις ἐν τούτοις, ὦ οὗτος, τοὺς παρ᾽ ὑμῖν τοῖς Ἀλεξανδρεῦσι κατέλεξε Μενδησίους, ὧν οὐδ᾽ ἂν μαινόμενος κύων γεύσαιτο ἄν ποτε, ἢ τῶν καλῶν σου ἡμινή-
19 ρων, ἢ τῶν ταριχηρῶν σιλούρων. καὶ ὁ Πλούταρχος, Ὁ μὲν ἡμίνηρος, ἔφη, τί διαφέρει τοῦ προκαταλελεγμένου

---

οὔαρος ABP et Casauboniani libri quidam. οὔδρος VL. βούλετ᾽] Libri βούλεται. δὲ] τε Iacobsius p. 82. ὀσμαῖσι CVL. εὐφροσύναις ὀσμαῖσι ABP. ἀνταχαῖον om. B. πιονολόλευκον P.

118 e. Βυζάντιόν τε Schweigh. et Porsonus. Aberat τε. θ᾽] τε BP. προελθὼν] προσελθὼν BP. κἀγαθοῦ] καὶ ἀγαθοῦ AB. τίλτον L; τιλτὸν Schweigh. τίλτον A (qui accentu caret) BPV. ὃν οὐκ] ὃ γ᾽ οὐκ Casaubonus. τριῶν Schweigh. et Porsonus. Libri τριῶν ἤδη. οὐδὲ A. οὐ PVL. δώδεκα] Legebatur δώδεκά γ᾽. δώδεκά γε P. δέδωκά γε B.

118 f. μήποτ᾽ οὔτις] μήποτου τις B. οὔτις APV. οὖν τις L. τοὺς L. τὶς V. τοῖς ABP. τοῖς Ἀλεξανδρεῦσι] τοὺς τοῖς ἀλεξανδρεῦσι B. σου add. AB. om. PVL. ἡμινήρων ABP. ἡμινίρων VL. ἡμίνηρος ABP. ἡμίνιρος VL.
119 a. τί] γή (sic) A. προκαταλελεγμένου ABP. προκατειλε-

*ἡμιταρίχου, οὗ ὁ καλὸς ὑμῶν Ἀρχέστρατος μέμνηται; ἀλλ' ὅμως ὠνόμασεν ἡμίνηρον ὁ Πάφιος Σώπατρος ἐν Μυστάκου θητίῳ οὕτως*

*Ἐδέξατ' ἀνταπαῖον, ὃν τρέφει μέγας*
*Ἴστρος, Σκύθαισιν ἡμίνηρον ἡδονήν.*

*καὶ τὸν Μενδήσιον οὕτως ὁ αὐτὸς καταλέγει*

*Μενδήσιός θ' ὡραῖος ἀκρόπαστος εὖ*
*ξανθαῖσιν ὀπτὸς κέφαλος ἀκτῖσιν πυρός.*

*ταῦτα δὲ τὰ βρώματα ὅτι πολλῷ ἡδίω ἐστὶ τῶν παρὰ σοὶ*
b *περισπουδάστων κόττα καὶ λέπιδι οἱ πειραθέντες ἴσασι. λέγε οὖν ἡμῖν καὶ σὺ εἰ καὶ ἀρσενικῶς ὁ τάριχος λέγεται παρ' Ἀττικοῖς· παρὰ γὰρ Ἐπιχάρμῳ οἴδαμεν.*

89. *Ὃν ζητοῦντα προφθάσας ὁ Μυρτίλος ἔφη, Κρατῖνος μὲν ἐν Διονυσαλεξάνδρῳ*

*Ἐν σαργανίσιν ἄξω ταρίχους Ποντικούς.*

*Πλάτων Διὶ κακουμένῳ*

*Ὥσθ' ἅττ' ἔχω, ταῦτ' ἐστί· ταρίχους ἀπολέσω.*

*Ἀριστοφάνης Δαιταλεῦσιν*

c *Οὐκ αἰσχυνοῦμαι τὸν τάριχον τουτονὶ*
*πλύνων ἅπασιν ὅσα σύνοιδ' αὐτῷ κακά.*

*Κράτης Θηρίοις*

*Καὶ τῶν ῥαφάνων ἕψειν χρή,*
*ἰχθῦς τ' ὀπτᾶν τούς τε ταρίχους,*
*ἡμῖν δ' ἀπὸ χεῖρας ἔχεσθαι.*

*ἰδίως δ' ἐσχημάτισται παρ' Ἑρμίππῳ ἐν Ἀρτοπώλισι*

---

*γμένου* VL. *οὗ* addidit Casaubonus. *ἡμίνηρον* ABP. *ἡμίνηρον* VL. *Μυστάκου*] *Μυστακοῦ* IV. p. 175 c. Accentu caret P. *Ἐδέξατ' ἀνταπαῖον*] *δ' ἐξανταπαῖον* B. *θ' ὡραῖος*] *δ' ὡραῖος* B. *ἀκρόπαστος*] *αὐτὸς ἀκρόπαστος* P. *εὖ ξανθαῖσιν*] *εὐξανθέσιν* B. *εὐξάνθεσιν* P.

119 b. *κόττα* AB. *κόττας* PV. *κοττάνων* L. *λεπίδιον* V. *λεπιδίων* L. *λεπίδιοι* A (qui accentu caret) B. *λέπιδοι* P. Ego *λέπιδι* dedi. Vide ad IX. p. 385 a. *οἱ πειραθέντες* Casaubonus. Aberat *οἱ*, quod in scriptura librorum *λεπίδιοι* latet. *εἰ καὶ*] *εἴτε* P. *οἴδαμεν*] *οἴδασιν* P. *σαργανίσιν*] Scribebatur *σαργανοῖσιν*. *σαργάνοισιν* C. *Ἀριστοφάνης*] Grammaticus Hermanni p. 325.

119 c. *τουτονὶ* om. B. *πλύνων*] *πλύνων εἰπεῖν* C et grammaticus Hermanni. *σύνοιδ'*] *σύνιδ'* B. *αὐτῷ*] *αὑτῷ* Hermannus. *ἰχθῦς τ' ὀπτᾶν*] *καὶ ἰχθὺς ὀπτᾶν* B. *Ἀρτοπώλισι*] *ἀρτο-*

*Καὶ τάριχος πίονα.*
*Σοφοκλῆς τ' ἐν Φινεῖ*
*Νεκρὸς τάριχος εἰσορᾶν Αἰγύπτιος.*
*ὑποκοριστικῶς δ' εἴρηκεν Ἀριστοφάνης ἐν Εἰρήνῃ*
d *Ἀγόρασόν τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον.*
*καὶ Κηφισόδωρος ἐν Ὑΐ*
*Κρεάδιόν τι φαῦλον ἢ ταρίχιον.*
*Φερεκράτης ἐν Αὐτομόλοις*
*Ἡ γυνὴ δ' ἡμῶν ἑκάστῳ λέκιθον ἕψουσ' ἢ φακῆν*
*ἀναμένει καὶ σμικρὸν ὀπτῶσ' ὀρφανὸν ταρίχιον.*
*καὶ Ἐπίχαρμος δ' ἀρσενικῶς εἴρηκεν ὁ τάριχος. Ἡρόδοτος δ' ἐν ἐνάτῃ οὕτως „Οἱ τάριχοι ἐπὶ τῷ πυρὶ κείμενοι ἐπάλ-*
e *λοντο καὶ ἤσπαιρον.“ καὶ αἱ παροιμίαι δὲ κατὰ τὸ ἄρρεν λέγουσι*
*Τάριχος ὀπτὸς εὐθὺς ἂν ἴδῃ τὸ πῦρ.*
*Σαπρὸς τάριχος τὴν ὀρίγανον φιλεῖ.*
*Οὐκ ἂν πάθοι τάριχος ὤνπερ ἄξιος.*
*Ἀττικοὶ δὲ οὐδετέρως λέγουσι, καὶ γίνεται ἡ γενικὴ τοῦ ταρίχους. Χιωνίδης Πτωχοῖς*
*Ἆρ' ἂν φάγοιτ' ἂν καὶ ταρίχους, ὦ θεοί.*
*ἡ δὲ δοτικὴ ταρίχει, ὡς ξίφει*
*Ἐπὶ τῷ ταρίχει τῷδε τοίνυν κοπτέον.*
*καὶ ἐπὶ αἰτιατικῆς Μένανδρος Ἐπιτρέπουσιν*

---

πώλοισι B. τάριχος P. Scribebatur ταρῖχος. πίονα. Σοφοκλῆς] πῖον σοφοκλῆς B. Σοφοκλῆς — ἔφη add. ABL. om. PV. Φινεῖ] Fr. 3. p. 667. Εἰρήνῃ] V. 563.

119 d. Ἀγόρασον] ἀγορασείοντες Porsonus. ἐμπολήσαντες Aristophanes. Κηφισόδωρος] κηφισίδωρος B. Κρεάδιον] κεράδιον B. ἕψουσ' ἢ Iacobsius p. 83. Legebatur ἑψούσῃ. φακῆν] φακὴν P. Ἡρόδοτος] Grammaticus Hermanni p. 325. ἐνάτῃ (cap. 120.) V. ἐννάτῃ L. θ BP. ἤσπαιρον] ἤπαιρον B.

119 e. Σαπρὸς — φιλεῖ] P. 119 e. πάθοι] πεισθοῖ P. Χιωνίδης] χιονίδης C et grammaticus Hermanni p. 324. φάγοιτ' ἂν] φάγοιτε idem grammaticus. ἡ δὲ δοτικὴ — Μένανδρος] Legebatur καὶ ἐπὶ δοτικῆς, ἐπὶ τῷ τ. τ. τ. κοπτ. ἡ δὲ δοτικὴ ταρίχει ὡς ξίφει. Μένανδρος —. Correxit Schweigh. τῷδε τοίνυν] τοίνυν τῷδε C. κοπτέον PVL. κόπτετον AC. Μένανδρος] P. 66. ἐπιτρέπουσι A. τρέπουσιν PVL.

Ἐπέπασα
f ἐπὶ τὸ τάριχος ἅλας, ἐὰν οὕτω τύχῃ.

ὅτε δὲ ἀρσενικόν ἐστιν, ἡ γενικὴ οὐκέτι ἕξει τὸ σ.

90. Τοσαύτην δ' Ἀθηναῖοι σπουδὴν ἐποιοῦντο περὶ τὸ τάριχος ὡς καὶ πολίτας ἀναγράψαι τοὺς Χαιρεφίλου τοῦ ταριχοπώλου υἱούς, ὥς φησιν Ἄλεξις ἐν Ἐπιδαύρῳ οὕτως

Τοὺς Χαιρεφίλου δ' υἱεῖς Ἀθηναίους ὅτι
120 εἰσήγαγεν τάριχος, οὓς καὶ Τιμοκλῆς
ἰδὼν ἐπὶ τῶν ἵππων δύο σκόμβρους ἔφη
ἐν τοῖς σατύροις εἶναι.

μνημονεύει δ' αὐτῶν καὶ Ὑπερίδης ὁ ῥήτωρ. Εὐθύνου δὲ τοῦ ταριχοπώλου μέμνηται Ἀντιφάνης ἐν Κουρίδι οὕτως

Ἐλθών τε πρὸς τὸν τεμαχοπώλην περίμενε,
παρ' οὗ φέρειν εἴωθα, κἂν οὕτω τύχῃ
Εὔθυνος, * * ἀπολογίζων αὐτόθι
χρηστόν τι περίμεινον, κέλευσον μὴ τεμεῖν.

b Φειδίππου δέ, καὶ γὰρ οὗτος ταριχοπώλης, Ἄλεξις ἐν Ἱππίσκῳ κἀν Σωράκοις

Φείδιππος ἕτερός τις ταριχηγὸς ξένος.

91. Ἐσθιόντων δ' ἡμῶν τὸ τάριχος καὶ πολλῶν ὁρμὴν ἐχόντων ἐπὶ τὸ πιεῖν ὁ Δάφνος ἔφη ἀνατείνας τὼ χεῖρε, Ἡρακλείδης ὁ Ταραντῖνος, ἄνδρες φίλοι, ἐν τῷ ἐπιγραφομένῳ Συμποσίῳ φησὶ „Ληπτέον σύμμετρον τροφὴν πρὸ τοῦ πίνειν, καὶ μάλιστα τὰς εἰθισμένας προπαρατί-
c θεσθαι περιφοράς. ἐκ διαστήματος γὰρ εἰσφερομένας ἐναλ-

---

119 f. ἐπέπασα ABCP et Eustathius p. 73 extr. ἐπέπασ' VL. ἐπέτασα grammaticus Hermanni p. 325. ἐπιπάσω Hermannus. ἐὰν] Scribebatur ἄν. οὕτω τύχῃ] οὕτως τύχης B. ἀναγράψαι] ἀναγράψας B.

120 a. εἰσήγαγεν] Libri εἰσήγαγε. εἶναι. μνημονεύει] εἶναι μνημονεύειν B. δ' αὐτῶν P. Aberat δ'. Antiphanis fragmentum om. C. Κουρίδι] κούριδι P. V. 3. Indicavi lacunam. V. 4. μὴ τεμεῖν] μήτ' ἐμεῖν P.

120 b. Φειδίππου] φειδίππου B et infra φίδιππος. ἄλεξις ἐν ABP. ἄλεξις δ' ἐν VL. πιεῖν B. ποιεῖν A. πίνειν PVL. ἐν τῷ Basil. L. ἐπὶ τῷ ABPV. προπαρατίθεσθαι] προκατατίθεσθαι B.

120 c. διαστήματος] διαστόματος B.

λάττειν· τὰ ἀπὸ τοῦ οἴνου προσκαθίζοντα τῷ στομάχῳ καὶ δηγμῶν αἴτια καθιστάμενα. οἴονται δέ τινες ταῦτ' εἶναι καὶ κακοστόμαχα, λέγω δὴ λαχάνων καὶ ταρίχων γένη, δηκτικόν τι κεκτημένα, εὐθετεῖν δὲ τὰ κολλώδη καὶ ἐπιστύφοντα βρώματα, ἀγνοοῦντες ὅτι πολλὰ τῶν τὰς ἐκκρίσεις ποιούντων εὐλύτους ἐκ τῶν ἐναντίων εὐστόμαχα καθέστηκεν, ἐν οἷς ἐστι καὶ τὸ σίσαρον καλούμενον, οὗ μνημονεύει Ἐπίχαρμος ἐν Ἀγρωστίνῳ, ἐν Γᾷ καὶ Θαλάσσᾳ
d καὶ Διοκλῆς ἐν πρώτῳ Ὑγιεινῶν, ἀσπάραγος, τεῦτλον τὸ λευκόν, τὸ γὰρ μέλαν καθεκτικόν ἐστιν ἐκκρίσεων, κόγχαι, σωλῆνες, μύες θαλάττιοι, χῆμαι, κτένες, τάριχος τέλειος καὶ μὴ βρωμώδης καὶ ἰχθύων εὐχύλων γένη. προπαρατίθεσθαι δ' ἐστὶν ὠφέλιμον τὴν λεγομένην φυλλίδα καὶ τευτλίον, ἔτι δὲ τάριχος, εἰς τὰς ὁρμὰς εἰς ταῦτα * * μὴ ὁμοίως τῶν πολυτρόφων ἀπολαύειν. τὰς δὲ ἀθρόους ἐν ἀρχῇ πόσεις ἐκκλιτέον· δύσκλητοι γὰρ εἰς τὴν πλείονα τῶν ὑγρῶν προσφοράν. Μακεδόνες δ', ὥς φησιν Ἔφιπ-
e πος ὁ Ὀλύνθιος ἐν τῷ περὶ τῆς Ἀλεξάνδρου καὶ Ἡφαιστίωνος ταφῆς, οὐκ ἠπίσταντο πίνειν εὐτάκτως, ἀλλ' εὐθέως ἐχρῶντο μεγάλαις προπόσεσιν, ὥστε μεθύειν ἔτι παρακειμένων τῶν πρώτων τραπεζῶν καὶ μὴ δύνασθαι τῶν σιτίων ἀπολαύειν."

92. Δίφιλος δ' ὁ Σίφνιός φησι „Τὰ ταρίχη τὰ ἐκ τῶν θαλασσίων καὶ λιμναίων καὶ ποταμίων γινόμενά ἐστιν ὀλιγότροφα, ὀλιγόχυλα, καυσώδη, εὐκοίλια, ἐρεθιστικὰ ὀρέξεως. κράτιστα δὲ τῶν μὲν ἀπιόνων κύβια καὶ ὡραῖα καὶ τὰ τούτοις ὅμοια γένη, τῶν δὲ πιόνων τὰ θύννεια καὶ κορδύλη. τὰ δὲ παλαιὰ κρείσσονα καὶ δριμύτερα, καὶ μά-

---

εὐλύτους ἐκ τῶν ἐναντίων add. ABCL. om. PV. ἐν Γῇ] κἀν Γῇ Casaubonus. Γᾷ καὶ Θαλάσσᾳ] Scribebatur Γῇ καὶ Θαλάσσῃ.

120 d. τὸ γὰρ μέλαν] τὸ μέλαν γὰρ P. ἐκκρίσεων ABC et Casauboniani. ἐκκρίσεως PVL. βρωμώδης] Scribebatur βρομώδης. φυλλίδα] φιλλίδα P. εἰς τὰς ὁρμὰς] εἰς τὸ τὰς ὁρμὰς Casaubonus. Post ταῦτα indicavi lacunam, quam Casaubonus verbo ἀποπαύειν non recte explet. δύσκλητοι γὰρ εἰς τὴν ABCD et epitome Hoeschelii. δύσκλητον γὰρ εἰς τὴν P. δύσκλητον γὰρ εἰς VL.

120 e. ἠπίσταντο] ᾔδεισαν C. ἀπιόνων] ἀπιόντων BP.

120 f. θύννεια] Libri θυνναῖα. κρείσσονα] κρείττω C.

λιστα τὰ Βυζάντια. τὸ δὲ θύννειον, φησὶ, γίνεται ἐκ τῆς
μείζονος πηλαμύδος, ὧν τὸ μικρὸν ἀναλογεῖ τῷ κυβίῳ, ἐξ
οὗ γένους ἐστὶ καὶ τὸ ὡραῖον. ἡ δὲ σάρδα προσέοικε τῷ
121 κολίᾳ μεγέθει. ὁ δὲ σκόμβρος κοῦφος καὶ ταχέως ἀποχω-
ρῶν τοῦ στομάχου. ὁ κολίας δὲ σκιλλωδέστερος, δηκτικώ-
τερος καὶ κακοχυλότερος, τρόφιμος, κρείσσων δὲ ὁ Ἀμυ-
κλανὸς καὶ Ἱσπανὸς, ὁ Σαξιτανὸς λεγόμενος· λεπτότερος
γὰρ καὶ γλυκύτερος.“ Στράβων δ' ἐν τρίτῳ Γεωγραφικῶν
πρὸς ταῖς Ἡρακλέους φησὶ νήσοις κατὰ Καρχηδόνα τὴν
Καινὴν πόλιν εἶναι Σαξιτανίαν, ἐξ ἧς καὶ τὰ ταρίχη
ἐπωνύμως λέγεσθαι, καὶ ἄλλην Σκομβροαρίαν, ἀπὸ τῶν
ἁλισκομένων σκόμβρων, ἐξ ὧν τὸ ἄριστον σκευάζεσθαι
b γάρον. οἱ δὲ λεγόμενοι μελανδρύαι, ὧν καὶ Ἐπίχαρμος
μνημονεύει ἐν Αὐτομόλῳ Ὀδυσσεῖ οὕτως „Ποτιφόριμον
τὸ τέμαχος ἧς ὑπομελανδρυῶδες.“ μέλανδρυς δὲ τῶν μεγί-
στων θύννων εἶδός ἐστιν, ὡς Πάμφιλος ἐν τοῖς περὶ ὀνο-
μάτων παρίστησι, καὶ ἔστι τὰ τεμάχη αὐτοῦ λιπαρώτερα.

93. „Τὸ δὲ ὠμοτάριχον (φησὶν ὁ Δίφιλος) κήτημα τινὲς λέγουσι, καὶ ἔστι βαρὺ καὶ γλοιῶδες, προσέτι δὲ καὶ δύσπεπτον. ὁ δὲ ποτάμιος κορακῖνος, ὃν πέλτην τινὲς κα-

---

θύννειον C. Scribebatur θύννιον. πηλαμύδος ABP. πηλαμίδος VL. μικρὸν] μιαρὸν B. σάρδα] σάρκα BC.

121 a. κοῦφος C et epitome Hoeschelii. κούφως ABPVL. σκιλλωδέστερος C et epitome Hoeschelii et membranae Casauboni. κολλοσκιλλωδέστερος VL. (κολλωσκ— AP.) δηκτικώτερος PL. δεικτικώτερος V. καὶ om. C. κρείσσων — γλυκύτερος om. C. κρείσσων] κρίσσων P. Ἀμυκλανὸς] Scribebatur Ἀμύκλανος. Ἱσπανὸς] σπανὸς B, vere fortasse: vide ad VIII. p. 330 a. σαξιτανὸς ABP. σεξιτανὸς VL. τρίτῳ] P. 156. Casaub. Σαξιτανίαν Schweigh. Scribebatur Σεξιτανίαν. ἐξιτανίαν C. Ἐξιτανῶν πόλιν Strabonis codices. Σκομβροαρίαν] σκεμβρογαρίαν C. Σκομβραρίαν Strabo p. 159. in libris vulgatis: σκομβροαρίαν scripti multi.

121 b. Epicharmi verba om. C. ποτιφόριμον Casaubonus. ποτὶ φόριμον PVL. Accentibus caret A. ἧς AB. ἧν VL. ἧρ P. μέλανδρυς δὲ delebat Coraës ad Xenocratem p. 175. ἐν τοῖς περὶ B. Legebatur ἐν τῷ περὶ. ἐν περὶ P. Conf. p. 89 d. ὠμοτάριχον] ὠμοτάριχος C. φησὶν — καὶ ἔστι om. C. κήτημά τινες VL. κητεμετίνες AP. (A accentu caret.) κατ' ἐμὲ τινὲς B.

λοῦσιν, ὁ ἀπὸ τοῦ Νείλου, ὃν οἱ κατὰ τὴν Ἀλεξάνδρειαν
c ἰδίως ἡμίνηρον ὀνομάζουσιν, ὑποπίμελός μέν ἐστι καὶ ἥκιστα κακόχυλος, σαρκώδης, τρόφιμος, εὔπεπτος, εὐανάδοτος, κατὰ πάντα τοῦ μύλλου κρείσσων. τὰ μέντοι τῶν ἰχθύων καὶ τῶν ταρίχων ᾠὰ πάντα δύσπεπτα, δύσφθαρτα, μᾶλλον δὲ τὰ τῶν λιπαρωτέρων καὶ μειζόνων· σκληρότερα γὰρ μένει καὶ ἀδιαίρετα. γίνεται δὲ εὔστομα μεθ᾽ ἁλῶν σβεσθέντα καὶ ἐποπτηθέντα. πάντας δὲ χρὴ τοὺς ταρίχους πλύνειν, ἄχρι ἂν τὸ ὕδωρ ἄνοσμον καὶ γλυκὺ γένηται.
d ὁ δ᾽ ἐκ θαλάττης ἑψόμενος τάριχος γλυκύτερος γίνεται, θερμοί τε οἱ τάριχοι ἡδίονές εἰσιν.“ Μνησίθεος δ᾽ ὁ Ἀθηναῖος ἐν τῷ περὶ ἐδεσμάτων „Οἱ ἁλυκοὶ (φησὶ) καὶ γλυκεῖς χυμοὶ πάντες ὑπάγουσι τὰς κοιλίας· οἱ δ᾽ ὀξεῖς καὶ δριμεῖς λύουσι τὴν οὔρησιν· οἱ δὲ πικροὶ μᾶλλον μέν εἰσιν οὐρητικοὶ, λύουσι δ᾽ αὐτῶν ἔνιοι καὶ τὰς κοιλίας· οἱ δὲ στρυφνοὶ τὰς ἐκκρίσεις * *.“ Ξενοφῶν δὲ ὁ μουσικώτατος ἐν τῷ ἐπιγραφομένῳ Ἱέρωνι ἢ τυραννικῷ διαβάλλων τὰ τοιαῦτα βρώματά φησι „Τί γὰρ, ἔφη ὁ Ἱέρων, τὰ πολλὰ
e ταῦτα μηχανήματα κατανενοήκατε, ἃ παρατίθεται τοῖς τυράννοις; ὀξέα καὶ δριμέα καὶ στρυφνὰ καὶ τὰ τούτων ἀδελφά; Πάνυ μὲν οὖν, ἔφη ὁ Σιμωνίδης, καὶ πάνυ γέ μοι δοκοῦντα παρὰ φύσιν εἶναι ταῦτα ἀνθρώπῳ. Ἄλλο τι

---

ὃν — ὀνομάζουσι] ὃν οἱ ἀπὸ νείλου πέλτην καλοῦσιν, οἱ δὲ κατὰ ἀλεξάνδρειαν ἰδίως ἡμίνηρον C. ὁ ἀπὸ Schweigh. Libri οἱ ἀπὸ.

121 c. ὠιὰ A ut solet. ᾠὰ PVL. μεθ᾽ ἁλῶν] μετὰ ἁλῶν C. μετὰ ἄλων. VL. μετὰ ἄλλων AP. μετ᾽ ἄλλων B. χρὴ APV. δεῖ CL. ἄχρι AP. ἄχρις VL. ἕως C. ὁ δ᾽ ἐκ θαλάττης] ὁ δὲ ἐκ θαλάσσης B. γλυκύτερος] γλυκὺς C.

121 d. ἡδίονες εἰσίν] ἡδύονες εἰσί B. ἁλυκοὶ] ἁλικοὶ C. ὑπάγουσι τὰς κοιλίας] ὑπάγουσι τὴν κοιλίαν C. Vid. ad I. p. 32 d. ἔνιοι καὶ] καὶ ἔνιοι B. Post ἐκκρίσεις indicavi lacunam. ἴσχουσι add. Casaubonus. Ξενοφῶν] ὅτι ξενοφῶν ἐν τῷ ἐπιγραφομένῳ ἱέρωνι περὶ τῶν ποικίλων ἐδεσμάτων, καὶ ὀξέων καὶ δριμέων καὶ στρυφνῶν, φησὶν ὅτι κακῆς εἰσι καὶ ἀσθενούσης ψυχῆς ἐπιθυμήματα, ἐπεὶ οἵ γε ἡδέως ἔχοντες οὐδὲν προσδέονται τούτων τῶν σοφισμάτων C. Ἱέρωνι] I, 22. 23. βρώματα] χρώματα P.

121 e. κατανενοήκατε ABPV. κατανενόηκας Basil. L ex Xenophonte. γέ μοι Basil. L. γέ σοι BPV. ἀνθρώπῳ ABPV. ἀνθρώποις Basil. L. Ἄλλο τι] ἀλλ᾽ ὅτι P.

οἴει, ἔφη ὁ Ἱέρων, ταῦτα τὰ ἐδέσματα εἶναι ἢ μὴ διὰ κακῆς καὶ ἀσθενούσης ψυχῆς ἐπιθυμήματα; ἐπεὶ οἵ γε ἡδέως ἔσθοντες καὶ σύ που οἶσθα ὅτι οὐδὲν προσδέονται τούτων τῶν σοφισμάτων.“

94. Ἐπὶ τούτοις λεχθεῖσιν ὁ Κύνουλκος πιεῖν ᾔτησε δεκόκταν, δεῖν λέγων ἁλμυροὺς λόγους γλυκέσιν ἀποκλύζε-
f σθαι νάμασι. πρὸς ὃν ὁ Οὐλπιανὸς σχετλιάσας καὶ τύψας τῇ χειρὶ τὸ προσκεφάλαιον ἔφη, Μέχρι πότε βαρβαρίζοντες οὐ παύεσθε; ἢ ἕως ἂν καταλιπὼν τὸ συμπόσιον οἴχωμαι, πέττειν ὑμῶν τοὺς λόγους οὐ δυνάμενος; καὶ ὅς, Ἐν Ῥώμῃ τῇ βασιλευούσῃ διατρίβων τὰ νῦν ὦ λῷστ' ἐπιχωρίῳ κέχρημαι κατὰ τὴν συνήθειαν φωνῇ. καὶ γὰρ παρὰ τοῖς ἀρχαίοις ποιηταῖς καὶ συγγραφεῦσι τοῖς σφόδρα ἑλληνίζουσιν ἔστιν εὑρεῖν καὶ Περσικὰ ὀνόματα κείμενα, διὰ
122 τὴν τῆς χρήσεως συνήθειαν, ὡς τοὺς παρασάγγας καὶ τοὺς ἀγγάρους καὶ τὴν σχοῖνον ἢ τὸν σχοῖνον· μέτρον δ' ἐστὶ τοῦτο ὁδοῦ μέχρι νῦν οὕτω παρὰ πολλοῖς καλούμενον. μακεδονίζοντάς τ' οἶδα πολλοὺς τῶν Ἀττικῶν διὰ τὴν ἐπιμιξίαν. βέλτιον δ' ἦν μοι

αἷμα ταύρειον πιεῖν·
ὁ Θεμιστοκλέους γὰρ θάνατος αἱρετώτερος·

ἢ εἰς σὲ ἐμπεσεῖν. οὐ γὰρ ἂν εἴποιμι Ταύρειον ὕδωρ πιεῖν, ὅπερ σὺ οὐκ οἶσθα τί ἐστίν. οὐδὲ γὰρ ἐπίστασαι ὅτι καὶ παρὰ τοῖς ἀρίστοις τῶν ποιητῶν καὶ συγγραφέων εἴρηταί
b τινα καὶ φαῦλα. Κηφισόδωρος γοῦν ὁ Ἰσοκράτους τοῦ

---

ταῦτα τὰ L. τὰ om. BPV. ἢ μὴ διὰ κακῆς ABPV. ἢ νὴ Δία κακῆς Schweigh. ἢ μαλακῆς Xenophon. ἢ μὴ μαλακῆς Basil. L. ψυχῆς] τρυφῇ ψυχῆς Xenophon. ἔσθοντες APV. ἐσθίοντες Basil. L. δεκόκταν P. δικόκταν VL. δηϊκόκταν C. Conf. ad 122 e.

121 f. οἴχωμαι] οἴχομαι B. ἄχθομαι C. πέττειν ὑμῶν τοὺς λόγους ABC. πέπτειν ὑμῶν τοιούτους λόγους epitome Hoeschelii. πε τοὺς λόγους P. φέρειν τοιούτους λόγους VL. λῷστ' B. λῷστε VL.

122 a. ἀγγάρους aut ἀστάνδας Casaubonus. Libri ἀστάρους. Schweighaeuserus ἀστάνδας καὶ τοὺς ἀγγάρους. οὕτω] οὕτως P. αἷμα — αἱρετώτερος] Aristophanis verba Equit. v. 83. Omisit hunc locum C. γὰρ θάνατος Basil. L. δὲ θάνατος BPV. οἶσθα] οἶδας B.

ῥήτορος μαθητὴς ἐν τῷ τρίτῳ τῶν πρὸς Ἀριστοτέλην λέγει ὅτι εὕροι τις ἂν ὑπὸ τῶν ἄλλων ποιητῶν ἢ καὶ σοφιστῶν ἓν ἢ δύο γοῦν πονηρῶς εἰρημένα, οἷα παρὰ μὲν Ἀρχιλόχῳ τὸ πάντ' ἄνδρ' ἀποσκολύπτειν, Θεοδώρῳ δὲ τὸ κελεύειν μὲν πλέον ἔχειν, ἐπαινεῖν δὲ τὸ ἴσον, Εὐριπίδῃ τε τὸ τὴν γλῶτταν ὀμωμοκέναι φάναι, καὶ Σοφοκλεῖ τὸ ἐν Αἰθίοψιν εἰρημένον

c Τοιαῦτά τοί σοι πρὸς χάριν τε κοὐ βίᾳ
λέγω, σὺ δ' αὐτὸς ὥσπερ οἱ σοφοὶ τὰ μὲν
δίκαι' ἐπαίνει, τοῦ δὲ κερδαίνειν ἔχου.

καὶ ἀλλαχοῦ δ' ὁ αὐτὸς ἔφη μηδὲν εἶναι ῥῆμα σὺν κέρδει κακόν· Ὁμήρῳ δὲ τὸ τὴν Ἥραν ἐπιβουλεῦσαι τῷ Διὶ καὶ τὸν Ἄρη μοιχεύειν. ἐφ' οἷς πάντες κατηγοροῦσιν αὐτῶν.

95· Εἰ οὖν κἀγώ τι ἥμαρτον, ὦ καλλίστων ὀνομάτων καὶ ῥημάτων θηρευτά, μὴ χαλέπαινε. κατὰ γὰρ τὸν Μιλήσιον Τιμόθεον τὸν ποιητὴν

d Οὐκ ἀείδω τὰ παλαιά·
καινὰ γὰρ ἅμα κρείσσω.
νέος ὁ Ζεὺς βασιλεύει·
τὸ παλαιὸν δ' ἦν Κρόνος ἄρχων.
ἀπίτω μοῦσα παλαιά.

Ἀντιφάνης δ' ἐν Ἀλκήστιδι ἔφη

Ἐπὶ τὸ καινουργεῖν φέρου,
οὕτως, ἐκείνως, τοῦτο γιγνώσκων ὅτι
ἓν καινὸν ἐγχείρημα, κἂν τολμηρὸν ᾖ,

---

122 b. ἐν τῷ τρίτῳ] ἐν γ' B. ἢ καὶ] ἢ om. P. Ἀρχιλόχῳ] Fr. 26. p. 302. ἀποσκολύπτειν] ἀποσκολόπτειν AP. Εὐριπίδῃ] Hippolyt. v. 612. Εὐριπίδῃ Schweigh. Libri εὐριπίδην. σοφοκλῆς δὲ C. Αἰθίοψιν] Fr. 1. p. 591.

122 c. Τοιαῦτα — λέγω om. C. τοί σοι A. τοῖσι PVL. τε κοὐ PL. τε καὶ οὐ BV. σὺ δ' — ἔχου] Eustathius p. 752, 32. ὥσπερ] ὡς B. τοῦ δὲ] τὸ δὲ P. ἀλλαχοῦ] Electrae v. 61. ῥῆμα add. ACL et epitome Hoeschelii et Eustathius p. 752, 34. om. BPV. ἄρη PVL. ἄρην B.

122 d. καινὰ VL. καὶ τὰ ABP. ἅμα om. C et Eustathius p. 1422, 50. παλαιὸν] πάλαι Meinekius. ἀπίτω] ἀπείτω BP. δ' ἐν B. τ' ἐν VL. τε ἐν P. Ἐπὶ Casaubonus. Libri ἐπεὶ. φέρῃ οὕτως VL. φέρ' οὕτως (οὕτω P) ABP. hoc est φέρου οὕτως. ἐκείνως Hermannus ad Eurip. Alcest. p. XVII. Legebatur

πολλῶν παλαιῶν ἐστι χρησιμώτερον.

e ὅτι δὲ καὶ οἱ ἀρχαῖοι οἴδασι τὸ οὕτω λεγόμενον ὕδωρ, ἵνα μὴ πάλιν ἀγανακτήσῃς δεκόκταν μου λέγοντος, δείξω. κατὰ γὰρ τὸν Φερεκράτους Ψευδηρακλέα

Εἴποι τις ἂν τῶν πάνυ δοκησιδεξίων,
ἐγὼ δ' ἂν ἀντείποιμι, μὴ πολυπραγμόνει·
ἀλλ' εἰ δοκεῖ σοι, πρόσεχε τὸν νοῦν κἀκροῶ.

ἀλλὰ μὴ φθονήσῃς, ἔφη ὁ Οὐλπιανός, δέομαι, μηδὲ τοῦ Ταυρείου ὕδατος ὁποῖόν ἐστι δηλῶσαι. τῶν γὰρ τοιούτων φωνῶν ἐγὼ διψῶ. καὶ ὁ Κύνουλκος, Ἀλλὰ προπίνω σοι,
f ἔφη, φιλοτησίαν, διψᾷς γὰρ λόγων παρ' Ἀλέξιδος λαβὼν ἐκ Πυθαγοριζούσης

Ὕδατος ἀπέφθου κύαθον· ἂν δ' ὠμὸν πίῃ,
βαρὺ καὶ κοπῶδες.

τὸ δὲ Ταύρειον ὕδωρ ὠνόμασεν, ὦ φίλε, Σοφοκλῆς ἐν Αἰγεῖ, ἀπὸ τοῦ περὶ Τροιζῆνα ποταμοῦ Ταύρου, παρ' ᾧ καὶ κρήνη τις Ὑόεσσα καλεῖται.

123 96. Ἐπίστανται δ' οἱ παλαιοὶ καὶ τὸ πάνυ ψυχρὸν ὕδωρ ἐν ταῖς προπόσεσιν. ἀλλ' οὐκ ἐρῶ, ἐὰν μὴ καὶ σύ με διδάξῃς εἰ ἔπινον θερμὸν ὕδωρ ἐν ταῖς εὐωχίαις οἱ ἀρχαῖοι. εἰ γὰρ οἱ κρατῆρες ἀπὸ τοῦ συμβεβηκότος τῆς ὀνομασίας ἔτυχον, οὗτοί τε κερασθέντες παρέκειντο πλήρεις, οὐ ζέον τὸ ποτὸν παρεῖχον, λεβήτων τρόπον ὑποκαιόμενοι. ὅτι γὰρ οἴδασι θερμὸν ὕδωρ Εὔπολις μὲν ἐν Δήμοις παρίστησι

---

ἐκεῖνος. παλαιῶν ἐστι PVL. ἐστι παλαιῶν ABC et Eustathius p. 1422, 52.

122 e. δεκόκταν] Scribebatur δικόκταν. δηκόκταν P. Conf. ad 121 e. γὰρ ἐγὼ τοιούτων B.

122 f. προπίνω] προσπίνω B. λόγων] λόγον P. πίῃ VL. πίνῃ ABP. ὦ φίλε, Σοφοκλῆς PL. ὦ φίλε σοφόκλεις ABV. ἐν Αἰγεῖ ἀπὸ Casaubonus. ἐν γαι ἀπὸ B (qui γᾶι) PVL. ἐν γαι ἀπὸ A. Fr. 2. p. 590. In C post Antiphanis versus (122 d.) haec sequuntur, ὅτι ταύριον ὕδωρ φησὶ σοφοκλῆς ἀπὸ τοῦ περὶ τροιζῆνα ποταμοῦ ταύρου, παρ' ᾧ καὶ κρήνη τις ὑόεσσα καλεῖται. (Haec Eustathius excerpsit p. 881, 22.) τοιούτων φωνῶν ἐγὼ διψῶ· ταύτην μοι φιλοτησίαν πρόπινε.

123 a. οἱ παλαιοὶ] οἱ πάλαι B. De Eupolidis verbis haec habet C, θύη τινὰ πέττε, ἵνα σπλάγχνοισι συγγενώμεθα.

Τὸ χαλκίον
θερμαινέ θ᾽ ἡμῖν καὶ θύη πέττειν τινὰ
κέλευ᾽, ἵνα σπλάγχνοισι συγγενώμεθα.

b Ἀντιφάνης δ᾽ ἐν Ὀμφάλῃ

Ἐν χύτρᾳ δέ μοι
ὅπως ὕδωρ ἔφοντα μηδέν᾽ ὄψομαι.
οὐ γὰρ κακὸν ἔχω μηδ᾽ ἔχοιμ᾽. ἐὰν δ᾽ ἄρα
στρέφῃ με περὶ τὴν γαστέρ᾽ ἢ τὸν ὀμφαλόν,
παρὰ Φερτάτου δακτύλιός ἐστί μοι δραχμῆς.

ἐν δ᾽ Ἀλειπτρίᾳ, φέρεται τὸ δρᾶμα καὶ ὡς Ἀλέξιδος,

Ἐὰν δὲ τοὐργαστήριον ποιῆτε περιβόητον,
c καταςκεδῶ, νὴ τὴν φίλην Δήμητρα, τὴν μεγίστην
ἀρύταιναν ὑμῶν ἐκ μέσου βάψασα τοῦ λέβητος
ζέοντος ὕδατος· εἰ δὲ μή, μηδέποθ᾽ ὕδωρ πίοιμι
ἐλευθέριον.

Πλάτων δ᾽ ἐν τετάρτῳ Πολιτείας „— Ἐπιθυμία ἐν τῇ ψυχῇ εἴη. οἷον δίψα ἐστὶ δίψα ἆρά γε θερμοῦ ποτοῦ ἢ ψυχροῦ, ἢ πολλοῦ ἢ ὀλίγου, ἢ καὶ ἑνὶ λόγῳ ποιοῦ τινος πώματος; ἢ ἐὰν μέν τις θερμότης τῷ δίψει προσῇ, τὴν τοῦ ψυχροῦ ἐπιθυμίαν προσπαρέχοι ἄν, ἐὰν δὲ ψυχρότης,

---

V. 1. χαλκίον Casaubonus. χαλκίειον VL. χαλκεῖον ABP. V. 2. θέρμαινέ θ᾽ V. θερμαίνεθ᾽ L. θερμαίνεσθ᾽ P. Libri τινὰ πέττειν. Transposuit Casaubonus. κέλευ᾽] κέλευε ABP.

123 b. V. 2. μηδέν᾽ L. μηδένα ABP. μηδὲν V. V. 4. στρέφη με ἢ P. V. 5. ἐστί μοι δραχμῆς] ἐστ δραχμῆς B. ἀλειπτρίᾳ P. Ἀλεπτρίᾳ L. ἀλιπτρίᾳ ABV. φέρεται] φέρεται δὲ Koppiers. Observ. philol. p. 26. φέρεται τὸ om. P. Comici versus et locum Platonicum om. C. ποιῆτε] ποιῆται BP.

123 c. καταςκεδῶ] κατακερδῶ B. εἰ δὲ μή Piersonus ad Moerin p. 216. Aberat μή. πίοιμι] ποιμ᾽ BP. τετάρτῳ] πρώτῳ VL. ᾱω P. Πολιτείας] P. 437 d. ἐστὶ δίψα B. Scribebatur ἐστιν. δίψα —. ἆρά γε] Scribebatur ἄρα γε. ποτοῦ ἢ] ποτοῦ καὶ B. ψυχροῦ, ἢ πολλοῦ ἢ ὀλίγου L ex Platone. ψυχροῦ ὀλίγου BPV. Legebatur ἐν ὀλίγῳ in Athenaeo et Platone. Recte H. Stephanus ἑνὶ λόγῳ. Vide Platonem p. 439 a. μέν τις] μέν τι B. μέν τοι P. προσῇ ABPV. προσείη L ex editionibus veteribus Platonis. προσπαρέχοι] Corrige προσπαρέχοιν᾽ ex Platone.

d τὴν τοῦ θερμοῦ, ἐὰν δὲ διὰ πλήθους παρουσίαν πολλὴ ἡ δίψα ᾖ, τὴν τοῦ πολλοῦ παρέξεται, ἐὰν δὲ ὀλίγη, τὴν τοῦ ὀλίγου; αὐτὸ δὲ τὸ διψῆν οὐ μή ποτε ἄλλου γένηται ἐπιθυμία ἢ οὗπερ πέφυκεν, αὐτοῦ πώματος, καὶ αὖ τὸ πεινῆν, βρώματος;" Σῆμος δ' ὁ Δήλιος ἐν δευτέρῳ Νησιάδος ἐν Κιμώλῳ τῇ νήσῳ φησὶ ψυχεῖα κατεσκευάσθαι θέρους ὀρυκτά, ἔνθα χλιεροῦ ὕδατος πλήρη κεράμια καταθέντες κομίζονται χιόνος οὐδὲν διάφορα. τὸ δὲ χλιαρὸν e ὕδωρ Ἀθηναῖοι μετάκερας καλοῦσιν, ὡς Σώφιλος ἐν Ἀνδροκλεῖ. Ἄλεξις δ' ἐν Λοκροῖς

Αἱ δὲ παῖδες παρέχεον
ἡ μὲν τὸ θερμόν, ἡ δ' ἑτέρα τὸ μετάκερας.

καὶ Φιλήμων ἐν Κορινθίᾳ. Ἄμφις δ' ἐν Βαλανείῳ·

Ἀνεβόησ' ὕδωρ ἐνεγκεῖν θερμόν, ἄλλος μετάκερας.

97. Μέλλοντος δὲ τοῦ κυνικοῦ τούτοις ἐπισωρεύειν τινὰ ὁ Ποντιανὸς ἔφη, Οἴδασιν, ὦ φίλτατοι ἀνδρῶν, οἱ ἀρχαῖοι καὶ τὴν τοῦ πάνυ ψυχροῦ πόσιν. Ἄλεξις γοῦν ἐν Παρασίτῳ φησὶ

Καὶ γὰρ βούλομαι
ὕδατός σε γεῦσαι· πρᾶγμα δ' ἐστί μοι μέγα
f φρέατος ἔνδον ψυχρότερον Ἀραρότος.

ὀνομάζει δὲ καὶ Ἕρμιππος ἐν Κέρκωψι φρεατιαῖον ὕδωρ οὕτως. ὅτι δὲ καὶ χιόνας ἔπινον ἐν Μανδραγοριζομένῃ ἔφη Ἄλεξις

Εἶτ' οὐ περίεργόν ἐστιν ἄνθρωπος φυτὸν
ὑπεναντιωτάτοις τε πλείστοις χρώμενον;
ἐρῶμεν ἀλλοτρίων, παρορῶμεν συγγενεῖς·

---

123 d. πολλὴ ἡ L. πολλὴν ABPV. ᾖ, τὴν Plato. Libri ἢ ὅτι τήν. πώματος] Libri πόματος. αὖ τὸ πεινῆν Plato. αὐτὸ πεινῆν L. αὖ τοῦ πεινῆν AV. αὐτοῦ πεινῆν BP. σῆμος PVL. σήλιος ABC. ψυχεῖα BC et Casauboni membranae et Eustathius p. 866, 24: ψυχία PVL. χλιεροῦ ABCP et Casauboniani. χλιαροῦ VL. καταθέντες C. Legebatur καταθέντες ὕδατος. καθέντες Coraës. μετάκερας] II. p. 41 d.

123 e. Σώφιλος] σόφιλος C, qui Sophilo tribuit quae Alexidis sunt. τὸ μετάκερας Bentleius ad Philemon. p. 113. Aberat τὸ. Fort. ἑτέρα δὲ μετ. Φιλήμων] P. 360. Ἀνεβόησ'] Libri ἀνεβόησεν. Οἴδασιν] ᾔδεισαν C. φίλτατοι] φίλτατε B. μέγα Toupius Emend. vol. II. p. 142. μέτα VL. μετὰ P.

4 ἔχοντες οὐδὲν εὐποροῦμεν τοῖς πέλας·
ἐράνους φέροντες οὐ φέρομεν ἀλλ' ἢ κακῶς.
τὰχ τῆς τροφῆς δὲ τῆς καθ' ἡμέραν πάλιν,
γλιχόμεθα μὲν τὴν μᾶζαν ἵνα λευκὴ παρῇ,
ζωμὸν δὲ ταύτῃ μέλανα μηχανώμεθα.
τὸ καλὸν δὲ χρῶμα δευσοποιῷ χρώζομεν.
καὶ χιόνα μὲν πίνειν παρασκευάζομεν,
τὸ δ' ὄψον ἂν μὴ θερμὸν ᾖ, διασύρομεν.
καὶ τὸν μὲν ὀξὺν οἶνον ἐκπυτίζομεν,
ἐπὶ ταῖς ἀβυρτάκαισι δ' ἐκβακχεύομεν.
b οὐκοῦν, τὸ πολλοῖς τῶν σοφῶν εἰρημένον,
τὸ μὴ γενέσθαι μὲν κράτιστόν ἐστ' ἀεί,
ἐπὰν γένηται δ', ὡς τάχιστ' ἔχειν τέλος.

Δεξικράτης δ' ἐν τῷ ἐπιγραφομένῳ Ὑφ' ἑαυτῶν πλανώμενοι φησιν

Εἰ δὲ μεθύω, καὶ χιόνα πίνω, καὶ μύρον
ἐπὶ στόματος κράτιστον Αἴγυπτος ποιεῖ.

Εὐθυκλῆς δ' ἐν Ἀσώτοις ἢ Ἐπιστολῇ

Πρῶτος μὲν εἶδεν εἰ χιών ἐστ' ὠνία·
πρῶτον δ' ἐκεῖνον σχαδόνα δεῖ πάντας φαγεῖν.

c οἶδε δὲ καὶ ὁ καλὸς Ξενοφῶν ἐν Ἀπομνημονεύμασι τὴν διὰ χιόνος πόσιν. Χάρης δ' ὁ Μυτιληναῖος ἐν ταῖς περὶ Ἀλέξανδρον ἱστορίαις καὶ ὅπως δεῖ χιόνα διαφυλάττεσθαι εἴρηκε, διηγούμενος περὶ τῆς πολιορκίας τῆς ἐν Ἰνδοῖς πόλεως Πέτρας, ὀρύξαι φάσκων τὸν Ἀλέξανδρον ὀρύγματα τριάκοντα συχνά, ἃ πληρώσαντα χιόνος παρεμβαλεῖν δρυὸς

---

124 a. V. 4. — 6. οὐδὲν — ἡμέραν om. C. V. 5. ἐράνοις P. V. 6. τὰχ τῆς A. ἀκτῆς PVL. V. 7. μὲν add. Schweigh. editio. om. PVL. V. 9. Legebatur τῷ δευσοποιῷ. τῷ delevit Porsonus. V. 11. τὸ δ' ὄψον L, quod ex membranis se scripsisse ait Casaubonus. τὸ δ' (δὲ P) ὅλον ABCVP. ἂν] Scribebatur ἐὰν. V. 12. ἐκπυτίζομεν ABC. ἐκπιτίζομεν PVL.

124 b. Ὑφ' ἑαυτῶν πλανώμενοι] Inscriptionem fabulae ex hoc loco memorat Suidas in Δεξικράτης. Dexicratis, Euthyclis et Xenophontis loca om. C. Εἰ δὲ] Ἴδε Porsonus. Poterat Ἤδη. στόματος] στόματι B. Πρῶτος] πρῶτον BP. εἶδεν] οἶδεν P.

124 c. Ἀπομνημονεύμασι] II. 1, 30. διαφυλάττεσθαι P. διαφυλάσσεσθαι VL. τριάκοντα συχνὰ] συχνὰ τριάκοντα P.

κλάδους. οὕτω γὰρ παραμενεῖν πλείω χρόνον τὴν χιόνα.

98. Ὅτι δὲ καὶ τὸν οἶνον ἔψυχον ὑπὲρ τοῦ ψυχρότερον αὐτὸν πίνειν Στράττις φησὶν ἐν Ψυχασταῖς

d Οἶνον γὰρ πιεῖν
οὐδ' ἂν εἷς δέξαιτο θερμόν, ἀλλὰ πολὺ τοὐναντίον
ψυχόμενον ἐν τῷ φρέατι καὶ χιόνι μεμιγμένον.

καὶ ὁ Λύσιππος ἐν Βάκχαις

Ἕρμων, τί ἔστι; πῶς ἔχομεν; Β. τί δ' ἄλλο γ' ἢ
ὁ πατὴρ ἄνωθεν ἐς τὸ φρέαρ ἡμᾶς δοκεῖ·
ὥσπερ τὸν οἶνον τοῦ θέρους καθεικέναι.

Δίφιλος δ' ἐν Μνηματίῳ φησὶ „Ψῦξον τὸν οἶνον, Δῶρι."
Πρωταγορίδης δ' ἐν δευτέρῳ τῶν κωμικῶν ἱστοριῶν τὸν
e Ἀντιόχου τοῦ βασιλέως κατὰ τὸν ποταμὸν διηγούμενος πλοῦν λέγει τι καὶ περὶ ἐπιτεχνήσεως ψυχρῶν ὑδάτων ἐν τούτοις „Τὴν γὰρ ἡμέραν ἀνηλιάζοντες αὐτὸ τῆς νυκτὸς ἀπηθοῦντες τὸ παχύτατον τὸ λοιπὸν ἐξαιθριάζουσιν ἐν ὑδρίαις κεραμέαις ἐπὶ τῶν μετεωροτάτων μερῶν τῆς οἰκήσεως, δι' ὅλης τε τῆς νυκτὸς δύο παῖδες ὕδατι τὰ τεύχη καταρραίνουσιν. ὄρθρου δὲ καθαιροῦντες καὶ τὴν ὑποστάθμην πάλιν ὑποσπῶντες λεπτόν τε ποιοῦντες αὐτὸ καὶ
f πρὸς ὑγίειαν οἷον ἄριστον, ἐν ἀχύροις τιθέασι τὰς ὑδρίας, εἶθ' οὕτως χρῶνται, χιόνος οὐδ' ἡντινοῦν χρείαν ἔχοντες."
λακκαίου δὲ ὕδατος μνημονεύει Ἀναξίλας ἐν Αὐλητῇ οὕτως

Ὕδατός τε λακκαίου παρ' ἐμοῦ τουτί γέ σοι

---

στράττις PL. στράτις BV. Strattidis versus om. C.

124 d. οὐδ' ἂν εἷς AB. οὐκ ἂν εἷς V. οὐκ ἄν εἷς L. οὐ γὰρ εἷς P. καὶ χιόνι Porsonus. Aberat καί. Βάκχαις Casauboni editio secunda et Suidas in Λύσιππος. βάκχοις APVL. ἐς τὸ φρέαρ ABCP. ἐς τὸ φρεῖαρ VL. ἡμᾶς δοκεῖ Porsonus. μοὶ δοκεῖν A. τῷ δοκεῖν BP. μοι δοκεῖ C. μὴ δοκεῖ VL. μοι (ἐμοί) δοκεῖν — καθεῖκεν Schweigh. Ψῦξον] Scribebatur ψύξον. Affert haec Eustathius p. 866, 23. δωρι sine accentu A. δάρι P. δωρίων V. δωρίων CL.

124 e. αὐτὸ] ἀπὸ P. ἐξαιθριάζουσιν ἐν] ἐξαιθριάζουσι καὶ ἐν B. ὑδρίαις B. ὑδρείαις PVL. κεραμέαις] Scribebatur κεραμείαις. ὅλης τε τῆς AC. ὅλης δὲ τῆς B. ὅλης τῆς PVL. καταρραίνουσιν] καταρραίουσιν B.

124 f. ὑδρίας] Scribebatur ὑδρείας. Anaxilae verba om. C. τουτί γέ σοι] το τι γε σοι B. τό τί γε σοι P. σοι τουτογὶ Elmsleius in Auctario ad Acharn. v. 108.

νόμιζ' ὑπάρχειν.

25 καὶ πάλιν „Ἴσως τὸ λακκαῖόν γ' ὕδωρ ἀπόλωλε." ὁ Ἀπολλόδωρος δ' ὁ Γελῷος καὶ τοῦ λάκκου αὐτοῦ, ὥσπερ ἡμεῖς λέγομεν, μνημονεύει ἐν Ἀπολιπούσῃ οὕτως

Ἀγωνιῶσα τόν τε τοῦ λάκκου κάδον
λύσασα καὶ τὸν τοῦ φρέατος, εὐτρεπεῖς
τὰς ἱμονιὰς πεποίηκας.

99. Τούτων ὁ Μυρτίλος ἀκούσας ἔφη, Ἐγὼ δ' ὢν φιλοτάριχος, ὦ ἑταῖροι, χιόνος πιεῖν βούλομαι, κατὰ Σιμωνίδην. καὶ ὁ Οὐλπιανὸς, Κεῖται μὲν ὁ φιλοτάριχος, ἔφη παρ' Ἀντιφάνει ἐν Ὀμφάλῃ οὕτως

b Οὐ φιλοτάριχος οὐδαμῶς εἰμ' ὦ κόρη.

Ἄλεξις δ' ἐν Γυναικοκρατίᾳ καὶ ζωμοτάριχόν τινα κέκληκεν ἐν τούτοις

Ὁ δὲ Κίλιξ
ὅδ' Ἱπποκλῆς, ὁ ζωμοτάριχος ὑποκριτής.

τὸ δὲ κατὰ Σιμωνίδην τί ἐστιν οὐκ οἶδα. Οὐ γάρ μέλει σοι, ἔφη, ὁ Μυρτίλος, ἱστορίας, ὦ γάστρων. κνισολοῖχος γάρ τις εἶ καὶ κατὰ τὸν Σάμιον ποιητὴν Ἄσιον τὸν παc λαιὸν ἐκεῖνον καὶ κνισοκόλαξ. Καλλίστρατος ἐν ἑβδόμῳ Συμμίκτων φησὶν ὡς ἑστιώμενος παρά τισι Σιμωνίδης ὁ ποιητὴς κραταιοῦ καύματος ὥρᾳ καὶ τῶν οἰνοχόων τοῖς ἄλλοις μισγόντων εἰς τὸ ποτὸν χιόνος, αὐτῷ δὲ οὔ, ἀπεσχεδίασε τόδε τὸ ἐπίγραμμα

Τῇ ῥά ποτ' Οὐλύμποιο περὶ πλευρὰς ἐκάλυψεν
ὠκὺς ἀπὸ Θρῄκης ὀρνύμενος βορέης,

---

νόμιζε ὑπάρχειν AB. γένοιθ' ὑπάρχειν VL. γένοιτο ὑπάρχειν P.

125 a. ὁ ἀπολλόδωρος B et Schweigh. editio. ὁ om. PVL. Ἀπολιπούσῃ L. ἀπολειπούσῃ PV. τόν τε] τόνδε B. πεποίηκας] πεποίηκα Dalecampius. ἀντιφάνει AB. ἀντιφάνῃ PVL. om. C.

125 b. γυναικοκρατίᾳ ABP. γυναικοστρατίᾳ VL. κνισολοῖχος] κνισσολοιχὸς C hic et infra. κνισολοιχὸς Casaubonus. καὶ κατὰ Casaubonus. Aberat καὶ. καὶ — κνισοκόλαξ om. C. καὶ κνισοκόλαξ] καὶ delebat Casaubonus.

125 c. ὥρᾳ AC. ὥραν PVL. μισγόντων Basil. L. σμιγόντων BPV. οὔ] οὐκ B. ἐπίγραμμα] Fr. 101. p. 388. V. 1. Τῇ Casaubonus. Libri Τήν. V. 2. ὠκὺς] ὀξὺς Valckenarius ad Herodoti VIII, 118.

ἀνδρῶν δ' ἀχλαίνων ἔδακε φρένας, αὐτὰρ ἐκάμφθη
d ζωὴ Πιερίην γῆν ἐπιεσσαμένη,
ἔν τις ἐμοὶ καὶ τῆς χεέτω μέρος. οὐ γὰρ ἔοικε
θερμὴν βαστάζειν ἀνδρὶ φίλῳ πρόποσιν.

πιόντος οὖν αὐτοῦ πάλιν ἐζήτει ὁ Οὐλπιανὸς ποῦ κεῖται ὁ κνισολοῖχος καὶ τίνα ἐστὶ τὰ τοῦ Ἀσίου ἔπη τὰ περὶ τοῦ κνισοκόλακος. Τὰ μὲν οὖν τοῦ Ἀσίου, ἔφη ὁ Μυρτίλος, ἔπη ταῦτ' ἔστι

Χωλὸς, στιγματίης, πολυγήραος, ἶσος ἀλήτῃ,
ἦλθεν ὁ κνισοκόλαξ, εὖτε Μέλης ἐγάμει,
ἄκλητος, ζωμοῦ κεχρημένος· ἐν δὲ μέσοισιν
e ἥρως εἱστήκει βορβόρου ἐξαναδύς.

ὁ δὲ κνισολοῖχός ἐστι παρὰ μὲν Σωφίλῳ ἐν Φιλάρχῳ οὕτως

Ὀψοφάγος εἶ καὶ κνισολοῖχος.

ἐν δὲ τοῖς ἐπιγραφομένοις Συντρέχουσι κνισολοιχίαν εἴρηκεν ἐν τούτοις

Ὁ πορνοβοσκὸς γάρ μ' ὑπὸ κνισολοιχίας
χορδήν τιν' αἱματῖτιν αὐτῷ σκευάσαι
ἐκέλευσε ταυτηνί με.

f τοῦ κνισολοίχου δὲ καὶ Ἀντιφάνης μνημονεύει ἐν Βομβυλίῳ. ὅτι δ' ἔπινον καὶ γλυκὺν οἶνον μεταξὺ ἐσθίοντες Ἄλεξίς φησιν ἐν Δρωπίδῃ

Εἰσῆλθεν ἡ 'ταίρα φέρουσα τὸν γλυκὺν
ἐν ἀργυρῷ ποτηρίῳ πετάχνῳ τινὶ

---

V. 3. αὐτὰρ — ἔν τις om. C. ἐκάμφθη] ἐθρύφθη Porsonus ad Eurip. Phoeniss. 986.

125 d. V. 5. ἔν τις Schweigh. ἔν τις PVL. εν τῖς B. ἐμοὶ καὶ τῆς χεέτω AC. ἐμοὶ κατησχεέτω BP. ἔμοιγ' αὐτῆς χεέτω VL. ἔοικε] ἔοικες BP. ταῦτ' ἐστὶ B. ταῦτά ἐστι PVL. V. 1. ἶσος P. Scribebatur ἴσος. V. 2. ἦλθεν κν. B. ἦλθε κν. C. ἦλθεν ὁ κν. PVL. κνισοκόλαξ] κνισσοκόλαξ C.

125 e. φιλάρχῳ VL. φυλάρχῳ P. Conf. ad 100 a. ἐν δὲ τοῖς — τοῖν ῥυθμοῖν om. C. γάρ μ'] γάρ με BP. αἱματῖτιν ABP. αἱματιάτιν VL. ταυτηνὶ Schweigh. ταυτιὴν APVL. ταυτιή B. με B. ἐμέ PVL.

125 f. Βομβυλίῳ] Vide ad IV. p. 161 e. Δρωπίδῃ] δρωπείδῃ A. V. 1. ἡ ἑταίρα VL. ἡ ἑταῖρα P. V. 2. πετάχνῳ Casaubonus: vide XI. p. 496 a. πετάχμῳ AP et DQ apud Villebrunium. πενταχμῷ B. πενταδράχμῳ VL.

ἀστειοτάτῳ τὴν ὄψιν, οὔτε τρυβλίῳ
οὔτε φιάλῃ· μετεῖχε δ' ἀμφοῖν τοῖν ῥυθμοῖν.

100. Ἑξῆς ἐπεισηνέχθη πλακοῦς ἐκ γάλακτος ἰτρίων τε
26 καὶ μέλιτος, ὃν Ῥωμαῖοι λίβον καλοῦσι. καὶ ὁ Κύνουλκος ἔφη, Ἐμπίπλασο Οὐλπιανὲ χθωροδλάψου πατρίου, ὃς παρ' οὐδενὶ τῶν παλαιῶν μὰ τὴν Δήμητρα γέγραπται, πλὴν εἰ μὴ ἄρα παρὰ τοῖς τὰ Φοινικικὰ συγγεγραφόσι, Σουνιαίθωνι καὶ Μωχῷ τοῖς σοῖς πολίταις. καὶ ὁ Οὐλπιανός, Ἀλλ' ἐμοὶ μέν, ἔφη, ὦ κυνάμυια, μελιπήκτων ἅλις, ἡδέως δ' ἂν χόνδρου φάγοιμι τῶν ὀστρακίδων ἢ τῶν κοχκάλων ἀφθόνως ἔχοντος. καὶ κομισθέντος, Δότε, ἔφη, μυστίλην· οὐ γὰρ ἂν εἴποιμι μύστρον, παρ' οὐδενὶ τῶν πρὸ ἡμῶν
b εἰρημένον. Ἐπιλήσμων εἶ, ἔφη, ὦ θαυμάσιε, ὁ Αἰμιλιανός. οὐ σὺ μέντοι τὸν Κολοφώνιον Νίκανδρον ἀεὶ τεθαύμακας τὸν ἐποποιὸν ὡς φιλάρχαιον καὶ πολυμαθῆ, καὶ ὡς τὸ πεπέριον ὀνομάσαντα παρέθου; οὗτος τοίνυν αὐτὸς ἐν τῷ προτέρῳ τῶν Γεωργικῶν ἐμφανίζων τὴν τοῦ χόνδρου χρῆσιν καὶ μύστρον ὠνόμασε διὰ τούτων

Ἀλλ' ὁπότ' ἢ ἐρίφοιο νεοσφάγος, ἠέ κεν ἀρνός,
ἢ αὐτοῦ ὄρνιθος ἐφοπλίζῃαι ἐδωδήν,
χίδρα μὲν ἐκτρίψειας ὑποστρώσας ἐνὶ κοίλοις

---

τρυβλίῳ] τριβλίῳ B. μετεῖχε δ' A. μετεῖχε B. μετεῖχ' PVL. ἐπεισηνέχθη] ἐπισυνέχθη B.

126 a. χθωροδλάψου AB et D apud Villebrunium. χεβροδλάψου PVL. In C haec omissa. φοινικικὰ A. φοινικὰ PVL. Σουνιαίθωνι] Sanchoniathonis nomen restituendum esse apertum est monuitque Casaubonus. κυνάμυια A. κυνάμυα B. κυνόμυια PVL. ἡδέως δ' ] δ' om. B. ἢ τῶν] ἢ καὶ τῶν C. μυστίλην οὐ γὰρ A. μυστιλήνου οὐ γὰρ BPV. μυστιλλὴν οὐ γὰρ L. οὐδενὶ τῶν] οὐδενὶ δὲ τῶν ABPV. οὐδενί γε τῶν L.

126 b. Αἰμιλιανὸς L αἱμυλιανὸς B. αἱμιλιανὸς PV. τὸ πεπέριον] τὸ πέπερι Casaubonus. Fortasse τὸν πέπεριν. Vide ad II. p. 66 e. οὗτος APV. οὕτως L. διὰ τούτων] Fr. 1. p. 277.

V. 2. Legebatur ἐφοπλίζεσθαι. ἐφοπλίζειαι C. Quare ἐφοπλίζηαι reposui. V. 3. χίδρα ABCPV. χύδρα L. ἐκτρίψειας] εἰστρίψειας C. ὑποστρώσας Schneiderus. Legebatur ὑποστρώσας δ' ἐνὶ PL. ἐν V. ἐμοὶ B.

c ἄγγεσιν, εὐώδει δὲ μιγῆ ἅμα φῦρσον ἐλαίῳ.
ζωμὸν δὲ βρομέοντα καταντλὰς * * *
* * * * πνῖγε δὲ πῶμα
ἀμφιβαλών· φωκτὸν γὰρ ἀνοιδαίνει βαρὺ κρῖμνον.
ἠρέμα δὲ χλιάον κοίλοις ἐξαίνυσο μύστροις.

διὰ τούτων, ὦ θαυμασιώτατε, ὑπογράφει ὁ Νίκανδρος τὴν χρείαν τοῦ τε χόνδρου καὶ τῆς ἐπτισμένης κριθῆς, ἐπι-
d χεῖν κελεύων ἀρνὸς ἢ ἐρίφου ζωμὸν, ἢ ὄρνιθος. τὰ μὲν οὖν χίδρα, φησὶν, ἔκτριψον μὲν ἐν θυείᾳ, μίξας δ' ἔλαιον αὐτοῖς ἀναφύρασον ἡνίκ' ἂν ἕψηται. τὸν ἐκ τῆς τοιᾶσδε σκευῆς ἀναβρομοῦντα ζωμὸν πυκνότερον τῇ ζωμηρύσει καταμίγνυε, μηδ' ἕτερον ἐπεγχέων, ἀλλ' αὐτὸν ἀπ' αὐτοῦ ἀρυόμενος, πρὸς τὸ μηδὲν ὑπερζέσαι τοῦ πιμελεστέρου. διὸ καί φησι, κατάπνιγε τὸ ὑπερζέον, ἐπιθεὶς πῶμα· τὸ γὰρ κρῖμνον οὕτω φωκτὸν γινόμενον διοιδεῖ. τελευταῖον δὲ πρᾴως χλιαρὸν γενόμενον κοίλοις προσφέρου τοῖς μύστροις. ἀλλὰ μὴν καὶ Ἱππόλοχος ὁ Μακεδὼν ἐν τῇ πρὸς Λυγκέα
e ἐπιστολῇ, δι' ἧς ἐμφανίζει Μακεδονικόν τι δεῖπνον πολυτελείᾳ τὰ πάντα πανταχοῦ γενόμενα ὑπερβάλλον, μνημο-

---

126 c. V. 4. μιγῆ] μιγένθ' Schneiderus in lexico. V. 5 καταντλὰς (κατ' ἀντλὰς V) πνῖγε δὲ πῶμα VL. κατ' αὐτὰς ἔπνιγε δὲ πῶμα P. „*Scribe ac versum unum ex membranis adiice*

*Ζωμὸν δὲ βρομέοντα κατάντλασον αὐτὸν ἀπ' αὐτοῦ*
*ἀρυόμενος, ἵνα μηδὲν ὑπερζῇ· πνῖγε δὲ πῶμα* —"

Casaubonus. Qui non dubium est quin membranarum scripturae coniecturas suas adhibuerit; namque in BC sic scriptum, κατάντλασον αὐτὸν ἀπ' αὐτοῦ ἀρυόμενος, ἵνα μηδὲν ὑπερζέσῃ τοῦ πιμελώδους (— δου B)· πνῖγε δὲ πῶμα (πῶμ' B) —. Apparet additamenta illa, quibus carent APVL, ex paraphrasi petita esse. Ego, satis habui quae exciderunt verborum indicasse defectum. V. 8. δὲ C et epitome Hoeschelii. δ' ἐν AVL. ἠρέμα (ἠρέμα etiam V) δ' ἐγχλιάον P. χλιάον A (sine accentu) VL. λιαρὸν epitome Hoeschelii. χλιαρὸν Casaubonus. ἐξαίνυσο Bernardus apud Schneiderum. Legebatur ἐκδαίνεο. ἐξαίρεο C et epitome Hoeschelii. χρείαν] χρόαν C. τοῦ τε] τε om. P.

126 d. τὰ μὲν οὖν] Paraphrasin versuum Nicandri om. C. ἔκτριψον μὲν L. ἐκτρίψομεν BPV. ἐν θυείᾳ] ἐν om. P. τὸν ἐκ] τὸν δ' ἐκ Schweigh. ζωμηρύσει PL. ζωμηλύσει B. ζωμηρύσᾳ V. τὸ γὰρ Schweigh. Aberat γάρ. κρῖμνον] Scribebatur κριμνόν. Ἱππόλοχος] Vide IV. p. 128 a.

126 e. γενόμενα] γινόμενα B. ὑπερβάλλον AB. ὑπερβαλὸν PVL.

νεύει ὡς ἑκάστῳ τῶν δειπνούντων δοθέντων μύστρων χρυσῶν. ἐπεὶ δὲ φιλάρχαιος εἶναι θέλεις καὶ οὐδὲν φῂς φθέγξασθαι ὃ μὴ τῆς Ἀττικῆς ἐστι φωνῆς, ὦ φίλτατε, τί ἐστιν ὃ λέγει Νικοφῶν ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητὴς ἐν τοῖς Χειρογάστορσιν; ἐγὼ γὰρ καὶ τοῦτον εὑρίσκω μνημονεύοντα τῶν μύστρων ὅταν λέγῃ

Μεμβραδοπώλαις, ἀχραδοπώλαις,
ἰσχαδοπώλαις, διφθεροπώλαις,
ἀλφιτοπώλαις, μυστριοπώλαις,
f βιβλιοπώλαις, κοσκινοπώλαις,
ἐγχριδοπώλαις, σπερματοπώλαις.

τίνες γὰρ ἂν εἶεν οἱ μυστριοπῶλαι ἢ οἱ τὰ μύστρα πωλοῦντες; μαθὼν οὖν ἐκ τούτων, ὦ καλέ μου Συραττικέ, τὴν τοῦ μύστρου χρῆσιν ἐμφοροῦ τοῦ χόνδρου, ἵνα μὴ λέγῃς ἄκικυς εἰμὶ καὶ ὀλιγοδρανέω.

101. Τεθαύμακα δὲ καὶ πῶς οὐκ ἐζήτησας, ὁ δὲ χόν-
7 δρος πόθεν; Μεγαρόθεν, ἢ Θετταλικός; ὅθεν καὶ Μυρτίλος ἐστίν. καὶ ὁ Οὐλπιανὸς, Παύομαι, ἔφη, ἐσθίων, ἂν με διδάξῃς παρὰ τίσιν εἴρηνται οὗτοι οἱ χόνδροι. καὶ ὁ Αἰμιλιανὸς ἔφη, Ἀλλ' οὐ φθονήσω σοι. ὁρῶν γὰρ λαμπροτάτην δείπνου παρασκευὴν βούλομαί σε δίκην ἀλεκτρυόνος ἐμφορηθέντα τοῦ χόνδρου κορύξασθαι καὶ διδάσκειν ἡμᾶς περὶ ὧν μέλλομεν ἐδεσμάτων μεταλαμβάνειν. καὶ ὃς δυσχεράνας ἔφη, Πόθεν σοι καὶ τὰ ἐδέσματα; μὴ γὰρ
b ἀναπαύσασθαί ἐστι ζητοῦντα ἀεί τι πρὸς τοὺς ὀψιμαθεῖς τούτους σοφιστάς. Ἀλλὰ μὴν, ἔφη, καὶ περὶ τούτου σοι τὸν λόγον, ὁ Αἰμιλιανὸς, ἀποδώσω. λέξω δὲ πρῶτον περὶ τοῦ χόνδρου Ἀντιφάνους παρατιθέμενος ἐξ Ἀντείας τάδε

Ἐν ταῖς σπυρίσι δὲ τί ποτ' ἔνεστι, φίλτατε;
Β. ἐν ταῖς τρισὶν μὲν χόνδρος ἀγαθὸς Μεγαρικός.

---

ὁ τῆς ἀρχαίας] ὁ om. P. V. 1. ἀχραδοπώλαις Meinekius Quaest. Menand. p. 27. Legebatur ἀκρατοπώλαις.

126 f. V. 4. βυβλιοπώλαις P. V. 5. ἐγχριδοπώλαις ACL et epitome Hoeschelii. ἐκριδοπώλαις B. ἐγηνιδοπώλαις V. ἐγκνιδοπώλαις P. ὀλιγοδρανέω] ὀλιγοδρανέων Schweigh.

127 a. Αἰμιλιανὸς L. αἰμυλιανὸς B. et sic infra. αἰμιλιανὸς PV. καὶ τὰ ἐδέσματα; μὴ L. αἱ τῷ, μὴ V. καὶ τὰ μὴ P.

127 b. Antiphanis fragmentum om. C. ἔνεστι Meinekius p. 17. Legebatur ἐστὶ. ἐστὶν B. τρισὶν] Scribebatur τρισί.

Α. οὐ Θετταλικὸν τὸν χρηστὸν εἶναί φασι δέ;
Β. τῆς Φοινίκης
σεμίδαλις, ἐκ πολλῆς σφόδρ' ἐζητημένη.

c τὸ δ' αὐτὸ τοῦτο δρᾶμα φέρεται καὶ ὡς Ἀλέξιδος ἐν ὀλίγοις σφόδρα διαλλάττον. ἐν δὲ Πονήρᾳ πάλιν ὁ Ἄλεξις

Καὶ χόνδρος ἔνδον ἐστὶ Θετταλικὸς πολύς.

χόνδρον δὲ εἴρηκε τὸ ῥόφημα Ἀριστοφάνης ἐν Δαιταλεῦσιν οὕτως

Ἢ χόνδρον ἕψων, εἶτα μυῖαν ἐμβαλὼν
ἐδίδου ῥοφεῖν ἄν.

καὶ σεμιδάλεως δὲ μέμνηται, καὶ εἰ μὴ τὰ μαρτύρια κρατῶ, Στράττις ἐν Ἀνθρωπορραίστῃ καὶ Ἄλεξις ἐν Ἰσοστα-
d σίῳ. τὴν γενικὴν δὲ σεμιδάλιδος εἴρηκεν ὁ Στράττις ἐν τῷ αὐτῷ δράματι οὕτω

Τῶν δὲ διδύμων ἐκγόνων
σεμιδάλιδος.

τὰ δὲ ἐδέσματα ὠνόμασεν Ἀντιφάνης ἐν Διδύμοις οὑτωσὶ

Ἀπέλαυσα πολλῶν καὶ καλῶν ἐδεσμάτων,
πιών τε προπόσεις τρεῖς ἴσως ἢ τέτταρας
ἐστρηνίων πως, καταβεβρωκὼς σιτία
ἴσως ἐλεφάντων τεττάρων.

ἐχέτω τέλος καὶ ἥδε ἡ βίβλος ἐπὶ τοῖς λόγοις τοῖς περὶ
e τῶν ἐδεσμάτων ἔχουσα τὴν καταστροφήν. ἀρχὴν γὰρ τοῦ δείπνου ἀπὸ τῶν ἑξῆς ποιησόμεθα. Οὐ πρότερόν γε, ὦ Ἀθήναιε, πρὶν ἡμῖν διελθεῖν καὶ τὸ τοῦ Ἱππολόχου τὸ Μακεδονικὸν συμπόσιον. Ἀλλ' εἰ τοῦτό σοι φίλον, ὦ Τιμόκρατες, οὕτω παρασκευαζώμεθα.

---

Et ante et post Φοινίκης aliquid omisit. πολλῆς] πολλοῦ Coraës. σφόδρ'] Scribebatur σφόδρα. ἐζητημένη B. ἐξητημένη PVL. ἐξητημένη editio Casauboni secunda.

127 c. ἕψων] Scribebatur ἑψῶν. στράττις PL. κράττις B. στράτις V. Ἀνθρωπορραίστῃ] Scribebatur Ἀνθρωπορέστῃ. Ἀνθρωπορέστης etiam ab Suida haec fabula dicitur, sed Ἀνθρωπορραίστης scriptum in scholiis ad Eurip. Orest. 269. p. 329. Matth.

127 d. στράττις PL. στράτις V. οὕτω B. οὕτως PVL. V. 4. ἴσως] ἴσως καὶ B. ἐλεφάντων] ἐλεφάντινα C. τεττάρων] Quae sequuntur om. C. τέλος καὶ ἥδε AB. Aberat καί.

127 e. παρασκευαζώμεθα A. παρασκευαζόμεθα PVL.

# Δ

128 1. Ἱππόλοχος ὁ Μακεδών, ἑταῖρε Τιμόκρατες, τοῖς χρόνοις
μὲν γέγονε κατὰ Λυγκέα καὶ Δοῦριν τοὺς Σαμίους, Θεο-
φράστου δὲ τοῦ Ἐρεσίου μαθητάς, συνθήκας δ᾽ εἶχε ταύ-
τας πρὸς τὸν Λυγκέα, ὡς ἐκ τῶν αὐτοῦ μαθεῖν ἔστιν ἐπι-
στολῶν, πάντως αὐτῷ δηλοῦν εἴ τινι συμπεριενεχθείη δεί-
πνῳ πολυτελεῖ, τὰ ὅμοια κἀκείνου ἀντιπροπίνοντος αὐτῷ.
ἑκατέρων οὖν σώζονται δειπνητικαί τινες ἐπιστολαί· Λυγ-
b κέως μὲν τὸ Λαμίας, τῆς Ἀττικῆς αὐλητρίδος, ἐμφανίζον-
τος δεῖπνον Ἀθήνησι γενόμενον Δημητρίῳ τῷ βασιλεῖ, ἐπί-
κλην δὲ Πολιορκητῇ· ἐρωμένη δ᾽ ἦν ἡ Λάμια τοῦ Δη-
μητρίου· τοῦ δ᾽ Ἱππολόχου τοὺς Καράνου τοῦ Μακεδό-
νος ἐμφανίζοντος γάμους. καὶ ἄλλαις δὲ περιετύχομεν τοῦ
Λυγκέως ἐπιστολαῖς πρὸς τὸν αὐτὸν γεγραμμέναις Ἱππό-
λοχον δηλούσαις τό τε Ἀντιγόνου τοῦ βασιλέως δεῖπνον,
Ἀφροδίσια ἐπιτελοῦντος Ἀθήνησι, καὶ τὸ Πτολεμαίου τοῦ
βασιλέως. δώσομεν δέ σοι ἡμεῖς καὶ αὐτὰς τὰς ἐπιστολάς.
c ἐπεὶ δὲ ἡ τοῦ Ἱππολόχου σπανίως εὑρίσκεται, ἐπιδραμοῦ-
μαί σοι τὰ ἐν αὐτῇ γεγραμμένα διατριβῆς ἕνεκα νῦν καὶ
ψυχαγωγίας.

2. Ἐν Μακεδονίᾳ, ὡς ἔφην, τοῦ Καράνου γάμους
ἑστιῶντος οἱ μὲν συγκεκλημένοι ἄνδρες ἦσαν εἴκοσιν· οἷς
καὶ κατακλιθεῖσιν εὐθέως ἐδόθησαν φιάλαι ἀργυραῖ ἑκά-

---

**128 a.** *μαθητάς* Coraës ad Theophrast. p. IV. Libri *μαθητής*. *ὡς — ἐπιστολῶν* om. C. *μαθεῖν ἐστιν* AB. *ἐστὶ μαθεῖν* PVL. *εἴ τινι*] *εἴ τι* C. *δειπνιτικαὶ* B. *μὲν τὸ* L. *μὲν τοῦ* PV.

**128 b.** *γενόμενον* ACP. *γινόμενον* VL. *δ᾽ ἦν*] *δ᾽ οὖν* B. *Λάμια*] *λαμία* Ψ. *τοὺς Καράνου*] *τοῦ καράνου* P.

**128 c.** *εἴκοσιν*] Numerus iusto minor visus Casaubono.

στῳ μία δωρεά. προεστεφανώκει δὲ καὶ ἕκαστον πρὶν εἰσελθεῖν στλεγγίδι χρυσῇ, πέντε χρυσῶν ἑκάστη δ' ἦν τὸ
d τίμημα. ἐπεὶ δ' ἐξέπιον τὰς φιάλας, ἐν χαλκῷ πίνακι τῶν Κορινθίων κατασκευασμάτων ἄρτος ἑκάστῳ ἰσόπλατος ἐδόθη, ὄρνεις τε καὶ νῆσσαι, προσέτι δὲ καὶ φάτται καὶ χὴν καὶ τοιαύτη τις ἄλλη ἀφθονία σεσωρευμένη, καὶ ἕκαστος λαβὼν σὺν αὐτῷ πίνακι τοῖς κατόπιν διεδίδου παισίν. ἄλλα δ' ἐσθίειν περιεφέρετο πολλὰ καὶ ποικίλα. καὶ μετὰ ταῦτα ἀργυροῦς πίναξ ἕτερος, ἐφ' ᾧ πάλιν ἄρτος μέγας καὶ χῆνες καὶ λαγωοὶ καὶ ἔριφοι, καὶ ἕτεροι ἄρτοι πεπονημένοι καὶ περιστεραὶ καὶ τρυγόνες πέρδικές τε καὶ ὅσον ἄλλο
e πτηνῶν πλῆθος ἦν. „Ἐπεδώκαμεν οὖν (φησὶ) καὶ ταῦτα τοῖς δούλοις, καὶ ὡς ἄδην εἴχομεν βρώσεως, ἐχερνιψάμεθα. καὶ στέφανοι εἰσηνέχθησαν πολλοὶ παντοδαπῶν ἀνθέων, ἐπὶ πᾶσί τε χρυσαῖ στλεγγίδες ὁλκὴν ἴσαι τῷ πρώτῳ
129 στεφάνῳ.“ ἐπὶ δὲ τούτοις εἰπὼν ὁ Ἱππόλοχος ὡς Πρωτέας, ἀπόγονος ἐκείνου Πρωτέου, Λανίκης υἱοῦ, ἥτις ἐγεγόνει τροφὸς Ἀλεξάνδρου τοῦ βασιλέως, ἐπὶ πλεῖστον ἦν πολυπότης, ὡς καὶ ὁ πάππος αὐτοῦ Πρωτέας ὁ συγγενόμενος Ἀλεξάνδρῳ, καὶ ὅτι πᾶσι προὔπιεν, ἑξῆς γράφει καὶ ταῦτα

3. „Ἤδη δὲ ἡμῶν ἡδέως ἀπηλλοτριωμένων τοῦ σωφρονεῖν ἐπεισβάλλουσιν αὐλητρίδες καὶ μουσουργοὶ καὶ σαμβυκίστριαί τινες Ῥόδιαι, ἐμοὶ μὲν γυμναὶ δοκῶ, πλὴν ἔλεγόν τινες αὐτὰς ἔχειν χιτῶνας· ἀπαρξάμεναί τε ἀπῆλθον. καὶ ἐπεισῆλθον ἄλλαι φέρουσαι ληκύθους μύρου ἑκά-

---

δωρεά] „Melius MSS. δωρεάν.“ Casaub. προεστεφανώκει — ἕκαστον APV. προεστεφανώθη — ἕκαστος CL. πέντε χρυσῶν ἑκάστη δ' ἦν APV. πέντε δ' ἦν (δ' εἶναι C) χρυθῶν ἑκάστη CL. ἐξέπιον L. ἐξέπινον PV.

128 d. ἰσόπλατος L. ἰσόπλατυς PV. φάτται] φᾶτται PVL. παισὶν L. πᾶσιν APV. om. C.

128 e. εἰπὼν ὁ BP. Aberat ὁ.

129 a. Locum de Protea et nepote et avo om. C. Λανίκης Schweigh. λαννίκρης AVL. Λακίννης Casauboni editiones secunda et tertia. πρωτέου λακηνίκνησυοῦ ἥτις B. πρωτέου λακκνικνησυοῦ ἥτις P. υἱοῦ L. σοῦ V. ἦν Schweigh. Libri ἦν γάρ. ὡς καὶ Schweigh. Libri καὶ ὡς. προὔπιεν L. προυπιεῖν sive προὐπιεῖν ABPV. ἀπηλλοτριωμένων] ἀπηλλαγμένων epitome. γυμναὶ δοκῶ] δοκῶ γυμναὶ epitome. αὐτὰς accessit ex AC.

b στη δύο συνδεδεμένας ἱμᾶντι χρυσῷ, τὴν μὲν ἀργυρᾶν, τὴν δὲ χρυσῆν, κοτυλιαίας, καὶ ἑκάστῳ προσέδωκαν. ἔπειτ' εἰσφέρεται πλοῦτος ἀντὶ δείπνου, πίναξ ἀργυροῦς ἐπὶ πάχος οὐκ ὀλίγον περίχρυσος, ὅσος ὥστε δέξασθαι μέγεθος χοίρου τινὸς ὀπτοῦ καὶ σφόδρα μεγάλου, ὃς ὕπτιος ἐπέκειτο, τὴν γαστέρα δεικνὺς ἄνω πλήρη οὖσαν πολλῶν ἀγαθῶν· ἦσαν γὰρ ἐν αὐτῷ συνωπτημέναι κίχλαι καὶ μῆτραι
c καὶ συκαλλίδων πλῆθος ἄπειρον καὶ ᾠῶν ἐπικεχυμέναι λέκιθοι καὶ ὄστρεα καὶ κτένες· καὶ ἑκάστῳ πεπυρωμένος αὐτοῖς πίναξιν ἐδόθη. μετὰ δὲ ταῦτα πιόντες ἐλάβομεν ἕκαστος ἔριφον ζέοντα, ἐφ' ἑτέρῳ πάλιν πίνακι τοιούτῳ, σὺν μύστροις χρυσοῖς. ὁρῶν οὖν τὴν δυσχωρίαν ὁ Κάρανος κελεύει σπυρίδας ἡμῖν καὶ ἀρτοφόρα διὰ ἱμάντων ἐλεφαντίνων πεπλεγμένα δοθῆναι, ἐφ' οἷς ἡσθέντες ἀνεκροταλίσαμεν τὸν νυμφίον, ὡς καὶ τῶν δοθέντων ἡμῖν ἀνασεσωσμένων. ἔπειτα στέφανοι πάλιν καὶ διλήκυθον μύρου
d χρυσοῦν καὶ ἀργυροῦν ἰσόσταθμον τοῖς προτέροις. ἡσυχίας δὲ γενομένης ἐπεισβάλλουσιν ἡμῖν οἱ κἀν τοῖς Χύτροις τοῖς Ἀθήνησι λειτουργήσαντες. μεθ' οὓς εἰσῆλθον ἰθύφαλλοι καὶ σκληροπαῖκται, καί τινες καὶ θαυματουργοὶ γυναῖκες, εἰς ξίφη κυβιστῶσαι καὶ πῦρ ἐκ τοῦ στόματος ἐκριπίζουσαι γυμναί."

4. „Ἐπεὶ δὲ καὶ τούτων ἀπηλλάγημεν, ἐκλαμβάνει πάλιν ἡμᾶς θερμός τις καὶ ζωρότερος πότος, οἴνων ὄντων ἡμῖν Θασίων καὶ Μενδαίων καὶ Λεσβίων, χρυσίδων πάνυ μεγάλων ἑκάστῳ προσενεχθεισῶν. καὶ μετὰ τὸν πότον ὑε-

---

129 b. συνδεδεμέναι B. Scribebatur ἱμάντι. κοτυλιαίας Bas. L. κοτυλίαις ABPV. ἐπὶ πάχος] ἐπίπαχος AC. ὥστε om. C. ἐπέκειτο] ὑπέκειτο B. ἐπέκειτο correctus P, qui primum ὑπέκειτο habuisse videtur.

129 c. φῶν A. ὠῶν PVL. κτένες καὶ om. P. πεπυρωμένος L et epitome. πεπυρωμένα ABPV. φὺν add. L. om. PV. οὖν] γοῦν B. σπυρίδας] σπυράδας P. ἀνασεσωσμένων ABCPL. ἀνασεσεχμένων V. στέφανοι ABC. στέφανον PVL. πάλιν om. B. διλήκιθον B. διλίκιθον P. τοῖς προτέροις] τοῦ προτέρου C. Vid. 129 b.

120 d. σκληροπαίκται VL. „Scripta lectio τὸ λ non agnoscit." Casaub. σκληροπέκται ACP. σκηροπέκται B. ψηφοπαῖκται Casaubonus. πότος C. Scribebatur ποτός. πότον] ποτὴν AP.

λοῦς πίναξ δίπηχυς που τὴν διάμετρον ἐν θήκῃ κατακεί-
e μενος ἀργυρᾷ πλήρης ἰχθύων ὀπτῶν πάντα γένη συνηθροισμένων, ἅπασί τε προσεδόθη καὶ ἀργυροῦν ἀρτοφόρον ἄρτων Καππαδοκίων. ὧν τὰ μὲν ἐφάγομεν, τὰ δὲ τοῖς θεράπουσιν ἐπεδώκαμεν. καὶ νιψάμενοι τὰς χεῖρας ἐστεφανούμεθα, καὶ πάλιν στλεγγίδας ἐλάβομεν χρυσᾶς διπλασίους τῶν πρότερον καὶ ἄλλο διλήκυθον μύρου. ἡσυχίας δὲ γενομένης ἐξαλλόμενος τῆς κλίνης ὁ Πρωτέας αἰτεῖ σκύ-
f φον χοαῖον, καὶ πληρώσας οἴνου Θασίου ὀλίγον τ' ἐπιρράνας ὕδατος ἐξέπιεν ἐπειπὼν

Ὁ πλεῖστα πίνων πλεῖστα κεὐφρανθήσεται.

καὶ ὁ Κάρανος ἔφη, Ἐπεὶ πρῶτος ἔπιες, ἔχε πρῶτος καὶ τὸν σκύφον δῶρον· τοῦτο δὲ καὶ τοῖς ἄλλοις ὅσοι ἂν πίωσιν ἔσται γέρας. ἐφ' οἷς λεχθεῖσιν οἱ δ' ἐννέα πάντες ἀνέσταν, ἁρπάζοντες κἄλλος ἄλλον φθάνοντες. εἷς δὲ τῶν συνδειπνούντων ἡμῖν ἄθλιος οὐ δυνάμενος πιεῖν ἀνακαθίσας ἔκλαιεν, ἄσκυφος γενόμενος, καὶ ὁ Κάρανος αὐτῷ
130 χαρίζεται κενὸν τὸ ἔκπωμα. ἐπὶ τούτοις χορὸς εἰσῆλθεν ἀνθρώπων ἑκατὸν ἐμμελῶς ᾀδόντων γαμικὸν ὕμνον, μεθ' οὓς ὀρχηστρίδες διεσκευασμέναι τρόπον Νηρηίδων, αἱ δὲ Νυμφῶν."

5. „Τοῦ πότου δὲ προϊόντος καὶ τῆς ὥρας ὑποσκιαζούσης ἀναπεταννύουσι τὸν οἶκον, ἐν ᾧ κύκλῳ ὀθόναις διείληπτο πάντα λευκαῖς, καὶ ἀναπετασθεισῶν δᾷδες ἐφάνησαν λάθρᾳ κατὰ μηχανὰς σχασθέντων τῶν φραγμάτων καὶ Ἔρωτες καὶ Ἀρτέμιδες καὶ Πᾶνες καὶ Ἑρμαῖ καὶ τοιαῦτα πολλὰ εἴδωλα, ἀργυροῖς δᾳδουχοῦντα λαμπτῆρσι. θαυμαζόντων δ' ἡμῶν τὴν τεχνιτείαν Ἐρυμάνθιοι τῷ ὄντι

---

129 e. θήκῃ L et margo D. θίβῃ Q et Casauboniani. θηβῃ P. θίβῃ V. ἐπεδώκαμεν mea correctio: conf. 128 e. ἐπιδεδώκαμεν ABCD. ἀποδεδώκαμεν PQV. ὑπεδεδώκαμεν Bas. L. διλήκιθον B.
f χοαῖον CL et Casauboniani et Eustathius p. 1835, 22. χυαῖον APV. τ' B. τε PVL. om. Eustathius.

129 f. ἐπεὶ om. B. ἔχε] ἔσχε B. σκύφον] σκῦφον PVL. ὅσοι ἂν P. Legebatur ὅσοι ἐάν. οἱ δ' ἐννέα πάντες ἀνέσταν] Iliad. η, 161.

130 a. τρόπον] τύπον epitome Hoeschelii. πότου Casaubonus. Libri ποτοῦ. δὲ] δὴ A. διείληπτο] διείληπται B. σχασθέντων om. B. ἐρυμάνθιοι B. Scribebatur Ἐρυμάνθειοι.

b σύαγροι κατὰ πινάκων τετραγώνων χρυσομίτρων σιβύναις ἀργυραῖς διαπεπερονημένοι περιεφέροντο ἑκάστῳ. καὶ τὸ θαυμάσιον ὅτι παρειμένοι καὶ καρηβαροῦντες ὑπὸ τῆς μέθης, ὁπότε τι τῶν ἀγομένων θεασαίμεθα, πάντες ἐξενήφομεν, ὀρθοὶ τὸ δὴ λεγόμενον ἀνιστάμενοι. ἔναττον οὖν οἱ παῖδες εἰς τὰς εὐτυχεῖς σπυρίδας, ἕως ἐσάλπισε τὸ εἰωθὸς τοῦ τελευταίου δείπνου σημεῖον· οὕτω γὰρ τὸ Μακεδονικὸν οἶσθα ἔθος ἐν ταῖς πολυανθρώποις εὐωχίαις γινόμε-
c νον. καὶ ὁ Κάρανος ἄρξας πότου μικροῖς ἐκπώμασι περισοβεῖν ἐκέλευε τοῖς παισίν. ἐπίνομεν οὖν εὐμαρῶς, ὥσπερ ἀντίδοτον ἐκ τῆς προτέρας ἀκρατοποσίας λαμβάνοντες. ἐν τούτῳ δὲ ὁ γελωτοποιὸς εἰσῆλθε Μανδρογένης, ἐκείνου Στράτωνος τοῦ Ἀττικοῦ, ὥς φασιν, ἀπόγονος, καὶ πολλοὺς κατέρρηξεν ἡμῶν γέλωτας· καὶ μετὰ ταῦτα ὠρχεῖτο μετὰ τῆς γυναικὸς ἔτη ἤδη οὔσης ὑπὲρ τὰ ὀγδοήκοντα. καὶ τελευταῖαι ἐπεισῆλθον ἐπιδορπίαι τράπεζαι, τραγήματά τ' ἐν πλεκτοῖς ἐλεφαντίνοις ἐπεδόθη πᾶσι καὶ πλακοῦντες ἕκαστα γένη, Κρητικῶν καὶ τῶν σῶν, ἑταῖρε Λυγκεῦ, Σα-
d μιακῶν καὶ Ἀττικῶν αὐταῖς ταῖς ἰδίαις τῶν πεμμάτων θήκαις. μετὰ δὲ ταῦτ' ἐξαναστάντες ἀπηλλαττόμεθα νήφοντες νὴ τοὺς θεοὺς διὰ τὸν φόβον τοῦ πλούτου ὃν ἐλάβομεν. σὺ δὲ μόνον ἐν Ἀθήναις μένων εὐδαιμονίζεις τὰς Θεοφράστου θέσεις ἀκούων, θύμα καὶ εὔζωμα καὶ τοὺς καλοὺς ἐσθίων στρεπτούς, Λήναια καὶ Χύτρους θεωρῶν. ἡμεῖς δ' ἐκ τοῦ Καράνου δείπνου πλοῦτον ἀντὶ μερίδων εὐωχηθέντες νῦν ζητοῦμεν οἱ μὲν οἰκίας, οἱ δὲ ἀγρούς, οἱ δὲ ἀνδράποδ' ὠνήσασθαι."

---

130 b. σιβύναις AC. σικύναις BV. σιγύναις L. συκίναις P. διαπεπαιρονημένοι B. ἔναττον AC. ἔνατον PV. ἔννατον B. ἔκασεν L. εὐτυχεῖς] εὐτειχεῖς Coraës. γινόμενον] γενόμενον B.

130 c. πότου Casaubonus. Libri ποτοῦ. ἀκρατοποσίας L. ἀκρατοπωσίας PV. ὠρχεῖτο L. ὀρχεῖτο PV. τραγήματά τ' ἐν] τραγήματα τά τ' ἐν B. πλακοῦντες] πλακούντων Schweigh.

130 d. μόνον om. C. εὐδαιμονίζεις] ἑαυτὸν εὐδαιμονίζεις Casaubonus. θύμον καὶ εὔζωμον C. καὶ εὔζωμος ex membranis memoravit Casaubonus. Λήναια] λήνια B. ἀνδροποδωνήσασθαι B. ἀνδραποδωνήσασθαι P.

6. Εἰς ταῦτ᾽, ὦ ἑταῖρε Τιμόκρατες, ἀποβλέπων, τίνι συγκρῖναι ἔχεις τῶν Ἑλληνικῶν δείπνων τὸ προκείμενον τοῦτο συμπόσιον; ὁπότε καὶ Ἀντιφάνης ὁ κωμῳδιοποιὸς ἐν Οἰνομάῳ ἢ Πέλοπι διαπαίζων ἔφη

Τί δ᾽ ἂν Ἕλληνες μικροτράπεζοι,
φυλλοτρῶγες δράσειαν; ὅπου
τέτταρα λήψει κρέα μικρ᾽ ὀβολοῦ.
παρὰ δ᾽ ἡμετέροις προγόνοισιν ὅλους
f βοῦς ὤπτων, ὗς, ἐλάφους, ἄρνας·
τὸ τελευταῖον δ᾽ ὁ μάγειρος ὅλον
τέρας ὀπτήσας, μεγάλῳ βασιλεῖ
θερμὴν παρέθηκε κάμηλον.

ὁ Ἀριστοφάνης δ᾽ ἐν Ἀχαρνεῦσι καὶ αὐτὸς τῶν βαρβάρων ἐμφανίζων τὴν μεγαλειότητά φησιν

Εἶτ᾽ ἐξένιζε, παρετίθει θ᾽ ἡμῖν ὅλους
131 ἐκ κριβάνου βοῦς. B. καὶ τίς εἶδε πώποτε
βοῦς κριβανίτας; τῶν ἀλαζονευμάτων.
A. καὶ ναὶ μὰ Δί᾽ ὄρνιν τριπλάσιον Κλεωνύμου
παρέθηκεν ἡμῖν, ὄνομα δ᾽ ἦν αὐτῷ φέναξ.

Ἀναξανδρίδης δ᾽ ἐν Πρωτεσιλάῳ διασύρων τὸ τῶν Ἰφικράτους γάμων συμπόσιον, ὅτε ἤγετο τὴν Κότυος τοῦ Θρᾳκῶν βασιλέως θυγατέρα, φησὶ

7. Κἂν ταῦτα ποιῇς ὥσπερ φράζω,
λαμπροῖς δείπνοις δεξόμεθ᾽ ὑμᾶς,
οὐδὲν ὁμοίοις τοῖς Ἰφικράτους

---

130 e. κωμῳδιοποιὸς A. κωμῳδοποιὸς PVL. V. 2. φυλλοτρῶγες L „auctoribus libris chirographis“ et AC. φιλοτρῶγες BPV. V. 3. Scribebatur λήψῃ. μικρ᾽] Libri μικρὰ. V. 5. ὤπτων, σῦς Iacobsius p. 88. Libri ὀπτῶσιν.

130 f. V. 6. τέρας] τέτταρας B, quod etiam Casaubonus scriptum invenerat. ὁ ἀριστοφάνης ABP. ὁ om. VL. Ἀχαρνεῦσι] V. 85. μεγαλιότητα B. ἐξένιζεν BP. θ᾽ ἡμῖν BP. Legebatur δ᾽ ἡμῖν.

131 a. εἶδε B. εἶδεν PVL. πώποτε] ποτὲ B. αὐτῷ φέναξ] αὐτῷ om. P. Ἰφικράτους] ἰφικράτους B hic et infra. V. 1. 2. Κἂν — δείπνοις et alia plura, in quibus v. 5., om. C. V. 1: κἀνταῦθα P. V. 2. δεξόμεθ᾽ Wakefieldus Silv. crit. II. p. 89. δέχεθ᾽ VL. δέξεθ᾽ ABDP et Casauboniani. ὑμᾶς] ἡμᾶς Q apud Villebrunium. V. 3. ὁμοίοις Iacobsius p. 89. Legebatur ὁμοίως. ὁμοίους P. Ἰφικράτους] ἰφικράτει P. Conf. v. 31.

τοῖς ἐν Θρᾴκῃ· καίτοι φασὶν
b βυβακας αὐτὰ γενέσθαι·
κατὰ τὴν ἀγορὰν μὲν ὑπεστρῶσθαι
στρώμαθ᾽ ἁλουργῆ μέχρι τῆς ἄρκτου·
δειπνεῖν δ᾽ ἄνδρας βουτυροφάγας
αὐχμηροκόμας μυριοπληθεῖς·
τοὺς δὲ λέβητας χαλκοῦς εἶναι
μείζους λάκκων δωδεκακλίνων·
αὐτὸν δὲ Κότυν περιεζῶσθαι
ζωμόν τε φέρειν ἐν χοΐ χρυσῇ,
καὶ γευόμενον τῶν κρατήρων
πρότερον μεθύειν τῶν πινόντων.
αὐλεῖν δ᾽ αὐτοῖς Ἀντιγενείδαν,
Ἀργᾶν δ᾽ ᾄδειν, καὶ κιθαρίζειν
Κηφισόδοτον τὸν Ἀχαρνῆθεν·
c μέλπειν δ᾽ ᾠδαῖς
τοτὲ μὲν Σπάρτην τὴν εὐρύχορον,
τοτὲ δ᾽ αὖ Θήβας τὰς ἑπταπύλους
τὰς ἁρμονίας μεταβάλλειν.
φερνάς τε λαβεῖν δύο μὲν ξανθῶν
ἵππων ἀγέλας, αἰγῶν τ᾽ ἀγέλην,

---

V. 4. καίτοι] καὶ τοῖς BP. φασὶν A. φασὶ PVL.

131 b. V. 5. Vocem corruptam βύβακας praebuit A. βυβακάλους BDPQ. φιλοκάλως VL. Sensus verborum hic fuisse videtur, πάνυ καὶ καλὰ ταῦτα γενέσθαι. V. 6. μὲν ἀγορὰν B. V. 7. στρώμαθ᾽ ἁλουργῆ Wakefieldus et Schweigh. Libri στρώματα μὲν ἁλουργῆ. V. 8. βουτυροφάγους vir doctus in Edinburgh Review fasc. V. p. 191. βουτυροφάγας Dobraeus in Append. ad Aristophan. p. (130). βούτυρον φασ᾽ VL. βούτυρον φασὶν ABP. Veram scripturam mirum est non restituisse Casaubonum cuius haec annotatio est „*Planissime proba est lectio edita. Thracas poeta facit butyrophagos, cum in Graecia vix butyri adhuc esset usus cognitus, ut docemus alibi* (ad X. 447 d.).“ V. 9. μυριοπλήθεις P. V. 12. κότυν' PL. κόττυν C. κότην V. V. 13. Eustathius p. 1835, 20. et Philemo in χοεύς. χοὶ χρυσοῖ B. V. 16. Ἀντιγενείδαν Schweigh. Libri ἀντιγενίδαν.

131 c. V. 19. μέλπειν] πέμπειν BP. V. 20. εὐρύχωρον P et epitome Hoeschelii. V. 22. om. C. τὰς ἁρμονίας add. PL. om. V. V. 23. φρένας B. V. 24. ἀγέλας VL. ἀγέλην ABP.

χρυσοῦν τε σάκος,
* * φιάλην τε λεπαστὴν,
χιόνος τε πρόχουν, κέγχρων τε χύτραν,
βολβῶν τε σιρὸν δωδεκάπηχυν,
καὶ πουλυπόδων ἑκατόμβην.
ταῦτα μὲν οὕτως φασὶ ποιῆσαι
Κότυν ἐν Θρᾴκῃ, γάμον Ἰφικράτει.
τούτων δ᾽ ἔσται πολὺ σεμνότερον
καὶ λαμπρότερον παρὰ δεσποσύνοις
d τοῖς ἡμετέροις. τί γὰρ ἐκλείπει
δόμος ἡμέτερος ποίων ἀγαθῶν;
οὐ σμύρνης καὶ Συρίας ὀδμαὶ
λιβάνου τε πνοαὶ, τερενοχρῶτες
μαζῶν ὄψεις, ἄρτων, ἀμύλων,
πουλυποδείων, χολίκων, δημοῦ,
φυσκῶν, ζωμοῦ, τεύτλων, θρίων,
λεκίθου, σκορόδων, ἀφύης, σκόμβρων,
ἐνθρυμματίδων, πτισάνης, ἀθάρης,
κυάμων, λαθύρων, ὤχρων, δολίχων,
μέλιτος, τυροῦ, χορίων, πυρῶν,
καρύων, χόνδρου. κάραβοι ὀπτοὶ,
τευθίδες ὀπταὶ, κεστρεὺς ἑφθὸς,
σηπίαι ἑφθαὶ, μύραιν᾽ ἑφθὴ,
κωβιοὶ ἑφθοὶ, θυννίδες ὀπταὶ,
e φυκίδες ἑφθαὶ, βάτραχοι, πέρκαι,
συνόδοντες, ὄνοι, βατίδες, ψῆτται,

---

αἰγῶν τ᾽ (malim δ᾽) ἀγέλην addita ex AC. om. PVL. V. 26. Indicavi lacunam. φιάλην] φίλην AP. φιάλην τε λεπαστὴν χιόνος τε πρόχουν attulit Eustathius p. 1835, 21. et Philemo in χοεύς. V. 27. κέγχρων] κέρχνων AP. V. 28. δωδεκάπηχυν C. V. 29. Libri πολυπόδων. Correxit Schweigh. V. 30. ποιεῖσθαι B.

131 d. V. 36. καὶ om. C et epitome Hoeschelii. Hoc qui probat, ut probavit Casaubonus, οὐχὶ σμύρνης scribere debebit. V. 37. ποῖαι BPV. πνοῖαι L. πνοιαὶ Schweigh. ego πνοαὶ. V. 39. πουλυποδείων Schweigh. πολυποδείων PVL. πολυποδίων BC. χολίκων] κολλίκων BC. V. 43. ὄχρων C et Casaubonus. ὀχρῶν PVL. V. 44. πυρῶν] πυῶν vel πυοῦ Schweigh. ad VII. p. 311 d. V. 48. ὀπταὶ] ἑφθαὶ C.

γαλεὸς, κόκκυξ, θρίσσαι, νάρκαι,
ῥίνης τεμάχη, σχαδόνες, βότρυες,
σῦκα, πλακοῦντες, μῆλα, κράνειαι,
ῥόαι, ἕρπυλλος, μήκων, ἀχράδες,
κνῆκος, ἐλᾶαι, στέμφυλ᾽, ἄμητες,
πράσα, γήτειον, κρόμμυα, φυστή,
βολβοί, καυλοί, σίλφιον, ὄξος,
μάραθ᾽, ᾠά, φακῆ, τέττιγες, ὀποί,
κάρδαμα, σήσαμα, κήρυκες, ἅλες,
πίνναι, λεπάδες, μύες, ὄστρεια,
κτένες, ὄρκυνες· καὶ πρὸς τούτοις
ὀρνιθαρίων ἀφάτων πλῆθος,
νηττῶν, φαττῶν· χῆνες, στρουθοί,
κίχλαι, κόρυδοι, κίτται, κύκνοι,
πελεκὰν, κίγκλοι, γέρανος τουδὶ
τοῦ χάσκοντος διατειναμένη
διὰ τοῦ πρωκτοῦ καὶ τῶν πλευρῶν
διακόψειεν τὸ μέτωπον.
οἶνοι δέ σοι, λευκὸς,
γλυκὺς, αὐθιγενὴς, ἡδὺς καπνίας.

8. Λυγκεὺς δ᾽ ἐν Κενταύρῳ διαπαίζων τὰ Ἀττικὰ δεῖπνά φησι

Μάγειρ᾽, ὁ θύων ἐστὶν ὁ δειπνίζων τ᾽ ἐμὲ
Ῥόδιος, ἐγὼ δ᾽ ὁ κεκλημένος Περίνθιος.

---

131 e. V. 52. ῥίνης Schweigh. ῥείνης VL. ῥήνης P. V. 54. Scribebatur ῥοαί. ἕρπυλλος L. ἕρπυλλοι PV. μήκων add. L. om. PV. V. 55. ἐλαίαι P. V. 56. πράσα Schweigh. πρασὰ PVL. γήτειον] Legebatur γήτεια. κρόμια B. φυστὴ] Scribebatur φύστη. Ego Herodianum sequor: vid. schol. ad Aristoph. Vesp. 608. V. 58. μάραθ᾽, ᾠὰ A. μαραθῶα BPV. μάραθρον L. φακῆ] φάγοι B. φακὴ P. τέττιγες, ὀποὶ Meinekius ad Euphorion. p. 84. Legebatur τέττιγες ὀπτοί. V. 60. μύες, ὄστρεια Erfurdtius p. 450. Libri μῦες ὄστρεα. μῦς, ὄστρεια Schweigh. V. 61. ὄρκυνες P. V. 62. ἀφάτων] ἄφατον Schweigh.

131 f. V. 65. κίγκλοι PL. κίγηλοι V. τουδὶ Meinekius ad Euphorion. p. 85. Legebatur τουτουί. τουτὶ AP. V. 66. διατινομένου B. V. 68. διακόψειεν ABP. διακόψειε CVL. διακόψει᾽ ἂν nescio quis apud Meinekium ad Euphorion. p. 85. V. 69. οἶνοι ACP. οἶνος VL. οἶνος δ᾽ ἔσται λευκὸς, μαλακὸς Iacobsius p. 90.

οὐδέτερος ἡμῶν ἥδεται τοῖς Ἀττικοῖς
δείπνοις. ἀηδία γάρ ἐστιν Ἀττική,
132 ὥσπερ ξενική. παρέθηκε πίνακα γὰρ μέγαν,
ἔχοντα μικροὺς πέντε πινακίσκους ἐν οἷ.
τούτων ὁ μὲν ἔχει σκόροδον, ὁ δ' ἐχίνους δύο,
ὁ δὲ θρυμματίδα γλυκεῖαν, ὁ δὲ κόγχας δέκα,
ὁ δ' ἀντακαίου μικρόν. ἐν ὅσῳ δ' ἐσθίω,
ἕτερος ἐκεῖν', ἐν ὅσῳ δ' ἐκεῖνος, τοῦτ' ἐγὼ
ἠφάνισα. βούλομαι δέ γ', ὦ βέλτιστε σύ,
κἀκεῖνο καὶ τοῦτ', ἀλλ' ἀδύνατα βούλομαι·
b οὔτε στόματα γὰρ οὔτε χείλη πέντ' ἔχω.
ὄψιν μὲν οὖν ἔχει τὰ τοιαῦτα ποικίλην,
ἀλλ' οὐδέν ἐστι τοῦτο πρὸς τὴν γαστέρα·
κατέπλησα γὰρ τὸ χεῖλος, οὐκ ἐνέπλησα δέ.
τί οὖν ἔχεις; Β. ὄστρεια πολλά. Α. πίνακά μοι
τούτων παραθήσεις αὐτὸν ἐφ' ἑαυτοῦ μέγαν.
ἔχεις ἐχίνους; Β. ἕτερος ἔσται σοι πίναξ·
αὐτὸς γὰρ αὐτὸν ἐπριάμην ὀκτὼ ὀβολῶν.
Α. ὀψάριον αὐτὸ τοῦτο παραθήσεις μόνον,
ἵνα ταὐτὰ πάντες, μὴ τὸ μὲν ἐγώ, τὸ δ' ἕτερος.

c *Δρομέας* δ' ὁ παράσιτος ἐρωτήσαντός τινος αὐτόν, ὥς φησιν ὁ Δελφὸς Ἡγήσανδρος, πότερον ἐν ἄστει γίνεται βελτίω δεῖπνα ἢ ἐν Χαλκίδι, Τὸ προοίμιον, εἶπε, τῶν ἐν Χαλκίδι δείπνων χαριέστερον εἶναι τῆς ἐν ἄστει παρασκευῆς· τὸ πλῆθος τῶν ὀστρέων καὶ τὴν ποικιλίαν προοίμιον εἰπὼν δείπνου.

9. Δίφιλος δ' ἐν Ἀπολιπούσῃ μάγειρόν τινα παρά-

---

Lyncei v. 3. ἡμῶν] ἡμῶν δ'? V. 4. ἀηδία] εὐηθία C.

132 a. V. 6. οἷ] Legebatur οἷ. V. 9. ἀντακαῖον Valckenarius ad Herodoti IV, 53. V. 11. βούλομαι δέ γ', ὦ βέλτιστε σύ, κἀκεῖνο Schweigh. Libri βούλομαι δ' ἐγὼ βέλτιστε συγκαμεῖν. βούλομαι δέ γ', ὦ βέλτιστε σύ, καὶ τοῦτο κἄπτειν· ἀλλ' — Porsonus in Adversariis p. 294. V. 12. τοῦτο ἀλλ' ABCP. τοῦτό γ' ἀλλ' VL. ἀλλ' — ἔχω attulit Eustathius p. 261. extr.

132 b. V. 14. οὖν accessit ex C. V. 15. Scribebatur οὐθέν. τοῦτο] τούτων B. V. 17. ὄστρεια] ὄστρεα B. V. 19. πίναξ] πίνακας B. V. 20. 21. om. C. V. 20. γὰρ VL. δ' ABP. V. 22. ταῦτα P. μὴ om. P.

132 c. πότερον ἐν ἄστει] ἐν om. P. παρασκευῆς] διασκευῆς C et epitome Hoeschelii. ἀπολιπούσῃ B. ἀπολειπούσῃ PVL.

γων ποιεῖ τάδε λέγοντα

Πόσοι τὸ πλῆθός εἰσιν οἱ κεκλημένοι
d εἰς τοὺς γάμους, βέλτιστε, καὶ πότερ' Ἀττικοὶ
ἅπαντες, ἢ κἀκ τοὐμπορίου τινές; Β. τί δαὶ
τοῦτ' ἔστι πρὸς σὲ τὸν μάγειρον; Α. τῆς τέχνης
ἡγεμονία τίς ἐστιν αὐτῆς, ὦ πάτερ,
τὸ τῶν ἐδομένων τὰ στόματα προειδέναι.
οἷον Ῥοδίους κέκληκας· εἰσιοῦσι δὸς
εὐθὺς ἀπὸ θερμοῦ τὴν μεγάλην αὐτοῖς σπάσαι
ἀποζέσας σίλουρον ἢ λεβίαν, ἐφ' ᾧ
χαριεῖ πολὺ μᾶλλον ἢ μυρίνην προσεγχέας.
e Β. ἀστεῖον ὁ σιλουρισμός. Α. ἂν Βυζαντίους,
ἀψινθίῳ σπόδησον ὅσα γ' ἂν παρατιθῇς,
κἄθαλα ποιήσας πάντα κἀσκοροδισμένα.
διὰ γὰρ τὸ πλῆθος τῶν παρ' αὐτοῖς ἰχθύων
πάντες βλιχανώδεις εἰσὶ καὶ μεστοὶ λάπης.

Μένανδρος δ' ἐν Τροφωνίῳ

Ξένου τὸ δεῖπνόν ἐστιν ὑποδοχῆς. Β. τίνος;
ποδαποῦ; διαφέρει τῷ μαγείρῳ τοῦτο γάρ·
οἷον τὰ νησιωτικὰ ταυτὶ ξενύδρια
ἐν προσφάτοις ἰχθυδίοις τεθραμμένα
f καὶ παντοδαποῖς, τοῖς ἁλμίοις μὲν οὐ πάνυ
ἁλίσκετ', ἀλλ' οὕτως παρέργως ἅπτεται·

---

132 d. V. 3. ἅπαντες om. P. τοὐ 'μπορίου Schweigh. τοῦ ἐμπορείου AB. τοῦ εἰμπορίου VL. τοῦ 'μπορείου P. δαὶ A. δὲ PVL. V. 8. εὐθὺς] αὐτοῖς εὐθὺς B μεγάλην σπᾶσαι B. V. 9. ἀποζέσας] ἀποζεύξας C. λεσβίαν B. V. 10. χαρεῖ AP. χαριῇ VL. μυρρίνην C. μυρίνην B.

132 e. V. 12. σπόδησον] Legebatur σφοῖψ δεῦσον. υφοιη AB. σφοῖψ PVL. om. C. δεῦσον VL. δεῖξον CP. ὅσα γ' ἂν παρατιθῇς Casaubonus. ὅσ' (ὅς P) ἄγαν παρατίθης PVL. V. 13. ποιήσας Meinekius. ποιῆσαι ABP. ποίησαι V. ποίησον CL. κἀσκορ —] Libri καὶ ἐσκορ —. V. 15. βλιχανώδεις] βλιχώδεις Casaubonus. λάπης Schweigh. editio. λαπῆς PVL. Menandri versus om. C. Μένανδρος] P. 160. V. 3. τὰ Grotius in Excerptis p. 745. Libri τὰ μέν.

132 f. V. 6. Libri ἁλίσκεται.

τὰς δ' ὀνθυλεύσεις καὶ τὰ κεκαρυκευμένα
μᾶλλον προσεδέξατ'· Ἀρκαδικὸς τοὐναντίον
ἀθάλαττος ἐν τοῖς λοπαδίοις ἁλίσκεται·
Ἰωνικὸς πλούταξ, ὑποστάσεις ποιῶ,
κάνδαυλον, ὑποβινητιῶντα βρώματα.

10. Ἐχρῶντο γὰρ οἱ παλαιοὶ καὶ τοῖς εἰς ἀναστόμω-
133 σιν βρώμασιν, ὥσπερ ταῖς ἁλμάσιν ἐλάαις, ἃς κολυμβάδας καλοῦσιν. Ἀριστοφάνης γοῦν ἐν Γήρᾳ φησὶν „Ὦ πρεσβῦτα, πότερα φιλεῖς τὰς δρυπεπεῖς ἑταίρας, ἢ τὰς ὑποπαρθένους ἁλμάδας ὡς ἐλάας στιφράς;“ Φιλήμων δ' ἐν Μετιόντι ἢ Ζωμίῳ

Ἰχθὺς τί σοι
ἐφαίνεθ' ἑφθός; Β. μικρὸς ἦν· ἀκήκοας;
ἅλμῃ τε λευκῇ καὶ παχεῖ ὑπερβολῇ,
b κοὐχὶ λοπάδος προσῶζεν οὐδ' ἡδυσμάτων.
ἐβόων ἅπαντες ὡς ἀγαθὴν ἅλμην ποιεῖς.

ἤσθιον δὲ καὶ τέττιγας καὶ κερκώπας ἀναστομώσεως χάριν. Ἀριστοφάνης Ἀναγύρῳ

Πρὸς θεῶν, ἔραμαι τέττιγα φαγεῖν
καὶ κερκώπην θηρευσαμένη
καλάμῳ λεπτῷ.

---

V. 7. κεκαρυκευμένα P. Scribebatur κεκαρυκκευμένα. Quem scribendi modum sunt qui probent, veluti grammaticus Bekkeri p. 1386. V. 8. προσεδέξατ'· Ἀρκαδικὸς Bentleius. προσεδέξατ' χεται ἀρκαδικὸς AB. προσεδέξατο χέται ἀρκαδικὸς P. προσεδέξατ' εἰ δέ τις ἔρχεται ἀρκαδικὸς VL. V. 9. ἀθάλαττος] Scribebatur ἀθάλασσος. ἐν] ὢν Meinekius, si quid mutandum sit. V. 10. 11. XII. p. 517 a. V. 10. ποιῶ Coraës. Libri ποιῶν. V. 11. κάνδαυλον L ex 517. κάναυλον ABP. κᾶναυλον V. ὑποβεινητιῶντα A. ὑποβεινητιῶν τὰ BP.

133 a. ἐλάαις] ἐλαίαις P. πότερα] πότερον B. δρυπεπεῖς V. δρυπετεῖς CPL. Philemonis versus om. C. Φιλήμων] P. 369. V. 1. ἰχθῦς τί σοι B. ἰχθύς τις σοὶ VL. ἰχθὺς τίς σοι P. V. 2. μικρὸς] μιαρὸς Bentleius. V. 3. παχεῖς B. παχείᾳ P.

133 b. V. 5. ἐβόων AB. ἐβόων δ' Meinekius. ἐβόουν PVL. ἤσθιον AC. εἴσθιον PVL. κερκώπας C. κέρκωπας PVL. ἐρῷ A. ἐρᾷ P. ἐρᾷς CVL. ἔραμαι Porsonus. Euripides Hippol. v. 219.

πρὸς θεῶν, ἔραμαι κυσὶ θωΰξαι
καὶ παρὰ χαίταν ξανθὰν ῥῖψαι —.

ἔστι δ' ἡ κερκώπη ζῷον ὅμοιον τέττιγι καὶ τιγονίῳ, ὡς Σπεύσιππος παρίστησιν ἐν τετάρτῳ Ὁμοίων. μνημονεύει αὐτῶν Ἐπίλυκος ἐν Κωραλίσκῳ. Ἄλεξις ἐν Θράσωνί φησι

c Σοῦ δ' ἐγὼ λαλιστέραν
οὐπώποτ' εἶδον οὔτε κερκώπην, γύναι,
οὐ κίτταν, οὐκ ἀηδόν', οὔτε τρυγόν', οὐ
τέττιγα.

Νικόστρατος δ' ἐν Ἅβρᾳ

Πίναξ ὁ πρῶτος τῶν μεγάλων ἡγήσεται,
ἔχων ἐχῖνον, ὠμοτάριχον, κάππαριν,
θρυμματίδα, τέμαχος, βολβὸν ἐν ὑποτρίμματι.

11. Ὅτι δ' ἥσθιον διὰ τὴν ἀναστόμωσιν καὶ τὰς δι' ὄξους καὶ νάπυος γογγυλίδας σαφῶς παρίστησι Νίκαν-
d δρος ἐν δευτέρῳ Γεωργικῶν λέγων οὕτως

Γογγυλίδος δισσὴ γὰρ ἰδὲ ῥαφάνοιο γενέθλη,
μακρή τε στιφρή τε, φαίνεται ἐν πρασιῇσι.
καὶ τὰς μὲν θ' αὔηνον ἀποπλύνας βορέῃσι,
προσφιλέας χειμῶνι καὶ οἰκουροῖσιν ἀεργοῖς·
θερμοῖς δ' ἰκμανθεῖσαι ἀναζώουσ' ὑδάτεσσι.
τμῆγε δὲ γογγυλίδος ῥίζας καὶ ἀκαρφέα φλοιὸν

---

δ' ἡ] δὲ καὶ B    τιγονίῳ] Legebatur τρυγονίῳ. τριγονίῳ B et Eustathius p. 1282, 40.    τετάρτῳ] δ^ω P.    Ἐπίλυκος] Photius lex. p. 592, 11. τιττιγόνιον: ὅμοιον τέττιγι· Ἐπίλυκος Κωραλίσκῳ. Κοραλίσκον etiam Suidas dicit in Ἐπίλυκος. Vid. p. 140 a. et ad XIV. p. 650 e. XV. p. 691 c.

133 c. λαλιστέραν (λαλητέραν B) add. ABCL, epitome Hoeschelii et Eustathius. om. PV.    οὐπώποτ'] οὔποτ' B.    οὔτε Porsonus. Libri et Eustathius οὐ.    τρυγόν'] τριγόνα B.

ἄβρᾳ P. Scribebatur Ἄβρᾳ.    V. 1. ἡγήσεται] ἡγήσαται P. Fortasse ἡγήσατοι    ἥσθιον Schweigh. editio. εἴσθιον PVL.

133 d. Νίκανδρος] Fr. 3. p. 280. Eius versus om. C.
V. 1. 2. IX. p. 369 c.    V. 1. ἰδὲ Schneiderus. Libri ἰδ' ἐκ. δ' ἐκ vel τ' ἐκ 369.    V. 2. φαίνεται PL et 369. φαίνεται V.    πρασιῇσι] τρασιῇσι 369.    V. 3. θ' αὔηνον Schneiderus. θαιηνον A. θηνκιον B. θαύκων P. καύκωσον V. καύκοσον L. „In libris scriptum θαύκωνον vel θηνκῶον." Casaubonus.    ἀποπλύνας St. Bernardus apud Schneiderum et Schweighaeuserus. ἀποβλύνας

ἧκα καθηράμενος λεπτουργίας, ἠελίῳ δὲ
αὐήνας ἐπὶ τυτθὸν, ὅτ᾽ ἐν ζεστῷ ἀποβάπτων
e ὕδατι δριμείῃ πολέας ἐμβάπτισον ἅλμῃ,
ἄλλοτε δ᾽ αὖ λευκὸν γλεῦκος συστάμνισον ὄξει,
ἶσον ἴσῳ, τὰς δ᾽ ἐντὸς ἐπιστύψας ἀλὶ κρύψαις.
πολλάκι δ᾽ ἀσταφίδας προχέας τριπτῆρι λεήναις
σπέρματά τ᾽ ἐνδάκνοντα σινήπυος. εἰν ἑνὶ δὲ τρὺξ
ὄξεος, ἰκμάζουσα καὶ ὠμοτέρην ἐπὶ κόρσην.
ὥριον ἀλμαίην ἄμυσαι κεχρηόσι δαίτης.

f Δίφιλος δ᾽ ἢ Σώσιππος ἐν Ἀπολιπούσῃ

Ἔστιν ἔνδον ὄξος ὀξύ σοι.
ὑπολαμβάνω, παιδάριον, ὀπὸν εἰλήφαμεν.
ἄριστα τούτοις πάντα πιέσω καὶ πυκνά.
ἡ φυλλὰς ἡ δριμεῖα περιοισθήσεται·
τῶν πρεσβυτέρων γὰρ ταῦτα τῶν ἡδυσμάτων
ἀναστομοῖ τάχιστα τἀσθητήρια,
τό τε νωκαρῶδες καὶ κατημβλυωμένον
ἐσκέδασε κἀποίησεν ἡδέως φαγεῖν.

---

ABPQV. ἀποβλήνας L. V. 7. ἥελιος δὲ B. ἥελιος δὲ P.
V. 8. αὐήνας] Scribebatur αὐήνας.

133 e. V. 9. δριμείῃ πολέας Bernardus. δριμύα πόλεας B. δριμείη πόλεας P. δρυμένῃ πόλεας V. ἰδρυμένῃ πόλεας L. πολέας] „Fortasse πολλὰς scribendum.“ Schneider. ἅλμῃ] ἅλμην BP. V. 10. ἄλλοτε] ἀλλ᾽ ὅτε P. γλεῦκος] γλυκεῖ ABP. V. 11. ἐπιστείψας Schneiderus. V. 12. ἀσταφίδας Bernardus apud Schneiderum. Libri ἀσταφίδος. V. 13. σπέρματά τ᾽] σπύρματ᾽ (sic) B. σπέρματα — σινήπυος repetit IX. p. 366 d. σινήπιος P. εἰν ἑνὶ PVL. εἰ γ᾽ ἐνι B. εἴ γ᾽ ἔνι ex D attulit Villebrunius. V. 14. ἰκμάζουσα PL. ἰκμείζουσα V. Post hunc versum quaedam omisisse videntur. V. 15. ἄμυσαι PVL. ἄκυσαι B. ἄρυσαι Casaubonus.

133 f. Δίφιλος] φίλος B. ἀπολιπούσῃ B. ἀπολειπούσῃ PVL.
V. 1. ἔνδον Porsonus. ἐν δ᾽ PVL. V. 4. ἡ φυλλὰς ἡ Scaliger in Grotii Excerptis p. 992. ἢ φυλὰς ἢ PVL. δριμεῖα L et Scaliger. δριμὰ PV. περιοισθήσεται PL. περισεισθήσεται V. περισεισθήσεται Scaliger. V. 6. ἀναστομοῖ A. ἀναστομεῖ PVL. ἀναστομοῦται aliter conformata oratione C. Scribebatur ταἰσθητήρια. Vid. ad VIII. p. 346 a. V. 7. κατημβλιωμένον B. κατημβλυμμένον C.

134 12. Ἄλεξις δ' ἐν Ταραντίνοις ἐν τοῖς συμποσίοις φησὶ τοὺς Ἀττικοὺς καὶ ὀρχεῖσθαι ὑποπιόντας

Τοῦτο γὰρ νῦν ἔστι σοι
ἐν ταῖς Ἀθήναις ταῖς καλαῖς ἐπιχώριον·
ἅπαντες ὀρχοῦντ' εὐθὺς, ἂν οἴνου μόνον
ὀσμὴν ἴδωσι. Β. συμφορὰν λέγεις ἄρ' ἄν.
Α. φαίης ἂν εἰς συμπόσιον εἰσελθὼν ἄφνω.
καὶ τοῖς μὲν ἀγενείοις ἴσως ἔπεστί τις
χάρις· ἀλλ' ἐπὰν δὴ τὸν γόητα Θεόδοτον,
ἢ τὸν παραμασύντην ἴδω τὸν ἀνόσιον
b βαυκιζόμενον τὰ λευκά τ' ἀναβάλλονθ' ἅμα,
ἥδιστον ἀναπήξαιμ' ἂν αὐτὸν ἐπὶ τοῦ ξύλου λαβών.

μήποτε δὲ καὶ Ἀντιφάνης ἐν Καρσὶ κατὰ τὸ Ἀττικὸν ἔθος τῆς ὀρχήσεως κωμῳδεῖ τινα τῶν σοφῶν ὡς παρὰ δεῖπνον ὀρχούμενον λέγων οὕτως

Οὐχ ὁρᾷς ὀρχούμενον
ταῖς χερσὶ τὸν βάκηλον; οὐδ' αἰσχύνεται
ὁ τὸν Ἡράκλειτον πᾶσιν ἐξηγούμενος,
ὁ τὴν Θεοδέκτου μόνος ἀνευρηκὼς τέχνην,
c ὁ τὰ κεφάλαια συγγράφων Εὐριπίδῃ.

τούτοις οὐδ' ἀναρμόστως ἄν τις ἐπενέγκαι τὰ Ἐρίφῳ τῷ κωμικῷ ἐν Αἰόλῳ εἰρημένα τάδε

Λόγος γάρ ἐστ' ἀρχαῖος οὐ κακῶς ἔχων·
οἶνον λέγουσι τοὺς γέροντας, ὦ πάτερ,
πείθειν χορεύειν οὐ θέλοντας.

---

134 a. V. 1. νῦν ἔστι σοι] ἐστί σοι νῦν B. V. 3. εἰθὺς CL et epitome Hoeschelii. εὐθέως AB. V. 4. ἴδωσιν] ἴσχωσιν C. συμφορὰν σέ γ' εἰσορῶν φαίης ἂν Casaubonus. Quod leniore mutatione consequi licebat, Β. συμφορὰν λέγεις ὁρῶν. Α. φαίης ἂν —. V. 5. φαίης libri scripti omnes. φαίνῃς VL. ἐλθὼν B. V. 6. τις] τίς σοι AB. τις σοι P. V. 8. παραμασύντην om. cum lacuna C. ἴδω CL. ἰδὼν ABPV.

134 b. V. 9. om. epitome. βαυκιζόμενον Casaubonus. Libri καυκιζόμενον. τὰ λευκά τ' ἀναβάλλονθ' Iacobsius p. 93. Libri τὰ λευκὰ τὸν ἄβαλλον θ'. V. 10. ἥδιστον om. epitome. ἐπὶ τοῦ ξύλου λαβὼν novi versus initium esse videntur. Antiphanis v. 2. οὐδ'] οὐκ B.

134 c. V. 2. οἶνον L. οἷον PV. V. 3. οὐ θέλοντας] οὐκ ἐθέλοντας Eustathius p. 1770, 8.

Ἄλεξις δ᾽ ἐν τῷ ἐπιγραφομένῳ Ἰσοστάσιόν φησιν·

Ἀπὸ συμβολῶν ἔπινον ὀρχεῖσθαι μόνον
βλέποντες, ἄλλο δ᾽ οὐδέν· ὄψων ὀνόματα
d καὶ σιτίων ἔχοντες, ὄψων, κάραβος
καὶ κωβιὸς, σεμίδαλις.

13. Ἀττικὸν δὲ δεῖπνον οὐκ ἀχαρίστως διαγράφει Μάτρων ὁ παρῳδὸς, ὅπερ διὰ τὸ σπάνιον οὐκ ἂν ὀκνήσαιμι ὑμῖν, ἄνδρες φίλοι, ὁ Πλούταρχος ἔφη, ἀπομνημονεῦσαι

Δεῖπνα μοι ἔννεπε Μοῦσα πολύτροφα καὶ μάλα πολλὰ,
ἃ Ξενοκλῆς ῥήτωρ ἐν Ἀθήναις δείπνισεν ἡμᾶς·
e ἦλθον γὰρ κἀκεῖσε, πολὺς δέ μοι ἕσπετο λιμός.
οὗ δὴ καλλίστους ἄρτους ἴδον ἠδὲ μεγίστους,
λευκοτέρους χιόνος, ἔσθειν δ᾽ ἀμύλοισιν ὁμοίους·
τάων καὶ Βορέης ἠράσσατο πεσσομενάων.
αὐτὸς δὲ Ξενοκλῆς ἐπεπωλεῖτο στίχας ἀνδρῶν,
στῆ δ᾽ ἄρ᾽ ἐπ᾽ οὐδὸν ἰών. σχεδόθεν δέ οἱ ἦν παράσιτος
Χαιρεφόων, πεινῶντι λάρῳ ὄρνιθι ἐοικὼς,
f νήστης, ἀλλοτρίων εὖ εἰδὼς δειπνοσυνάων.
τῷ δὲ μάγειροι μὲν φόρεον πλῆσάν τε τραπέζας,
οἷς ἐπιτετράφαται μέγας οὐρανὸς ὀπτανιάων,
ἠμὲν ἐπισπεῦσαι δείπνου χρόνον ἠδ᾽ ἀναμεῖναι.
ἔνθ᾽ ἄλλοι πάντες λαχάνοις ἐπὶ χεῖρας ἴαλλον·
ἀλλ᾽ ἐγὼ οὐ πιθόμην, ἀλλ᾽ ἤσθιον εἴδατα πάντα,
135 βολβοὺς ἀσπάραγόν τε καὶ ὄστρεα μυελόεντα,
ὠμοτάριχον ἐῶν χαίρειν, Φοινίκιον ὄψον.

---

Alexidis versus om. C

134 d. V. 3. ὄψων ADP. ὄψον VL. V. 4. σεμίδαλις] Legebatur καὶ σεμίδαλις. Matronis versus in parodorum fragmenta recepit H. Stephanus p. 111. (ad calcem Homeri et Hesiodi certaminis a. 1573. editi) et in Analecta Brunckius vol. II. p. 245.
V. 1. Eustathius p. 1382, 61. V. 2. δείπνησεν B.

134 e. V. 5. ἐσθίειν ABCP. V. 6. πεσσομενάων BCP. πεττομενάων V. πεπτομενάων L. πέττων editum v. 103. V. 8. 9. Eustathius.

134 f. V. 10. νήστης] νῆστις C et Eustathius p. 1382, 62. V. 12. ἐπιτετράφαται memoriae errore ex Il. β, 25. 62. (ᾧ λαοί τ᾽ ἐπιτετράφαται) illatum videtur. Schweigh. ἐπιτέτραπται ex Il. ε, 750. θ, 394. τῆς ἐπιτέτραπται μέγας οὐρανὸς Οὔλυμπός τε. ὀπτανιάων B.
V. 15. ἤσθιον C. εἴσθιον PVL.

αὐτὰρ ἐχίνους ῥῖψα καρηκομόωντας ἀκάνθαις·
οἱ δὲ κυλινδόμενοι καναχὴν ἔχον ἐν ποσὶ παίδων
ἐν καθαρῷ, ὅθι κύματ' ἐπ' ἠιόνος κλύζεσκε·
πολλὰς δ' ἐκ κεφαλῆς προθελύμνους εἷλκον ἀκάνθας.
ἡ δὲ Φαληρικὴ ἦλθ' ἀφύη, Τρίτωνος ἑταίρη,
ἄντα παρειάων σχομένη ῥυπαρὰ κρήδεμνα.
b τοὺς δ' ὁ Κύκλωψ ἐφίλει καὶ ἐν οὔρεσιν ἐξεπεφύκει
πίννας ἦλθε φέρων καὶ ἄμυλα ἠχήεντα,
ἃς κατὰ φυκότριχος πέτρης λευκὸν τρέφει ὕδωρ.
ψῆττά τε χονδροφυὴς καὶ τρίγλη μιλτοπάρῃος.
τῇ δ' ἐγὼ ἐν πρώτοις ἐπέχον κρατερώνυχα χεῖρα,
οὐδ' ἔφθην τρώσας νιν, ἄασε δὲ Φοῖβος Ἀπόλλων.
ὡς δὲ ἴδον Στρατοκλῆ, κρατερὸν μήστωρα φόβοιο,
c τρίγλης ἱπποδάμοιο κάρη μετὰ χερσὶν ἔχοντα,
ἄψ δ' ἑλόμην χάρμῃ, λαιμὸν δ' ἄπληστον ἄμυξα.
ἦλθε δὲ Νηρῆος θυγάτηρ, Θέτις ἀργυρόπεζα,
σηπίη εὐπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα·
ἡ μόνη ἰχθὺς ἐοῦσα τὸ λευκὸν καὶ μέλαν οἶδε.
καὶ Τιτυὸν εἶδον λίμνης ἐρικυδέα γόγγρον,
κείμενον ἐν λοπάδεσσ'· ὁ δ' ἐπ' ἐννέα κεῖτο τραπέζας.

---

135 a. V. 18. καρ. ἀκ. Eustathius p. 1382, 62. V. 20. ὅθι] ὅτι P.

135 b. V. 24. ἐφίλει ABCP. φίλει VL. V. 25. πίννας] πίνας A ut solet. Ante hunc versum aliqua exciderint necesse est. Pinnas qui attulisse dicitur est ὁ μάγειρος, ut v. 81. 82. ἄμυλα] ἀμύλα A. V. 26. ἃς] οὓς C. κατὰ φυκότριχος Scaliger. καταφυγότριχος (— υχος B) VL. κατὰ φυγότριχος P. V. 27. τρίγλη μιλτοπάρῃος] Eustathius p. 1382, 63. V. 28. τῇ δ' Schweigh. editio. τῇ γ' PVL. τῇδ' B. ἐπέχων P. V. 29. ἔφθην Scaliger. ἐφθὴν PVL. ἐφθὴν B. τρώσας PVL. τρώγειν BC et epitome Hoeschelii. τρώξας Schweigh. νιν, ἄασε δὲ Iacobsius ad Antholog. Palat. vol. III. p. 900. μιν, ἄασε δὲ Scaliger. ἵνα εἴασε PVL. ἵνα om. C cum lacuna. V. 30. ὡς δ' εἶδον VL. ὡς ἴδον ABCP. Aut hic scribendum ὡς δὲ ἴδον, aut v. 116. ὡς δ' εἶδον.

135 c. V. 31. κάρη CL et epitome Hoeschelii. κακῆς ABPV. V. 32. λαιμὸν L et epitome Hoeschelii. λιμὸν V. λοιμὸν P. ἄμυξα] ἄλυξα Scaliger, qui λιμὸν servavit. V. 35. ἰχθὺς οὖσα B. V. 36. εἶδον] ἴδον P. λίμνης] λίνθης BP. V. 37. λοπάδεσσιν P.

τῷ δὲ μετ᾽ ἴχνια βαῖνε θεὰ λευκώλενος ἰχθὺς
d ἔγχελυς, ἣ Διὸς εὔχετ᾽ ἐν ἀγκοίνῃσι μιγῆναι
ἐν κοιτῶν᾽, ὅθεν ἐγχέλεων γένος ἀγροτεράων·
παμμεγέθης, ἣν οὔ κε δύ᾽ ἀνέρες ἀθλητῆρες,
οἷοι ἄρ᾽ Ἀστυάναξ τε καὶ Ἀντήνωρ ἐγένοντο,
ῥηϊδίως ἐπ᾽ ἄμαξαν ἀπ᾽ οὔδεος ὀχλίσσειαν·
τρισπίθαμοι γὰρ ταί γε καὶ ἐννεαπήχεες ἦσαν
εὖρος, ἀτὰρ μῆκός γε γενέσθην ἐννεόργυιοι.
πολλὰ δ᾽ ἄναντα κάταντα κατὰ στίχας ἦλθ᾽ ὁ μάγειρος,
σείων ὀψοφόρους πίνακας κατὰ δεξιὸν ὦμον.
e τῷ δ᾽ ἅμα τεσσαράκοντα μέλαιναι χύτραι ἕποντο·
αὐτὰρ ἀπ᾽ Εὐβοίας λοπάδες τόσαι ἐστιχόωντο.
Ἶρις δ᾽ ἄγγελος ἦλθε ποδήνεμος, ὠκέα τευθὶς,
πέρκη τ᾽ ἀνθεσίχρως καὶ ὁ δημοτικὸς μελάνουρος·
ὃς καὶ θνητὸς ἐὼν ἔπετ᾽ ἰχθύσιν ἀθανάτοισιν.
οἴη δ᾽ αὖ θύννου κεφαλὴ θαλαμηϊάδαο
νόσφιν ἀφειστήκει, κεχολωμένη οὕνεκα τευχέων
αἰρομένων· τὸ δὲ πῆμα θεοὶ θέσαν ἀνθρώποισι,
f ῥίνη, τὴν φιλέουσι περισσῶς τέκτονες ἄνδρες,
τρηχεῖ᾽, ἀλλ᾽ ἀγαθὴ κουροτρόφος· οὐ γὰρ ἔγωγε
ἧς σαρκὸς δύναμαι γλυκερώτερον ἄλλο ἰδέσθαι.
ὀπταλέος δ᾽ εἰσῆλθε πελώριος ἱππότα κεστρεύς·
οὐκ οἶος, ἅμα τῷ γε δυώδεκα σαργοὶ ἕποντο.
κυανόχρως δ᾽ ἀμίας ἐπὶ τοῖς μέγας, ὅς τε θαλάσσης
πάσης βένθεα οἶδε, Ποσειδάωνος ὑποδμώς·
136 καρῖδές θ᾽, αἳ Ζηνὸς Ὀλυμπίου εἰσὶν ἀοιδοὶ,
αἳ δὴ ἰδεῖν κυφαὶ μὲν ἔσαν, χρησταὶ δὲ πάσασθαι·

---

135 d. V. 40. ἐν κοιτῶν᾽] Libri ἐν κοιτῶν, nisi quod ἐς κοιτῶν ex D affert Villebrunius. V. 41. οὔ κε ABCP. οὐδὲ VL. V. 42. οἷον B. V. 43. ἀχλίσειαν. τριπίθαμοι B. V. 46. στίχας Scaliger. Libri στέγας.

135 e. V. 49. ἀπ᾽ εὐβοίας C et epitome Hoeschelii. ἐπ᾽ εὐβοιαν PVL. V. 53. οἰη C. οἴη PVL. θύννου] θυη κύκνου P.

135 f. V. 56. ῥίνη L et Scaliger. ῥίνην BV. ῥινῆν θ῀ῆν P. V. 57. οὐ γὰρ] ἦ γὰρ P. V. 59. ὀπταλέος L. ὀπτάνεος PV. V. 60. οὐχ οἷος P.

136 a. V. 64. αἳ δὴ ἰδεῖν κυφαὶ μὲν ἔσαν VL. αι δη γαρ ιχυφαισαν A. αἳ (αἰ C) δὴ γὰρ ἰδεῖν φυὴν ἔσαν BC. αἱ δὴ γὰρ ικυφαίεσαν P.

χρύσοφρυς, ὅς κάλλιστος ἐν ἄλλοις ἵσταται ἰχθὺς,
κάραβος, ἀστακὸς αὖτε, λιλαίετο θωρήσσεσθαι
ἐν μακάρων δείπνοις. τοῖς δαιτυμόνες χέρ᾽ ἐφέντες
ἐν στόμασιν ἔθεσαν καὶ ἀπήγαγον ἄλλυδις ἄλλον.
τῶν δ᾽ ἄρ᾽ ἔλοψ κρείων δουρικλυτὸς ἡγεμόνευεν,
b οὗ πλήρης περ ἐὼν κρατερῶς παλάμῃ ἐπορέχθην,
γεύσασθ᾽ ἱμείρων· τὸ δέ γ᾽ ἀμβροσίη μοι ἔδοξεν
εἶν᾽, ἣν δαίονται μάκαρες θεοὶ αἰὲν ἐόντες.
μύραιναν δ᾽ ἐπέθηκε φέρων, τὸ κάλυμμα τραπέζης,
ζώνην θ᾽, ἣν φορέεσκεν ἀγαλλομένη περὶ δειρὴν,
εἰς λέχος ἡνίκ᾽ ἔβαινε Δρακοντιάδῃ μεγαθύμῳ.
σάνδαλα δ᾽ αὖ παρέθηκεν ἀειγενῆ ἀθανατάων·
c βούγλωσσον, ὃς ἔναιεν ἐν ἅλμῃ μορμυρούσῃ.
κίχλας δ᾽ ἐξείης ἡβήτορας, ὑψιπετήεις * *
καὶ πέτρας καταβοσκομένας, θυάδας θ᾽ ὑδατίνους.
ἐν δ᾽ ἀναμὶξ σαργοί τε καὶ ἵππουροι γλάνιές τε·
μόρμυρος ἄντα ἔην, γαλέη, σπάρος· οὓς ὁ μάγειρος
σίζοντας παρέθηκε φέρων, κνίσωσε δὲ δῶμα.
τῶν δ᾽ ἔλεγεν δαίνυσθαι· ἐμοὶ δέ γε θηλυτεράων
d εἶναι βρώματ᾽ ἔδοξεν· ἐπεὶ δ᾽ ὅρμαινον ἐπ᾽ ἄλλα.
κεῖτο δέ τις βατάνη, ἧς οὐδεὶς ἥπτετο δείπνῳ,

---

V. 65. χρυσοφρῦς P. V. 67. χεῖρ᾽ B. V. 69. ἔλοψ ACV. ἔλοψ P. ἔλωψ L.

136 b. V. 70. κρατερῶς AC. κρατερὸς PVL. παλάμῃ ἐπορέχθην C. παλάμη ἐπορέχθη PVL. V. 71. τόδε γ᾽ BP. V. 72. εἶναι ἢ B. εἶναι ἣν P. δαίονται] ἐδέονται P. V. 74. ζώνην θ᾽] ζώθ᾽ P. θ᾽ BC. δ᾽ VL. περὶ δειρὴν CL. περὶ δῆριν AP. περίδειρην V. V. 75. δρακοντιάδῃ PL. δρακοντία δὴ V. V. 76. παρέθηκεν BC. παρέθηκαν PVL. ἀειγενῆ CP. ἀεὶ γενῆ VL. ἀθανατάων PVL. ἀθάνατα ὧν ABC.

136 c. V. 77. βούγλωσσον ὃς Schweigh. βουγλώσσωνος AP. βούγλωσσος BC. ὢν βούγλωσσος VL. V. 78. Lacunam indicavit Scaliger. V. 80. σαργοί] Scribebatur σάργοι. V. 81. μόρμυρος P. Scribebatur μορμύρος. ἄντα δ᾽ ἔην Scaliger. ἄντα δ᾽ ἦν ABC. ἄντα δὲ ἦν P. ἂν τάδ᾽ ἔην VL. γαλέη] μεγάλη P. οὓς C et epitome Hoeschelii. ἧς PVL. V. 82. κνίσωσε BPV. κνίσσωσε L. V. 83. τῶν δ᾽ BC. Aberat δ᾽. ἔλεγε B.

136 d. V. 84. ἔδοξ᾽ ἐπιδ᾽ ὥρμαινον B. V. 85. βατάνη Schweigh. βοτάνη V. βατάνης AP. βατὶς BC et membranae Casauboni. δείπνῳ] δείπνου membranae Casauboni. δειπνῳ (ου) C.

ἐν καθαρῷ, ὅθι περ λοπάδων διεφαίνετο χῶρος.
ἑξῆς κόσσυφος ἦλθε μόνος, γεύσασθαι ἕτοιμος·
οὐ μὴν οὐδ' ἄρ' ἄθικτος ἔην, πόθεον δὲ καὶ ἄλλοι.
κωλῆν δ' εἰσεῖδον πῶς ἔτρεμον, ἐν δὲ σίναπυ
κεῖτ' ἀγχοῦ γλυκὺ πλείονα χρυσὸς ὢν ἀπερύκων.
γευσάμενος δ' ἔκλαιον, ὅτ' αὔριον οὐκ ἔτι ταῦτα
ὄψομαι, ἀλλά με τυρῷ δεῖ καὶ μάζῃ ὀτρηρῇ * *
νηλὴς δ' οὐχ ὑπέμεινε, βιάζετο γὰρ ῥαδέεσσι·
δάμνα μιν ζωμός τε μέλας ἀκροκώλιά θ' ἑφθά.
παῖς δέ τις ἐκ Σαλαμῖνος ἄγε τρισκαίδεκα νήσσας,
λίμνης ἐξ ἱερῆς, μάλα πίονας· ἃς ὁ μάγειρος
θῆκε φέρων ἵν' Ἀθηναίων κατέκειντο φάλαγγες.
Χαιρεφόων δ' ἐνόησεν ἅμα πρόσσω καὶ ὀπίσσω
ὄρνιθας γνῶναι καὶ ἐναίσιμα σιτίζεσθαι·
f ἤσθιε δ' ὥστε λέων, παλάμῃ δ' ἔχε τὸ σκέλος αὐτοῦ,
ὄφρα οἱ οἴκαδ' ἰόντι πάλιν ποτιδόρπιον εἴη.
χόνδρος δ' ἡδυπρόσωπος, ὃν Ἥφαιστος κάμεν ἕψων,
Ἀττικῷ ἐν κεράμῳ πέττων τρισκαίδεκα μῆνας.
αὐτὰρ ἐπεὶ δόρποιο μελίφρονος ἐξ ἔρον ἕντο,
χεῖρας νιψαμένοισιν ἀπ' ὠκεανοῖο ῥοάων
ὡραῖος παῖς ἦλθε φέρων μύρον ἴρινον ἡδύ·
137 ἄλλος δ' αὖ στεφάνους ἐπὶ δεξιὰ πᾶσιν ἔδωκεν,
οἳ ῥόδον ἀμφεπλέκοντο, διάνδιχα κοσμηθέντες.
κρητὴρ δὲ Βρομίου ἐκεράννυτο, πίνετο δ' οἶνος

---

V. 89. εἰσίδον ABCP. κωλῆν δ' ὡς εἶδον, ὡς ἔτρεμον Scaliger. ἔτρεμον P. Legebatur ἔτρεμεν. V. 91. ταῦτ' B. V. 92. τυρώδει PVL. „Scriptura veterum τυρῷ δεῖ." Casaubonus. Lacunam indicavit Scaliger.

136 e. V. 93. ῥαδέεσσι ABCP et Casauboniani. ῥακέεσσι VL. - V. 94. δ' ἑφθὰ BP. V. 95. ἄγε B. ἦγεν PVL. τρισκαίδεκα] τρεῖς καίδεκα V. τρεῖς καὶ δεκα P. τρεισκαίδεκα L. V. 98. χαιρεφόων PL. χαιροφόων V. πρόσω B.

136 f. V. 100. δ' ἔχε τὸ BC et epitome Hoeschelii. δ' ἔχετο VL. δέχετο P. V. 101. οἱ om. P. ποτὶ δόρπον B. V. 103. πέττων] Vid. ad v. 6. τρισκαίδεκα BC. τρεῖς καίδεκα V. τρεισκαίδεκα L. τρεῖς καὶ δέκα P. V. 105. ῥοάων] ῥόδων epitome Hoeschelii, non C. V. 106. ἴρινον Casaubonus. ἠρινὸν VL. ἰρινὸν P.

137 a. V. 107. ἐπὶ δεξιὰ P. ἐπιδεξιὰ VL.

Λέσβιος, οὗ δὴ πλεῖστον ἀνὴρ ὑπὲρ ἄνδρα πεπῴκει.
δεύτεραι αὖτε τράπεζαι ἐφωπλίζοντο γέμουσαι·
b ἐν δ᾽ αὐταῖσιν ἐπῆν ἄπιοι καὶ πίονα μῆλα,
ῥοιαί τε σταφυλαί τε θεοῦ Βρομίοιο τιθῆναι,
πρόσφατος ἥν θ᾽ ἁμάμαξυν ἐπίκλησιν καλέουσι.
τῶν δ᾽ ἐγὼ οὐδενὸς ἦσθον ἁπλῶς, μεστὸς δ᾽ ἀνεκείμην.
ὡς δὲ ἴδον ξανθὸν γλυκερὸν μέγαν ἔγκυκλον, ἄνδρες,
Δήμητρος παῖδ᾽ ὀπτὸν ἐπεισελθόντα πλακοῦντα,
c πῶς ἂν ἔπειτα πλακοῦντος ἐγὼ θείου ἀπεχοίμην;
οὐδ᾽ εἴ μοι δέκα μὲν χεῖρες, δέκα δὲ στόματ᾽ εἶεν,
γαστὴρ δ᾽ ἄρρηκτος, χάλκεον δέ μοι ἦτορ ἐνείη.
πόρναι δ᾽ εἰσῆλθον, κοῦραι δύο θαυματοποιοί,
ἃς Στρατοκλῆς ἤλαυνε ποδώκεας ὄρνιθας ὥς.

14. Ἄλεξις δ᾽ ἐν Συντρέχουσιν ἐπισκώπτων τὰ Ἀττικὰ δεῖπνά φησιν

Ἔγωγε δύο λαβεῖν μαγείρους βούλομαι
d οὓς ἂν σοφωτάτους δύνωμ᾽ ἐν τῇ πόλει.
μέλλοντα δειπνίζειν γὰρ ἄνδρα Θετταλὸν
οὐκ Ἀττικηρῶς οὐδ᾽ ἀπηκριβωμένως
λιμῷ παρελθεῖν * * ἃ δεῖ καθ᾽ ἓν
ἕκαστον αὐτοῖς παρατιθέντα * * μεγαλείως δέ * *

εὐτράπεζοι δ᾽ εἰσὶν ὄντως οἱ Θετταλοί, καθὰ καὶ Ἔριφός φησιν ἐν Πελταστῇ οὕτως

Τάδ᾽ οὐ Κόρινθος οὐδὲ Λαΐς, ὦ Σύρε,
οὐδ᾽ εὐτραπέζων Θετταλῶν ξένων τροφαί,

---

V. 111. ἐφοπλίζοντο P.

137 b. V. 113. ῥοιαί] ῥοαί B. V. 114. πρόσφατοι, Heinsius. V. 116. ὡς δὲ ἴδον] Vid. ad v. 30. ἄνδρες] ἁδρὸν Iacobsius p. 94. V. 118. — 120. Eustathius p. 261.

137 c. V. 121. κοῦραι AB. πόρναι PVL. Alexidis v. 1. — 3. 5. om. C.

137 d. V. 5. 6. Indicavi lacunas. ἃ δεῖ ABP. ἀλλὰ δεῖ V. ἀλλὰ δὴ Basil. L. V. 6. μεγαλείως δὲ ABCP. μεγαλλίως δὲ ex epitome Hoeschelii memorat Casaubonus. ὄντως AB. οὕτως PVL. om. C. Ἔριφος] „L. Ἔφιππος, cuius Πελταστὴς alibi ab Athenaeo laudatur.“ Reinesius. Qui eandem coniecturam repetiit ad Suidam in Ἔριφος. V. 1. Legebatur τά δ᾽ — οὔτε Λαΐς. V. 2. Θετταλῶν χείρ, ξένων τροφέων οὐκ ἄμοιρος ἦ B. τροφαί] τροφῶν P.

ὧν οὐκ ἄμοιρος ἦδε χεὶρ ἐγίγνετο.

e ὁ δὲ τοὺς εἰς Χιωνίδην ἀναφερομένους Πτωχοὺς ποιήσας τοὺς Ἀθηναίους φησίν, ὅταν τοῖς Διοσκούροις ἐν πρυτανείῳ ἄριστον προτιθῶνται, ἐπὶ τῶν τραπεζῶν τιθέναι τυρὸν καὶ φυστὴν δρυπεπεῖς τ' ἐλάας καὶ πράσα, ὑπόμνησιν ποιουμένους τῆς ἀρχαίας ἀγωγῆς. Σόλων δὲ τοῖς ἐν πρυτανείῳ σιτουμένοις μᾶζαν παρέχειν κελεύει, ἄρτον δὲ ταῖς ἑορταῖς προσπαρατιθέναι, μιμούμενος τὸν Ὅμηρον. καὶ γὰρ ἐκεῖνος τοὺς ἀριστεῖς συνάγων πρὸς τὸν Ἀγαμέμνονα
f „Φύρετο δ' ἄλφιτα“ φησίν. Χρύσιππός τ' ἐν τετάρτῳ περὶ τοῦ καλοῦ καὶ τῆς ἡδονῆς φησιν „Ἐν Ἀθήναις δὲ ἱστοροῦσιν οὐ πάνυ ἀρχαίων δυοῖν γενομένων δείπνων, ἐν Λυκείῳ τε καὶ Ἀκαδημίᾳ, τοῦ μὲν εἰς τὴν Ἀκαδημίαν εἰσενέγκαντος ὀψοποιοῦ λοπάδα πρὸς ἑτέραν τινὰ χρείαν τὸν κέραμον κατᾶξαι πάντας τοὺς ἱεροποιούς, ὡς μακρόθεν οὐκ ἀστείας παρεισδύσεως γινομένης, δέοντος ἀπέχεσθαι τούτων τῶν μακρόθεν· τὸν δ' ἐν τῷ Λυκείῳ κρέας ταριχηρὸν εἰς τάριχος διασκευάσαντα μαστιγωθῆναι ὡς παρα-
138 σοφιζόμενον πονηρῶς.“ Πλάτων δ' ἐν δευτέρῳ Πολιτείας οὕτως ἑστιᾷ τοὺς αὐτοῦ νεοπολίτας γράφων „Ἄνευ ὄψου, ἔφη, ὡς ἔοικας, ποιεῖς τοὺς ἄνδρας ἑστιωμένους. Ἀληθῆ, ἦν δ' ἐγώ, λέγεις· ἐπελαθόμην ὅτι καὶ ὄψον ἕξουσιν, ἅλας τε δηλονότι καὶ ἐλάας καὶ τυρὸν καὶ βολβούς, καὶ λάχανά γε, οἷα δὴ ἐν ἀγροῖς ἑψήματα, ἑψήσονται. καὶ τραγήματά που παραθήσομεν αὐτοῖς τῶν τε σύκων καὶ ἐρεβίνθων καὶ κυάμων, καὶ μύρτα καὶ φηγοὺς σποδιοῦσι

---

V. 3. ὧν om. P.

137 e. φυστὴν] Scribebatur φύστην. Vid. ad 131 e. δρυπεπεῖς] δρυπετεῖς BP et Casauboniana tertia. δὲ τοῖς ἐν] δ' ἐν τοῖς ἐν P. συνάγων] Il. β, 404. Φύρετο δ' ἄλφιτα] Non leguntur haec in Homero.

137 f. Χρύσιππος — φησιν add. A. om. PVL. χρύσιππος δὲ φησίν C. δυοῖν PVL. δυεῖν ABC. γινομένων B. κατᾶξαι] Scribebatur κατάξαι. ὡς μακρόθεν οὐκ] μακρόθεν delendum videtur. τούτων τῶν Schweigh. τούτων ABCP. τοῦτον V. τῶν L.

138 a. ἐν δευτέρῳ Πολιτείας] P. 372 c. ἐλάας] Scribebatur ἐλαίας. δὴ om. B. ἑψήματα C. ἑψήματά τε ABPVL et Platonis codex Florentinus unus. ἑψήσονται] ἔσονται BC. σύκων] Scribebatur συκῶν.

πρὸς τὸ πῦρ μετρίως ὑποπίνοντες. καὶ οὕτω διάγοντες τὸν
b βίον ἐν εἰρήνῃ μετὰ ὑγιείας, ὡς εἰκὸς, γηραιοὶ τελευτῶντες
ἄλλον τοιοῦτον βίον τοῖς ἐκγόνοις παραδώσουσιν."

15. Ἑξῆς δὲ λεκτέον καὶ περὶ τῶν Λακωνικῶν συμπο-
σίων. Ἡρόδοτος μὲν οὖν ἐν τῇ ἐνάτῃ τῶν ἱστοριῶν περὶ
τῆς Μαρδονίου παρασκευῆς λέγων καὶ μνημονεύσας Λακω-
νικῶν συμποσίων φησὶ „Ξέρξης φεύγων ἐκ τῆς Ἑλλάδος
Μαρδονίῳ τὴν παρασκευὴν κατέλιπε τὴν αὐτοῦ. Παυσα-
νίαν οὖν ἰδόντα τὴν τοῦ Μαρδονίου παρασκευὴν χρυσῷ
c καὶ ἀργύρῳ καὶ παραπετάσμασι ποικίλοις κατεσκευασμέ-
νην κελεῦσαι τοὺς ἀρτοποιοὺς καὶ ὀψοποιοὺς κατὰ ταὐτὰ
καθὼς Μαρδονίῳ δεῖπνον παρασκευάσαι. ποιησάντων δὲ
τούτων τὰ κελευσθέντα τὸν Παυσανίαν ἰδόντα κλίνας
χρυσᾶς καὶ ἀργυρᾶς ἐστρωμένας καὶ τραπέζας ἀργυρᾶς
καὶ παρασκευὴν μεγαλοπρεπῆ δείπνου, ἐκπλαγέντα τὰ προ-
κείμενα, κελεῦσαι ἐπὶ γέλωτι τοῖς ἑαυτοῦ διακόνοις παρα-
σκευάσαι Λακωνικὸν δεῖπνον. καὶ παρασκευασθέντος γελά-
σας ὁ Παυσανίας μετεπέμψατο τῶν Ἑλλήνων τοὺς στρα-
d τηγοὺς, καὶ ἐλθόντων ἐπιδείξας ἑκατέρου τῶν δείπνων τὴν
παρασκευὴν εἶπεν, "Ἄνδρες Ἕλληνες, συνήγαγον ὑμᾶς βου-
λόμενος ἐπιδεῖξαι τοῦ Μήδων ἡγεμόνος τὴν ἀφροσύνην,
ὃς τοιαύτην δίαιταν ἔχων ἦλθεν ὡς ἡμᾶς οὕτω ταλαίπω-
ρον ἔχοντας." φασὶ δέ τινες καὶ ἄνδρα Συβαρίτην ἐπι-
δημήσαντα τῇ Σπάρτῃ καὶ συνεστιαθέντα ἐν τοῖς φειδι-
τίοις εἰπεῖν, Εἰκότως ἀνδρειότατοί εἰσιν ἁπάντων οἱ Λακεδαι-
μόνιοι· ἕλοιτο γὰρ ἄν τις εὖ φρονῶν μυριάκις ἀποθανεῖν
ἢ οὕτως εὐτελοῦς διαίτης μεταλαβεῖν.

---

οὕτω B. οὕτως PVL.

138 b. ἐν εἰρήνῃ — βίον add. L om. PV. μετὰ ὑγιείας ABC et Corselianus Schotti Obs. hum. I. 6. p. 9. ὑγιῶς L ex epitome Hoeschelii. ἐνάτῃ] Cap. 82. ἐνάτῃ V. ἐννάτῃ L. θ' P.

138 c. ταὐτὰ] ταῦτα P. κελευσθέντα PV. κελευθέντα Basil. L. τὰ προκείμενα Schweigh. καὶ τὰ προκείμενα PVL. om. C et epitome Hoeschelii.

138 d. φασὶ] Vide XII. p. 518 e. συνεστιαθέντα ABC. συνεστιασθέντα PVL. φειδιτίοις CPL. φιδιτίοις ABV. ἀνδρειότατοι] ἀνδρικώτατοι epitome Hoeschelii, non C. εἰσὶν ἁπάντων οἱ λακεδαιμόνιοι B. Legebatur ἁπάντων εἰσὶ Λακεδαιμόνιοι. γὰρ ἄν τις] Legebatur γάρ τις. μεταλαβεῖν] ἀπολαύειν superscripto μετα-

e 16. *Πολέμων δ' ἐν τῷ παρὰ Ξενοφῶντι κανάθρῳ τοῦ παρὰ Λάκωσι καλουμένου δείπνου κοπίδος μνημονεύοντα Κρατῖνον ἐν Πλούτοις λέγειν*

*Ἆρ' ἀληθῶς τοῖς ξένοισίν ἐστιν, ὡς λέγουσ', ἐκεῖ*
*πᾶσι τοῖς ἐλθοῦσιν ἐν τῇ κοπίδι θοινᾶσθαι καλῶς,*
*ἐν δὲ ταῖς λέσχαισι φύσκαι προσπεπατταλευμέναι*
*κατακρέμανται τοῖσι πρεσβύταισιν ἀποδάκνειν ὀδάξ;*

f *καὶ Εὔπολις ἐν Εἵλωσι „Καὶ γένηται τοῖσδε σάμερον κοπίς." δεῖπνον δ' ἐστὶν ἰδίως ἔχον ἡ κοπίς, καθάπερ καὶ τὸ καλούμενον αἴκλον. ἐπὴν δὲ κοπίζωσι, πρῶτον μὲν δὴ σκηνὰς ποιοῦνται παρὰ τὸν θεόν, ἐν δὲ ταύταις στιβάδας ἐξ ὕλης, ἐπὶ δὲ τούτων δάπιδας ὑποστρωννύουσιν, ἐφ' αἷς τοὺς κατακλιθέντας εὐωχοῦσιν, οὐ μόνον τοὺς ἐκ τῆς ἡμεδαπῆς ἀφικνουμένους, ἀλλὰ καὶ τοὺς ἐπιδημήσαντας τῶν ξένων. θύουσι δ' ἐν ταῖς κοπίσιν αἶγας, ἄλλο δ' οὐ-*
139 *δὲν ἱερεῖον· καὶ τῶν κρεῶν διδόασι μοίρας πᾶσι καὶ τὸν καλούμενον φυσίκιλλον, ὅς ἐστιν ἀρτίσκος ἐγκρίδι παραπλήσιος, γογγυλώτερος δὲ τὴν ἰδέαν. διδόασι τῶν συνιόντων ἑκάστῳ τυρὸν χλωρὸν καὶ γαστρὸς καὶ φύσκης τόμον καὶ τραγήματα σῦκά τε ξηρὰ καὶ κυάμους καὶ φασήλους χλωρούς. κοπίζει δὲ καὶ τῶν ἄλλων Σπαρτιατῶν ὁ βουλόμενος. ἐν δὲ τῇ πόλει κοπίδας ἄγουσι καὶ τοῖς Τιθηνιδίοις καλουμένοις ὑπὲρ τῶν παίδων. κομίζουσι γὰρ αἱ τιτθαὶ τὰ ἄρρενα παιδία κατὰ τὸν καιρὸν τοῦτον εἰς ἀγρὸν καὶ πρὸς*

---

*λαβεῖν* C, qui sic pergit, *κρατῖνος δὲ περὶ τούτων φησίν, ἐν ταῖς λέσχαισι* —.

138 e. *Ξενοφῶντι*] Agesilai VIII, 7. *μνημονεύοντα*] *φησὶ μνημονεύοντα* Casaubonus. *λέγειν* ABPV. *λέγει* L. *φύσκαι* L. *φύσται* PV. Post Cratini versus sic pergit C, *ὅτι ἡ κοπὶς ἑορτή ἐστι παρὰ λακεδαιμονίοις, ἐν ᾗ θύουσιν αἶγας, ἄλλο δ' οὐδὲν ἱερεῖον.*

138 f. *γένηται*] *γένητε* B. *αἶκλον* constanter AB, inconstanter VL. *αἴικλον* ubique CP. *κοπίζωσι*] *κόπις ζῶσι* P. *κατακλιθέντας* BP et Schweigh. editio. *κατακλινθέντας* VL.

139 a. *πᾶσι* add. L. om. BPV. *καὶ τὸν*] *καὶ τὸ* B. *διδόασι*] *διδόασι δὲ καὶ* Schweigh. *τε ξηρὰ* P et Schweigh. *τὰ ξηρὰ* VL hic et II. p. 56 a. *δὲ καὶ τῶν*] *δ' ἐκ τῶν* B. *ἄλλων* om. C. *τιτθαὶ* P. Scribebatur *τίτθαι*. *ἀγρὸν*] *ἀγορὰν* C.

b τὴν Κορυθαλίαν καλουμένην Ἄρτεμιν, ἧς τὸ ἱερὸν παρὰ τὴν καλουμένην Τίασσόν ἐστιν, ἐν τοῖς πρὸς τὴν Κλήταν μέρεσι, τὰς κοπίδας παραπλησίως ταῖς λελεγμέναις ἐπιτελοῦσι· θύουσι δὲ καὶ τοὺς γαλαθηνοὺς ὀρθαγορίσκους καὶ παρατιθέασιν ἐν τῇ θοίνῃ τοὺς ἰπνίτας ἄρτους. τὸ δὲ ἄικλον ὑπὸ μὲν τῶν ἄλλων Δωριέων καλεῖται δεῖπνον. Ἐπίχαρμος γοῦν ἐν Ἐλπίδι φησὶν „Ἐκάλεσε γάρ τύ τις ἐπ' ἄικλον ἑκών, τὺ δὲ ἑκὼν ᾤχεο τρέχων." τὰ αὐτὰ εἴρηκε c καὶ ἐν Περιάλλῳ. ἐν δὲ τῇ Λακεδαίμονι τοῖς εἰσιοῦσιν εἰς τὸ φειδίτιον μετὰ δεῖπνον τὸ καλούμενον ἄικλον εἰσφέρουσιν ἄρτους ἐν ἀρριχίδι καὶ κρέας ἑκάστῳ, καὶ τῷ νέμοντι τὰς μοίρας ἀκολουθῶν ὁ διάκονος κηρύττει τὸ ἄικλον προστιθεὶς τοῦ πέμψαντος τὴν ὀνομασίαν.

17. Ταῦτα μὲν ὁ Πολέμων. πρὸς ὃν ἀντιλέγων Δίδυμος ὁ γραμματικὸς — καλεῖ δὲ τοῦτον ὁ Δημήτριος ὁ Τροιζήνιος βιβλιολάθαν, διὰ τὸ πλῆθος ὧν ἐκδέδωκε συγγραμμάτων· ἔστι γὰρ τρισχίλια πρὸς τοῖς πεντακοσίοις — d φησὶ τάδε „Πολυκράτης ἐν τοῖς Λακωνικοῖς ἱστορεῖ ὅτι τὴν μὲν τῶν Ὑακινθίων θυσίαν οἱ Λάκωνες ἐπὶ τρεῖς ἡμέρας συντελοῦσι, καὶ διὰ τὸ πένθος τὸ γενόμενον περὶ τὸν Ὑάκινθον οὔτε στεφανοῦνται ἐπὶ τοῖς δείπνοις οὔτε ἄρτον εἰσφέρουσιν, ἀλλὰ πέμματα καὶ τὰ τούτοις ἀκόλουθα διδόασι, καὶ τὸν εἰς τὸν θεὸν παιᾶνα οὐκ ᾄδουσιν, οὐδ' ἄλλο τι τοιοῦτον εἰσάγουσιν οὐδέν, καθάπερ ἐν ταῖς ἄλλαις θυσίαις ποιοῦσιν· ἀλλὰ μετ' εὐταξίας πολλῆς δειπνήσαντες ἀπέρχονται. τῇ δὲ μέσῃ τῶν τριῶν ἡμερῶν γίe νεται θέα ποικίλη καὶ πανήγυρις ἀξιόλογος καὶ μεγάλη. παῖδές τε γὰρ κιθαρίζουσιν ἐν χιτῶσιν ἀνεζωσμένοι καὶ πρὸς αὐλὸν ᾄδοντες πάσας ἅμα τῷ πλήκτρῳ τὰς χορδὰς

---

139 b. κορυθαλίαν ABCP. κορυθαλλίαν VL. ὀρθαγορίσκους PVL. ὀρθραγορίσκους BC Basil. τὸ δὲ αἴκλον (ἄικλον P) καλούμενον PVL. καλούμενον om. ABC. δεῖπνον] δεῖπνος B. Epicharmi verba om. C. γάρ τυ Casaubonus. Libri γάρ τοι. ᾤχεο P et Casaubonus. ᾤχετο VL.

139 c. φειδίτιον PL. φιδίτιον V. ἐν ἀρριχίδι] ἐν ναριχίδι P. τοῦτον ὁ B. Aberat ὁ.

139 d. Post Πολυκράτης iterum φησὶ inferunt ABP. διδόασι] διδόναι B.

ἐπιτρέχοντες ἐν ῥυθμῷ μὲν ἀναπαίστῳ, μετ' ὀξέος δὲ τόνου, τὸν θεὸν ᾄδουσιν· ἄλλοι δ' ἐφ' ἵππων κεκοσμημένοι τὸ θέατρον διεξέρχονται, χοροί τε νεανίσκων παμπληθεῖς εἰσέρχονται καὶ τῶν ἐπιχωρίων τινὰ ποιημάτων ᾄδουσιν, ὀρχησταί τε ἐν τούτοις ἀναμεμιγμένοι τὴν κίνησιν ἀρχαϊ-
f κὴν ὑπὸ τὸν αὐλὸν καὶ τὴν ᾠδὴν ποιοῦνται. τῶν δὲ παρθένων αἱ μὲν ἐπὶ καννάθρων, καμαρωτῶν ξυλίνων ἁρμάτων, φέρονται πολυτελῶς κατεσκευασμένων, αἱ δ' ἐφ' ἁμίλλαις ἁρμάτων ἐζευγμένων πομπεύουσιν, ἅπασα δ' ἐν κινήσει καὶ χαρᾷ τῆς θεωρίας ἡ πόλις καθέστηκεν. ἱερεῖά τε παμπληθῆ θύουσι τὴν ἡμέραν ταύτην καὶ δειπνίζουσιν οἱ πολῖται πάντας τοὺς γνωρίμους καὶ τοὺς δούλους τοὺς ἰδίους· οὐδεὶς δ' ἀπολείπει τὴν θυσίαν, ἀλλὰ κενοῦσθαι συμβαίνει τὴν πόλιν πρὸς τὴν θέαν. τῆς δὲ κοπίδος μνη-
140 μονεύει καὶ Ἀριστοφάνης ἢ Φιλύλλιος ἐν ταῖς Πόλεσιν, Ἐπίλυκός τ' ἐν Κωραλίσκῳ λέγων οὕτως „Ποττὰν κοπίδ' οἰώσομαι ἐν Ἀμυκλαῖον. παραγγέλλωσι βάρακες πολλοὶ κἄρτοι καὶ σδωμὸς μάλα ἀδύς.“ διαρρήδην λέγων μάζας ἐν ταῖς κοπίσι παρατίθεσθαι — τοῦτο γὰρ οἱ βάρακες δηλοῦσιν, οὐχὶ τολύπας, ὥς φησι Λυκόφρων, ἢ τὰ προφυράματα τῶν μαζῶν, ὡς Ἐρατοσθένης — καὶ ἄρτους δὲ καὶ ζωμόν τινα καθηδυσμένον περιττῶς. τίς δ' ἐστὶν ἡ κοπὶς σαφῶς ἐκτίθεται Μόλπις ἐν τῇ Λακεδαιμονίων πο-
b λιτείᾳ γράφων οὕτως „Ποιοῦσι δὲ καὶ τὰς καλουμένας κοπίδας. ἔστι δ' ἡ κοπὶς δεῖπνον, μᾶζα, ἄρτος, κρέας, λάχανον ὠμόν, ζωμός, σῦκον, τράγημα, θέρμος.“ ἀλλὰ μὴν

---

139 e. ἐφ' C. ἀφ' BPVL. κεκοσμημένοι C. κεκοσμημένων PVL.
139 f. καμαρωτῶν PL. καμάρῳ τῶν V. πάντας] πάντες B.
140 a. Epilyci verba om. C. Ποττὰν] πόττὰν B. πότ' ἂν V. ποττ' ἂν P. πότ' ἂν L. κοπίδ' οἰώσομαι A. κοπιδιώσωμαι B. κοπιδοιώσωμαι PVL. κοπίδ' ἴσσυμαι Iacobsius p. 95. ἐν ἀμύκλαιον A. ἐναμυκλαῖον V. ἓν ἀμυκλαῖον P. ἐναμικλαῖον L. παραγγέλλωσι VL. παραγγέλλω σοι P. παραγγέλωσι B. παντᾶ γελάοντι Iacobsius. πολλοὶ καὶ ἄρτοι Casaubonus. Libri πολλὰ οἱ κάρτα. κόλλαβοι κἄρτοι Villebrunius. σδωμὸς Schweigh. ζωμὸς Casaubonus. δωδέμοστοι PVL. δωδεμοστος B. ἀδὺς ABP et membranae Casauboni. ἀδεῖς VL. μάζας] μάζαν B. γὰρ οἱ βάρακες L. γὰρ οἱ ἀβάρακες B. γὰρ ἀβάρακες PV. τολύπας L. τὸ λύπας V, quod primum habuit P.

οὐδ' ὀρθαγορίσκοι λέγονται, ὥς φησιν ὁ Πολέμων, οἱ γαλαθηνοὶ χοῖροι, ἀλλ' ὀρθραγορίσκοι, ἐπεὶ πρὸς τὸν ὄρθρον πιπράσκονται, ὡς Περσαῖος ἱστορεῖ ἐν τῇ Λακωνικῇ πολιτείᾳ καὶ Διοσκουρίδης ἐν δευτέρῳ πολιτείας καὶ Ἀριστοκλῆς ἐν τῷ προτέρῳ καὶ οὗτος τῆς Λακώνων πολιτείας.
c ἔτι φησὶν ὁ Πολέμων καὶ τὸ δεῖπνον ὑπὸ τῶν Λακεδαιμονίων ἄϊκλον προσαγορεύεσθαι, παραπλησίως ἁπάντων Δωριέων οὕτως αὐτὸ καλούντων. Ἀλκμὰν μὲν γὰρ οὕτω φησὶ

Κῆπὶ τᾷ μύλᾳ δρυφῆται κῆπὶ ταῖς συναικλίαις.

οὕτω τὰ συνδείπνια καλῶν. καὶ πάλιν „Ἄϊκλον Ἀλκμάων ἁρμόξατο." ἄϊκλον δ' οὐ λέγουσιν οἱ Λάκωνες τὴν μετὰ τὸ δεῖπνον μοῖραν, ἀλλ' οὐδὲ τὰ διδόμενα τοῖς φειδιτίοις μετὰ τὸ δεῖπνον· ἄρτος γάρ ἐστι καὶ κρέας, ἀλλ' ἐπάϊκλα μὲν λέγεται ταῦτα, ὄντα οἷον ἐπιχορηγήματα τοῦ συντε-
d ταγμένου τοῖς φειδίταις ἀΐκλου· παρὰ γὰρ τοῦτο οἶμαι τὴν φωνὴν πεποιῆσθαι. καὶ ἐστὶν ἡ παρασκευὴ τῶν λεγομένων ἐπαΐκλων οὐχ ἁπλῆ, καθάπερ ὁ Πολέμων ὑπείληφεν, ἀλλὰ διττή. ἣν μὲν γὰρ τοῖς παισὶ παρέχουσι, πάνυ τις εὔκολός ἐστι καὶ εὐτελής. ἄλφιτα γάρ ἐστιν ἐλαίῳ δεδευμένα, ἅ φησι Νικοκλῆς ὁ Λάκων κάπτειν αὐτοὺς μετὰ τὸ δεῖπνον ἐν φύλλοις δάφνης, παρὸ καὶ καμματίδας μὲν προσαγορεύεσθαι τὰ φύλλα, αὐτὰ δὲ τὰ ψαιστὰ κάμματα.
e ὅτι δὲ ἔθος ἦν τοῖς πάλαι καὶ φύλλα δάφνης τραγηματί-

---

140 b. λέγονται — ὀρθραγορίσκοι add. L. om. PV. ὡς περσαῖος AP. ὥσπερ σαῖος VL. In C haec omissa.

140 c. καλούντων] λαλούντων B. Κῆπὶ τᾷ Schweigh. κηπιται AB. κηπιταὶ P. κῆπειται V. κῆπειτα L. μύλᾳ Schweigh. Libri μύλαι. συναικλίαις] Scribebatur συναικλείαις. συνακλείαις BP. ἁρμόξατο PL. ἀρμόξατο V. ἀλλ' οὐδὲ — τὸ δεῖπνον om. B. Ad ἐπιχορηγήματα in C adiectum ἤγουν μετὰ τὸ δεῖπνον τραγήματα ex 140 f.

140 d. ἀΐκλου hic VL et infra saepius. παισὶ L. πάσι V. πᾶσι ABP. ἅ φησι] ἃ δὲ φησὶ B. ψαιστὰ] ψαυστὰ B.

140 e. καὶ φύλλα BP. Aberat καί. Calliae Dioclisve verba om. C.

ζεσθαι Καλλίας ἢ Διοκλῆς ἐν τοῖς Κύκλωψί φησιν οὕτως

Φυλλάς, ἡ δείπνων κατάλυσις· ἡ δὲ καθάπερ σχημάτων.

ἣν δ᾽ εἰς τὰ τῶν ἀνδρῶν φειδίτια κομίζουσι, σκευοποιεῖται ἔκ τινων ζώων ὡρισμένων, παραχορηγοῦντος αὐτὰ τοῖς φειδίταις ἑνὸς τῶν εὐπορούντων, ἔσθ᾽ ὅτε δὲ καὶ πλειόνων. ὁ δὲ Μόλπις καὶ ματτύην φησὶ προσαγορεύεσθαι τὰ ἐπάϊκλα.

18. Περὶ δὲ τῶν ἐπαΐκλων Περσαῖος ἐν τῇ Λακωνικῇ
πολιτείᾳ οὑτωσὶ γράφει „Καὶ εὐθὺς τοὺς μὲν εὐπόρους
f ζημιοῖ εἰς ἐπάϊκλα· ταῦτα δ᾽ ἐστὶ μετὰ δεῖπνον τραγήματα· τοῖς δ᾽ ἀπόροις ἐπιτάττει κάλαμον ἢ στιβάδα ἢ φύλλα δάφνης φέρειν, ὅπως ἔχωσι τὰ ἐπάϊκλα κάπτειν μετὰ δεῖπνον. γίνεται γὰρ ἄλφιτα ἐλαίῳ ἐρραμένα. τὸ δ᾽ ὅλον ὥσπερ πολίτευμά τι τοῦτο δὴ συνίσταται μικρόν. καὶ γὰρ ὅντινα δεῖ πρῶτον κατακεῖσθαι ἢ δεύτερον, ἢ ἐπὶ τοῦ σκιμποδίου καθῆσθαι, πάντα τοιαῦτα ποιοῦσιν εἰς ἐπάϊκλα.“ τὰ ὅμοια ἱστορεῖ καὶ Διοσκουρίδης. περὶ δὲ τῶν
141 χαμματίδων καὶ τῶν καμμάτων Νικοκλῆς οὕτως γράφει „Διακούσας δὲ πάντων ὁ ἔφορος ἤτοι ἀπέλυσεν ἢ κατεδίκασεν. ὁ δὲ νικήσας ἐζημίωσεν ἐλαφρῶς ἤτοι κάμμασιν ἢ καμματίσιν. ἔστι δὲ τὰ μὲν κάμματα ψαιστά, αἱ δὲ καμματίδες αἷς κάπτουσι τὰ ψαιστά.“

19. Περὶ δὲ τοῦ τῶν φειδιτίων δείπνου Δικαίαρχος τάδε ἱστορεῖ ἐν τῷ ἐπιγραφομένῳ Τριπολιτικῷ „Τὸ δεῖπνον πρῶτον μὲν ἑκάστῳ χωρὶς παρατιθέμενον καὶ πρὸς
b ἕτερον κοινωνίαν οὐδεμίαν ἔχον· εἶτα μᾶζαν μὲν ὅσην ἂν

---

φησὶν οὕτως] φησὶ οὗτος B. Φυλλάς, ἡ Erfurdtius. φῦλλα σὺ VL. φυλλα συ P. φυλασῃ A. φυλάσῃ B. κατάλυσις Erfurdtius. Libri καταλύσεις. ἡ δὲ] ἤδε P. κομίζουσιν] τομίζουσιν P. ἑνὸς τῶν] ἐν ὀστῶν BP. Περσαῖος Casaubonus. Libri περσεύς.

140 f. ζημιοῖ εἰς] ζημίοις P. δεῖπνον τραγήματα] δεῖπνον γὰρ τραγήματα B. ἐλαίῳ] ὀργαίῳ P. ἐρραμένα] ἐραμμένα B. ἐῤῥαμμένα P. τοῦτο δὴ] τοῦτον δὲ B. τοῦτον δὴ P. ἢ ἐπὶ] ἢ ᾽πὶ P. εἰς ἐπάϊκλα] εἰς τὰ ἐπάϊκλα P.

141 a. ἔφορος] εὔφορος BDP. αἷς] ἐν αἷς Coraës. εἶτα μᾶζαν] ἔστι δὲ μᾶζα Schweigh.

ἕκαστος ἢ βουλόμενος, καὶ πιεῖν πάλιν ὅταν ἡ θυμὸς ἑκάστῳ κώθων παρακείμενος ἐστίν. ὄψον δὲ ταυτὸν ἀεί ποτε πᾶσίν ἐστιν, ὕειον κρέας ἑφθὸν, ἐνίοτε δ᾽ οὐδ᾽ ὁτιμενοῦν πλὴν ὄψον τι μικρὸν ἔχον σταθμὸν ὡς τέταρτον μάλιστα, καὶ παρὰ τοῦτο ἕτερον οὐδὲν πλὴν ὅ γε ἀπὸ τούτων ζωμὸς, ἱκανὸς ὢν παρὰ πᾶν τὸ δεῖπνον ἅπαντας αὐτοὺς παραπέμπειν, κἂν ἄρα ἐλάα τις, ἢ τυρὸς, ἢ σῦκον. ἀλλὰ κἄν τι λάβωσιν ἐπιδόσιμον, ἰχθὺν, ἢ λαγὼν, ἢ φάτταν,
c ἤ τι τοιοῦτον. εἶτ᾽ ὀξέως ἤδη δεδειπνηκόσιν ὕστερα περιφέρεται ταῦτα τὰ ἐπάϊκλα καλούμενα. συμφέρει δ᾽ ἕκαστος εἰς τὸ φειδίτιον ἀλφίτων μὲν ὡς τρία μάλιστα ἡμιμέδιμνα Ἀττικὰ, οἴνου δὲ χόας ἕνδεκά τινας ἢ δώδεκα, παρὰ δὲ ταῦτα τυροῦ σταθμόν τινα καὶ σύκων, ἔτι δὲ εἰς ὀψωνίαν περὶ δέκα τινὰς Αἰγιναίους ὀβολούς.“ Σφαῖρος δ᾽ ἐν τρίτῳ Λακωνικῆς πολιτείας γράφει „Φέρουσι δὲ καὶ ἐπάϊκλα αὐτοῖς οἱ φειδῖται· καὶ τῶν μὲν ἀγρευομένων ὑφ᾽ αὐτῶν ἐνίοτε οἱ πολλοὶ, οὐ μὴν ἀλλ᾽ οἵ γε πλούσιοι
d καὶ ἄρτον καὶ ὧν ἂν ὥρα ἐκ τῶν ἀγρῶν ὅσον εἰς αὐτὴν τὴν συνουσίαν, νομίζοντες καὶ τὸ πλείονα τῶν ἱκανῶν παρασκευάζειν περιττὸν εἶναι, μὴ μέλλοντά γε προσφέρεσθαι.“ Μόλπις δέ φησι „Μετὰ δὲ τὸ δεῖπνον εἴωθεν ἀεί τι παρά τινος κομίζεσθαι, ἐνίοτε δὲ καὶ παρὰ πλειόνων, παρ᾽ αὐτοῖς κατ᾽ οἶκον ἠρτυμένη ματτύη, ὃ καλοῦσιν ἐπάϊκλον. τῶν δὲ κομιζομένων οὐδεὶς οὐδὲν ἀγοράσας εἴωθε φέρειν· οὔτε γὰρ ἡδονῆς οὔτ᾽ ἀκρασίας γαστρὸς οὕνεκεν κομίζουσιν, ἀλλὰ τῆς αὐτῶν ἀρετῆς ἀπόδειξιν τῆς κατὰ τὴν θή-
e ραν ποιούμενοι. πολλοὶ δὲ καὶ ποίμνι᾽ αὐτῶν τρέφοντες

---

141 b. κώθων Casaubonus. καθ᾽ ὃν VL. καθ᾽ ὢν P. ἐνίοτε δ᾽ οὐδ᾽ ὅ τι μὲν οὖν Schweigh. ἐνίοτε δ᾽ οὐδ᾽ ὁτιοῦν Casaubonus. ἐνίοτε δέ τι (δὲ τὶ P) μόνον PVL. ὄψον τι] ὄψου τι BP. τέταρτον] τέταρτον μνᾶς Casaubonus. In C totus locus om. ἕτερον] ἕτεροι B. τούτων] τούτου C. παρὰ πᾶν ABP. παραπᾶν V. παρ᾽ ἅπαν L.

141 c. χόας] χοὰς P. χοεῖς B. ἔτι δὲ εἰς] ἔτι καὶ εἰς B. αὐτοῖς] αὐτοὶ Schweigh. ἀγρευομένων L. ἀγορευομένων PV.

141 d. τὸ πλείονα Casaubonus. Libri τὰ πλείονα. ἠρτυμένη ματτύη Casaubonus. ἠρτυμένα ματτύην VL. ἠρτυμένα ματτύειν P. ἠρτυμένην ματτύην C. οὐδὲν B. οὐθὲν PVL. οὔτ᾽] Legebatur οὐδ᾽. ποίμνι᾽ B. ποίμνια VL.

ἀφθόνως μεταδιδόασι τῶν ἐκγόνων. ἔστι δ' ἡ ματτύη φάτται, χῆνες, τρυγόνες, κίχλαι, κόσσυφοι, λαγὼ, ἄρνες, ἔριφοι. οἱ δὲ μάγειροι σημαίνουσι τοὺς ἀεί τι κομίζοντας εἰς μέσον, ἵνα πάντες ἴδωσι τὴν τῆς θήρας φιλοπονίαν καὶ τὴν εἰς αὐτοὺς ἐκτένειαν." Δημήτριος δ' ὁ Σκήψιος ἐν τῷ πρώτῳ τοῦ Τρωικοῦ διακόσμου τὴν τῶν Καρνείων φησὶν ἑορτὴν παρὰ Λακεδαιμονίοις μίμημα εἶναι στρατιωτικῆς ἀγωγῆς. τόπους μὲν γὰρ εἶναι ἐννέα τῷ ἀριθμῷ,
f σκιάδες δὲ οὗτοι καλοῦνται, σκηναῖς ἔχοντες παραπλήσιόν τι· καὶ ἐννέα καθ' ἕκαστον ἄνδρες δειπνοῦσι, πάντα τε ἀπὸ προστάγματος κηρύσσεται. ἔχει τε ἑκάστη σκιὰς φρατρίας τρεῖς καὶ γίνεται ἡ τῶν Καρνείων ἑορτὴ ἐπὶ ἡμέρας ἐννέα.

20. Τὴν δὲ τῆς διαίτης τῆς τοιαύτης σκληρότητα ὕστερον καταλύσαντες οἱ Λάκωνες ἐξώκειλαν εἰς τρυφήν. Φύλαρχος γοῦν ἐν τῇ πεντεκαιδεκάτῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν τάδε γράφει περὶ αὐτῶν „Λακεδαιμόνιοι εἰς μὲν τὰ φειδίτια οὐκ ἤρχοντο κατὰ τὸ πάτριον ἔθος· ὅτε δὲ
142 καὶ παραγένοιντο, μικρὰ συμπεριενεχθεῖσι νόμου χάριν παρεσκευάζετο καὶ ἄλλα αὐτοῖς, στρωμναί τε τοῖς μεγέθεσιν οὕτως ἐξησκημέναι πολυτελῶς καὶ τῇ ποικιλίᾳ διαφόρως ὥστε τῶν ξένων ἐνίους τῶν παραληφθέντων ὀκνεῖν τὸν ἀγκῶνα ἐπὶ τὰ προσκεφάλαια ἐρείδειν. οἱ δὲ πρότερον ἐπὶ τοῦ κλιντηρίου ψιλοῦ διακαρτεροῦντες τῆς κλίνης παρ' ὅλην τὴν συνουσίαν, ὅτε τὸν ἀγκῶνα ἅπαξ ἐρείσειαν, εἰς τὴν προειρημένην τρυφὴν ἦλθον, ποτηρίων τ' ἐκθέσεις πολλῶν καὶ βρωμάτων παντοδαπῶς πεποιημένων παραθέ-

---

141 e. ματτύη BC. ματτία PVL et inter versus C. φάτται P. φῦτται VL. τρυγόνες PL. τριγόνες BV. λαγὼ] λαγωοὶ P. ἐν τῷ πρώτῳ] ἐν τῷ αω P. ἐν αω B. καρνείων VL. καρνίων ABCP. καρνήων Eustathius p. 1376, 45. τόπους] τρόπους AP. μὲν γὰρ εἶναι ἐννέα BC. γὰρ εἶναι ἐννέα μὲν PVL. ἀριθμῷ] ἀριστεῖ C.

141 f. σκηναῖς] σκηνὰς P. ἔχει — τρεῖς om. C. σκιὰς Casaubonus. σκιὰ PVL. φρατρίας] Scribebatur φρατρείας. καρνείων VL. καρνίων BP et, ut opinor, AC. ἐννέα] θ P. Φύλαρχος PL. φίλαρχος V.

142 a. Libri συμπεριενεχθεῖσιν ὁμοῦ χάριν παρεσκευάζετο καὶ πάλιν αὐτοῖς. Correxit Casaubonus. εἰς τὴν] Libri εἰς δὲ τὴν. εἰς τήνδε τὴν Coraës. παντοδαπῶς Casaubonus. Libri παντοδαπῶν.

b σεις, ἔτι δὲ μύρων ἐξηλλαγμένων, ὡς δ' αὔτως οἴνων καὶ
τραγημάτων. καὶ τούτων ἦρξαν οἱ μικρὸν πρὸ Κλεομένους
βασιλεύσαντες Ἀρεὺς καὶ Ἀκρότατος, αὐλικὴν ἐξουσίαν
ζηλώσαντες· οὓς τοσοῦτον αὖθις ὑπερῆράν τινες τῶν ἰδιω-
τῶν τῶν ἐν Σπάρτῃ γενομένων κατ' ἐκεῖνον τὸν χρόνον
τῇ πολυτελείᾳ τῇ καθ' αὑτοὺς ὥστε δοκεῖν τὸν Ἀρέα καὶ
τὸν Ἀκρότατον εὐτελείᾳ πάντας ὑπερβεβληκέναι τοὺς ἀφε-
λεστάτους τῶν πρότερον."

21. „Κλεομένης δὲ πολὺ διενέγκας τῷ τε συνιδεῖν
πράγματα, καίτοι νέος ὤν, καὶ κατὰ τὴν δίαιταν ἀφε-
c λέστατος γέγονεν. ἤδη γὰρ τηλικούτων πραγμάτων ἡγού-
μενος ἔμφασιν τοῖς παραλαμβανομένοις πρὸς τὴν θυσίαν
ἐποίει, διότι τὰ παρ' ἐκείνοις τῶν παρ' αὐτὸν οὐδὲν κα-
ταδεέστερα εἴη παρασκευαζόμενα. πολλῶν δὲ πρεσβειῶν πα-
ραγινομένων πρὸς αὐτόν, οὐδέποτε ἐνωρίστερον τοῦ κατει-
θισμένου συνῆγε καιροῦ, πεντακλίνου τε διεστρώννυτο οὐ-
δέποτε πλεῖον· ὅτε δὲ μὴ παρείη πρεσβεία, τρίκλινον. καὶ
πρόσταγμα οὐκ ἐγίνετο δι' ἐδεάτρου, τίς εἴσεται καὶ κα-
d τακλιθήσεται πρῶτος, ἀλλ' ὁ πρεσβύτατος ἡγεῖτο ἐπὶ τὰς
κλίνας, εἰ μή τιν' αὐτὸς προσκαλέσαιτο. κατελαμβάνετο δὲ
ἐπὶ τὸ πολὺ μετ' ἀδελφοῦ κατακείμενος ἢ μετά τινος τῶν
ἡλικιωτῶν. ἐπί τε τῷ τρίποδι ψυκτὴρ χαλκοῦς ἐπέκειτο καὶ
κάδος καὶ σκαφίον ἀργυροῦν δύο κοτύλας χωροῦν καὶ κύα-
θος, ἡ δ' ἐπίχυσις χαλκῆ. πιεῖν δὲ οὐ προσεφέρετο, εἰ
μή τις αἰτήσειεν· ἐδίδοτο δὲ κύαθος εἰς πρὸ τοῦ δείπνου·
τὸ δὲ πολὺ πρώτῳ· καὶ ὅτε προσνεύσειεν ἐκεῖνος, οὕτως

---

142 b. μικρὸν] μικρῶν P. Fortasse μικρῷ voluit. αὖθις add. BC. om. PVL. γενομένων] γινομένων B. δοκεῖν Schweigh. editio. δοκεῖ PVL. ἀφιλεστάτους B. Κλεομένης δὲ] κλεομένης τε P.

142 c. κατειθισμένου PL. καταθισμένου V. πεντακλίνου ABCP. πεντάκλινον VL. δι' ἐδεάτρου om. B. εἴσεται] εἴσεται P. κατακλιθήσεται L. κατακληθήσεται PV.

142 d. ἐπὶ τὸ πολὺ B et Schweigh. editio. ἐπὶ πολὺ PVL. μετ'] μετὰ τοῦ C. κάδος L. κλάδος ABPV. αἰτήσειεν ἐδίδοτο Casaubonus. αἰτήσει (— η B) ἐνεδίδοτο PVL. εἰ μή τις αἰτήσει. ᾔτουν δὲ, ὅτε προσνεύσειεν ἐκεῖνος C. πρώτῳ AB. πρῶτον VL. πρώτων P. καὶ ὅτι πρόσνεύσειεν P.

ἤτουν καὶ οἱ λοιποί. τὰ δὲ παρατιθέμενα ἐπὶ μὲν τραπε-
e ζίου ἦν τοῦ τυχόντος, τὰ δὲ λοιπὰ ὥστε μήθ' ὑπεραίρειν μήτε λείπειν, ἀλλ' ἱκανὰ ἅπασι γίνεσθαι καὶ μὴ προσδεῖσθαι τοὺς παρόντας. οὔτε γὰρ οὕτως ᾤετο δεῖν, ὥσπερ ἐν τοῖς φειδιτίοις, δέχεσθαι ζωμῷ καὶ κρεαδίοις ἀφελῶς οὔτε πάλιν οὕτως ὑπερτείνειν, ὡς εἰς τὸ μηδὲν δαπανᾶν, ὑπερβάλλοντα τὸ σύμμετρον τῆς διαίτης· τὸ μὲν γὰρ ἀνελεύθερον ἐνομίζετο, τὸ δ' ὑπερήφανον. ὁ δ' οἶνος ἦν μικρῷ βελτίων, ὅτε παρείησαν τινές. ἐπεὶ δὲ δειπνήσειαν, ἐσιώπων πάντες. ὁ δὲ παῖς ἐφειστήκει κεκραμένον ἔχων τὸ
f ποτὸν καὶ τῷ αἰτοῦντι προσέφερε. τὸν αὐτὸν δὲ τρόπον καὶ μετὰ τὸ δεῖπνον οὐ πλεῖον ἐδίδοτο δύο κυάθων, καὶ τοῦτο προσνεύσαντι προσεφέρετο. ἀκρόαμα δὲ οὐδὲν οὐδέποτε παρεπορεύετο, διετέλει δ' αὐτὸς προσομιλῶν πρὸς ἕκαστον καὶ πάντας ἐκκαλούμενος εἰς τὸ τὰ μὲν ἀκούειν, τὰ δὲ λέγειν αὐτούς, ὥστε τεθηρευμένους ἀποτρέχειν ἅπαντας.“

Διακωμῳδῶν δ' Ἀντιφάνης τὰ Λακωνικὰ δεῖπνα ἐν τῷ ἐπιγραφομένῳ δράματι Ἄρχων φησὶν οὕτως·

143 Ἐν Λακεδαίμονι
γέγονας; ἐκείνων τῶν νόμων μεθεκτέον
ἐστίν. βάδιζ' ἐπὶ δεῖπνον εἰς τὰ φιλίτια·
ἀπόλαυε τοῦ ζωμοῦ, ῥόφει, τοὺς βύστακας
μὴ καταφρόνει, μηδ' ἕτερ' ἐπιζήτει καλά·
ἐν τοῖς δ' ἐκείνων ἤθεσιν ἴσθ' ἀρχαϊκός.

22. Περὶ δὲ τῶν Κρητικῶν συσσιτίων Δωσιάδας ἱστορῶν ἐν τῇ τετάρτῃ τῶν Κρητικῶν γράφει οὕτως „Οἱ δὲ

---

142 e. μήθ'] Legebatur μή. ἱκανά] ἱκανοὶ B. ζωμῷ] ζυμῷ P. ὑπερτείνειν PL. ὑπερτάνειν V. om. C. μηδὲν B. μηθὲν PVL. ὁ δὲ παῖς] ὅτε παῖς B. ἐφειστήκει A. ἐφεστήκει PVL.

142 f. προσνεύσαντι] τῷ προσνεύσαντι Schweigh. οὐδὲν BCL. οὐθὲν AP. „*Etiam alibi fere, ubi* οὐθὲν *habet A*, οὐδὲν *scripsit epitomator.*“ Schweigh. καὶ πάντας om. P. ἀποτρέχειν] ἀποστρέφειν margo Q apud Villebrunium.

143 a. V. 3. εἰς P. ἐς VL. φιλίτια Toupius Emend. vol. III, p. 79. Libri φειδίτια. V. 4. ῥόφει Ruhnken. in Wyttenbachi annotatione ad Plutarch. vol. VII. p. 384. Libri φόρει.

Λύκτιοι συνάγουσι μὲν τὰ κοινὰ συσσίτια οὕτως· ἕκαστος τῶν γινομένων καρπῶν ἀναφέρει τὴν δεκάτην εἰς τὴν ἑται-
b ρίαν καὶ τὰς τῆς πόλεως προσόδους, ἃς διανέμουσιν οἱ προεστηκότες τῆς πόλεως εἰς τοὺς ἑκάστων οἴκους. τῶν δὲ δούλων ἕκαστος Αἰγιναῖον φέρει στατῆρα κατὰ κεφαλήν. διῄρηνται δ' οἱ πολῖται πάντες καθ' ἑταιρίας, καλοῦσι δὲ ταύτας ἀνδρεῖα. τήν τ' ἐπιμέλειαν ἔχει τοῦ συσσιτίου γυνή, τρεῖς ἢ τέτταρας τῶν δημοτικῶν προσειληφυῖα πρὸς τὰς ὑπηρεσίας. ἑκάστῳ δ' αὐτῶν ἀκολουθοῦσι δύο θεράποντες ξυλοφόροι· καλοῦσι δ' αὐτοὺς καλοφόρους. εἰσὶ δὲ πανταχοῦ κατὰ τὴν Κρήτην οἶκοι δύο τοῖς συσσιτίοις, ὧν τὸν
c μὲν καλοῦσιν ἀνδρεῖον, τὸν δ' ἄλλον, ἐν ᾧ τοὺς ξένους κοιμίζουσι, κοιμητήριον προσαγορεύουσι. κατὰ δὲ τὸν συσσιτικὸν οἶκον πρῶτον μὲν κεῖνται δύο τράπεζαι, ξενικαὶ καλούμεναι, αἷς προσκαθίζουσι τῶν ξένων οἱ παρόντες· ἑξῆς δ' εἰσὶν αἱ τῶν ἄλλων. παρατίθεται δὲ τῶν παρόντων ἴσον μέρος ἑκάστῳ· τοῖς δὲ νεωτέροις ἥμισυ δίδοται κρέως, τῶν δ' ἄλλων οὐδενὸς ἅπτονται. εἶτα ποτήριον ἐν ἑκάστῃ τραπέζῃ παρατίθεται κεκραμένον ὑδαρῶς· τοῦτο κοινῇ πάντες πίνουσιν οἱ κατὰ τὴν κοινὴν τράπεζαν· καὶ δει-
d πνήσασιν ἄλλο παρατίθεται. τοῖς δὲ παισὶ κοινὸς κέκραται κρατήρ. τοῖς δὲ πρεσβυτέροις, ἐὰν βούλωνται πλεῖον πιεῖν, ἐξουσία δέδοται. ἀπὸ δὲ τῆς τραπέζης τὰ βέλτιστα τῶν παρακειμένων ἡ προεστηκυῖα τῆς συσσιτίας γυνὴ φανερῶς ἀφαιροῦσα παρατίθησι τοῖς κατὰ τὸν πόλεμον ἢ κατὰ σύνεσιν δεδοξασμένοις. ἀπὸ δὲ τοῦ δείπνου πρῶτον

---

ἕκαστος] ἕκαστον B, non P. ἀναφέρει] ἀναφέρειν BP. ἀναφέρει τὴν δεκάτην εἰς τὰς ἑταιρίας, αἳ καλοῦνται ἀνδρεῖα, καθ' ἃς διῄρηντο οἱ πολῖται C.

143 b. ἑταιρίαν Schweigh. ἑταιρείαν PVL. ἑταιρίας VL et correctus P. ἑταιρείας B. καλοῦσι δὲ ταύτας ἀνδρεῖα add. A confirmantque quae supra ex C posui. om. BPVL. ἐπιμέλειαν] ἐπιμελείαν P. προσειληφυῖα om. P. Κρήτην] πόλιν codex Huraldinus. Κρήτην om. P.

143 c. κοιμίζουσι] κομίζουσι codex Huraldinus. πρῶτον] πρῶτα P. οὐδενὸς] Scribebatur οὐθενός.

143 d. παισὶ L. πᾶσι ABCPV. τῆς συσσιτίας] τῶν συσσιτιῶν P, altero superscripto.

μὲν εἰώθασι βουλεύεσθαι περὶ τῶν κοινῶν, εἶτα μετὰ ταῦτα μέμνηνται τῶν κατὰ πόλεμον πράξεων καὶ τοὺς γενομένους ἄνδρας ἀγαθοὺς ἐπαινοῦσι, προτρεπόμενοι τοὺς νεω-
e τέρους εἰς ἀνδραγαθίαν.“ Πυργίων δ᾽ ἐν τρίτῳ Κρητικῶν Νομίμων „Ἐν τοῖς συσσιτίοις (φησὶν) οἱ Κρῆτες καθήμενοι εὐσιτοῦσι· καὶ ὅτι ἀβαμβάκευτα τοῖς ὀρφανοῖς παρατίθεται· καὶ ὅτι οἱ νεώτατοι αὐτῶν ἐφεστᾶσι διακονοῦντες· καὶ ὅτι μετ᾽ εὐφημίας σπείσαντες τοῖς θεοῖς μερίζουσι τῶν παρατιθεμένων ἅπασιν· ἀπονέμουσι δὲ καὶ τοῖς υἱοῖς, κατὰ τὸν θᾶκον τὸν τοῦ πατρὸς ὑφιζάνουσιν, ἐξ ἡμισείας τῶν τοῖς ἀνδράσι παρατιθεμένων. τοὺς δ᾽ ὀρφανοὺς ἰσομερεῖς εἶναι· παρατίθεται δ᾽ αὐτοῖς ἀβαμβάκευτα
f τῇ κράσει καθ᾽ ἕκαστα τῶν νενομισμένων. ἦσαν δὲ καὶ ξενικοὶ θᾶκοι καὶ τράπεζα τρίτη δεξιᾶς εἰσιόντων εἰς τὰ ἀνδρεῖα· ἣν ξενίου τε Διὸς ξενίαν τε προσηγόρευον.“

23. Ἡρόδοτος δὲ συγκρίνων τὰ τῶν Ἑλλήνων συμπόσια πρὸς τὰ παρὰ Πέρσαις φησὶν „Ἡμέρην δὲ Πέρσαι ἁπασέων μάλιστα ἐκείνην τιμᾶν νομίζουσι τῇ ἕκαστος ἐγένετο. ἐν ταύτῃ δὲ πλέω δαῖτα τῶν ἄλλων δικαιεῦσι προτίθεσθαι· ἐν τῇ οἱ εὐδαίμονες αὐτῶν βοῦν καὶ ὄνον καὶ ἵππον καὶ κάμηλον προτιθέαται, ὅλους ὀπτοὺς ἐν καμί-
144 νοις· οἱ δὲ πένητες αὐτῶν τὰ λεπτὰ τῶν προβάτων προτιθέαται. σίτοισί τε ὀλίγοισι χρέονται, ἐπιφορήμασι δὲ πολλοῖσι καὶ οὐκ ἁλέσι. καὶ διὰ τοῦτό φασι Πέρσαι τοὺς Ἕλληνας σιτεομένους πεινῶντας παύεσθαι, ὅτι σφίσιν ἀπὸ δείπνου παραφορέεται οὐδὲν λόγου ἄξιον· εἰ δέ τι παραφέροιτο, ἐσθίοντας ἂν οὐ παύεσθαι. οἴνῳ δὲ κάρτα προσκέαται· καί σφιν οὐκ ἐμέσαι ἔξεστιν, οὐκ οὐρῆσαι

143 e. νεωτέρους A. νέους PVL. ἀβαμβάκευτα Schweigh. ἀβαμβάκευστα PVL. ἀβαμβάκαντα B. θεοῖς B. Legebatur θείοις. θάκον τὸν τοῦ PVL. θάκον τοῦ B. ὑφιζάνουσιν AC. ἐφιζάνουσιν BPVL. ἐξ om. B. ἀβαμβάκευτα AP. ἀβαμβάκευστα VL. ἀβαμβάκαντα B.

143 f. δεξιᾶς PVL. δεξιὰς A. ἐκ δεξιᾶς Casaubonus. Vide Hemsterhus. ad Thucyd. I. 24. p. 40. Bekk. Ἡρόδοτος] I. 133. δικεῦσι προστίθεσθαι B.

144 a. προβάτων προτίθενται AC. προβάτων τίθενται PVL. οὐκ ἁλέσι] οὐκαλέσι A. οὐκ ἄλλεσι B. οὐκ ἄλλεσι P. οὐκ ἄλεσι V. οὐ καλοῖσι Basil. L. om. C, πινῶντας B.

ἀντίον ἄλλου. ταῦτα μὲν οὖν οὕτω φυλάσσεται. μεθυσκόμενοι δὲ εἰώθασι βουλεύεσθαι τὰ σπουδαιότατα τῶν πρηγμάτων. τὸ δ' ἂν ἅδῃ σφίσι βουλευομένοισι, τοῦτο τῇ ὑστεραίῃ νήφουσι προτιθεῖ ὁ στεγέαρχος ἐν τοῦ ἂν ἐόντες βουλεύωνται. καὶ ἢν μὲν ἅδῃ καὶ νήφουσι, χρέονται αὐτῷ· εἰ δὲ μή, μετιεῖσι. τὰ δ' ἂν νήφοντες προβουλεύσωνται, μεθυσκόμενοι ἐπιδιαγινώσκουσι."

24. Περὶ δὲ τῆς τρυφῆς τῶν ἐν Πέρσαις βασιλέων Ξενοφῶν ἐν Ἀγησιλάῳ γράφει οὕτως „Τῷ μὲν γὰρ Πέρσῃ πᾶσαν γῆν περιέρχονται μαστεύοντες τί ἂν ἡδέως πίοι· μυρίοι δὲ τεχνῶνται τί ἂν ἡδέως φάγοι. ὅπως γε μὴν καταδάρθοι οὐδ' ἂν εἴποι τις ὅσα πραγματεύονται. Ἀγησίλαος δὲ διὰ τὸ φιλόπονος εἶναι πᾶν μὲν τὸ παρὸν ἡδέως ἔπινε, πᾶν δὲ τὸ συντυχὸν ἡδέως ἤσθιεν· εἰς δὲ τὸ ἀσμένως κοιμηθῆναι πᾶς τόπος ἱκανὸς ἦν αὐτῷ." ἐν δὲ τῷ Ἱέρωνι ἐπιγραφομένῳ λέγων περὶ τῶν τοῖς τυράννοις παρασκευαζομένων καὶ τῶν τοῖς ἰδιώταις εἰς τροφάς φησιν οὕτως „Καὶ οἶδά γε, ἔφη, ὦ Σιμωνίδη, ὅτι τούτῳ κρίνουσιν οἱ πλεῖστοι ἥδιον ἡμᾶς καὶ πίνειν καὶ ἐσθίειν τῶν ἰδιωτῶν, ὅτι δοκοῦσι καὶ αὐτοὶ ἥδιον ἂν δειπνῆσαι τὸ ἡμῖν παρατιθέμενον δεῖπνον ἢ τούτοις. τὸ γὰρ τὰ εἰωθότα ὑπερβάλλον, τοῦτο παρέχει τὰς ἡδονάς. διὸ καὶ πάντες

---

μὲν οὖν οὕτω B. Aberat οὖν. μέν νυν οὕτω Herodotus.

144 b. τῶν πρηγμάτων AP. τῶν πραγμάτων B. αὐτῶν πρήγματα (πρά — L) VL. ἅδῃ L. ἃ δῆ V. ἃ δὴ P. ὑστεραίᾳ μὲν νήφουσι B. ὑστεραίῃ μιν νήφουσι P. στεγέαρχος] στέγαρχος Herodotus. καὶ ἢν μὲν] καὶ εἰ μὲν B. ἅδῃ L. ἁδῆ BV. ἃ δὴ P. μετιεῖσι Herodotus. μετίησιν A. μετίησι BCP. μετίασι VL. τὰ δ' ἂν AC. τὰ δ' ἃ VL. τάδε ἃ P. Ἀγησιλάῳ] IX, 3. γράφει οὕτως P. Legebatur οὕτω γράφει. μαστεύοντες] μαγεύοντες B, qui fortasse ματεύοντες voluit. μυρίοι PVL. μύριοι Schweigh. editio. φάγοι] φάγῃ B.

144 c. πᾶν μὲν τὸ VL. πᾶν μὲν διὰ τὸ ABP. ἤσθιεν] εἴσθιεν BP. Ἱέρωνι] I, 17. τοῖς τυράννοις] τοῖς τυράννου B. ἔφη] ἔφη τοι ABP. τούτῳ Bas. L. τοῦτο PV. τούτοις ABCDPQV. τὸ ἑαυτοῖς Bas. L, ex Xenophonte. τὸ αὐτοῖς (immo αὑτοῖς) Villebrunius.

144 d. ὑπερβάλλον B. ὑπερβάλλειν PVL.

ἄνθρωποι ἡδέως προσδέχονται τὰς ἑορτάς, πλὴν οὐχ οἱ τύραννοι. ἔκπλεῳ γὰρ αὐτοῖς ἀεὶ παρεσκευασμέναι οὐδεμίαν ἐν ταῖς ἑορταῖς ἐπίδοσιν ἔχουσιν αὐτῶν αἱ τράπεζαι· ὥστε ταύτῃ πρῶτον τῇ εὐφροσύνῃ τῆς ἐλπίδος μειονεκτοῦσι τῶν ἰδιωτῶν. ἔπειτα, ἔφη, ἐκεῖνο εὖ οἶδα ὅτι καὶ σὺ ἔμπειρος εἶ, ὅτι ὅσῳ ἄν τις πλείω παραθῆται τὰ περιττὰ τῶν ἱκα-
e νῶν, τοσούτῳ καὶ θᾶσσον μᾶλλον κόρος ἐμπίπτει τῆς ἐδωδῆς. ὥστε καὶ τῷ χρόνῳ τῆς ἡδονῆς μειονεκτεῖ ὁ παρατιθέμενος πολλὰ τῶν μετρίως διαιτωμένων. ἀλλὰ καὶ μὰ Δία, ἔφη ὁ Σιμωνίδης, ὅσον ἂν χρόνον ἡ ψυχὴ προσίηται, τοῦτον πολὺ μᾶλλον ἥδονται οἱ ταῖς πολυτελεστέραις παρασκευαῖς τρεφόμενοι τῶν τὰ εὐτελέστατα παρατιθεμένων."

25. Θεόφραστος δ' ἐν τῷ πρὸς Κάσανδρον περὶ βασιλείας — εἰ γνήσιον τὸ σύγγραμμα· πολλοὶ γὰρ αὐτό φασιν εἶναι Σωσιβίου, εἰς ὃν Καλλίμαχος ὁ ποιητὴς ἐπινίκιον ἐλεγειακὸν ἐποίησε — τοὺς Περσῶν φησι βασιλεῖς ὑπὸ τρυ-
f φῆς προκηρύττειν τοῖς ἐφευρίσκουσί τινα καινὴν ἡδονὴν ἀργυρίου πλῆθος. Θεόπομπος δ' ἐν τῇ τριακοστῇ καὶ πέμπτῃ τῶν ἱστοριῶν τὸν Παφλαγόνων φησὶ βασιλέα Θῦν ἑκατὸν πάντα παρατίθεσθαι δειπνοῦντα ἐπὶ τὴν τράπεζαν, ἀπὸ βοῶν ἀρξάμενον· καὶ ἀναχθέντα αἰχμάλωτον ὡς βασιλέα καὶ ἐν φυλακῇ ὄντα πάλιν τὰ αὐτὰ παρατίθεσθαι ζῶντα λαμπρῶς. διὸ καὶ ἀκούσαντα Ἀρταξέρξην εἰπεῖν ὅτι
145 οὕτως αὐτῷ δοκοίη ζῆν ὡς ταχέως ἀπολούμενος. ὁ δ' αὐτὸς Θεόπομπος ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῶν Φιλιππικῶν „Ὅταν (φησὶ) βασιλεὺς εἴς τινας ἀφίκηται τῶν ἀρχομένων,

---

πλὴν οὐχ οἱ ABPV. πλὴν οἱ Bas. L, ex Xenophonte. ἀλλ' οὐχ οἱ C. παρασκευασμένας BP. ὅσῳ ἄν τις πλέων (πλέω P) τις AP. ὅσῳ ἄν τις πλέων B. ὅσῳ ἂν πλείω τις C. ὅσῳ ἄν τισι πλέω τὶ V. ὅσῳ ἄν τις πλέω L. θᾶσσον μᾶλλον ABCPV. μᾶλλον delevit L.

144 e. διαιτωμένων] Quae sequuntur om. C. τοῦτον L. τοῦτο BPV. πολὺ BL. πολλῷ V. πολλὰ P. ἐπινίκιον L. ἐπίνικον ABPV.

144 f. φησι add. L. om. PV. Θεόπομπος] Θεόφραστος C. τριακοστῇ καὶ πέμπτῃ] λε P. Παφλαγόνων φησὶ] φησὶ om. P.

145 a. οὕτως ACP et Casaubonus. οὗτος VL. δοκοίη P. δοκοίη V. δοκείη L. δοκεῖ B. τεσσαρεσκαιδεκάτῃ L. τεσσαρασκαιδεκάτῃ V. ιδ' P. ὅταν εἴς τινας ἀφίκηται τῶν ἀρχομένων ὁ βασιλεὺς C

εἰς τὸ δεῖπνον αὐτοῦ δαπανᾶσθαι εἴκοσι τάλαντα, ποτὲ δὲ καὶ τριάκοντα. οἱ δὲ καὶ πολὺ πλείω δαπανῶσιν. ἑκάσταις γὰρ τῶν πόλεων κατὰ τὸ μέγεθος ὥσπερ ὁ φόρος καὶ τὸ δεῖπνον ἐκ παλαιοῦ τεταγμένον ἐστίν."

26. Ἡρακλείδης δ' ὁ Κυμαῖος ὁ τὰ Περσικὰ συγ-
γράψας ἐν τῷ δευτέρῳ τῶν ἐπιγραφομένων Παρασκευαστι-
b κῶν „Καὶ οἱ θεραπεύοντες (φησὶ) τοὺς Περσῶν βασιλεῖς
δειπνοῦντας ἅπαντες λελουμένοι διακονοῦσιν, ἐσθῆτας κα-
λὰς ἔχοντες, καὶ διατρίβουσι σχεδὸν τὸ ἥμισυ τῆς ἡμέρας
περὶ τὸ δεῖπνον. τῶν δὲ τοῦ βασιλέως συνδείπνων οἱ μὲν
ἔξω δειπνοῦσιν, οὓς καὶ ὁρᾶν ἔξεστι παντὶ τῷ βουλομένῳ,
οἱ δὲ εἴσω μετὰ βασιλέως. καὶ οὗτοι δὲ οὐ συνδειπνοῦσιν
αὐτῷ, ἀλλ' ἔστιν οἰκήματα δύο καταντικρὺ ἀλλήλων, ἐν
ᾧ ὁ βασιλεὺς τὸ ἄριστον ποιεῖται καὶ ἐν ᾧ οἱ σύνδειπνοι.
καὶ ὁ βασιλεὺς ἐκείνους ὁρᾷ διὰ τοῦ παρακαλύμματος τοῦ
c ἐπὶ τῇ θύρᾳ· ἐκεῖνοι δ' αὐτὸν οὐχ ὁρῶσιν. ἐνίοτε μέντοι,
ἐπειδὰν ἑορτὴ ᾖ, ἐν ἑνὶ οἰκήματι ἅπαντες δειπνοῦσιν, ἐν
ᾧ καὶ ὁ βασιλεύς, ἐν τῷ μεγάλῳ οἴκῳ. ὅταν δὲ ὁ βασι-
λεὺς πότον ποιῆται, ποιεῖ δὲ πολλάκις, συμπόται αὐτῷ
εἰσιν ὡς μάλιστα δώδεκα. καὶ ὅταν δειπνήσωσιν, ὅ τε βα-
σιλεὺς αὐτὸς καθ' αὑτὸν καὶ οἱ σύνδειπνοι, καλεῖ τοὺς
συμπότας τούτους τις τῶν εὐνούχων. καὶ ὅταν εἰσέλθωσι,
συμπίνουσι μετ' αὐτοῦ οὐ τὸν αὐτὸν οἶνον κἀκεῖνοι· καὶ
οἱ μὲν χαμαὶ καθήμενοι, ὁ δ' ἐπὶ κλίνης χρυσόποδος κα-
d τακείμενος· καὶ ὑπερμεθυσθέντες ἀπέρχονται. τὰ δὲ πλεῖ-
στα ὁ βασιλεὺς μόνος ἀριστᾷ καὶ δειπνεῖ. ἐνίοτε δὲ καὶ ἡ
γυνὴ αὐτῷ συνδειπνεῖ καὶ τῶν υἱῶν ἔνιοι. καὶ παρὰ τὸ
δεῖπνον ᾄδουσί τε καὶ ψάλλουσιν αἱ παλλακαὶ αὐτῷ, καὶ
μία μὲν ἐξάρχει, αἱ δ' ἄλλαι ἁθρόως ᾄδουσι. τὸ δὲ δεῖ-
πνον, φησί, τοῦ βασιλέως καλούμενον ἀκούσαντι μὲν δόξει

---

εἰς τὸ] εἰς om. B. τριάκοντα] λ P. ἑκάσταις L. ἕκασται BV. ἑκάσται (sic) P.

145 b. καλὰς] λευκὰς C et Mssti Casauboni, i. e. opinor epitome Hoeschelii. κατ' ἀντικρὺ ACP. κατάντικρυ B. κατ' ἀντικρὺς VL.

145 c. ὅταν δὲ ὁ B. Aberat ὁ. καθ' αὐτὸν B. καθ' ἑαυτὸν A PVL. εἰσέλθωσι B. συνέλθωσι PVL.

μεγαλοπρεπὴς εἶναι, ἐξεταζόμενον δὲ φανεῖται οἰκονομικῶς
καὶ ἀκριβῶς συντεταγμένον καὶ τοῖς ἄλλοις Πέρσαις τοῖς
e ἐν δυναστείᾳ οὖσι κατὰ τὸν αὐτὸν τρόπον. ἔστι μὲν γὰρ
τῷ βασιλεῖ χίλια ἱερεῖα τῆς ἡμέρας κατακοπτόμενα. τούτων
δ' εἰσὶ καὶ ἵπποι καὶ κάμηλοι καὶ βόες καὶ ὄνοι καὶ ἔλα-
φοι καὶ τὰ πλεῖστα πρόβατα· πολλοὶ δὲ καὶ ὄρνιθες ἀνα-
λίσκονται, οἵ τε στρουθοὶ οἱ Ἀράβιοι, ἔστι δὲ τὸ ζῶον
μέγα, καὶ χῆνες καὶ ἀλεκτρυόνες. καὶ μέτρια μὲν αὐτῶν πα-
ρατίθεται ἑκάστῳ τῶν συνδείπνων τοῦ βασιλέως καὶ ἀπο-
φέρεται ἕκαστος αὐτῶν ὅ τι ἂν καταλίπηται ἐπὶ τῷ ἀρί-
στῳ. τὰ δὲ πλεῖστα τούτων τῶν ἱερείων καὶ τῶν σιτίων
f οὓς τρέφει βασιλεὺς τῶν τε δορυφόρων καὶ τῶν πελταστῶν,
τούτοις ἐκφέρεται εἰς τὴν αὐλήν· οὗ ἰδεῖν ἅπαντα μερίδας
ποιήσαντες τῶν κρεῶν καὶ τῶν ἄρτων ἴσας διαιροῦνται.
ὥσπερ δὲ οἱ μισθοφόροι ἐν τῇ Ἑλλάδι μισθὸν ἀργύριον
λαμβάνουσιν, οὕτως οὗτοι τὰ σιτία παρὰ τοῦ βασιλέως
εἰς ὑπόλογον λαμβάνουσιν. οὕτω δὲ καὶ παρὰ τοῖς ἄλλοις
Πέρσαις τοῖς ἐν δυναστείᾳ οὖσιν ἀθρόα πάντα τὰ σιτία
ἐπὶ τὴν τράπεζαν παρατίθεται· ἐπειδὰν δὲ οἱ σύνδειπνοι
δειπνήσωσι, τῶν ἀπὸ τῆς τραπέζης παραλειπομένων, κα-
ταλείπεται δὲ τὰ πλεῖστα κρέα καὶ ἄρτοι, ὁ τῆς τραπέζης
ἐπιμελούμενος δίδωσιν ἑκάστῳ τῶν οἰκετῶν· καὶ ταῦτα λα-
146 βὼν τὴν καθ' ἡμέραν ἔχει τροφήν. παρὰ γὰρ τὸν βασι-
λέα φοιτῶσιν οἱ ἐντιμότατοι τῶν συνδείπνων ἐπὶ τὸ ἄρι-
στον μόνον, διὰ τὸ παρῃτῆσθαι, ἵνα μὴ δὶς πορεύωνται,
ἀλλὰ καὶ αὐτοὶ τοὺς συνδείπνους ὑποδέχωνται.

27. Ἡρόδοτος δέ φησιν ἐν τῇ ἑβδόμῃ ὡς οἱ ὑποδεχόμενοι Ἑλλήνων τὸν βασιλέα καὶ δειπνίζοντες Ξέρξην ἐς πᾶν κακοῦ ἀφίκοντο οὕτως ὥστε ἐκ τῶν οἴκων ἀνάστατοι ἐγένοντο· ὅκου Θασίοισιν ὑπὲρ τῶν ἐν τῇ ἠπείρῳ πολίων

---

145 e. οἵ τε στρουθοὶ] καὶ στρουθοὶ C.

145 f. οὗ ἰδεῖν PVL. οὗ ἦν ἰδεῖν A. οὗ οἱ ἰδίατροι Casaubonus. ποιήσαντες] ποιήσαντας P. οὕτως οὗτοι CL et epitome Hoeschelii. οὕτως om. ABPV.

146 a. δὶς πορεύωνται] δυσπορεύωνται P. ἑβδόμῃ] Cap. 118. — 120. ἐς πᾶν] εἰς πᾶν P. κακοῦ AC. κακὸν PVL. ἐγένοντο P. Legebatur ἐγίνοντο. πολίων] πόλεων P.

τῶν σφετέρων δεξαμένοις τὴν Ξέρξεω στρατιὰν καὶ δειπνί-
b σασι τετρακόσια τάλαντα ἀργυρίου Ἀντίπατρος τῶν ἀστῶν ἀνὴρ ἐδαπάνησε. καὶ γὰρ ἐκπώματα ἀργυρᾶ καὶ χρυσᾶ καὶ κρατῆρας παρετίθεντο, καὶ ταῦτα μετὰ τὸ δεῖπνον * * εἰ δὲ Ξέρξης δὶς ἐσιτέετο, μεταλαμβάνων καὶ ἄριστον, ἀνάστατοι ἂν ἐγεγόνεσαν αἱ πόλεις. καὶ ἐν τῇ ἐνάτῃ δὲ τῶν ἱστοριῶν φησι „Βασιλήιον δεῖπνον βασιλεὺς προτίθεται. τοῦτο δὲ παρασκευάζεται ἅπαξ τοῦ ἐνιαυτοῦ, ἐν ἡμέρῃ τῇ ἐγένετο ὁ βασιλεύς. οὔνομα δὲ τῷ δείπνῳ Περσιστὶ μὲν τυκτά, Ἑλληνιστὶ δὲ τέλειον. τότε καὶ τὴν κεφαλὴν σμᾶ-
c ται μοῦνον καὶ Πέρσαις δωρέεται." ὁ δὲ μέγας Ἀλέξανδρος δειπνῶν ἑκάστοτε μετὰ τῶν φίλων, ὡς ἱστορεῖ Ἔφιππος ὁ Ὀλύνθιος ἐν τῷ περὶ τῆς Ἀλεξάνδρου καὶ Ἡφαιστίωνος μεταλλαγῆς, ἀνήλισκε τῆς ἡμέρας μνᾶς ἑκατόν, δειπνούντων ἴσως ἑξήκοντα ἢ ἑβδομήκοντα φίλων. ὁ δὲ Περσῶν βασιλεύς, ὥς φησι Κτησίας καὶ Δίνων ἐν τοῖς Περσικοῖς, ἐδείπνει μετὰ ἀνδρῶν μυρίων πεντακισχιλίων, καὶ ἀνηλίσκετο εἰς τὸ δεῖπνον τάλαντα τετρακόσια. γίνεται δὲ ταῦτα
d Ἰταλικοῦ νομίσματος ἐν μυριάσι διακοσίαις τεσσαράκοντα. αὗται δὲ εἰς μυρίους πεντακισχιλίους μεριζόμεναι ἑκάστῳ ἀνδρὶ γίνονται ἀνὰ ἑκατὸν ἑξήκοντα Ἰταλικοῦ νομίσματος. ὥστ' εἰς ἴσον καθίστασθαι τῷ τοῦ Ἀλεξάνδρου ἀναλώματι· ἑκατὸν γὰρ μνᾶς ἀνήλισκεν, ὡς ὁ Ἔφιππος ἱστόρησεν.

Μένανδρος δ' ἐν Μέθῃ τοῦ μεγίστου δείπνου δαπάνημα τάλαντον τίθησι λέγων οὕτως

---

Ξέρξεω] ξέρξου B. στρατιὰν] στρατειὰν P. δειπνίσασι] δειπνήσασι BP.

146 b. Post τὸ δεῖπνον aliqua excidisse vidit Schweigh. Quorum qui sensus fuerit ex Herodoti verbis coniicere licet, τῇ ὑστεραίῃ τήν τε σκηνὴν ἀνασπάσαντες καὶ τὰ ἔπιπλα πάντα λαβόντες οὕτω ἀπελαύνον, λείποντες οὐδέν, ἀλλὰ φερόμενοι. ἐσιτέετο AC. ἐσιτεύετο PVL. ἐνάτῃ (scribebatur ἐννάτῃ)] Cap. 110. Hunc locum om. C. τῶν ἱστοριῶν om. B. ἡμέρῃ] ἡμέρα B. ὁ βασιλεὺς] ὁ om. Herodotus. Περσιστὶ μὲν] μὲν om. B.

146 c. μοῦνον AB. μόνον PVL. ἐδείπνει μετὰ PVL. ἐδείπνει μὲν μετὰ AC. ἐδείπνων μετὰ B. ἀνηλίσκετο] ἀνηλίσκοντο B. ἀνήλισκεν C.

146 d. ὁ Ἔφιππος] ὁ om. P. Μένανδρος] P. 107. Eosdem versus attulit VIII. p. 364 d. In C haec sic contracta, Μένανδρος

Εἶτ᾽ οὐχ ὅμοια πράττομεν καὶ θύομεν;
ὅπου γε τοῖς θεοῖς μὲν ἠγορασμένον
e δραχμῶν ἄγω προβάτιον ἀγαπητὸν δέκα,
αὐλητρίδας δὲ καὶ μύρον καὶ ψαλτρίας
ταύτας, Θάσιον, ἐγχέλεις, τυρὸν, μέλι·
μικροῦ ταλάντου γίγνεται τὸ κατὰ λόγον.

ὡς γὰρ ὑπερβολῆς τινος ἀναλώματος τάλαντον ὠνόμασε. καὶ ἐν Δυσκόλῳ δέ φησιν οὕτως

Ὡς θύουσι δ᾽ οἱ τοιχωρύχοι,
κοίτας φέροντες, σταμνί᾽, οὐχὶ τῶν θεῶν
ἕνεκ᾽, ἀλλ᾽ ἑαυτῶν. ὁ λιβανωτὸς εὐσεβὲς
f καὶ τὸ πόπανον· τοῦτ᾽ ἔλαβεν ὁ θεὸς ἐπὶ τὸ πῦρ
ἅπαν ἐπιτεθέν. οἱ δὲ τὴν ὀσφὺν ἄκραν
καὶ τὴν χολὴν ὀστᾶ τ᾽ ἄβρωτα τοῖς θεοῖς
ἐπιθέντες αὐτοὶ τἄλλα καταπίνουσι.

28. Φιλόξενος δ᾽ ὁ Κυθήριος ἐν τῷ ἐπιγραφομένῳ

---

δὲ τοῦ μεγίστου δείπνου τάλαντον δαπάνημα τίθησι λέγων· θεοῖς μὲν ἠγορασμένον δραχμῆς ἄγω προβάτιον· αὐλητρίδας δὲ καὶ μύρον καὶ τὰ καὶ τὰ, μικροῦ ταλάντου γίνεται τὸ κατάλογον. V. 1. εἶτ᾽ οὐχ ABL et 364. εἶθ᾽ PV. ὅμοια] ἅπαντα 364.

146 e. V. 3. δέκα 364. Libri δώδεκα. V. 4. δὲ] τε BP. V. 5. ταύτας] Μενδαῖον 364. ubi vide Porsoni coniecturam. V. 6. ταλάντου C compendio scriptum. τάλαντον PVL. Libri γίνεται. ὑπερβολῆς τινος] ὑπερβολὰς τινὸς B. ὑπερβολάς τινας D apud Villebrunium. Δυσκόλῳ] P. 50. ὅτι τοῖς θεοῖς τὴν ὀσφῦν ἄκραν καὶ τὴν χολὴν ἐπιθέντες, τὸ λοιπὸν ἅπαν αὐτοὶ κατεσθίουσι C.
V. 1. τυχωρύχοι B. V. 2. κοίτας] κοίτης B. σταμνί᾽] σταμνία τ᾽ Brunckius. V. 3. εὐσεβὲς] εὐσεβὴς Porphyrius de Abstin. II. p. 131.

146 f. V. 4. ἐπὶ] ἐπεὶ B. V. 5. ὀσφῦν PVL. ὀσφὴν B. οἱ δὲ τὴν ὀσφῦν ἄκραν θύσαντες Etymol. M. p. 468, 28. V. 6. ὀστᾶ τ᾽ ἄβρωτα Casaubonus comparato Clemente Alex. Strom. VII. p. 847. Pott. ὅτι ἐς τὰ βρώματα ABP. ἔτ᾽ ἐς τὰ βρώματα VL. ὅτι ex DQ memoravit Villebrunius. V. 7. καταπίνουσ᾽ ἀεί Bentleius.

De Philoxeni versibus vide annotationem. Φιλόξενος δὲ ὁ κυθήριος φησί που. εἰς δ᾽ ἔφερον διπλόοι παῖδες λιπαρῶπα τράπεζαν ἄμμι. ἑτέραν δ᾽ ἕτεροι, ἄλλοι δ᾽ ἑτέραν μέχρις οὗ πλήρωσαν οἶκον. ταὶ δὲ πρὸς ὑψιλύχνους ἔστιλβον αὐγάς. ἐν οἷς φησι καὶ ὅτι παρέφερον ἐν κανέοισι μάζας χιονόχροας (sic). καὶ ὅτι θερμὸς παρῆλθε μετ᾽ αὐτῶν

Δείπνῳ, εἴπερ τούτου καὶ ὁ κωμῳδιοποιὸς Πλάτων ἐν τῷ Φάωνι ἐμνήσθη, καὶ μὴ τοῦ Λευκαδίου Φιλοξένου, τοιαύτην ἐκτίθεται παρασκευὴν δείπνου „Εἰς δ' ἔφερον διπλόοι παῖδες λιπαρῶπα τράπεζαν ἄμμι, ἑτέραν δ' ἑτέ-
147 ροι, ἄλλοι δ' ἑτέραν, μέχρι οὗ πλήρωσαν οἶκον. ταὶ δὲ πρὸς ὑψιλύχνους ἔστιλβον αὐγὰς ἰστεφάνοις λαχάνοις παροψίσι τε ὀξυβάφων πλήρεις, σύν τε χλιδῶσαι παντοδαποῖς τέχνας εὑρήμασι πρὸς βιοτὰν ψυχᾶς δελεασματίοισι. παρέφερον ἐν κανέοισι μάζας χιονοχρόας. ἄλλοι δ' ἐπὶ πρῶτα παρῆλθεν οὐ κάκκαβος, ὦ φιλότας, ἀλλ' ἀλλοπλατεῖς τὸ μέγιστον πάντ' ἔπαθεν λιπαρόν τ' ἐς ἐγχέλεά τινες ἄριστον, γογγροιτοιωνητεμὼν πλῆρες θεοτερπές. ἐπ' αὐτῷ δ' ἄλλο παρῆλθε τόσον βαστιανέην ἰσόκυκλος. μι-
b κρὰ δὲ κακκαβίης, ἔχοντα τὸ μὲν γαλεουτινάρκιον ἄλλου παρῆς ἕτερον πίων ἀπὸ τευθιάδα, καὶ σηπίου πολυποδίων ἁπαλοπλοκάμων. θερμὸς μετὰ ταῦτα παρῆλθεν ἰσοτράπεζος ὅλος μνήστης συνόδων πυρὸς, ἔπειτα βαθμοὺς ἀτμίζων, ἐπὶ τῷ δ' ἐπίπυσται τευθίδες, ὦ φίλε, καὶ ξανθαὶ μελικαρίδες αἱ κοῦφαι παρῆλθον, θρυμματίδες δ' ἐπὶ ταύταις εὐπέταλοι, χλωραί τε ἡδυφάρυγγες, πυρίων τε
c στεγναὶ βύσται μέγαθος κακκάβου γλυκὺ ὄξιος ὀμφαλὸς

---

ἰσοτράπεζος συνόδων, καὶ ξανθαὶ μελικαρίδες καὶ ἄλλα τοιαῦτα ληρεῖ C. κωμῳδιοποιὸς A. κωμῳδοποιὸς PVL. Πλάτων] I. p. 5 b. ἄμμι AB. ἄμμι δ' VL. ἄμμι δ' P. μέχρι] μέχρις BC.

147 a. ἰστεφάνοις A. αἳ στεφάνοις VL. ἴστεφαν οἱ B. ἰστεφάνοι P. παντοδαποῖς ABP. παντοδαποὺς VL. εὑρήματι AB. εὑρήμασι P. εὑρήματι VL. ἀλλ' P. ἀλλὰ VL. ἀλλοπλατεῖς A. ἀλοπατεῖς P. ἀλοπλατεῖς B. λοπὰς ἧς VL. πάντ' AB. πάντη PVL. ἔπαθεν A. ἔπαθε B. ἔπεθεν VL. ἔπεσθεν λιπαρόντες ἐγχελεά τινες P. τ' ἐς om. B. ἐγχέλεά AB. ἐγχέλεάς VL. βαστισνεην sine accentu P.

147 b. κακκαβίης AB. κακκαβί P. κακκάβι' L. κακκαβὶ V. γαλεοῦ τι ναρκίον ἀλλ' οὐ P. πίων] πιὼν P. μετὰ ταῦτα] ταῦτα om. B. ὦ φίλε] Legebatur ὦ φίλαι. εὐπέταλοι] ἐπίπεταλοι B. τε δὴ φάρυγγες AB. τε ἡδυφάρυγγες PVL. πυρίων τε APV. πηρίων τε L. πυρίωντα B. στεγναὶ] στυγναὶ P. μέγαθος κακὰ κακκάβου γλυκιου (γλυκίου B) ὄξιος AB. μέγαθος (μέγεθος P) κακκάβου γλυκὺ ὄξιος PVL.

θοινέας καλεῖται παρέχειν κάπων σαφῶ οἶδα · ἐσταδαναι-
μαθέους ὑπερμέγεθες τίθεμος θυγμοῦ μόλεν ὀπτὸν ἐκεῖθεν
θερμόν, ὅθεν γλυφὶς τέτμενον εὐθὺς ἐπ' αὐτὰς τὰς ὑπο-
γαστρίδας διανεκέος ἐπάμυνε πέμπτε μελοικαίτω μάλα κεν
κεχαροίμεθα, ἀλλ' οὐθὲν ἐλλείπομεν θοιναπαρέης ὅτε
παλάξαι δύνατ' ἐπικρατέως ἔγω γειτικοῦ καὶ λέγοι τις
πάντα παρῆν ἑτόμως ὕμμιν, παρέπεσσε δὲ θερμὸν σπλάγ-
d χνον. ἔπειτα δὲ νῆστις δέλφακος οἰκετικᾶς, καὶ νώτιος εἴ-
ληφε, καὶ ἰσφῦς, καὶ μινυρίγματα θερμὰ καὶ κεφάλαιον
ὅλον διάπτυχες ἑφθὸν ἀπερπευθηνὸς ἀλεκτοτρόφου πνι-
κτᾶς ἐρίφου παρέθηκε, εἶτα δίεφθ' ἀκροκώλια, σχελίδας
τε μετ' αὐτῶν λευκοφορινοχρόους, ῥύγχη καὶ κεφαλαὶ ἄπο-
δος τεχνάματι ὄντες ἐσιφωμένον. ἑφθά τ' ἔπειτα κρέα,
ὀπτὰ ἄλλ' ἐρίφων τε καὶ ἀρνῶν ἀθυπέρωμα καρὸς χορδή·
γλυκὺς ταμιξεριφαρνογένης ἂν δὴ φιλέουσι θεοὶ τοῦτ', ὦ
e φιλότας, ἔσθοις καὶ λαγῷά τ' ἔπειτ' ἀλεκτρυόνων τε νεοσ-
σοί, περδίκων, φάσεων τε χυδαν. ἤδη δὲ παρεβάλλετο
θερμὰ πολλά, καὶ μαλακοπτυχέων ἄρτων. ὁμοσύζυγα δὲ
ξανθόν τ' ἐπεισῆλθε μέλι καὶ γάλα σύμπακτον, τό κε

---

147 c. σαφυ οἶδα ἐστα δ' ἀνεμαθέους P. εὐσταδεναι μὰ θεοὺς B. ὑπερμέγεθες AB. ὑπερμέγεθος PVL. γλυφίς τε μένον P. τέτμενον A. τέμενὸν VL. διανεκέος] διὰ νέκεος P. πέ μιν τε μέλοι καὶ τὴν P. δτ' ἐπαλλάξαι P. δύνατ'] δύναται B. ἔγωγε τιμου P. λέγοι] λέγει P. ἐτόμως A. ἐτύμας B. ἑτοίμως PVL. παρέπεσσε] παρέπεσαι B. σπλάγχνον BP. σπλάγχον VL.

147 d. ἰσφῦς A. ἴσφυς B. ὀσφῦς PVL. μινυρίσματα B. ἅπερ πεύθηνος P. ἀλεκτοτρόφου] ἀλεκτροφόρου P. πνικτᾶς] πνικτῆς B. δίεφθ' ἀκροκώλια σχελίδας] δίεφθα 'κροκώλια σχελίδας A. διέφθ' ἀκρόκωλα σχελίδας P. δίεφθα κρόκῳ λασχελίδας VL. τεχνάματι ὄντες A. τεχναματίοντες P. τεχνάματ' ἰόντες VL. ἑφθά τ'] ἑφθά τε B. ἀθυπέρωμα καρὸς A. ἀθυπερώμακαρος B. ἀθυπέρκωμα καρὸς P. ἀθυπέρκομα καρὸς VL. ταμιξαριφαρνογενὴς B. ἂν δὴ φιλέοντι P. Scribebatur ἀνδηφιλέοντι. τοῦτ' ὦ B τοῦτο P. τούτῳ VL. φιλότας] Legebatur φιλέτας. φιλετας P. ἔσθοις] ἔθοις P. λαγῷά τ' Schweigh. λαγωάτ' PVL. λαγύνα τε B. ἔπειτ'] ἔπειτα P.

147 e. ὁμοσύζυγα] Scribebatur ὁμοσσύζυγα. σύμπακτον Schweigh. συμπάκτον PVL. τό κε] Libri τὸ καί.

τυρὸν ἅπας τις ἧμεν ἔφασχ' ἁπαλόν, πηγὸν ἐφάμαν· ὅτε δ' ἤδη βρωτύος ἠδὲ ποτᾶτος ἐς κόρον ἑταῖροι ἵμεν, τῆνα μὲν ἐξαπαείρεον δμῶες, ἔπειτα δὲ παῖδες νίπτρ' ἔδοσαν κατὰ χειρῶν.“

29. Σωκράτης δὲ ὁ Ῥόδιος ἐν τρίτῳ ἐμφυλίου πολέμου τὸ Κλεοπάτρας ἀναγράφων συμπόσιον, τῆς τελευταίας
f Αἰγύπτου βασιλευσάσης, γημαμένης δ' Ἀντωνίῳ τῷ Ῥωμαίων στρατηγῷ ἐν Κιλικίᾳ, φησὶν οὕτως „ἀπαντήσασα τῷ Ἀντωνίῳ ἡ Κλεοπάτρα ἐν Κιλικίᾳ παρεσκεύασεν αὐτῷ βασιλικὸν συμπόσιον, ἐν ᾧ πάντα χρύσεα καὶ λιθοκόλλητα περιττῶς ἐξειργασμένα ταῖς τέχναις· ἦσαν δέ, φησί, καὶ οἱ τοῖχοι ἁλουργέσι καὶ διαχρύσοις ἐμπεπετασμένοι ὕφεσι. καὶ δώδεκα τρίκλινα διαστρώσασα ἐκάλεσε τὸν Ἀντώνιον
48 μεθ' ὧν ἐβούλετο ἡ Κλεοπάτρα. τοῦ δὲ τῇ πολυτελείᾳ τῆς ὄψεως ἐκπλαγέντος ὑπομειδιάσασα ταῦτ' ἔφη πάντα δωρεῖσθαι αὐτῷ, καὶ εἰς αὔριον παρεκάλει συνδειπνῆσαι πάλιν, ἥκοντα μετὰ τῶν φίλων καὶ τῶν ἡγεμόνων· ὅτε καὶ πολλῷ κρεῖττον διακοσμήσασα τὸ συμπόσιον ἐποίησε φανῆναι τὰ πρῶτα μικρά, καὶ πάλιν καὶ ταῦτα ἐδωρήσατο. τῶν δ' ἡγεμόνων ἐφ' ᾗ ἕκαστος κατέκειτο κλίνῃ καὶ τὰ κυλικεῖα, καθὼς ταῖς στρωμναῖς ἐμεμέριστο, ἑκάστῳ φέρειν ἐπέτρεψε. καὶ κατὰ τὴν ἄφοδον τοῖς μὲν ἐν ἀξιώμασι
b φορεῖα σὺν τοῖς κομίζουσι, τοῖς πλείοσι δὲ καταργύροις σκευαῖς κεκοσμημένους ἵππους, πᾶσι δὲ λαμπτηροφόρους παῖδας Αἰθίοπας παρέστησε. τῇ δὲ τετάρτῃ τῶν ἡμερῶν ταλαντιαίους εἰς ῥόδα μισθοὺς δέδωκε, καὶ κατεστρώθη ἐπὶ

---

τυρὸν ἅπας τις Schweigh. τυρονάπαστις P (qui accentu caret) VL. ἧμεν] Scribebatur ἢ μέν. ἔφασχ'] Scribebatur ἔφασκεν. ἵμεν A. ἴσμεν P. ἤσμεν VL. τῆνα μὲν PL. τήναμεν V. ἔδοσαν] ἴδωσαν PVL. κατὰ χειρῶν AB et p. 156 e. IX. p. 409 e. κατὰ χειρός VL. κατὰ χειρὸς χειρῶν P deleto χειρός.

147 f. τῷ ῥωμαίων BPV. τῷ om. L et Schweigh. editio. κιλικίᾳ παρ. ABCPL. λικίᾳ παρ. V. συμπόσιον] δεῖπνον συμπόσιον P deleto δεῖπνον.

148 a. κρεῖττον] κρείττων P. κυλικεῖα Casaubonus. Scribebatur κυλίκια. φορεῖα] φορία P.

148 b. ταλαντιαίους P. ταλανταίους AB. ταλαντιαίους VL. C hanc narrationis partem omisit. ἐπὶ πηχυαῖα βάθη Toupius ad schol.

πηχυαῖα βάθη τὰ ἐδάφη τῶν δένδρων ἐμπεπετασμένων δικτύων τοῖς ἕλιξιν." Ἱστορεῖ δὲ καὶ αὐτὸν τὸν Ἀντώνιον ἐν Ἀθήναις μετὰ ταῦτα διατρίψαντα περίοπτον ὑπὲρ τὸ θέατρον κατασκευάσαντα σχεδίαν, χλωρᾷ πεπυκασμένην ὕλῃ, ὥσπερ ἐπὶ τῶν Βακχικῶν ἄντρων γίνεται, ταύτης
c τύμπανα καὶ νεβρίδας καὶ παντοδάπ' ἄλλ' ἀθύρματα Διονυσιακὰ ἐξαρτήσαντα, μετὰ τῶν φίλων ἐξ ἑωθινοῦ κατακλινόμενον μεθύσκεσθαι, λειτουργούντων αὐτῷ τῶν ἐξ Ἰταλίας μεταπεμφθέντων ἀκροαμάτων, συνηθροισμένων ἐπὶ τὴν θέαν τῶν Πανελλήνων. μετέβαινε δ' ἐνίοτε, φησὶ, καὶ ἐπὶ τὴν ἀκρόπολιν, ἀπὸ τῶν τεγῶν λαμπάσι δᾳδουχουμένης πάσης τῆς Ἀθηναίων πόλεως. καὶ ἔκτοτ' ἐκέλευσεν ἑαυτὸν Διόνυσον ἀνακηρύττεσθαι κατὰ τὰς πόλεις ἁπά-
d σας. καὶ Γάϊος δὲ ὁ αὐτοκράτωρ, ὁ Καλίγουλα προσαγορευθεὶς διὰ τὸ ἐν στρατοπέδῳ γεννηθῆναι, οὐ μόνον ὠνομάζετο νέος Διόνυσος, ἀλλὰ καὶ τὴν Διονυσιακὴν πᾶσαν ἐνδύνων στολὴν προῄει, καὶ οὕτως ἐσκευασμένος ἐδίκαζεν.

30. Εἰς ταῦτα ἔστιν ἀποβλέποντα τὰ ὑπὲρ ἡμᾶς ἀγαπῶν τὴν Ἑλληνικὴν πενίαν, λαμβάνοντα πρὸ ὀφθαλμῶν καὶ τὰ παρὰ Θηβαίοις δεῖπνα. περὶ ὧν Κλείταρχος ἐν τῇ πρώτῃ τῶν περὶ Ἀλέξανδρον ἱστοριῶν διηγούμενος, καὶ ὅτι ὁ πᾶς αὐτῶν πλοῦτος ηὑρέθη μετὰ τὴν ὑπ' Ἀλεξάνδρου
e τῆς πόλεως κατασκαφὴν ἐν ταλάντοις τετρακοσίοις τεσσαράκοντά φησιν, ὅτι τε μικρόψυχοι ἦσαν καὶ τὰ περὶ τὴν τροφὴν λίχνοι, παρασκευάζοντες ἐν τοῖς δείπνοις θρῖα καὶ

---

Theocrit. VII, 67. p. 215. ἐπὶ πήχυα βάθη A. ἐπιπήχυα βάθη B. ἐπὶ τῇ χειμβάθῃ V. ἐπὶ πήχυια βάθη P, et L, ex membranis. ἐπὶ πηχυιαῖα βάθη codex Farnesianus Casauboni. τῶν δένδρων add. ABD et membranae Casauboni. om. PVL. τῶν ἀνδρώνων Casaubonus. τοῖς ἕλιξιν] τοῖς κάλυξιν Casaubonus.

148 c. νεβρίδας] νευρίδας P. παντοδαπ' ἄλλ' B. παντοδαπὰ ἄλλα PVL. Διονυσιακὰ] διονυσία, καὶ B. φησὶ] φησὶν A. ἔκτοτ' B. ἔκτοτε PVL. Διόνυσον Schweigh. editio. διονύσιον PVL.

148 d. καλίγουλα P. Scribebatur Καλλίκολα. ὠνομάζετο L. ὀνομάζετο P. ὀνόμαζε τὸ V. πρὸ ὀφθαλμῶν] παρ' ὀφθαλμῶν P. παρὰ Θηβαίοις] παρ' ἀθηναίοις BP. ἐν τῇ ABPV. τῇ om. L. Ἀλέξανδρον] τὸν ἀλέξανδρον B. ὅτι ὁ πᾶς ABC. ὅτι πᾶς PVL.

148 e. τετρακοσίοις τεσσαράκοντα] υμ. P. παρασκευάζοντες

ἰψητοὺς καὶ ἀφύας καὶ ἐγκρασιχόλους καὶ ἀλλᾶντας καὶ σχελίδας καὶ ἔτνος· οἷσι Μαρδόνιον εἱστίασε μετὰ τῶν ἄλλων πεντήκοντα Περσῶν Αὔταμνος ὁ Φρύνωνος, ὅν φησιν Ἡρόδοτος ἐν τῇ ἐνάτῃ μεγάλῳ πλούτῳ παρεσκευ-
f ἀσθαι. ἡγοῦμαι δ᾽ ὅτι οὐκ ἂν περιεγένοντο, οὐδ᾽ ἂν ἐδέησε τοῖς Ἕλλησι περὶ Πλάταιαν παρατάττεσθαι, ἀπολωλόσιν ἤδη ὑπὸ τῶν τοιούτων τροφῶν.

31. Ἀρκαδικὸν δὲ δεῖπνον διαγράφων ὁ Μιλήσιος Ἑκαταῖος ἐν τῇ τρίτῃ τῶν Γενεαλογιῶν μάζας φησὶν εἶναι καὶ ὕεια κρέα. Ἁρμόδιος δ᾽ ὁ Λεπρεάτης ἐν τῷ περὶ τῶν κατὰ Φιγάλειαν Νομίμων „Ὁ κατασταθεὶς (φησὶ) παρὰ Φιγαλεῦσι σίταρχος ἔφερε τῆς ἡμέρας οἴνου τρεῖς χόας καὶ ἀλφίτων μέδιμνον καὶ τυροῦ πεντάμνουν, καὶ τἆλλα τὰ
149 πρὸς τὴν ἄρτυσιν τῶν ἱερείων ἁρμόττοντα. ἡ δὲ πόλις παρεῖχεν ἑκατέρῳ τῶν χορῶν τρία πρόβατα καὶ μάγειρον ὑδριαφόρον τε καὶ τραπέζας καὶ βάθρα πρὸς τὴν καθέδραν, καὶ τὴν τοιαύτην ἅπασαν παρασκευήν, πλὴν τῶν περὶ τὸν μάγειρον σκευῶν, ἃ ὁ χορηγός. τὸ δὲ δεῖπνον ἦν τοιοῦτον· τυρὸς καὶ φυστὴ μᾶζα νόμου χάριν ἐπὶ χαλκῶν κανῶν, τῶν παρά τισι καλουμένων μαζονόμων, ἀπὸ τῆς χρείας εἰληφότων τὴν ἐπωνυμίαν· ὁμοῦ δὲ τῇ μάζῃ καὶ τῷ τυρῷ σπλάγχνον καὶ ἅλες προσφαγεῖν. κα-
b θαγισάντων δὲ ταῦτα ἐν κεραμέᾳ κοτταβίδι πιεῖν ἑκάστῳ μικρόν, καὶ ὁ προσφέρων ἀνεῖπεν εὖ δείπνειας· εἶτα δ᾽ εἰς

---

PVL. παρασκευάσαντες B. ἐγκρασιχόλους C. ἐγκρασιλόχους A. ἐγκαρσιλόχους PVL. ἔτνος· οἷσι] ἔτνος οισι P. Αὔταμνος] „In mestis est Αὔταμνος." Casaubonus. Ἀτταγῖνος Herodotus IX, 15. ἐνάτη (sic) B. ἐννάτῃ PVL. μεγάλῳ P. Legebatur μεγάλως. δ᾽ om. B.

148 f. Πλάταιαν PL. πλάτταιαν V. πλάταια AB. παρατάττεσθαι] σπαράττεσθαι P. τροφῶν] τρόφων P. qua scriptura τρυφῶν indicari videtur. ὕεια] ὕεα B. φιγάλειαν A. φιγάλεια B. φιγάλιαν VL. φιγαλλίαν P. χόας] χοὺς P.

149 a. παρεῖχεν] παρείχετο P. ὑδριαφόρον B. ἃ ὁ Schweigh. Aberat ἃ. τοιοῦτον] τοιοῦτο BP. φυστὴ] Scribebatur φύστη. σπλάχνον B. προσφαγεῖν B. προφαγεῖν PVL.

149 b. κεραμέᾳ XI. p. 479 c. Libri κεραμείῳ. πιεῖν L. ποιεῖν V. πομεῖν P. ἀνεῖπεν 479. ἂν εἶπεν PVL. εὖ δειπνίαις A. ἐνδειπνίαις P. εὐδειπνίαις V. εὖ δειπνήσεις L. (εὖ δειπνήσειας Casau-

τὸ κοινὸν ζωμὸς καὶ περίκομμα, πρόσχειρα δ' ἑκάστῳ δύο
κρέα. ἐνόμιζον δ' ἐν ἅπασι τοῖς δείπνοις, μάλιστα δὲ τοῖς
λεγομένοις μαζῶσι, τοῦτο γὰρ ἔτι καὶ νῦν ἡ Διονυσιακὴ
σύνοδος ἔχει τοὔνομα, τοῖς ἐσθίουσι τῶν νέων ἀνδρικώτε-
ρον ζωμόν τ' ἐγχεῖν πλείω καὶ μάζας καὶ ἄρτους παρα-
βάλλειν. γενναῖος γὰρ ὁ τοιοῦτος ἐκρίνετο καὶ ἀνδρώδης
c ὑπάρχειν. θαυμαστὸν γὰρ ἦν καὶ περιβόητον παρ' αὐτοῖς
ἡ πολυφαγία. μετὰ δὲ τὸ δεῖπνον σπονδὰς ἐποιοῦντο, οὐκ
ἀπονιψάμενοι τὰς χεῖρας, ἀλλ' ἀποματτόμενοι τοῖς ψωμοῖς,
καὶ τὴν ἀπομαγδαλίαν ἕκαστος ἀπέφερε, τοῦτο ποιοῦντες
ἕνεκα τῶν ἐν ταῖς ἀμφόδοις γινομένων νυκτερινῶν φόβων.
ἀπὸ δὲ τῶν σπονδῶν παιὰν ᾄδεται. ὅταν δὲ τοῖς ἥρωσι
θύωσι, βουθυσία μεγάλη γίνεται καὶ ἑστιῶνται πάντες μετὰ
τῶν δούλων· οἱ δὲ παῖδες ἐν ταῖς ἑστιάσεσι μετὰ τῶν πα-
d τέρων ἐπὶ λίθων καθήμενοι γυμνοὶ συνδειπνοῦσιν." Θεό-
πομπος δ' ἐν τῇ ἕκτῃ καὶ τεσσαρακοστῇ τῶν Φιλιππικῶν
„Οἱ Ἀρκάδες (φησὶν) ἐν ταῖς ἑστιάσεσιν ὑποδέχονται τοὺς
δεσπότας καὶ τοὺς δούλους, καὶ μίαν πᾶσι τράπεζαν πα-
ρασκευάζουσι καὶ τὰ σιτία πᾶσιν εἰς τὸ μέσον παρατι-
θέασι καὶ κρατῆρα τὸν αὐτὸν πᾶσι κιρνᾶσι."

32. Παρὰ δὲ Ναυκρατίταις, ὥς φησιν Ἑρμείας ἐν
τῷ δευτέρῳ τῶν περὶ τοῦ Γρυνείου Ἀπόλλωνος, ἐν τῷ
πρυτανείῳ δειπνοῦσι γενεθλίοις Ἑστίας πρυτανίτιδος καὶ
Διονυσίοις, ἔτι δὲ τῇ τοῦ κωμαίου Ἀπόλλωνος πανηγύρει,
e εἰσιόντες πάντες ἐν στολαῖς λευκαῖς, ἃς μέχρι καὶ νῦν κα-
λοῦσι πρυτανικὰς ἐσθῆτας. καὶ κατακλιθέντες ἐπανίσταν-
ται εἰς γόνατα, τοῦ ἱεροκήρυκος τὰς πατρίους εὐχὰς κατα-
λέγοντος συσπένδοντες. μετὰ δὲ ταῦτα κατακλιθέντες λαμ-
βάνουσιν ἕκαστος οἴνου κοτύλας δύο, πλὴν τῶν ἱερέων τοῦ
τε Πυθίου Ἀπόλλωνος καὶ τοῦ Διονύσου· τούτων γὰρ

---

bonus.) εὖ δείπνειας 479. Scribebatur μάζωσι. σύνοδος] σύνδος P. παραβάλλειν B. παραβαλεῖν PVL. ὁ τοιοῦτος] ὁ om. P.
149 c. μετὰ — φόβων] Eustathius p. 1887, 52. τὸ δεῖπνον L. τὸν δεῖπνον PV. γινομένων] γενομένων P. θύωσι] θύσωσι C.
149 d. ἕκτῃ καὶ τεσσαρακοστῇ] μϛ P. κιρνᾶσι AC. κιρνῶσι PVL. γρυνείου PVL. γρυνίου AB. δειπνοῦσι] γυμνοῦσι BD.
149 e. καὶ κατακλιθέντες BP. καὶ κατακλινθέντες VL. Διονύσου] διονυσίου P.

ἑκατέρῳ διπλοῦς ὁ οἶνος μετὰ καὶ τῶν ἄλλων μερίδων δίδοται. ἔπειτα ἑκάστῳ παρατίθεται ἄρτος καθαρὸς εἰς πλάτος πεποιημένος, ἐφ᾽ ᾧ ἐπίκειται ἄρτος ἕτερος, ὃν κριβανίτην καλοῦσι, καὶ κρέας ὕειον καὶ λεκάριον πτισάνης ἢ λαχάνου τοῦ κατὰ καιρὸν γινομένου, ᾠά τε δύο καὶ τυροῦ τροφαλὶς σῦκά τε ξηρὰ καὶ πλακοῦς καὶ στέφανος. καὶ ὃς ἂν ἔξω τι τούτων ἱεροποιὸς παρασκευάσῃ ὑπὸ τῶν τιμούχων ζημιοῦται. ἀλλὰ μὴν οὐδὲ τοῖς σιτουμένοις ἐν πρυτανείῳ ἔξωθεν προσεισφέρειν τι βρώσιμον ἔξεστι, μόνα δὲ ταῦτα κατναλίσκουσι, τὰ ὑπολειπόμενα τοῖς οἰκέταις μεταδιδόντες. ταῖς δ᾽ ἄλλαις ἡμέραις πάσαις τοῦ ἐνιαυτοῦ ἔξεστι τῶν σιτουμένων τῷ βουλομένῳ ἀνελθόντι εἰς τὸ πρυτανεῖον δειπνεῖν, οἴκοθεν παρασκευάσαντα αὐτῷ λάχανόν τι ἢ τῶν ὀσπρίων καὶ τάριχος, ἢ ἰχθὺν, κρέως δὲ χοιρείου βραχύτατον, καὶ τούτων μεταλαμβάνων κοτύλην οἴνου. γυναικὶ δὲ οὐκ ἔξεστιν εἰσιέναι εἰς τὸ πρυτανεῖον ἢ μόνῃ τῇ αὐλητρίδι. οὐκ εἰσφέρεται δὲ οὐδ᾽ ἀμὶς εἰς τὸ πρυτανεῖον. ἐὰν δέ τις Ναυκρατιτῶν γάμους ἑστιᾷ, ὡς ἐν τῷ γαμικῷ νόμῳ γέγραπται, ἀπείρηται ᾠὰ καὶ μελίπηκτα δίδοσθαι. τίς δὲ ἡ τούτων αἰτία Οὐλπιανὸς ἡμᾶς διδάσκειν δίκαιος.

33. Λυγκεὺς δ᾽ ἐν τοῖς Αἰγυπτιακοῖς προκρίνων τὰ Αἰγυπτιακὰ δεῖπνα τῶν Περσικῶν „Αἰγυπτίων ἐπιστρατευσάντων (φησὶν) ἐπὶ Ὦχον τὸν Περσῶν βασιλέα καὶ νικηθέντων, ἐπεὶ ἐγένετο αἰχμάλωτος ὁ τῶν Αἰγυπτίων βασιλεὺς, ὁ Ὦχος αὐτὸν φιλανθρώπως ἄγων ἐκάλεσε καὶ ἐπὶ δεῖπνον. τῆς οὖν παρασκευῆς γενομένης λαμπρᾶς ὁ Αἰγύπτιος κατεγέλα ὡς εὐτελῶς τοῦ Πέρσου διαιτωμένου. εἰ δὲ θέλεις, ἔφη, εἰδέναι, ὦ βασιλεῦ, πῶς δεῖ σιτεῖσθαι τοὺς εὐδαίμονας βασιλέας, ἐπίτρεψον τοῖς ἐμοῖς ποτε γενομέ-

δίδοται] δέδοται P.

149 f. κριβανίτην] κρυβανίτην P. ᾠά τε] ὥστε B. τροφαλὶς PL. τροφαλλὶς V. οὐδὲ τοῖς] οὔτε τοῖς B. οἰκέταις] ἱκέταις B.

150 a. παρασκευάσαντα] παρασκευάσῃς τὰ B. παρασκευάσαι D. παρασκευάσας Q. ἰχθῦν PL. ἰχθῦς V. Post βραχύτατον lacunam indicavit Casaubonus. ἢ μόνῃ — εἰς τὸ πρυτανεῖον om. P. ἀμὶς] ἀμὶς A. ᾠὰ] ὡς ᾠὰ P.

νοις μαγείροις παρασκευάσαι σοι Αἰγύπτιον δεῖπνον. καὶ κελεύσαντος ἐπεὶ παρεσκευάσθη, ἡσθεὶς ὁ Ὦχος τῷ δείπνῳ, Κακὸν κακῶς σε, ἔφη, ὦ Αἰγύπτιε, ἀπολέσειαν οἱ θεοί, ὅστις δεῖπνα τοιαῦτα καταλιπὼν ἐπεθύμησας θοίνης εὐτελεστέρας.“ τίνα δ' ἦν τὰ Αἰγύπτια δεῖπνα Πρωταγορίδης ἐν τῷ πρώτῳ περὶ Δαφνικῶν ἀγώνων διδάσκει ἡμᾶς λέγων οὕτως „Τρίτη δ' ἐστὶν ἰδέα δείπνων Αἰγυπτιακή,
d τραπεζῶν μὲν οὐ παρατιθεμένων, πινάκων δὲ περιφερομένων.“

34. Παρὰ δὲ Γαλάταις φησὶ Φύλαρχος ἐν τῇ ἕκτῃ ἐν ταῖς τραπέζαις ἄρτους πολλοὺς κατακεκλασμένους παρατίθεσθαι χύδην καὶ κρέα ἐκ τῶν λεβήτων, ὧν οὐδεὶς γεύεται, εἰ μὴ πρότερον θεάσηται τὸν βασιλέα, εἰ ἥψατο τῶν παρακειμένων. ἐν δὲ τῇ τρίτῃ ὁ αὐτὸς Φύλαρχος Ἀριάμνην φησὶ τὸν Γαλάτην πλουσιώτατον ὄντα ἐπαγγείλασθαι ἑστιάσαι Γαλάτας πάντας ἐνιαυτόν, καὶ τοῦτο συντελέσαι ποιή-
e σαντα οὕτως. κατὰ τόπους τῆς χώρας τὰς ἐπικαιροτάτους τῶν ὁδῶν διέλαβε σταθμοῖς, ἐπί τε τούτοις ἐκ χαράκων καὶ τῶν καλάμων τῶν τε οἰσυίνων ἐπεβάλλετο σκηνὰς χωρούσας ἀνὰ τετρακοσίους ἄνδρας καὶ πλείους ἔτι, καθὼς ἂν ἐκποιῶσιν οἱ τόποι τό τ' ἀπὸ τῶν πόλεων δέξασθαι καὶ τῶν κωμῶν μέλλον ἐπιρρεῖν πλῆθος. ἐνταῦθα δὲ λέβητας ἐπέστησε κρεῶν παντοδαπῶν μεγάλους, οὓς πρὸ ἐνιαυτοῦ καὶ πρὸ τοῦ μέλλειν μεταπεμψάμενος τεχνίτας ἐξ
f ἄλλων πόλεων ἐχαλκεύσατο. θύματα δὲ καταβάλλεσθαι ταύρων καὶ συῶν καὶ προβάτων τε καὶ λοιπῶν κτηνῶν ἑκάστης ἡμέρας πολλά. πίθους τε οἴνου παρεσκευάσθαι καὶ πλῆθος ἀλφίτων πεφυραμένων. καὶ οὐ μόνον, φησίν, οἱ παραγινόμενοι τῶν Γαλατῶν ἀπὸ τῶν κωμῶν καὶ τῶν

---

150 c. ἀπολέσειαν] ἀπωλέσειαν PVL.

150 d. Φύλαρχος] φίλαρχος B. κρέα B. κρέατα PVL. γεύεται] γεύηται P. εἰ μὴ] Scribe ἢν μή. ἐπαγγείλασθαι BPV. ἀπαγγείλασθαι L. ποιήσαντα] ποιήσαντι B.

150 e. τὰς CVL. καὶ τὰς ABP. καὶ τῶν καλάμων PVL et Eustathius p. 1533, 56. τῶν om. B. ἐπεβάλλετο] ἐπεβάλετο B, non Eustathius.

150 f. παρεσκευάσθαι B. παρασκευάσθαι AP. παρασκευάσασθαι VL. πεφυρμένων B.

πόλεων ἀπέλαυον, ἀλλὰ καὶ οἱ παριόντες ξένοι ὑπὸ τῶν ἐφεστηκότων παίδων οὐκ ἠφίεντο, ἕως ἂν μεταλάβωσι τῶν παρασκευασθέντων.

35. Θρᾳκίων δὲ δείπνων μνημονεύει Ξενοφῶν ἐν ἕκτῃ Ἀναβάσεως τὸ παρὰ Σεύθῃ διαγράφων συμπόσιον ἐν τούτοις „Ἐπειδὴ δ᾽ εἰσῆλθον ἐπὶ τὸ δεῖπνον πάντες, τὸ δὲ δεῖπνον ἦν καθημένοις κύκλῳ, ἔπειτα δὲ τρίποδες εἰσηνέχθησαν πᾶσιν. οὗτοι δὲ ὅσον εἴκοσι κρεῶν μεστοὶ νενεμημένων καὶ ἄρτοι ζύμητες μεγάλοι προσπεπερονημένοι ἦσαν πρὸς τοῖς κρέασι. μάλιστα δὲ τράπεζαι κατὰ τοὺς ξένους ἀεὶ ἐτίθεντο· νόμος γὰρ ἦν. καὶ πρῶτος τοῦτ᾽ ἐποίει Σεύθης· ἀνελόμενος τοὺς παρ᾽ αὐτῷ κειμένους ἄρτους διέκλα κατὰ μικρὰ καὶ διερρίπτει οἷς αὐτῷ ἐδόκει, καὶ τὰ κρέα ὡσαύτως, ὅσον μόνον γεύσασθαι ἑαυτῷ καταλιπών. καὶ οἱ ἄλλοι δὲ κατὰ τὰ αὐτὰ ἐποίουν, καθ᾽ οὓς καὶ αἱ τράπεζαι ἔκειντο. Ἀρκὰς δέ τις, Ἀρύστας ὄνομα, φαγεῖν δεινός, τὸ μὲν διαρριπτεῖν εἴα χαίρειν, λαβὼν δ᾽ εἰς τὴν χεῖρα ὅσον τριχοίνικον ἄρτον καὶ κρέα θέμενος ἐπὶ τὰ γόνατα ἐδείπνει. κέρατα δ᾽ οἴνου περιέφερον καὶ πάντες ἐδέχοντο. ὁ δὲ Ἀρύστας, ἐπεὶ παρ᾽ αὐτὸν φέρων τὸ κέρας ὁ οἰνοχόος ἦν, εἶπεν, ἰδὼν τὸν Ξενοφῶντα οὐκ ἔτι δειπνοῦντα, Ἐκείνῳ, ἔφη, δός· σχολάζει γὰρ ἤδη, ἐγὼ δ᾽ οὔπω. ἐνταῦθα μὲν δὴ γέλως ἐγένετο. ἐπεὶ δὲ προὐχώρει ὁ πότος, εἰσῆλθεν ἀνὴρ Θρᾷξ, ἵππον ἔχων λευκόν, καὶ λαβὼν κέρας μεστόν, Προπίνω σοι, ὦ Σεύθη, ἔφη, καὶ τὸν ἵππον δωροῦμαι, ἐφ᾽ οὗ καὶ διώκων ὃν ἂν θέλῃς

---

ἀπέλαυον] Scribebatur ἀπήλαυον. Ἀπήλαυνον B. ἀπέλαβον adscripsit Hoeschelius. ἕκτῃ (ς P)] Immo VII. 3, 21. Initium huius loci de septimo libro attulit II. p. 49 b.

151 a. εἰσυνέχθησαν B. ζύμητες ABPV. ζυμῖται L ex Xenophonte. C haec omisit. δὲ τράπεζαι] δ᾽ αἱ τράπεζαι Xenophon. παρ᾽ αὐτῷ] παρ᾽ αὐτοῦ P. διερίπτει BP. καταλιπόντα B.

151 b. οὓς καὶ αἱ ABPV. οὓς αἱ L. διαρριπτεῖν] διαῤῥίπτειν P. δ᾽ εἰς] δὶς B. ἐδείπνει] ἐδείπνου B. μὲν δὴ ABPV. μὲν ἤδη L. ἤδη καὶ C.

151 c. πότος L. ποτὸς APV. C haec omisit. ἵππον δωροῦμαι ABPV. ἵππον τοῦτον δωροῦμαι L. θέλης B. ἐθέλῃς VL. ἐθέ-

αἱρήσεις, καὶ ἀποχωρῶν οὐ μὴ δείσῃς τὸν πολέμιον. ἄλλος
παῖδ' εἰσαγαγὼν οὕτως ἐδωρήσατο προπίνων καὶ ἄλλος
ἱμάτια τῇ γυναικί. καὶ Τιμασίων προπίνων φιάλην τε
ἀργυρᾶν καὶ κοπίδ' ἀξίαν δέκα μνῶν. Γνήσιππος δέ τις
Ἀθηναῖος ἀναστὰς εἶπεν ὅτι ἀρχαῖος εἴη νόμος κάλλιστος
d τοὺς μὲν ἔχοντας διδόναι τῷ βασιλεῖ τιμῆς ἕνεκα, τοῖς δὲ
μὴ ἔχουσι διδόναι τὸν βασιλέα. Ξενοφῶν δὲ ἀνέστη θαρ-
σαλέως καὶ δεξάμενος τὸ κέρας εἶπεν, Ἐγώ σοι, ὦ Σεύθη,
δίδωμι ἐμαυτὸν καὶ τοὺς ἐμοὺς τούτους ἑταίρους φίλους
εἶναι πιστοὺς καὶ οὐδένα ἄκοντα. καὶ νῦν πάρεισιν οὐδὲν
προσαιτοῦντες, ἀλλὰ καὶ πονεῖν ὑπὲρ σοῦ καὶ προκινδυ-
νεύειν βουλόμενοι. καὶ ὁ Σεύθης ἀναστὰς συνέπιε καὶ
συγκατεσκεδάσατο μετ' αὐτοῦ τὸ κέρας. μετὰ δὲ ταῦτα
e εἰσῆλθον κέρασί τε οἵοις σημαίνουσιν αὐλοῦντες καὶ σάλ-
πιγξιν ὠμοβοΐαις ῥυθμούς τε καὶ οἱονεὶ μαγάδι σαλπί-
ζοντες."

36. Ποσειδώνιος δὲ ὁ ἀπὸ τῆς στοᾶς ἐν ταῖς ἱστο-
ρίαις αἷς συνέθηκεν οὐκ ἀλλοτρίως ἧς προῄρητο φιλοσο-
φίας πολλὰ παρὰ πολλοῖς ἔθιμα καὶ νόμιμα ἀναγράφων
„Κελτοὶ (φησὶ) τὰς τροφὰς προτίθενται χόρτον ὑποβάλ-
λοντες, καὶ ἐπὶ τραπεζῶν ξυλίνων μικρὸν ἀπὸ τῆς γῆς
ἐπηρμένων. ἡ τροφὴ δ' ἐστὶν ἄρτοι μὲν ὀλίγοι, κρέα δὲ
πολλὰ ἐν ὕδατι καὶ ὀπτὰ ἐπ' ἀνθράκων ἢ ὀβελίσκων.
152 προσφέρονται δὲ ταῦτα καθαρείως μέν, λεοντωδῶς δέ, ταῖς
χερσὶν ἀμφοτέραις αἴροντες ὅλα μέλη καὶ ἀποδάκνοντες·
ἐὰν δὲ ᾖ τι δυσαπόσπαστον, μαχαιρίῳ μικρῷ παρατέμνον-

---

λεις P. δείσῃς] δήσεις B. παῖδ' B. παῖδα PVL. εἰσαγαγὼν] εἰσάγων B. οὕτως BP. οὕτω VL. τε] δὲ B. κοπίδ' B. κοπίδα APV. τάπιδα L ex Xenophonte. Γνήσιππος] νήσιππος B.

151 d. συνκατεσκεδάσατο B. Xenophontis editionum veterum scripturam vitiosam εἰσῆλθον Κερασούντιοι οἱ αὐλοῖς σημαίνουσιν, καὶ σάλπ. temere introduxerunt Basil. L.

151 e. ὠμοβωταις A. ὠμοβοΐαις B. ὠμοβόαις V. ὠμοβοίαις P. ὠμοβοΐναις Xenophon. μαγάδι L. μαγάδιν P. μαγάδην V. μεγά σαλπίζοντες B. ἱστορίαις αἷς BPV. ἱστορίαις ἃς L. ἔθιμα] ἕτοιμα P. τροφὰς ABCD et membranae Casauboni. χοὰς PQVL.

152 a. δὲ ταῦτα] μὲν ταῦτα B. καθαρείως] Scribebatur καθαρίως. λεοντωδῶς] λεωντωδῶς P. παρατέμνοντες B.

τες, ὃ τοῖς κολεοῖς ἐν ἰδίᾳ θήκῃ παράκειται. προσφέρονται δὲ καὶ ἰχθῦς οἵ τε παρὰ τοὺς ποταμοὺς οἰκοῦντες καὶ παρὰ τὴν ἐντὸς καὶ τὴν ἔξω θάλασσαν, καὶ τούτους δὲ ὀπτοὺς μετὰ ἁλῶν καὶ ὄξους καὶ κυμίνου. τοῦτο δὲ καὶ εἰς τὸ ποτὸν ἐμβάλλουσιν. ἐλαίῳ δ᾽ οὐ χρῶνται διὰ σπάνιν, καὶ διὰ τὸ ἀσύνηθες ἀηδὲς αὐτοῖς φαίνεται. ὅταν
b δὲ πλείονες συνδειπνῶσι, κάθηνται μὲν ἐν κύκλῳ, μέσος δ᾽ ὁ κράτιστος, ὡς ἂν κορυφαῖος χοροῦ, διαφέρων τῶν ἄλλων ἢ κατὰ τὴν πολεμικὴν εὐχέρειαν, ἢ κατὰ τὸ γένος, ἢ κατὰ πλοῦτον. ὁ δ᾽ ὑποδεχόμενος παρ᾽ αὐτόν, ἐφεξῆς δ᾽ ἑκατέρωθε κατ᾽ ἀξίαν ἧς ἔχουσιν ὑπεροχῆς. καὶ οἱ μὲν τοὺς θυρεοὺς ὁπλοφοροῦντες ἐκ τῶν ὀπίσω παρεστᾶσιν, οἱ δὲ δορυφόροι κατὰ τὴν ἀντικρὺ καθήμενοι κύκλῳ καθάπερ οἱ δεσπόται συνευωχοῦνται. τὸ δὲ ποτὸν οἱ διακονοῦντες ἐν
c ἀγγείοις περιφέρουσιν ἐοικόσι μὲν ἀμβίκοις ἢ κεραμέοις ἢ ἀργυροῖς· καὶ γὰρ τοὺς πίνακας, ἐφ᾽ ὧν τὰς τροφὰς προτίθενται, τοιούτους ἔχουσιν· οἱ δὲ χαλκοῦς, οἱ δὲ κάνεα ξύλινα καὶ πλεκτά. τὸ δὲ πινόμενόν ἐστι παρὰ μὲν τοῖς πλουτοῦσιν οἶνος, ἐξ Ἰταλίας καὶ τῆς Μασσαλιητῶν χώρας παρακομιζόμενος, ἄκρατος δ᾽ οὗτος· ἐνίοτε δὲ καὶ ὀλίγον ὕδωρ παραμίγνυται· παρὰ δὲ τοῖς ὑποδεεστέροις ζῦθος πύρινον μετὰ μέλιτος ἐσκευασμένον· παρὰ δὲ τοῖς πολλοῖς καθ᾽ αὑτό· καλεῖται δὲ κόρμα. ἀπορροφοῦσι δὲ ἐκ τοῦ
d αὐτοῦ ποτηρίου κατὰ μικρόν, οὐ πλεῖον κυάθου· πυκνότερον δὲ τοῦτο ποιοῦσι. περιφέρει δὲ ὁ παῖς ἐπὶ τὰ δεξιὰ καὶ τὰ λαιά. οὕτως διακονοῦνται· καὶ τοὺς θεοὺς προσκυνοῦσιν ἐπὶ τὰ δεξιὰ στρεφόμενοι."

37. Ἔτι δὲ ὁ Ποσειδώνιος διηγούμενος καὶ τὸν Λουερνίου τοῦ Βιτυΐτος πατρὸς πλοῦτον, τοῦ ὑπὸ Ῥωμαίων

---

κολεοῖς] κωλεοῖς P. τὸ ποτὸν VL. τὸν ποτὸν ABP.

152 b. ἑκατέρωθε] ἑκατέρωθεν B. θυρεοὺς] θυραιοὺς BP.

152 c. μὲν A. μὴν PVL. ἀμβίκοις] ἀμφίκοις superscripto ἀμβίκοις D apud Villebrunium. κεραμέοις] κεραμίοις B. δὲ καὶ ὀλίγον C. Aberat καὶ. παρὰ δὲ τοῖς ὑποδεεστέροις — ἐσκευασμένον add. L. om. PV. δὲ κόρμα ABCD et Casauboniani. δέρχομα PVL. κοῦρμι dicitur Dioscorid. II, 110.

152 d. ὁ παῖς περί τε τὰ δεξιὰ B. ἐπὶ τὰ δεξιὰ στ.] ἐπὶ τῇ δεξιᾷ στ. B. ἔτι δὲ ὁ B. ἔτι ὁ PVL. Λουερνίου τοῦ Βιτυΐτος]

καθαιρεθέντος, φησὶ δημαγωγοῦντα αὐτὸν τοὺς ὄχλους
ἐν ἅρματι φέρεσθαι διὰ τῶν πεδίων καὶ σπείρειν χρυσὸν
καὶ ἄργυρον ταῖς ἀκολουθούσαις τῶν Κελτῶν μυριάσι,
φράγμα τε ποιεῖν δωδεκαστάδιον, τετράγωνον, ἐν ᾧ πλη-
e ρουμένους ληνοὺς πολυτελοῦς πόματος, παρασκευάζειν τε
τοσοῦτο βρωμάτων πλῆθος ὥστε ἐφ' ἡμέρας πλείονας ἐξεῖ-
ναι τοῖς βουλομένοις εἰσερχομένοις τῶν παρασκευασθέντων
ἀπολαύειν, ἀδιαλείπτως διακονουμένους. ἀφορίσαντος δ'
αὐτοῦ προθεσμίαν ποτὲ τῆς θοίνης ἀφυστερήσαντά τινα
τῶν βαρβάρων ποιητὴν ἀφικέσθαι, καὶ συναντήσαντα
μετὰ ᾠδῆς ὑμνεῖν αὐτοῦ τὴν ὑπεροχήν, ἑαυτὸν δ' ἀπο-
θρηνεῖν ὅτι ὑστέρηκε, τὸν δὲ τερφθέντα θυλάκιον αἰτῆσαι
f χρυσίου καὶ ῥίψαι αὐτῷ παρατρέχοντι, ἀνελόμενον δ' ἐκεῖ-
νον πάλιν ὑμνεῖν λέγοντα διότι τὰ ἴχνη τῆς γῆς ἐφ' ἧς
ἁρματηλατεῖ χρυσὸν καὶ εὐεργεσίας ἀνθρώποις φέρει."
ταῦτα μὲν οὖν ἐν τῇ τρίτῃ καὶ εἰκοστῇ ἱστόρησεν.

38. Ἐν δὲ τῇ πέμπτῃ περὶ Πάρθων διηγούμενός φη-
σιν „Ὁ δὲ καλούμενος φίλος τραπέζης μὲν οὐ κοινωνεῖ,
χαμαὶ δ' ὑποκαθήμενος ἐφ' ὑψηλῆς κλίνης κατακειμένῳ
τῷ βασιλεῖ τὸ παραβληθὲν ὑπ' αὐτοῦ κυνιστὶ σιτεῖται,
καὶ πολλάκις διὰ τὴν τυχοῦσαν αἰτίαν ἀποσπασθεὶς τοῦ
153 χαμαιπετοῦς δείπνου ῥάβδοις καὶ ἱμᾶσιν ἀστραγαλωτοῖς
μαστιγοῦται, καὶ γενόμενος αἱμόφυρτος τὸν τιμωρησάμενον
ὡς εὐεργέτην ἐπὶ τὸ ἔδαφος πρηνὴς προσπεσὼν προσκυνεῖ."
ἐν δὲ τῇ ἑκκαιδεκάτῃ περὶ Σελεύκου διηγούμενος τοῦ βα-
σιλέως ὡς εἰς Μηδίαν ἀνελθὼν καὶ πολεμῶν Ἀρσάκει
ᾐχμαλωτίσθη ὑπὸ τοῦ βαρβάρου, καὶ ὡς πολὺν χρόνον

---

Λουέριος Βίττου πατὴρ dictus ab Strabone IV. c. 2. extr. p. 191. Casaub.

152 e. πληρουμένους ληνοὺς D apud Villebruhium. πληροῦ μὲν ληνοὺς P. πληροῦν μὲν ληνοὺς Q. πληροῦν ληνοὺς VL. τοσοῦτο] τοσοῦτον B. διακονουμένους] διακονουμένοις Schweigh. ἀποθρηνεῖν B. Legebatur ὑποθρηνεῖν.

152 f. ἀνελόμενον L. ἀνελόμενοι BPV. διότι AP. δὲ ὅτι VL. εὐεργεσίας] εὐεργεσίαν B. πάρθων AB. παρθυαίων VL. παρθένων P.

153 a. ἱμᾶσιν] ἱμάσιν VL. ἵμασιν P. ἀστραγαλωτοῖς B. ἀστραγαλώτοις PVL. αἱμόφυρτος] αἱμοφυρτὸς P.

παρὰ τῷ Ἀρσάκει διέτριψεν, ἀγόμενος βασιλικῶς, γράφει καὶ ταῦτα „Παρὰ Πάρθοις ἐν τοῖς δείπνοις ὁ βασιλεὺς
b τήν τε κλίνην, ἐφ᾽ ἧς μόνος κατέκειτο, μετεωροτέραν τῶν ἄλλων· καὶ κεχωρισμένην εἶχε καὶ τὴν τράπεζαν μόνῳ, καθάπερ ἥρωϊ, πλήρη βαρβαρικῶν θοινημάτων παρακειμένην.“ ἱστορῶν δὲ καὶ περὶ Ἡρακλέωνος τοῦ Βεροιαίου, ὃς ὑπὸ τοῦ Γρυποῦ καλουμένου Ἀντιόχου τοῦ βασιλέως προαχθεὶς μικροῦ δεῖν τῆς βασιλείας ἐξέβαλε τὸν εὐεργέτην, γράφει ἐν τῇ τετάρτῃ τῶν ἱστοριῶν τάδε „Ἐποιεῖτό τε τῶν στρατιωτῶν τὰς κατακλίσεις ἐπὶ τοῦ ἐδάφους ἐν ὑπαίθρῳ ἀνὰ χιλίους δειπνίζων. τὸ δὲ δεῖπνον ἦν ἄρτος
c μέγας καὶ κρέας, τὸ δὲ ποτὸν κεκραμένος οἶνος οἷος δήποτε ὕδατι ψυχρῷ. διηκόνουν δὲ ἄνδρες μαχαιροφόροι καὶ σιωπὴ ἦν εὔτακτος.“ ἐν δὲ τῇ δευτέρᾳ „Ἐν τῇ Ῥωμαίων (φησὶ) πόλει, ὅταν εὐωχῶνται ἐν τῷ τοῦ Ἡρακλέους ἱερῷ, δειπνίζοντος τοῦ κατὰ καιρὸν θριαμβεύοντος καὶ ἡ παρασκευὴ τῆς εὐωχίας Ἡρακλεωτική ἐστι. διοινοχοεῖται μὲν γὰρ οἰνόμελι, τὰ δὲ βρώματα ἄρτοι μεγάλοι καὶ καπνιστὰ ἑφθὰ κρέα καὶ τῶν προσφάτως καθιερωθέντων ὀπτὰ δαψιλῆ.
d παρὰ δὲ Τυρρηνοῖς δὶς τῆς ἡμέρας τράπεζαι πολυτελεῖς παρασκευάζονται, ἀνθιναί τε στρωμναὶ καὶ ἐκπώματα ἀργυρᾶ παντοδαπά, καὶ δούλων πλῆθος εὐπρεπῶν παρέστηκεν ἐσθήσεσι πολυτελέσι κεκοσμημένων.“ Τίμαιος δ᾽ ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν καὶ τὰς θεραπαίνας φησὶ παρ᾽ αὐτοῖς μέχρι οὗ ἂν αὐξηθῶσι γυμνὰς διακονεῖσθαι.

39. Μεγασθένης δ᾽ ἐν τῇ δευτέρᾳ τῶν Ἰνδικῶν τοῖς Ἰνδοῖς φησιν ἐν τῷ δείπνῳ παρατίθεσθαι ἑκάστῳ τράπε-
e ζαν, ταύτην δ᾽ εἶναι ὁμοίαν ταῖς ἐγγυθήκαις, καὶ ἐπιτίθεσθαι ἐπ᾽ αὐτῇ τρυβλίον χρυσοῦν, εἰς ὃ ἐμβαλεῖν αὐτοὺς

---

153 b. ἥρωϊ ABC. ἥρω VL. ἥρω P. παρακειμένην Villebrunius. Libri παρακειμένων. ἡρακλέων δ τοῦ βεριαίου B. προαχθεὶς] ἐπαρθεὶς C. ἐξέβαλε] ἐξέβαλλε B. τετάρτῃ] δ᾽ P. τετάρτῃ καὶ τριακοστῇ Bakius de Posidonio p. 148. τῶν στρατιωτῶν τὰς] τὰς τῶν στρατιωτῶν B.

153 c. προσφάτως Casaubonus. Libri προσφάτων. προσφάτων P. καθιερωθέντα B.

153 d. τίμαιος δ᾽ CPV. δ᾽ om. L. μέχρι P. Scribebatur μέχρις.

153 e. ἐγγυθήκαις L. ἐνγυθήκαις BPV. ἐμβαλεῖν] ἐμβάλλειν B.

πρῶτον μὲν τὴν ὄρυζαν ἑφθὴν, ὡς ἄν τις ἑψήσειε χόνδρον,
ἔπειτα ὄψα πολλὰ κεχειρουργημένα ταῖς Ἰνδικαῖς σκευα-
σίαις. Γερμανοὶ δὲ, ὡς ἱστορεῖ Ποσειδώνιος ἐν τῇ τριακο-
στῇ, ἄριστον προσφέρονται κρέα μεληδὸν ὠπτημένα καὶ
ἐπιπίνουσι γάλα καὶ τὸν οἶνον ἄκρατον. Καμπανῶν δέ
τινες παρὰ τὰ συμπόσια μονομαχοῦσι. Νικόλαος δ' ὁ Δα-
f μασκηνὸς, εἷς τῶν ἀπὸ τοῦ περιπάτου φιλοσόφων, ἐν τῇ
δεκάτῃ πρὸς ταῖς ἑκατὸν τῶν ἱστοριῶν Ῥωμαίους ἱστορεῖ
παρὰ τὸ δεῖπνον συμβάλλειν μονομαχίας γράφων οὕτως
„Τὰς τῶν μονομάχων θέας οὐ μόνον ἐν πανηγύρεσι καὶ
θεάτροις ἐποιοῦντο Ῥωμαῖοι, παρὰ Τυρρηνῶν παραλαβόν-
τες τὸ ἔθος, ἀλλὰ κἀν ταῖς ἑστιάσεσιν. ἐκάλουν γοῦν τινες
πολλάκις ἐπὶ δεῖπνον τοὺς φίλους ἐπί τε ἄλλοις καὶ ὅπως
ἂν δύο ἢ τρία ζεύγη ἴδοιεν μονομάχων, ὅτε καὶ κορεσθέν-
τες δείπνου καὶ μέθης εἰσεκάλουν τοὺς μονομάχους. καὶ ὁ
μὲν ἅμα ἐσφάττετο, αὐτοὶ δ' ἐκρότουν ἐπὶ τούτῳ ἡδόμενοι.
154 ἤδη δέ τις κἀν ταῖς διαθήκαις γέγραφε γυναῖκας εὐπρε-
πεστάτας μονομαχῆσαι, ἃς ἐκέκτητο, ἕτερος δὲ παῖδας
ἀνήβους ἐρωμένους ἑαυτοῦ. ἀλλὰ γὰρ οὐχ ἠνέσχετο ὁ δῆ-
μος τὴν παρανομίαν ταύτην, ἀλλ' ἄκυρον τὴν διαθήκην
ἐποίησεν." Ἐρατοσθένης δ' ἐν πρώτῳ Ὀλυμπιονικῶν τοὺς
Τυρρηνούς φησι πρὸς αὐλὸν πυκτεύειν.

40. Ποσειδώνιος δ' ἐν τρίτῃ καὶ τριακοστῇ τῶν ἱστο-
ριῶν „Κελτοὶ (φησὶν) ἐνίοτε παρὰ τὸ δεῖπνον μονομαχοῦ-
σιν. ἐν γὰρ τοῖς ὅπλοις ἀγερθέντες σκιαμαχοῦσι καὶ πρὸς
b ἀλλήλους ἀκροχειρίζονται, ποτὲ δὲ καὶ μέχρι τραύματος
προΐασι, καὶ ἐκ τούτου ἐρεθισθέντες, ἐὰν μὴ ἐπισχῶσιν οἱ
παρόντες, καὶ ἕως ἀναιρέσεως ἔρχονται." τὸ δὲ παλαιὸν
φησιν ὅτι παρατεθέντων κωλήνων τὸ μηρίον ὁ κράτιστος
ἐλάμβανεν, εἰ δέ τις ἕτερος ἀντιποιήσαιτο, συνίσταντο

153 f. Τυρρηνῶν] τυράννων BP.

154 a. ἄκυρον L. ἄκηρον PV. ἐν τῇ PVL. τῇ om. ABD et Casauboniani. τρίτῃ καὶ εἰκοστῇ VL. γ' καὶ εἰκοστῇ P. λγ (λΓ ή B) BD et Casauboniani. Κελτοὶ] καίτοι B. ἀγερθέντες Schweigh. Libri ἐγερθέντες.

154 b. ἐὰν μὴ] ὡς ἂν μὴ B. ἕτερος] ὕστερον Eustathius p. 1606, 14.

μονομαχήσοντες μέχρι θανάτου. ἄλλοι δ' ἐν θεάτρῳ λαβόντες ἀργύριον ἢ χρυσίον, οἱ δὲ οἴνου κεραμίων ἀριθμόν τινα, καὶ πιστωσάμενοι τὴν δόσιν καὶ τοῖς ἀναγκαίοις ἢ
c φίλοις διαδωρησάμενοι, ὕπτιοι ἐκταθέντες ἐπὶ θυρεῶν κεῖνται, καὶ παραστάς τις ξίφει τὸν λαιμὸν ἀποκόπτει. Εὐφορίων δ' ὁ Χαλκιδεὺς ἐν ἱστορικοῖς ὑπομνήμασιν οὕτω γράφει „Παρὰ δὲ τοῖς Ῥωμαίοις προτίθεσθαι πέντε μνᾶς τοῖς ὑπομένειν βουλομένοις τὴν κεφαλὴν ἀποκοπῆναι πελέκει, ὥστε τοὺς κληρονόμους κομίσασθαι τὸ ἆθλον· καὶ πολλάκις ἀπογραφομένους πλείους δικαιολογεῖσθαι καθ' ὃ δικαιότατός ἐστιν ἕκαστος αὐτῶν ἀποτυμπανισθῆναι."

d 41. Ἕρμιππος δ' ἐν πρώτῳ περὶ νομοθετῶν τῶν μονομαχούντων εὑρετὰς ἀποφαίνει Μαντινεῖς, Δημώνακτος ἑνὸς τῶν πολιτῶν συμβουλεύσαντος· καὶ ζηλωτὰς τούτου γενέσθαι Κυρηναίους. Ἔφορος δ' ἐν ἕκτῃ ἱστοριῶν „Ἤσκουν (φησὶ) τὰ πολεμικὰ οἱ Μαντινεῖς καὶ Ἀρκάδες, τήν τε στολὴν τὴν πολεμικὴν καὶ τὴν ὅπλισιν τὴν ἀρχαίαν, ὡς εὑρόντων ἐκείνων, ἔτι καὶ νῦν Μαντινικὴν ἀποκαλοῦσι. πρὸς δὲ τούτοις καὶ ὁπλομαχίας μαθήσεις ἐν Μαντινείᾳ
e πρῶτον εὑρέθησαν, Δημέου τὸ τέχνημα καταδείξαντος." ὅτι δὲ ἀρχαῖον ἦν τὸ περὶ τοὺς μονομάχους καὶ Ἀριστοφάνης εἴρηκεν ἐν Φοινίσσαις οὕτως

> Ἐς Οἰδίπου δὲ παῖδε, διπτύχω κόρω,
> Ἄρης κατέσκηψ', ἔς τε μονομάχου πάλης
> ἀγῶνα νῦν ἑστᾶσιν.

Ἔοικε δὲ πεποιῆσθαι τὸ ὄνομα οὐκ ἐκ τοῦ μάχη, ἀλλ' ἐκ ῥήματος τοῦ μάχεσθαι μᾶλλον συγκεῖσθαι. ὁπότε γὰρ

---

μονομαχήσοντες] μονομαχήσαντες P. κεραμίων] κεραμείων P.

154 c. ἢ φίλοις B. Aberat ἢ. καὶ παρυστάς τις ABC. παραστὰς δέ τις VL. παραστάς τις P. Εὐφορίων] P. 76. δικαιότατος] δικαιότατον P. αὐτῶν BCP et Eustathius p. 1837, 34. αὐτὸς VL.

154 d. στολὴν τὴν ABPV. τὴν om. L. ὅπλησιν B. ἀποκαλοῦσι] καλοῦσι B. Μαντινείᾳ] μαντινία B.

154 e. καὶ ἀριστοφάνης BP. Aberat καί. Aristophanis verba om. C. δὲ παῖδε Heringa apud Valckenar. ad Euripidis Phoeniss. v. 1370. p. 461. δέπται δὲ VL. δέπται P. κατέσκηψ', ἔς τε Porsonus ad Phoeniss. v. 1381. Libri κατέσκηψέ τε. ἐκ ῥήματος τοῦ AB. ἐκ τοῦ ῥήματος τοῦ PVL. In C his verbis haec tra-

τὸ μάχη συντιθέμενον τὸ τέλος εἰς ος τρέπει, ὡς ἐν τῷ σύμμαχος, πρωτόμαχος, ἐπίμαχος, ἀντίμαχος, φιλόμαχον
f γένος ἐκ Περσέως παρὰ Πινδάρῳ, τηνικαῦτα προπαροξύνεται· ὁπότε δὲ παροξύνεται, τὸ μάχεσθαι ῥῆμα περιέχει, ὡς ἐν τῷ πυγμάχος, ναυμάχος, „Αὐτόν δε πυλαμάχε πρῶτον" παρὰ Στησιχόρῳ, ὁπλομάχος, τειχομάχος, πυργομάχος. ὁ δὲ κωμῳδιοποιὸς Ποσείδιππὸς ἐν Πορνοβοσκῷ φησιν

Ὁ μὴ πεπλευκὼς οὐδὲν ἑόρακεν κακόν·
155 τῶν μονομαχούντων ἐσμὲν ἀθλιώτεροι.

ὅτι δὲ καὶ οἱ ἔνδοξοι καὶ οἱ ἡγεμόνες ἐμονομάχουν καὶ ἐκ προκλήσεως τοῦτ᾽ ἐποίουν ἐν ἄλλοις εἰρήκαμεν. Δίυλλος δ᾽ ὁ Ἀθηναῖος ἐν τῇ ἐνάτῃ τῶν ἱστοριῶν φησιν ὡς Κάσανδρος ἐκ Βοιωτίας ἐπανιὼν, καὶ θάψας τὸν βασιλέα καὶ τὴν βασίλισσαν ἐν Αἰγαῖς καὶ μετ᾽ αὐτῶν τὴν Κύνναν τὴν Εὐρυδίκης μητέρα καὶ τοῖς ἄλλοις τιμήσας οἷς προσήκει, καὶ μονομαχίας ἀγῶνα ἔθηκεν, εἰς ὃν κατέβησαν τέσσαρες τῶν στρατιωτῶν.

42. Δημήτριος δ᾽ ὁ Σκήψιος ἐν τῷ δωδεκάτῳ τοῦ
b Τρωικοῦ διακόσμου „Παρ᾽ Ἀντιόχῳ (φησὶ) τῷ βασιλεῖ τῷ μεγάλῳ προσαγορευθέντι ἐν τῷ δείπνῳ πρὸς ὅπλα ὠρχοῦντο οὐ μόνον οἱ βασιλέως φίλοι, ἀλλὰ καὶ αὐτὸς ὁ βασιλεύς. ἐπεὶ δὲ καὶ εἰς Ἡγησιάνακτα τὸν Ἀλεξανδρέα ἀπὸ Τρωάδος, τὸν τὰς ἱστορίας γράψαντα, ἡ τῆς ὀρχήσεως τάξις ἐγένετο, ἀναστὰς εἶπε, Πότερον ὦ βασιλεῦ κακῶς ὀρχούμενον ἐμὲ θεάσασθαι βούλει ἢ καλῶς ἀπαγ-

---

dita, πεποίηται δὲ τὸ μονομάχος ὄνομα οὐκ ἐκ τοῦ μάχη· ὃ συντιθέμενον προπαροξύνει τὸ τέλος, ὡς σύμμαχος, πρωτόμαχος, ἀντίμαχος, ἐπίμαχος, φιλόμαχον γένος. τὰ δὲ τοιαῦτα ῥήματι, ὅτε παροξύνεται, τὸ μάχεσθαι ῥῆμα περιέχει. πυγμάχος, ναυμάχος, ὁπλομάχος, τειχομάχος, πυργομάχος. εἰς ος Coraës. Libri ἴσως. ἐπίμαχος om. B.

154 f. Πινδάρῳ] Fr. 142. p. 636. Boeckh. qui Περσέος. πυλαμάχε AB. πυλομάχε P. πυγμάχε VL. Scholiastes Venetus ad Iliad. ε, 31. — ἀνάλογον τῷ παρὰ Στησιχόρῳ πυλεμάχῳ (scil. Ἄρει). Qui fortasse πυλαιμάχῳ scripserat. κωμῳδιοποιὸς A. κωμῳδοποιὸς PVL. κωμικὸς C. ἑόρακεν] Libri ἑώρακεν sive ἑώρακε.

155 a. τοῦτ᾽] ταῦτ᾽ B. Δίυλλος Casaubonus. διύαλος PVL. δῦαλος B. κάσανδρος BP. κάσσανδρος VL. Αἰγαῖς] αἰγαίαις P. οἷς L. οἱ PV. ἀγῶνα] ἀγῶνας B. τέσσαρες] δ P.

156 b. εἰς Ἡγησιάνακτα] εἰς om. P. ἀπαγγέλλοντος PL.

γέλλοντός μου ἴδια ποιήματα θέλεις ἀκροάσασθαι; κελευ-
σθεὶς οὖν λέγειν οὕτως ᾖσε τὸν βασιλέα ὥστ' ἱράνου τε
c ἀξιωθῆναι καὶ τῶν φίλων εἷς γενέσθαι." Δοῦρις δ' ὁ
Σάμιος ἐν τῇ τῶν ἱστοριῶν ἑπτακαιδεκάτῃ Πολυσπέρχοντά
φησιν, εἰ μεθυσθείη, καίτοι πρεσβύτερον ὄντα ὀρχεῖσθαι,
οὐδενὸς Μακεδόνων ὄντα δεύτερον οὔτε κατὰ τὴν στρατη-
γίαν οὔτε κατὰ τὴν ἀξίωσιν, καὶ ἐνδυόμενον αὐτὸν κρο-
κωτὸν καὶ ὑποδούμενον Σικυώνια διατελεῖν ὀρχούμενον.
Ἀγαθαρχίδης δ' ὁ Κνίδιος ἐν ὀγδόῃ Ἀσιατικῶν ἱστορεῖ
ὡς οἱ ἑστιῶντες Ἀλέξανδρον τὸν Φιλίππου τῶν φίλων τὸ
d μέλλον παρατεθήσεσθαι τῶν τραγημάτων περιεχρύσουν·
ὅτε δὲ θέλοιεν ἀναλίσκειν, περιελόντες τὸν χρυσὸν ἅμα
τοῖς ἄλλοις ἐξέβαλλον, ἵνα τῆς μὲν πολυτελείας οἱ φίλοι
θεαταὶ γένοιντο, οἱ δ' οἰκέται κύριοι. ἐπιλελησμένοι δ'
ἦσαν οὗτοι, ὡς καὶ Δοῦρις ἱστορεῖ, ὅτι καὶ Φίλιππος ὁ
τοῦ Ἀλεξάνδρου πατὴρ ποτήριον χρυσοῦν ὁλκὴν ἄγον πεν-
τήκοντα δραχμὰς κεκτημένος, τοῦτο ἐλάμβανε κοιμώμενος
ἀεὶ καὶ πρὸς κεφαλὴν αὑτοῦ κατετίθετο. Σέλευκος δὲ
e Θρᾳκῶν φησι τινὰς ἐν τοῖς συμποσίοις ἀγχόνην παίζειν
βρόχον ἀρτήσαντας ἔκ τινος ὕψους στρογγύλον, πρὸς ὃν
κατὰ κάθετον προστίθεσθαι λίθον εὐπερίτρεπτον τοῖς ἐπι-
βαίνουσι. διαλαγχάνειν οὖν αὐτοὺς καὶ τὸν λαχόντα ἔχοντα
δρεπάνιον ἐπιβαίνειν τῷ λίθῳ καὶ τὸν τράχηλον εἰς τὸν
βρόχον ἐντιθέναι, παρερχόμενον δ' ἄλλον ἐγείρειν τὸν
λίθον, καὶ ὁ κρεμάμενος ὑποτρέχοντος τοῦ λίθου, ἐὰν μὴ
ταχὺ φθάσας ἀποτέμῃ τῷ δρεπάνῳ, τέθνηκε, καὶ οἱ ἄλλοι
γελῶσι παιδιὰν ἔχοντες τὸν ἐκείνου θάνατον.
f 43. Ταῦτ' εἰπεῖν εἶχον, ἄνδρες φίλοι καὶ συμπόται,

---

ἀπαγγέλοντος BV. ἀκροάσασθαι AC. ἀκροῦσθαι PVL. ἦσε AC. ᾖσεν B. ᾖσε P. ᾖσε VL.

155 c. ἑπτακαιδεκάτῃ] ἑκκαιδεκάτῃ P. (πτα superscr.) Πολυσπέρχοντα] πολυπέρχοντα BP. εἰ] εἰ καὶ B. ἐνδυόμενον] ἐνδυομένου B. τραγημάτων] στρατηγημάτων CP.

155 d. ὅτε δὲ] δὲ om. BP. περιελόντες] περιελθόντες P. ἐξέβαλλον BC. ἐξέβαλον PVL. γένοιντο B. γένωνται PVL. Δοῦρις] Conf. IV. p. 231 b.

155 e. ἀρτήσαντας] ἀρτυσαντες P. ἔχοντα add. PL. om. V. ὑποτρέχοντος Coraës. Libri ἐπιτρέχοντος.

f εἶτα πάλιν φακοὶ προσηνέχθησαν ὄξει βεβρεγμένοι, καὶ ὁ Διτρέφης δραξάμενος ἔφη

Ζεῦ, μὴ λάθοι σε τῶνδ' ὃς αἴτιος φακῶν.

καὶ ἄλλος ἑξῆς ἀνεβόησε

Φακός σε δαίμων καὶ φακὴ τύχη λάβοι.

ἐμοὶ δὲ κατὰ τὸν κωμικὸν Δίφιλον, φησὶ δ' οὗτος ἐν Πελιάσι

Τὸ δειπνάριον ἀνθηρὸν ἦν, γλαφυρὸν σφόδρα,
φακῆς κατ' ἄνδρα τρυβλίον μεστὸν μέγα.
157 Β. πρώτιστον οὐκ ἀνθηρόν. Α. ἐπὶ ταύτῃ φέρων
εἰς τὸ μέσον ἐπεχόρευσε σαπέρδης μέγας
ὑπό τι δυσώδης οὗτος * ηρος ἀνθίαν,
ὃν πολλὰ * * ταῖς κίχλαις ἤδη λέγει.

γέλωτος οὖν ἐπιρραγέντος παρῆν ἡ θεατροτορύνη Μέλισσα καὶ ἡ κυνάμυια Νίκιον· αὗται δ' ἦσαν τῶν οὐκ ἀσήμων ἑταιρίδων. ἀποβλέψασαι οὖν αὗται εἰς τὰ παρακείμενα καὶ θαυμάσασαι ἐγέλων. καὶ ἡ Νίκιον ἔφη, Οὐδεὶς ὑμῶν, ἄν-
b δρες γενειοσυλλεκτάδαι, ἰχθὺν ἐσθίει; ἢ καθάπερ ὁ πρόγονος ὑμῶν Μελέαγρος ὁ Γαδαρεὺς ἐν ταῖς Χάρισιν ἐπι-

---

PV. Arrianus in periplo Ponti Eux. vol. I. p. 4. ed. Hudson. τοῦτο δὴ τὸ τραγικόν, καὶ τὴν μὲν ἐξηντλοῦμεν, ἡ δ' ἐπεισέρρει.

156 f. Διτρέφης] Scribebatur διτρεφής. Ζεῦ] Euripidis versus Medeae 326. κακῶν in φακῶν mutato. Φακός] Euripidis versum fuisse κακός σε δαίμων καὶ κακὴ τύχη λάβοι suspicatus est Leopardus Emendat. VI, 12. φακὴ τύχη PL. φακῇ τύχῃ V. λάβοι] λάβῃ B. V. 1. Τὸ om. C. ἦν ἀνθηρὸν γλαφυρὸν ABCP. ἀνθηρὸν γλαφυρὸν ἦν VL. Correxit Erfurdtius p. 451. V. 2. τρυβλίον] Scribebatur τρύβλιον, sed alibi τρυβλίον: quod ego ubique dedi.

157 a. V. 5. Β. οὗτος — Schweigh. ἦρος VL. ηρος P. κρος B. ἱερὸς Schweigh. In Q Villebrunius πρὸς invenisse videtur, cuius haec est annotatio „Je lis houtos ar pros anthian, koi chairein — legei, leçon du manuscrit Q." ἀνθίαν VL. ἄνθιαν P. ἄνθειαν B. ἀνθίας Schweigh. V. 6. λέγει ABP. λέγειν VL. ὡς πολλὰ χαίρειν — λέγειν Casaubonus. ὃς πολλὰ χαίρειν — λέγει Schweigh. γέλωτος οὖν] γέλωτος οὗτος οὖν AP. κυνάμυια] κυναμυῖα P. γενειοσυλλεγκτάδαι B. ἢ καθάπερ PVL. ἡ καθάπερ Schweigh. editio.

157 b. Μελέαγρος — ἀρχαίους] Eustathius p. 868, 15.

γραφομένοις ἔφη τὸν Ὅμηρον Σύρον ὄντα τὸ γένος κατὰ τὰ πάτρια ἰχθύων ἀπεχομένους ποιῆσαι τοὺς ἀρχαίους, δαψιλείας πολλῆς οὔσης κατὰ τὸν Ἑλλήσποντον; ἢ μόνον ἀνέγνωτε σύγγραμμα αὐτοῦ τὸ περιέχον λεκίθου καὶ φακῆς σύγκρισιν; ὁρῶ γὰρ πολλὴν παρ' ὑμῖν τῆς φακῆς τὴν σκευήν. εἰς ἣν ἀποβλέπουσα συμβουλεύσαιμ' ἂν ὑμῖν, κατὰ τὸν Σωκρατικὸν Ἀντισθένην, ἐξάγειν ἑαυτοὺς τοῦ
c βίου τοιαῦτα σιτουμένους. πρὸς ἣν ὁ Καρνεῖος ἔφη, Εὐξίθεος ὁ Πυθαγορικός, ὦ Νίκιον, ὥς φησι Κλέαρχος ὁ περιπατητικὸς ἐν δευτέρῳ βίων, ἔλεγεν ἐνδεδέσθαι τῷ σώματι καὶ τῷ τῇδε βίῳ τὰς ἁπάντων ψυχὰς τιμωρίας χάριν, καὶ διείπασθαι τὸν θεὸν ὡς, εἰ μὴ μενοῦσιν ἐπὶ τούτοις ἕως ἂν ἑκὼν αὐτοὺς λύσῃ, πλέοσι καὶ μείζοσιν ἐμπεσοῦνται τότε λύμαις. διὸ πάντας εὐλαβουμένους τὴν τῶν
d κυρίων ἀνάτασιν φοβεῖσθαι τοῦ ζῆν ἑκόντας ἐκβῆναι μόνον τε τὸν ἐν τῷ γήρᾳ θάνατον ἀσπασίως προΐστασθαι, πεπεισμένους τὴν ἀπόλυσιν τῆς ψυχῆς μετὰ τῆς τῶν κυρίων γίγνεσθαι γνώμης. τούτοις τοῖς δόγμασιν ἡμεῖς πειθόμεθα. Ὑμῖν δὲ φθόνος οὐδὲ εἷς ἑλέσθαι ἕν τι τῶν τριῶν ἔχειν κακῶν. οὐ γὰρ ἐπίστασθε, ὦ ταλαίπωροι, ὅτι αἱ βαρεῖαι αὗται τροφαὶ φράττουσι τὸ ἡγεμονικὸν καὶ οὐκ ἐῶσι τὴν φρόνησιν ἐν αὐτῇ εἶναι.

46. Θεόπομπος οὖν ἐν πέμπτῳ Φιλιππικῶν φησι „Τὸ γὰρ ἐσθίειν πολλὰ καὶ κρέα φαγεῖν τοὺς μὲν λογισμοὺς
e ἐξαιρεῖ καὶ τὰς ψυχὰς ποιεῖται βραδυτέρας, ὀργῆς δὲ καὶ

---

δαψιλείας] δαψιλίας B. σύγγραμμα VL. συγγράμματα AP. (in P litterae τα linea transfixae.) σύγγραμμά B. λεκίθου καὶ φακῆς σύγκρισιν] Homero auctori per errorem tribuit Eustathius p. 1572, 53. πολλὴν παρ' ὑμῖν] παρ' ὑμῖν πολλὴν B.

157. c. καρνεῖος AC. κάρνειος VL. καρνειὸς P. Εὐξίθεος] „An est Δεξίθεος, quem inter Pythagoricos Paro oriundos nominat Iamblichus c. 36." Reinesius. τῇδε BC. δεῦρο PVL. τὸν θεὸν ABCP et Casauboniani. τὴν θεὸν VL. ἀνάτασιν Casaubonus. ἀνάστασιν PVL. ἑκόντας BPV. ἑκόντες L et Schweigh. editio. ἐκβῆναι] ἐκστῆσαι C. Debebat saltem ἐκστῆναι.

157 d. προΐστασθαι] προσίεσθαι Casaubonus. μετὰ om. B. Ὑμῖν δὲ] ἔφη ἡ Νίκιον addit Schweigh. ἐν αὐτῇ A. ἐν αὐτῇ PVL. ἐν αὐτῷ C. κρέα φαγεῖν] κρεαφαγεῖν P.

σκληρότητος καὶ πολλῆς σκαιότητος ἐμπίπλησι.“ καὶ ὁ θαυμάσιος δὲ Ξενοφῶν φησιν ὡς ἡδὺ μὲν μᾶζαν καὶ κάρδαμα φαγεῖν πεινῶντι, ἡδὺ δὲ ὕδωρ ἀρυσάμενον ἐκ ποταμοῦ διψῶντα πιεῖν. Σωκράτης δὲ καὶ πολλάκις κατελαμβάνετο διαπεριπατῶν ἑσπέρας βαθείας πρὸ τῆς οἰκίας, καὶ πρὸς τοὺς πυνθανομένους Τί τηνικάδε; ἔλεγεν ὄψον συν-
f άγειν πρὸς τὸ δεῖπνον. ἡμῖν δὲ αὐτάρκης μερὶς ἣν ἂν παρ᾽ ὑμῶν λάβωμεν, καὶ οὐ χαλεπαίνομεν ὡς ἔλαττον φερόμενοι, καθάπερ ὁ παρ᾽ Ἀντικλείδῃ Ἡρακλῆς. φησὶ γὰρ οὗτος ἐν τῷ δευτέρῳ τῶν Νόστων „Μετὰ τὸ συντελέσαι τοὺς ἄθλους Ἡρακλέα Εὐρυσθέως θυσίαν τινὰ ἐπιτελοῦντος συμπαραληφθέντα καὶ τῶν τοῦ Εὐρυσθέως υἱῶν τὰς μερίδας ἑκάστῳ παρατιθέντων, τῷ δ᾽ Ἡρακλεῖ ταπεινοτέραν παραθέντων, ὁ Ἡρακλῆς ἀτιμάζεσθαι ὑπολαβὼν ἀπέ-
158 κτεινε τρεῖς τῶν παίδων, Περιμήδην, Εὐρύβιον, Εὐρύπυλον.“ οὐ τοιοῦτοι οὖν τὸν θυμὸν ἡμεῖς, εἰ καὶ πάντα Ἡρακλέους ζηλωταί.

47. Τραγικὸν γὰρ ἡ φακῆ ᾽στιν, Ἀρχάγαθος ἔφη πο * * γεγραφέναι * *

ῥοφοῦντ᾽ Ὀρέστην τῆς νόσου πεπαυμένον

φησὶ Σώφιλος ὁ κωμῳδιοποιός. στωικὸν δὲ δόγμα ἐστὶν ὅτι τε πάντα εὖ ποιήσει ὁ σοφὸς καὶ φακῆν φρονίμως ἀρτύσει. διὸ καὶ Τίμων ὁ Φλιάσιος ἔφη „Καὶ Ζηνώνειόν

---

157 e. ἐμπίπλησι] ἐμπίμπλησι P. Ξενοφῶν] Instit. Cyri I. 2, 11. φησιν ὡς ἡδὺ ABPV. φησιν ἡδὺ L. Σωκράτης] Eustathius p. 868, 12. ἑσπέρας L. ἑσπερίας BV. ἑσπερείας P. καὶ πρὸς τοὺς] καὶ τοὺς B.

157 f. ἣν] ἢν AP. ὡς ἔλαττον] ἕως ἔλαττον B. οὗτος] οὕτως D apud Villebrunium. συμπαραληφθέντα AB. συμπαρειλήφθη alia orationis forma C. συμπαρακληθέντα VL. υἱῶν add. ABC. om. PVL.

158 a. ἡ φακῆ (ἡ φακή AB) ᾽στιν ABC. ἡ φακῆ ἐστιν VL. ἐστιν ἡ φακὴ P. πο A. πῶ V. πω PL. Libri Parisini Villebrunii alter που, alter π. Lacunam ante γεγραφέναι indicavit Schweigh., post γεγραφέναι ego. ἀρχάγαθος ἔφη ὑπογεγραφέναι ῥοφοῦντ᾽ B. ἀρχάγαθος ἔφη ἧς καὶ ῥοφεῖν C. Σώφιλος] σόφιλος C. κωμῳδιοποιός Schweigh. editio. κωμῳδοποιός PVL. κωμικός C. ὅτι τε Schweigh. editio. τε om. PVL. διὸ καὶ τίμων ὁ φλιάσιος ἔφη ζηνώνιόν τε φακῆν ἑψεῖν. ἔστι δὲ ἡ ζηνώνειος ἐπὶ τῇ φακῇ ὑπόθεσις τοιαύτη, εἰς δὲ φακῆν ἔμβαλλε δυωδέκατον κοριάννου C. Timonis verba duorum

b γε φακῆν ἕψειν ὃς μὴ φρονίμως μεμάθηκεν·" ὡς οὐκ ἄλλως δυναμένης ἑψηθῆναι φακῆς, εἰ μὴ κατὰ τὴν Ζηνώνειον ὑφήγησιν, ὃς ἔφη

Εἰς δὲ φακῆν ἔμβαλλε δυωδέκατον κοριάννου.

καὶ Κράτης δ' ὁ Θηβαῖος ἔλεγε

Μὴ πρὸ φακῆς λοπάδ' αὔξων
εἰς στάσιν ἄμμε βάλῃς.

Χρύσιππος δὲ ἐν τῷ περὶ τοῦ καλοῦ γνώμας τινὰς ἡμῖν εἰσφέρων φησὶ „Μή ποτ' ἐλαίαν ἔσθι' ἀκαλήφην ἔχων. χειμῶνος ὥρᾳ βολβοφακῆν." βαβαὶ βαβαί.

Βολβοφακῆ δ' οἷον ἀμβροσίη ψύχους κρυόεντος.

c ὁ χαρίεις τε Ἀριστοφάνης ἐν Γηρυτάδῃ ἔφη

Πτισάνην διδάσκεις αὐτὸν ἕψειν ἢ φακῆν.

καὶ ἐν Ἀμφιαράῳ

Ὅστις φακῆν ἥδιστον ὄψων λοιδορεῖς.

Ἐπίχαρμος δ' ἐν Διονύσοις

Χύτρα δὲ φακέας ἥψετο.

Ἀντιφάνης δ' Ὁμοίαις

Εὖ δ' ἐγίγνεθ' ὅτι φακῆν
ἕψειν μ' ἐδίδασκε τῶν ἐπιχωρίων τις εἷς.

οἶδα δὲ καὶ τὴν Ὀδυσσέως τοῦ φρονιμωτάτου καὶ συνετωτάτου ἀδελφὴν Φακῆν καλουμένην, ἣν ἄλλοι τινὲς Καλ-

---

versuum fragmenta esse videntur. Schweighaeuserus Ζηνώνειον delebat. Ζηνώνειον] ζηνώνιον ABCP. γε] τε BC. φακὴν A hic et alibi. ἕψειν] Scribebatur ἑψεῖν.

158 b. τὴν Ζηνώνειον] τὴν ζηνώνιον BP. κοριάννου ABCP. κορίαννον VL. Κράτης] Plutarch. Moral. p. 125 f. δὲ ἐν B. τε ἐν PVL. ἴσθι' P. ἴσθιε VL. βολβοφακὴν et βολβοφακὴ PVL.

158 c. Πτισάνην] πτισάνην ην A. πτισάνιν B. διδάσκεις αὐτὸν A. διδάσκει σαυτὸν BP. διδάσκειν αὐτ' C. διδάσκεις σαυτὸν VL. ἕψειν] Scribebatur ἑψεῖν. ὄψων] ὄψον P et Eustathius p. 1572, 51. Epicharmi verba attulit Herodianus περὶ μονήρους λέξεως p. 6, 22. ἥψετο] ἥψατο C et Herodiani codex. P non apparet utrum ἥψετο an ἥψατο voluerit. δ' om. A. Ὁμοίαις] Alibi Ὅμοιοι dicitur. Hos versus om. C. εὖ δ' ἐγίνεθ' ὅτι Porsonus. εὖ δὲ γύναι τὴν BD. εὖ δὲ γίγνεθ' ἢ (η A) VL. εὖ δὲ γίνεθ' ἢ P. ἑψεῖν μ' ἐδίδασκε Porsonus. ἑψεῖν μ' (με L) δίδασκε VL. ἑψειη με δίδασκε A. ἕψε, ἤ με δίδασκε BD. ἕψειη με δίδασκε P. τισεις A. τίσεις BP. τί εἷς VL. Φακῆν] Eustathius p. 1572, 52.

d λιστῶ ὀνομάζουσιν, ὡς ἱστορεῖν Μνασέαν τὸν Πατρέα ἐν τρίτῳ Εὐρωπιακῶν φησι Λυσίμαχος ἐν τρίτῳ Νόστων.

48. Ἐπὶ τούτοις γελάσαντος πάνυ ἔκλαμπρον τοῦ Πλουτάρχου οὐκ ἐνέγκας ὁ κύων παροραθεῖσαν τὴν περὶ τῆς φακῆς πολυμαθίαν, Ἀλλ' ὑμεῖς γε, ἔφη, οἱ ἀπὸ τῆς καλῆς Ἀλεξανδρείας, ὦ Πλούταρχε, σύντροφοί ἐστε τῷ φακίνῳ βρώματι καὶ πᾶσα ὑμῶν ἡ πόλις πλήρης ἐστὶ φακίνων· ὧν καὶ Σώπατρος ὁ φάκιος παρῳδὸς μέμνηται ἐν δράματι Βακχίδι λέγων οὕτως

e Οὐκ ἂν δυναίμην εἰσορῶν χαλκήλατον
μέγαν κολοσσὸν φάκινον ἄρτον ἐσθίειν.

Ἐπεὶ τί δεῖ βροτοῖσι, κατὰ τὸν σὸν Εὐριπίδην, γραμματικώτατε, πλὴν δυοῖν μόνον,

Δήμητρος ἀκτῆς πώματός θ' ὑδρηχόου;
ἅπερ πάρεστι καὶ πέφυχ' ἡμᾶς τρέφειν.
ὧν οὐκ ἀπαρκεῖ πλησμονή· τρυφῇ γέ τοι
ἄλλων ἐδεστῶν μηχανὰς θηρεύομεν.

κἀν ἄλλοις δέ φησιν ὁ σκηνικὸς οὗτος φιλόσοφος

Ἀρκεῖ μετρία βιοτά μοι σώφρονος τραπέζης,
f τὸ δ' ἄκαιρον ἅπαν τόδ' ὑπερβάλλον τε μὴ προσείμαν.

καὶ ὁ Σωκράτης δ' ἔλεγε τῶν ἄλλων ἀνθρώπων διαφέρειν, καθ' ὅσον οἱ μὲν ζῶσιν ἵν' ἐσθίωσιν, αὐτὸς δ' ἐσθίει ἵνα ζῇ. Διογένης τε πρὸς τοὺς ἐγκαλοῦντας αὐτῷ ἀποτριβομένῳ ἔλεγεν, εἴθ' ἠδυνάμην καὶ τὴν γαστέρα τρίψας τῆς πείνης καὶ τῆς ἐνδείας παύσασθαι. Εὐριπίδης δ' ἐν Ἱκέτισι περὶ τοῦ Καπανέως φησὶ

---

158 d. *Πατρέα*] *Παταρέα* Ebert. dissertat. Sicul. I. p. 211. *Πατρεὺς* dicitur VII. p. 301 d. VIII. p. 331 e. *Βακχίδι* Casaubonus. *βακίδῃ* VL. *βακίδην* BP.

158 e. *μέγαν κολοσσὸν φάκινον*] Eustathius p. 1572, 52. V. 1. *Ἐπεὶ τί δεῖ*] Alii scriptores qui horum versuum mentionem fecerunt indicantur in annotatione. V. 3. *ἡμᾶς* BCP. *ὑμᾶς* VL. *τρέφει* B. V. 4. 5. om. C. V. 4. *πλησμονὴ* Gellius VII, 16. Libri *πλησμονῆς*.

158 f. *ἅπαν τόδ'* Porsonus apud Gaisford. ad Hephaest. p. 341. Aberat *τόδ'*. *προσείμαν*] *προσείμ' ἂν* B. *εἴθ'*] *εἶτ'* P. *εὐριπίδης δ'* B. *ὁ δ' εὐριπίδης* PVL. *Ἱκέτισιν*] V. 861. Conf. VI. p. 250 f.

9 Καπανεὺς ὅδ' ἐστὶν, ᾧ βίος μὲν ἦν πολὺς,
ἥκιστα δ' ὄλβῳ γαῦρος ἦν, φρόνημα δὲ
οὐδέν τι μεῖζον εἶχεν ἢ πένης ἀνὴρ,
ψέγων τραπέζαις εἴ τις ἐξογκοῖτ' ἄγαν,
τἀρκοῦν ἐπαινῶν· οὐ γὰρ ἐν γαστρὸς βορᾷ
τὸ χρηστὸν εἶναι, μέτρια δ' ἐξαρκεῖν ἔφη.

49. Οὐκ ἦν γὰρ τοιοῦτος, ὡς ἔοικεν, ὁ Καπανεὺς οἷον ὁ καλὸς Χρύσιππος διαγράφει ἐν τῷ περὶ τῶν μὴ δι' αὑτὰ αἱρετῶν λέγων ὧδε „Ἐπὶ τοσοῦτον τινὲς ἐκπίπτουσι
b πρὸς τὸ ἀργύριον ὥστε ἱστορῆσθαι πρὸς τῇ τελευτῇ τινὰ μὲν καταπιόντα οὐκ ὀλίγους χρυσοῦς ἀποθανεῖν, τὸν δὲ ἕτερον ῥαψάμενον εἴς τινα χιτῶνα καὶ ἐνδύντ' αὐτὸν ἐπισκῆψαι τοῖς οἰκείοις θάψαι οὕτως, μήτε καύσαντας μήτε θεραπεύσαντας.“ οὗτοι γὰρ καὶ οἱ τοιοῦτοι μονονουχὶ βοῶντες ἀποθνήσκουσιν

Ὦ χρυσὲ δεξίωμα κάλλιστον βροτοῖς,
ὡς οὔτε μήτηρ ἡδονὰς τοιάσδ' ἔχει,
οὐ παῖδες ἐν δόμοισιν, οὐ φίλος πατὴρ,
οἵας σὺ χοἰ σὲ δώμασιν κεκτημένοι.
c εἰ δ' ἡ Κύπρις τοιοῦτον ὀφθαλμοῖς ὁρᾷ,
οὐ θαῦμ' ἔρωτας μυρίους αὐτὴν ἔχειν.

τοιαύτη τις ἦν ἡ φιλοχρηματία παρὰ τοῖς τότε· περὶ ἧς Ἀνάχαρσις πυνθανομένου τινὸς πρὸς τί οἱ Ἕλληνες χρῶνται τῷ ἀργυρίῳ, εἶπε, Πρὸς τὸ ἀριθμεῖν. Διογένης δ' ἐν

---

159 a. V. 2. ὄλβῳ] ὄλβων ABP. δὲ] δ' B. V. 4. Vid. VI. p. 250 f. ὡς ἔοικεν add. ACL et epitome Hoeschelii. om. BPV. ἱστορῆσθαι] ἱστορεῖσθαι B.

159 b. χρυσοῦς] χρυσοὺς A. ἐνδύντ' B. ἐνδύντα PVL. V. 1. Ὦ χρυσὲ] Euripidis ex Bellerophonte versus: vide Senecam epist. CXV. qui in patrium sermonem convertit. Omisso fabulae nomine attulerunt non sine scripturae diversitate Sextus empir. adv. mathem. I. 279. p. 277. Athenagoras Apol. p. 117. ed. Oxon. Stobaeus Serm. XCI, 4. vol. III. p. 217. Ὦ χρυσὲ] ὦ χρυσὲ, ὦ B. δεξίωμα A. V. 3. ἐν δόμασιν B. ἀνθρώποισιν ceteri scriptores recte. V. 4. χοἰ] καὶ οἱ ABP.

159 c. V. 6. ἔχειν] τρέφειν Stobaeus. εἶπε C. εἰπεῖν PVL.

τῇ ἑαυτοῦ πολιτείᾳ νόμισμα εἶναι νομοθετεῖ ἀστραγάλους. καλῶς δὲ καὶ αὐτὰ ὁ Εὐριπίδης εἴρηκε

Μὴ πλοῦτον εἴπῃς· οὐχὶ θαυμάζω θεὸν
ὃν χὠ κάκιστος ῥᾳδίως ἐκτήσατο.

d Χρύσιππος δ᾽ ἐν τῇ εἰσαγωγῇ τῇ εἰς τὴν περὶ ἀγαθῶν καὶ κακῶν πραγματείαν νεανίσκον φησί τινα ἐκ τῆς Ἰωνίας σφόδρα πλούσιον ἐπιδημῆσαι ταῖς Ἀθήναις, πορφυρίδα ἠμφιεσμένον, ἔχουσαν χρυσᾶ κράσπεδα. πυνθανομένου δέ τινος αὐτοῦ ποδαπός ἐστιν ἀποκρίνασθαι ὅτι πλούσιος. μήποτε τοῦ αὐτοῦ μνημονεύει καὶ Ἄλεξις ἐν Θηβαίοις λέγων ὧδε

Ἔστιν δὲ ποδαπὸς τὸ γένος οὗτος; B. πλούσιος·
τούτους δὲ πάντες φασὶν εὐγενεστάτους
εἶναι· πένητας δ᾽ εὐπάτριδας οὐδεὶς ὁρᾷ.

e 50. Ταῦτ᾽ εἰπὼν ὁ Κύνουλκος, ἐπεὶ μὴ ἐκροταλίσθη, θυμωθείς, Ἀλλ᾽ ἐπειδὴ οὗτοι, ἔφη, ὦ συμποσίαρχε, ὑπὸ λογοδιαρροίας ἐνοχλούμενοι μὴ πεινῶσιν, ἢ τὰ περὶ τῆς φακῆς λεχθέντα χλευάζουσιν· ἐν νῷ ἔχοντες τὰ εἰρημένα Φερεκράτει ἐν Κοριαννοῖ

Φέρε δὴ κατακλινῶ· σὺ δὲ τράπεζαν * φέρε

---

καλῶς δὲ] καλῶς γὰρ A. Εὐριπίδης] Aeolo: vid. Stobaei Serm. XCIII, 9. vol. III. p. 232. Attulerunt Sextus empir. adv. mathem. I. 271. p. 274. Plutarchus Moral. p. 34 d. ubi vide Wyttenbachii annotationem. ὃν χ᾽ ᾧ V. ὃν χὠ L. ὃν καὶ ὁ ABCP.

159 d. τῇ εἰς τὴν Casauboni coniectura ab B confirmata. τῆς εἰς τὴν PVL. πραγματείαν B et Casaubonus. πραγματείας PVL. πραγματείᾳ A. ἔχουσαν] ἔχουσα P. τινος αὐτοῦ] τινος αὐτὸν B. τοῦ αὐτοῦ] καὶ αὐτοῦ P. ὧδε B. οὕτως PVL. V. 3. Addidi εἶναι. πένητας δ᾽ BCP et epitome Hoeschelii. πένητας L. πένητας οὐδ᾽ V. εὐπάτριδας] Scribebatur εὐπατρίδας. εὐπατρίδος. B. οὐδεὶς ὁρᾷ] Scribebatur οὐδὲ εἷς ὁρᾷ. Post ὁρᾷ Casaubonus ex epitome intulit φησί που Φερεκράτης. Quod quam inepte factum sit ex C perspicitur, qui post οὐδεὶς (nam sic scriptum) ὁρᾷ sic pergit, φησί που φερεκράτης ἰδοῦ κύλιξ σοι καὶ τράπεζα καὶ φακοί.

159 e. ἐν νῷ] ἐν ᾧ P. V. 1. Indicavi lacunam, quam addito καὶ explebat Meinekius, μοι Toupius Emend. vol. II. p. 328.

καὶ κύλικα κἀντραγεῖν, ἵν' ἥδιον πιῶ.
B. ἰδοὺ κύλιξ σοι καὶ τράπεζα καὶ φακοί.
A. μή μοι φακοὺς μὰ τὸν Δί'· οὐ γὰρ ἥδομαι.
f ἢν γὰρ τράγῃ τις, τοῦ στόματος ὄζει κακόν.

ἐπεὶ οὖν διὰ τοῦτο φυλάττονται οἱ σοφοὶ οὗτοι τοὺς φακούς, ἀλλ' ἡμῖν γε ποίησον δοθῆναι ἄρτον, μεθ' ὧν μηδὲν τῶν πολυτελῶν, ἀλλὰ κἂν τὴν πολυθρύλητον ἔχῃς φακῆν, ἢ τὸν καλούμενον κόγχον. γελασάντων δὲ πάντων καὶ ἐπὶ τῷ κόγχῳ μάλιστα, Ἀπαίδευτοί ἐστε, ἔφη, ἄνδρες δαιτυμόνες, οὐκ ἀναγινώσκοντες βιβλία ἃ μόνα παιδεύει τούς γε ἐπιθυμοῦντας τῶν καλῶν· λέγω δὲ τὰ Τίμωνος τοῦ Πυρρωνίου τῶν σίλλων. οὗτος γάρ ἐστιν ὃς καὶ τοῦ κόγχου μνημονεύει ἐν τῷ δευτέρῳ τῶν σίλλων λέγων οὕτως

Οὔτε μοι ἡ Τεΐη μᾶζ' ἁνδάνει οὔτε καρύκη
ἡ Λυδῶν, λιτῇ δὲ καὶ αὐαλέῃ ἐνὶ κόγχῳ
Ἑλλήνων ἡ πᾶσα περισσοτρύφητος ὀϊζύς.

διαφόρων γὰρ οὐσῶν καὶ τῶν ἐκ Τέω μαζῶν — ὡς καὶ τῶν ἐξ Ἐρετρίας, ὡς Σώπατρος ἐν Βακχίδος μνηστῆρσι· φησὶ γὰρ

b Ἐρέτριαν ὡρμήθημεν εἰς λευκάλφιτον —

---

V. 2. κἀντραγεῖν ADPQ. κἂν τραγεῖν VL.

159 f. πολυθρύλητον V. πολυθρύλλητον PL. ἔχῃς] ἔχεις P. βιβλία] βυβλία P.

160 a. τούς γε P. Aberat γε. οὕτως om. B. V. 1. et partem v. 2. om. C. ἡ Τεΐη vel ἡ Τηΐη Casaubonus. ἡ τηι A. ἦτε BD. ἡ τῇ P. ἐκταίη VL. „Neque in manu exaratis Athenaei codicibus neque in epitoma invenimus ἐκταίη, sed vel ἦτε vel ἐκτέω.“ Casaubonus. καρύκη VL. κακρύκη AP. καρύκκη Schweigh. V. 2. λιτῇ δὲ] λίτη, δε B. λητὴ δὲ P. αὐαλέη Q, οὐκ ἀλέη D teste Villebrunio. οὐαλέη AP. οὐ καλέη B. αὐσταλέῃ VL. V. 3. „Exstat in MSS. περισσότρυφος.“ Casaubonus. περισσοτρόφητος P. πάσ' ἀπερισσοτρύφητος Valckenar. in annotat. crit. ad N. F. p. 390. ἐκ τέω AP et Casaubonus. ἐν τέλει B. „ek teéoo D, au-dessus en petites lettres en telei.“ Villebrunius. ἐκταίων VL. σώπατρος τὴν ἐρέτριαν λευκάλφιτον φησί, διάφοροι γὰρ αἱ ἐκ ταύτης μᾶζαι, ὡς καὶ αἱ ἐκ τέω C. Βακχίδος] Scribebatur Βάκχιδος.

160 b. ἐρέτριαν C. ἐρέτρειαν PVL. εἰς σελευκάλφιτον P.

καὶ τῶν Λυδίων καρυκῶν, προκρίνει ἀμφοτέρων ὁ Τίμων τὸν κόγχον.

51. Πρὸς ταῦτα ὁ καλὸς ἡμῶν ἑστιάτωρ Λαρήνσιος καὶ αὐτὸς ἔφη, Ὦ ἄνδρες κύνες οἱ, κατὰ τὴν Στράττιδος τοῦ κωμῳδιοποιοῦ Ἰοκάστην, ἥτις ἐν ταῖς ἐπιγραφομέναις Φοινίσσαις φησὶ

Παραινέσαι δὲ σφῷν τι βούλομαι σοφόν·
ὅτ' ἂν φακῆν ἕψητε, μὴ 'πιχεῖν μύρον.

καὶ ὁ Σώπατρος δὲ, οὗ τὰ νῦν μέμνησθαι, ἐν Νεκυίᾳ μνη-
c μονεύει οὕτως

Ἴθακος Ὀδυσσεὺς, τοὐπὶ τῇ φακῇ μύρον
πάρεστι· θάρσει, θυμέ.

Κλέαρχος δὲ ὁ ἀπὸ τοῦ περιπάτου ἐν τοῖς περὶ παροιμιῶν ὡς παροιμίαν ἀναγράφει τὸ ἐπὶ τῇ φακῇ μύρον. ἧς μέμνηται καὶ ὁ ἐμὸς προπάτωρ Οὐάρρων, ὁ Μενίππειος ἐπικαλούμενος· καὶ οἱ πολλοὶ τῶν γραμματικῶν τῶν Ῥωμαϊκῶν οὐχ ὁμιλήσαντες πολλοῖς Ἑλληνικοῖς ποιηταῖς καὶ συγγραφεῦσιν οὐκ ἴσασιν ὅθεν εἴληφεν ὁ Οὐάρρων τὸ
d ἰαμβεῖον. σὺ δέ μοι δοκεῖς, ὦ Κύνουλκε, τούτῳ γὰρ χαίρεις τῷ ὀνόματι, οὐ λέγων ὃ ἐκ γενετῆς σε ἡ μήτηρ κέκληκε, κατὰ τὸν σὸν Τίμωνα εἶναί μοι καλός τε μέγας τε, οὐκ ἐπιστάμενος ὅτι κόγχος παρὰ προτέρῳ μνήμης τετύχηκεν Ἐπιχάρμῳ ἐν τᾷ Ἑορτᾷ καὶ Νάσοις Ἀντιφάνει τε τῷ κωμικῷ, ὃς ὑποκοριστικώτερον αὐτὸν ὠνόμασεν ἐν Γάμῳ οὕτως

Κογχίον τε μικρὸν ἀλλᾶντός τε προστετμημένον.

ἑξῆς ἁρπάσας τὸν λόγον ὁ Μάγνος, Ὁ μὲν πάντ' ἄριστος,
e ἔφη, Λαρήνσιος ὀξέως καὶ καλῶς ἀπήντησε τῷ γάστριδι

---

καρυκῶν PVL. καρυκκῶν A. λαρήνσιος PL. λαρήντιος V. λαρύσιος B. κύνες οἱ] κυνοσσόοι comparato Hesychio, vel κύνες vel κυνικοὶ Schweigh. Στράττιδος L. στράτιδος BPV. κωμῳδιοποιοῦ Schweigh. editio. κωμῳδοποιοῦ PVL. V. 1. δὲ add. ABCD. om. PVL. Est Euripidis versus Phoeniss. v. 470. Pors. V. 2. ἕψητε] ἑψῆτε P. ἕψηται B.

160 c. τοὐπὶ] Scribebatur τὸ ἐπὶ. μενίππειος P. μενίππιος VL. εἴληφε τὸ οὐάρρων τὸ ἰαμβίον B.

160 d. παρὰ προτέρῳ Coraës. Legebatur παρ' ὁποτέρῳ. τῇ ἑορτῇ B. In A super Ἑορτᾷ et Νάσοις scriptum η. πάντ' B. πάντα PVL. λαρύνσιος B.

κυνὶ περὶ τοῦ κόγχου. ἐγὼ δὲ κατὰ τοὺς τοῦ Παφίου Σωπάτρου Γαλάτας,

παρ᾽ οἷς ἔθος ἐστὶν, ἡνίκ᾽ ἂν προτέρημά τι
ἐν τοῖς πολέμοις λάβωσι, θύειν τοῖς θεοῖς
τοὺς αἰχμαλώτους, τοὺς Γαλάτας μιμούμενος
κἀγὼ κατακαύσειν ηὐξάμην τοῖς δαίμοσι
διαλεκτικοὺς τρεῖς τῶν παρεγγεγραμμένων.
καὶ μὴν φιλοσοφεῖν φιλολογεῖν τ᾽ ἀκηκοὼς
f ὑμᾶς ἐπιμελῶς καρτερεῖν θ᾽ αἱρουμένους,
τὴν πεῖραν ὑγιῆ λήψομαι τῶν δογμάτων,
πρόσθεν καπνίζων· εἶτ᾽ ἐὰν ὀπτωμένων
ἴδω τιν᾽ ὑμῶν συσπάσαντα τὸ σκέλος,
Ζηνωνικῷ πραθήσεθ᾽ οὗτος κυρίῳ
ἐπ᾽ ἐξαγωγῇ, τὴν φρόνησιν ἀγνοῶν.

52. Μετὰ παρρησίας γὰρ ἐρῶ πρὸς αὐτούς· εἰ αὐτάρκειαν ἀσπάζῃ, φιλόσοφε, τί οὐ τοὺς Πυθαγορικοὺς ἐκεί-
61 νους ζηλοῖς, περὶ ὧν φησιν Ἀντιφάνης μὲν ἐν Μνήμασι τάδε

Τῶν Πυθαγορικῶν δ᾽ ἔτυχον ἄθλιοί τινες
ἐν τῇ χαράδρᾳ τρώγοντες ἅλιμα καὶ κακὰ
τοιαῦτα συλλέγοντες ἐν τῷ κωρύκῳ.

---

160 e. *Παφίου* L. *παμφίου* PV. Sopatri versus om. C. V. 3. *τοὺς αἰχμαλώτους*] *τὰς αἰχμαλώτους* P. *τοὺς Γαλάτας* Porsonus. Aberat *τούς*. V. 6. *μὴν*] *μὴ* ABP. *φιλολογεῖν*] *φιλολόγων* AB. *φιλολόγως* P.

160 f. V. 8. *ὑγιῆ*] *ὑμῖν* Iacobsius. V. 9. *προσθ τον* A. *προσθ θ τὸν* BD. *προέ τὸν* P. *πρόσθεν τὸν* Q. *προθέος. τὸν.* V. *πρόσθ᾽ .... τοι, τὸν* L „*ex membranis.*" *πρόσθεν* Schweigh. *πρότερον* Grotius in Excerptis p. 871. *πρὸς πῦρ* Casaubonus. *καπνίζων*] *κάπνιζω* DPQ. *εἶτ᾽* L. *εἴτ᾽* BPV. V. 10. *ἴδω* Porsonus; *εἴδω* PVL. V. 11. *ζηνωδικῷ* BD. *ζηνωνικῶν* P. *πραθήσεθ᾽* Casaubonus. *παραθήσεθ᾽* PVL. *Πυθαγορικοὺς*] *πυθαγορείους* B. Voluit *πυθαγορείους*.

161 a. V. 1. *δ᾽ ἔτυχον* Porsonus. *δὲ τυχὸν* PVL. *πυθαγορικοὶ ἄθλιοί τινες ἐν τῇ χαρᾷ διατρώγοντες ἅλιμα* C. V. 2. *τρώγοντες* AB. *τρώγοντ᾽* PVL. *ἅλιμα* ABP. *ἄλιμμα* VL. *ἄλιμα* Bochartus. V. 3. *ἐν τῷ κωρύκῳ* de coniectura Koppiersii Observat. philol. p. 41. addita.

κὰν τῷ κυρίως Κωρύκῳ δ' ἐπιγραφομένῳ φησὶ

Πρῶτον μὲν ὥσπερ πυθαγορίζων ἐσθίει
ἔμψυχον οὐδέν, τῆς δὲ πλείστης τοὐβολοῦ
μάζης μελαγχρῆ μερίδα λαμβάνων λέπει.

b Ἄλεξις δ' ἐν Ταραντίνοις

Οἱ πυθαγορίζοντες γάρ, ὡς ἀκούομεν,
οὔτ' ὄψον ἐσθίουσιν οὔτ' ἄλλ' οὐδὲ ἓν
ἔμψυχον, οἶνόν τ' οὐχὶ πίνουσιν μόνοι.
Ἐπιχαρίδης μέντοι κύνας κατεσθίει,
τῶν Πυθαγορείων εἷς. Β. ἀποκτείνας μὲν οὖν·
οὐκ ἔτι γάρ ἐστ' ἔμψυχον.

προελθών τέ φησι

Πυθαγορισμοὶ καὶ λόγοι
λεπτοί, διεσμιλευμέναι τε φροντίδες
τρέφουσ' ἐκείνους. τὰ δὲ καθ' ἡμέραν τάδε·
c ἄρτος καθαρὸς εἷς ἑκατέρῳ, ποτήριον
ὕδατος· τοσαῦτα ταῦτα. Β. δεσμωτηρίου
λέγεις δίαιταν. Α. πάντες οὕτως οἱ σοφοὶ
διάγουσι καὶ τοιαῦτα κακοπαθοῦσί που·
τρυφῶσιν ἕτεροι πρὸς ἑτέρους. ἆρ' οἶσθ' ὅτι
Μελανιππίδης ἑταῖρός ἐστι καὶ Φάων
καὶ Φυρόμαχος καὶ Φανός, οἳ δι' ἡμέρας
δειπνοῦσι πέμπτης ἀλφίτων κοτύλην μίαν.

καὶ ἐν Πυθαγοριζούσῃ

Ἡ δ' ἑστίασις ἰσχάδες καὶ στέμφυλα
d καὶ τυρὸς ἔσται· ταῦτα γὰρ θύειν νόμος

---

κυρίως Schweigh. Libri κυρίῳ. V. 2. τοῦ βόλου PVL. Correxit Casaubonus. V. 3. μελάγχρη P.

161 b. Alexidis v. 4. — 6. om. C. V. 4. μέντοι Iacobsius p. 102. Libri μὲν τὰς. V. 5. Πυθαγορείων] πυθαγορίων P. μὲν οὖν Casaubonus. γενοῦ PVL. προελθών] προσελθὼν BP.

τε AP. δὲ VL. V. 1. πυθαγορισμ. καὶ B.

161 c. V. 6. λέγεις] λέγειν BP. οὕτως οἱ Villebrunius. Legebatur οὗτοί γ' οἱ. οὗτοι οἱ BP. V. 7. καί τοι αὐτὰ B. καὶ τοιαῦτα — κοτύλην μίαν om. C. V. 8. ἆρ' οἶσθ'] ἄρισθ' BP. V. 10. ἡμέρας VL. ἡμέρας μιᾶς ABP.

τοῖς Πυθαγορείοις. Β. νὴ Δί', ἱερεῖον μὲν οὖν
ὁποῖον ἂν κάλλιστον, ὦ βέλτιστ', ἔχῃ.

καὶ μετ' ὀλίγα

"Εδει θ' ὑπομεῖναι μικροσιτίαν, ῥύπον,
ῥῖγος, σιωπήν, στυγνότητ', ἀλουσίαν.

53. Τούτων δ' ὑμεῖς, ὦ φιλόσοφοι, οὐδὲν ἀσκεῖτε, ἀλλὰ καὶ τὸ πάντων χαλεπώτερον λαλεῖτε περὶ ὧν οὐκ οἴδατε, καὶ ὡς κοσμίως ἐσθίοντες ποιεῖτε τὴν ἔνθεσιν κατὰ τὸν ἥδιστον Ἀντιφάνη· οὗτος γὰρ ἐν Δραπεταγωγῷ
e λέγει

Κοσμίως ποιῶν τὴν ἔνθεσιν,
μικρὰν μὲν ἐκ τοῦ πρόσθε, μεστὴν δ' ἔνδοθεν
τὴν χεῖρα, καθάπερ αἱ γυναῖκες, κατέφαγε
πάμπολλα καὶ ταχύτατα·

ἐξὸν κατὰ τὸν αὐτὸν τοῦτον ποιητὴν ἐν Θομβυκίῳ λέγοντα, δραχμῆς ὠνήσασθαι „τὰς προσφόρους ἡμῖν τροφάς, σκόροδα, τυρόν, κρόμμυα, κάππαριν· πάντα ταῦτ' ἐστὶν δραχμῆς." Ἀριστοφῶν δ' ἐν Πυθαγοριστῇ

Πρὸς τῶν θεῶν οἰόμεθα τοὺς πάλαι ποτὲ
f τοὺς Πυθαγοριστὰς γενομένους οὕτως ῥυπᾶν

---

161 d. Πυθαγορείοις P. πυθαγορίοις VL. Vid. ad 160 f. 161 b. ὁποῖον ἂν Casaubonus. ὁποιονοῦν VL. ὁποῖον οὖν AP. μικροσιτίαν Porsonus. Libri μικρὸν ἀσιτίαν. μιαροσιτίαν Meinekius ad Menandr. p. 538. λαλεῖτε] λαλεῖται B. κατὰ] ἢ B.

161 e. V. 1. Κοσμίως] κοσμικῶς P. V. 2. πρόσθε Schweigh. πρόσθεν PVL. V. 3. κατέφαγε] Legebatur καταφάγετε. κατεφάγετε C, in quo sic scriptum, ἀντιφάνης που φησί, κατεφάγετε πάμπολλα, ἐξὸν ὠνήσασθαι τὰς προσφόρους ὑμῖν τροφὰς —. ἐν] ἐν τῷ B. Θομβυκίῳ ABP. Θομβυκίωνι VL. Βομβυλίῳ huic fabulae nomen factum III. p. 125 f., Βομβυκίῳ sive, quae deteriorum librorum scriptura est, Βομβυκίοις apud Pollucem X, 179. Quorum Θομβυκίῳ et Θομβυκίωνι aperte vitiosa sunt. λέγοντα] λέγονται B. ἡμῖν] ὑμῖν BC. ἐστὶν A. ἐστὶ BPVL. δραχμῆς] δραγχμῆς B. Ἀριστοφῶν Menagius ad Diogen. Laert. VIII, 38. Libri Ἀριστοφάνης, quem non scripsisse quos Athenaeus versus apposuit apertissimum est. Vid. ad VI. p. 238 c. Πυθαγοριστῇ Schweigh. Libri πυθαγόροις τί. V. 1. πρὸς τῶν ABP. πρὸς VL. τί πώποτε οἰόμεθα C. οἰόμεθα] οἰώμεθα P.

161 f. V. 2. τοὺς add. ABCD. om. PVL. γενομένους Grotius in Excerpt. p. 549. Libri γινομένους. οὕτως BDP. ὄντως VL. om. C.

ἑκόντας, ἢ φορεῖν τρίβωνας ἡδέως;
οὐκ ἔστι τούτων οὐδὲν, ὡς ἐμοὶ δοκεῖ·
ἀλλ' ἐξ ἀνάγκης, οὐκ ἔχοντες οὐδὲ ἕν,
τῆς εὐτελείας πρόφασιν εὑρόντες καλὴν
ὅρους ἔπηξαν τοῖς πένησι χρησίμους.
ἐπεὶ παράθες αὐτοῖσιν ἰχθῦς ἢ κρέας,
κἂν μὴ κατεσθίωσι καὶ τοὺς δακτύλους,
ἐθέλω κρέμασθαι δεκάκις.

162 οὐκ ἄκαιρον δ' ἐστὶ μνημονεῦσαι καὶ τοῦ εἰς ὑμᾶς ποιηθέντος ἐπιγράμματος, ὅπερ παρέθετο ὁ Δελφὸς Ἡγήσανδρος ἐν ἕκτῳ ὑπομνημάτων

Ὀφρυανασπασίδαι, ῥινεγκαταπηξιγένειοι,
σακκογενειοτρόφοι καὶ λοπαδαρπαγίδαι,
εἱματανωπερίβαλλοι, ἀνηλιποκαιβλεπέλαιοι,
νυκτιλαθραιοφάγοι, νυκτιπαταιπλάγιοι,
μειρακιεξαπάται καὶ συλλαβοπευσιλαληταὶ,
b δοξοματαιόσοφοι, ζηταρετησιάδαι.

54. Ἀρχέστρατος δ' ὁ Γελῷος ἐν τῇ Γαστρολογίᾳ — ἣν μόνην ὑμεῖς ῥαψῳδίαν οἱ σοφοὶ ἀσπάζεσθε, μόνον τοῦτο πυθαγορίζοντες τὸ σιωπᾶν, δι' ἀσθένειαν λόγων τοῦτο ποιοῦντες· ἔτι δὲ τὴν Σφοδρίου τοῦ κυνικοῦ τέχνην ἐρωτικὴν καὶ τὰς Πρωταγορίδου ἀκροάσεις ἐρωτικὰς, Περσαίου τε τοῦ καλοῦ φιλοσόφου συμποτικοὺς διαλόγους, συντεθέντας ἐκ τῶν Στίλπωνος καὶ Ζήνωνος ἀπομνημο-
c νευμάτων, ἐν οἷς ζητεῖ ὅπως ἂν μὴ κατακοιμηθῶσιν οἱ

---

V. 8. αὐτοῖσιν Schweigh. Libri αὐτοῖς.

162 a. μνημονεῦσαι add. VL. om. ABP. ἡμᾶς B, quod primum habuit P. ἐπιγράμματος] Antholog. Palat. vol. II. p. 489. V. 1. ῥινεγκαταπηξιγένοι A. ὀφρυανασπασιδῶν ῥεῖν ἐγκαταπήξει γένειοι P. V. 3. om. C. εἱματ — Reinesius, ἱματ — Scaliger ad Varron. vol. II. p. 5. Bip. ἱνατ — V. ἡματ — L, quod Casaubonus ipse margini exemplaris sui adscripsit. ἵνα τᾶνω περιβαλλοτάνηλιπο καὶ βλεπέλαιοι B. ἵνα τανω περίβαλλ' ὅτανηλιπο καὶ βλεπέλαιοι P. ἀνηλ — ABP. νηλ — VL. V. 5. — λαληταὶ ABCDPQ et epitome Hoeschelii. — λαβηταὶ VL.

162 b. V. 6. ζηταρετησιάδης epitome Hoeschelii. δ' ὁ B. τε ὁ PVL. Γαστρολογίᾳ —] Interruptam orationem redorditur p. 163 c. ἔτι δὲ] Legebatur ἔτι τε. τὴν σφοδρίου AB. τοῦ σφοδρίου PVL. συντεθέντας] συντεθέαται B.

συμπόταις, καὶ πῶς ταῖς ἐπιχύσεσι χρηστέον πηνίκα τε εἰσακτέον τοὺς ὡραίους καὶ τὰς ὡραίας εἰς τὸ συμπόσιον, καὶ πότε αὐτοὺς προσδεκτέον ὡραϊζομένους, καὶ πότε παραπεμπτέον ὡς ὑπερορῶντας· καὶ περὶ προσοψημάτων καὶ περὶ ἄρτων καὶ περὶ τῶν ἄλλων, ὅσα τε περιεργότερον περὶ φιλημάτων εἴρηκεν ὁ Σωφρονίσκου φιλόσοφος, ὃς περὶ ταῦτα τὴν διάνοιαν ἀεὶ στρέφων, πιστευθεὶς, ὥς φη-
d σιν Ἕρμιππος, ὑπ' Ἀντιγόνου τὸν Ἀκροκόρινθον, κωθωνιζόμενος ἐξέπεσε καὶ αὐτῆς τῆς Κορίνθου, καταστρατηγηθεὶς ὑπὸ τοῦ Σικυωνίου Ἀράτου, ὁ πρότερον ἐν τοῖς διαλόγοις πρὸς Ζήνωνα διαμιλλώμενος, ὡς ὁ σοφὸς πάντως ἂν εἴη καὶ στρατηγὸς ἀγαθὸς, μόνον τοῦτο διὰ τῶν ἔργων διαβεβαιωσάμενος ὁ καλὸς τοῦ Ζήνωνος οἰκιτιεύς. χαριέντως γὰρ ἔφη Βίων ὁ Βορυσθενίτης, θεασάμενος αὐτοῦ χαλκῆν εἰκόνα, ἐφ' ἧς ἐπεγέγραπτο ΠΕΡΣΑΙΟΝ ΖΗΝΩΝΟΣ ΚΙΤΙΕΑ, πεπλανῆσθαι εἶπε τὸν ἐπιγράψαντα·
e δεῖν γὰρ οὕτως ἔχειν ΠΕΡΣΑΙΟΝ ΖΗΝΩΝΟΣ ΟΙΚΙΤΙΕΑ. ἦν γὰρ οὗτος οἰκέτης γεγονὼς τοῦ Ζήνωνος, ὡς Νικίας ὁ Νικαεὺς ἱστορεῖ ἐν τῇ περὶ τῶν φιλοσόφων ἱστορίᾳ καὶ Σωτίων ὁ Ἀλεξανδρεὺς ἐν ταῖς Διαδοχαῖς. δύο δὲ συγγράμμασι τοῦ Περσαίου ἀπηντήκαμεν τῆς σοφῆς ταύτης πραγματείας τοιοῦτον ἔχουσι τὸ ἐπίγραμμα, συμποτικῶν διαλόγων.

55. Κτησίβιος δ' ὁ Χαλκιδεὺς ὁ Μενεδήμου γνώριμος, ὥς φησιν Ἀντίγονος ὁ Καρύστιος ἐν τοῖς βίοις, ἐρωτηθεὶς
f ὑπό τινος τί περιγέγονεν ἐκ φιλοσοφίας αὐτῷ; ἔφη, Ἀσυμβόλως δειπνεῖν. διὸ καὶ ὁ Τίμων που πρὸς αὐτὸν ἔφη

Δειπνομανὲς, νεκροῦ ὄμματ' ἔχων, κραδίην δ' ἀκύλιστον.

---

162 c. ὁ Σωφρονίσκου — Ἀράτου Eustathius p. 953, 35. τὸν Ἀκροκόρινθον om. P.

162 d. ὑπὸ τοῦ ABC et Eustathius. τοῦ om. PVL. πάντως CD et Eustathius. πάντων PQVL. μόνον ABPV. μόνος L. In C haec omissa. οἰκιτιεύς] ὁ κιτιεὺς BP. περσέως ζήνωνα κιτιέα P. ΚΙΤΙΕΑ] κιτία B.

162. e. περσέως ζήνωνα οἰκετιέα P. ΟΙΚΙΤΙΕΑ] οἰκετιαία B. οὗτος] ὄντως B. οὕτως P. συγγράμμασι] ἐπιγράμμασι B. συμποτικῶν AB. συμποσικῶν V. συμποσιακῶν PL.

162 f. Timonis versum attulit Eustathius p. 1404, 3.

ἦν δ' εὔστοχος ὁ Κτησίβιος καὶ χαρίεις περὶ τὸ γελοῖον·
163 διὸ καὶ πάντες αὐτὸν ἐπὶ τὰ συμπόσια παρεκάλουν· οὐχ
ὥσπερ σὺ, κυνικὲ, ὁ μηδέποτε ταῖς Χάρισιν, ἀλλ' οὐδὲ
ταῖς Μούσαις θύσας. φυγοῦσα γοῦν σε καὶ τοὺς σοὶ παραπλησίους ἡ Ἀρετὴ Ἡδονῇ παρακάθηται, ὥς φησι Μνασάλκης ὁ Σικυώνιος ἐν ἐπιγράμμασιν

Ἅδ' ἐγὼ ἁ τλάμων Ἀρετὰ παρὰ τῇδε κάθημαι
Ἡδονῇ, αἰσχίστως κειραμένα πλοκάμους,
θυμὸν ἄχει μεγάλῳ βεβολημένα, εἴπερ ἅπασιν
b ἁ κακόφρων Τέρψις κρεῖσσον ἐμοῦ κέκριται.

Βάτων δ' ὁ κωμικὸς ἐν Ἀνδροφόνῳ φησὶ

Τῶν φιλοσόφων τοὺς σώφρονας ἐνταυθοῖ καλῶ,
τοὺς ἀγαθὸν αὑτοῖς οὐ διδόντας οὐδὲ ἕν,
τοὺς τὸν φρόνιμον ζητοῦντας ἐν τοῖς περιπάτοις
καὶ ταῖς διατριβαῖς ὥσπερ ἀποδεδρακότα.
ἄνθρωπ' ἀλάστωρ, διὰ τί συμβολὰς ἔχων
νήφεις; τί τηλικοῦτον ἀδικεῖς τοὺς θεούς;
c τί τἀργύριον, ἄνθρωπε, τιμιώτερον
σαυτοῦ τέθεικας ἢ πέφυκε τῇ φύσει;
ἀλυσιτελὴς εἶ τῇ πόλει πίνων ὕδωρ·
τὸν γὰρ γεωργὸν καὶ τὸν ἔμπορον κακοῖς.
ἐγὼ δὲ τὰς προσόδους μεθύων καλὰς ποιῶ.
ἔπειθ' ἕωθεν περιάγεις τὴν λήκυθον,
καταμανθάνων τοὔλαιον, ὥστε περιφέρειν
ὡρολόγιον δόξει τις, οὐχὶ λήκυθον.

56. Ἀρχέστρατος δ', ὦ Κύνουλκε, ὃν ἀντὶ τοῦ Ὁμή-

---

163 a. παρεκάλουν] συνεκάλουν B. Χάρισιν] χερσὶν P. Μνασάλκης] Antholog. Palat. vol. II. p. 777. Attulit Eustathius p. 285, 19. ὁ Σικυώνιος om. B. V. 1. τλάμων] ταλάμων A. Ἀρετὰ] ἀρετὴ P. V. 2. κειραμένα P. κειραμένη VL et Eustathius. V. 3. βεβολημένη B, non Eustathius.

163 b. V. 4. κρεῖσσον PL. κρεῖσσων (sic) V. κρέσσων B. βάτων ὁ κωμικὸς φησὶν ἐν ἀνδροφόνῳ B. Solos v. 7. — 10. apposuit C. V. 3. 4. Conf. III. p. 103 d. V. 3. φρόνιμον] φρόμον B. φρόμον P.

163 c. V. 10. κακοῖς] ἀδικεῖς C ex v. 6. V. 11. ποιῶ] Scribebatur ποῶ. Quae de Archestrato afferuntur om. C.

ρου προσκυνεῖς διὰ τὴν γαστέρα — „ἧς οὐ λαμυρώτερον
d οὐδὲν“ ὁ Τίμων σού — περὶ τοῦ κυνὸς τοῦ θαλαττίου ἱστορῶν γράφει καὶ ταῦτα

Ἀλλ᾽ οὐ πολλοὶ ἴσασι βροτῶν τόδε θεῖον ἔδεσμα,
οὐδ᾽ ἔσθειν ἐθέλουσιν ὅσοι κεπφαττελεβώδη
ψυχὴν κέκτηνται θνητῶν εἰσίν τ᾽ ἀπόπληκτοι,
ὡς ἀνθρωποφάγου τοῦ θηρίου ὄντος. ἅπας δὲ
ἰχθὺς σάρκα φιλεῖ βροτέην, ἄν που περικύρσῃ·
ὥστε πρέπει καθαρῶς ὁπόσοι τάδε μωρολογοῦσι
τοῖς λαχάνοις προσάγειν, καὶ πρὸς Διόδωρον ἰόντας
e τὸν σοφὸν ἐγκρατέως μετ᾽ ἐκείνου πυθαγορίζειν.

ἦν δ᾽ ὁ Διόδωρος οὗτος τὸ μὲν γένος Ἀσπένδιος, Πυθαγορικὸς δὲ δόξας εἶναι ὑμῶν τῶν κυνικῶν τρόπον ἔζη, κομῶν καὶ ῥυπῶν καὶ ἀνυποδητῶν. ὅθεν καὶ Πυθαγορικὸν τὸ τῆς κόμης ἔδοξαν εἶναί τινες, ἀπὸ τοῦ Διοδώρου προαχθὲν, ὥς φησιν Ἕρμιππος. Τίμαιος δ᾽ ὁ Ταυρομενίτης ἐν τῇ ἐνάτῃ τῶν ἱστοριῶν περὶ αὐτοῦ γράφει οὕτως „Διοδώρου τοῦ τὸ γένος Ἀσπενδίου τὴν ἐξηλλαγμένην εἰσαγαγόντος κατασκευὴν καὶ τοῖς Πυθαγορείοις πεπλησιακέναι
f προσποιηθέντος· πρὸς ὃν ἐπιστέλλων ὁ Στρατόνικος ἐκέλευσε τὸν ἀπαίροντα τὸ ῥηθὲν ἀπαγγεῖλαι τῷ περὶ θηροπέπλου μανίας ὕβρεώς τε περιστάσιμον στοὰν ἔχοντι Πυθαγόρου πελάτᾳ.“ Σωσικράτης δ᾽ ἐν τρίτῳ φιλοσόφων διαδοχῆς βαθεῖ πώγωνι χρήσασθαι τὸν Διόδωρον ἱστορεῖ καὶ τρίβωνα ἀναλαβεῖν κόμην τε φορῆσαι, κατά τινα τῦφον τὴν ἐπιτήδευσιν ταύτην προσαγαγόντα, τῶν πρὸ αὐ-

---

ἧς οὐ] ἧς οὐδὲ P.

163 d. *Τίμων*] Vid. VII. p. 279 f. *σου*] *σού φησι* Schweigh. *θαλαττίου γράφει οὕτως ἱστορῶν. ἀλλ᾽ οὐ* B. V. 1. – 5. repetuntur VII. p. 310 d. V. 2. *ἐθέλουσιν ὅσοι* BP et 310. Scribebatur *ἐθέλουσ᾽ ὅσσοι*. *κεπφαττελεβώδη* Bentleius in dissert. Phalarid. p. 200. ed. Lips. Libri *κούφην τελεβώδη* (*τε λεβώδη* P). V. 3. *εἰσίν τ᾽* Coraës: quo spectat librorum scriptura 310. Legebatur *εἰσὶν δ᾽*. V. 4. *δὲ*] *δ᾽* B. V. 5. *σάρκας φιλέει* A. *που* 310. Legebatur *περ*.

163 e. *ἔζη*] *ἔξη* B. *ἐνάτῃ* B. *ἐννάτῃ* VL. *θ* P. *πυθαγορίοις* B.

163 f. *περιστάσιμον* AP. *πέρι, στάσιμον* VL. *πελάτᾳ* AP. *πέλαιται* B. *πελάτῃ* VL. *Σωσικράτης*] *σωκράτης* B. *κατά τινα* C. *καὶ κατά τινα* PVL. *προαγαγόντα* Schweigh.

164 τοῦ Πυθαγορικῶν λαμπρᾷ τε ἐσθῆτι ἀμφιεννυμένων καὶ λουτροῖς καὶ ἀλείμμασι κουρᾷ τε τῇ συνήθει χρωμένων.

57. Εἰ δ' ὑμεῖς ὄντως, ὦ φιλόσοφοι, τὴν αὐτάρκειαν ἀσπάζεσθε καὶ τὰ τῶν δείπνων εὐτελῆ, τί ἐνταῦθα παραγίνεσθε μηδὲ κληθέντες; ἢ ὡς εἰς ἀσώτιον μαγειρικὰ σκεύη καταλέγειν μαθησόμενοι; ἢ ὡς τὸν Ἀθηνογένους Κεφαλίωνα ἀποστοματιοῦντες; κατὰ γὰρ τὸν Σοφοκλέους Κηδαλίωνα ἐστὲ

Μαστιγίαι, κέντρωνες, ἀλλοτριοφάγοι.

ὅτι δ' ὑμεῖς οἱ φιλόσοφοι περὶ τὰ δεῖπνα ἀεὶ τὸν νοῦν ἔχετε, δέον ὑμᾶς ἐπιφαγεῖν τι αἰτῆσαι, ἢ ἐπεσθίειν τι τῶν
b κυνικῶν βρωμάτων, οὐδὲ γὰρ χαριτογλωσσεῖν ἡμᾶς θέμις, δῆλον ἐξ ὧν καὶ Ἄλεξις ἐν τῷ ἐπιγραφομένῳ Λίνῳ ἱστορεῖ. ὑποτίθεται δὲ τὸν Ἡρακλέα παρὰ τῷ Λίνῳ παιδευόμενον, καὶ κελευσθέντα ἀπὸ βιβλίων πολλῶν παρακειμένων λαβόντα ἐντυχεῖν. ἐκεῖνος δ' ὀψαρτυτικὸν λαβὼν βιβλίον ἐν χεροῖν περισπουδάστως ἐκράτει. λέγει δ' οὕτως ὁ Λίνος

. . . Βιβλίον
ἐντεῦθεν ὅ τι βούλει προσελθὼν γὰρ λαβέ,
c ἔπειτ' ἀναγνώσει, πάνυ γε διασκοπῶν
ἀπὸ τῶν ἐπιγραμμάτων ἀτρέμα τε καὶ σχολῇ.
Ὀρφεὺς ἔνεστιν, Ἡσίοδος, τραγῳδία,
Χοιρίλος, Ὅμηρος, Ἐπίχαρμος, συγγράμματα
παντοδαπά. δηλώσεις γὰρ οὕτω τὴν φύσιν
ἐπὶ τί μάλισθ' ὥρμησε. ΗΡ. τουτὶ λαμβάνω.

---

164 a. ἀλείμμασι] ἀλίμμασι B. ἠ Schweigh. editio. ἦ PVL. Ἀθηνογένους] „L. Διογένους. *Diogenes enim cynicus scripsit dialogum* Κεφαλίωνα. *Vide Laertium in Sotione* [VI, 80.]" Reinesius, qui eadem adscripsit ad Suidam p. 136. Κηδαλίωνα] Fr. 3. p. 624. Sophoclis versum attulit Eustathius p. 1404, 13. δέον ὑμᾶς ABP. δέον ἡμᾶς L. C haec omnia omisit.

164 b. οὐδὲ] Libri οὔτε. ἡμᾶς θέμις AB. ὑμᾶς θέμις PVL. κελευσθέντα] κελευθέντα B. βιβλίων] βυβλίων P. Idem infra βυβλίον. ἐκεῖνος] Scribebatur κεῖνος. οὕτως PL. οὗτος BV.

164 c. V. 3. ἀναγνώσει A. ἀναγνῷς VL. ἀναγνῷ (σ) P. V. 5. τραγῳδία PVL. τραγῳδίαι Schweigh. editio nescio unde. V. 6. χοίριλος BP et Schweigh. editio. χοίριλλος VL. ἔστ' Ἐπίχαρμος, γράμματα Hermannus. Vide annotationem.

ΛΙΝ. δεῖξον τί ἐστι πρῶτον. ΗΡ. Ὀψαρτυσία,
ὥς φησι τοὐπίγραμμα. ΛΙΝ. φιλόσοφός τις εἶ
εὔδηλον, ὃς παρεὶς τοσαῦτα γράμματα
d Σίμου τέχνην ἔλαβες. ΗΡ. ὁ Σῖμος δ' ἐστὶ τίς;
ΛΙΝ. μάλ' εὐφυὴς ἄνθρωπος. ἐπὶ τραγῳδίαν
ὥρμηκε νῦν, καὶ τῶν μὲν ὑποκριτῶν πολὺ
κράτιστός ἐστιν ὀψοποιός, ὡς δοκεῖ
τοῖς χρωμένοις, τῶν δ' ὀψοποιῶν ὑποκριτής.
βούλιμός ἐσθ' ὤνθρωπος. ΗΡ. ὅ τι βούλει λέγε.
πεινῶ γάρ, εὖ τοῦτ' ἴσθι.

58. Ταῦτα τοῦ Μάγνου ἑξῆς καταδραμόντος ἀποβλέψας ὁ Κύνουλκος εἰς τοὺς παρόντας τῶν φιλοσόφων ἔφη

e Εἶδες τὴν Θασίαν ἅλμην οἷ' ἄττα βαΰζει·
ὡς εὖ καὶ ταχέως ἀπετίσατο καὶ παραχρῆμα.
οὐ μέντοι παρὰ κωφὸν ὁ τυφλὸς ἔοικε λαλῆσαι,

ὡς ὁ Κρατῖνος ἐν τοῖς Ἀρχιλόχοις ἔφη. ἐπιλανθανόμενος γὰρ ἐν οἷς ποιεῖται δικαστηρίοις τῶν καλῶν ἰάμβων αὐτοῦ τὰς ἐπιδείξεις, ὑπὸ τῆς ἐμφύτου γαστριμαργίας καὶ ἡδυλογίας κολάβρους ἀναγινώσκει καὶ μέλη πάραυλα καὶ
f ἀκρότητα κύμβαλα. καὶ μετὰ τὰς καλὰς ταύτας ἀμουσολογίας περιέρχεται τὰς οἰκίας, ἐξετάζων ὅπου δεῖπνα λαμπρὰ παρασκευάζεται, ὑπὲρ τὸν Ἀθηναῖον Χαιρεφῶντα ἐκεῖνον, περὶ οὗ φησιν Ἄλεξις ἐν Φυγάδι

Ἀεί γ' ὁ Χαιρεφῶν τιν' εὑρίσκει τέχνην,
καὶ νῦν πορίζεταί γε τὰ δεῖπν' ἀσύμβολα.
ὅπου γάρ ἐστιν ὁ κέραμος μισθώσιμος
ὁ τοῖς μαγείροις, εὐθὺς ἐξ ἑωθινοῦ

---

164 d. V. 12. Scribebatur *Σιμοῦ* et *Σιμός*. V. 17. Personarum distributio Iacobsio debetur p. 104. Idem *ἴσθ' ἄνθρωπος*. Libri *ἔστ' ἄνθρωπος*.

164 e. *Θασίαν* L. *Θυσίαν* PV. *ἡδυλογίας*] *ἡδολογίας* B. Conf. ad 165 b. *κολάβρους* Casaubonus. *κολάρους* PVL. *ἀναγινώσκει*] *ἀναπέμπει* Eustathius p. 1157, 55. *μέλη πάραυλα κἀκρότητα κύμβαλα*] Trimeter: monitum ab Valckenario ad Theocr. Adon. p. 225 a.

164 f. V. 2. *γε τὰ δεῖπν'* BP et Schweigh. editio. *τὰ* om. VL. V. 3. quartique initium attulit VI. p. 229 b. V. 4. *εὐθὺς* Porsonus. Legebatur *εὐθέως*.

ἕστηκεν ἐλθών· κἂν ἴδῃ μισθούμενον
165 εἰς ἑστίασιν, τοῦ μαγείρου πυθόμενος
τὸν ἑστιῶντα, τῆς θύρας χασμωμένης
ἂν ἐπιλάβηται, πρῶτος εἰσελήλυθεν.

οὐκ ὀκνεῖ δ' ἀνὴρ οὗτος, καθάπερ καὶ ὁ καλὸς Μάγνος, καὶ ὑπερορίους ἀποδημίας ποιεῖσθαι τῆς γαστρὸς χάριν, ὡς ὁ αὐτὸς Ἄλεξις εἴρηκεν ἐν Συναποθνήσκουσιν

Ἐπὶ δεῖπνον εἰς Κόρινθον ἐλθὼν Χαιρεφῶν
ἄκλητος, ἤδη γὰρ πέτεται διαπόντιος·
οὕτω τι τἀλλότρι' ἐσθίειν ἐστὶ γλυκύ.

b καὶ Θεόπομπος δ' ἐν Ὀδυσσεῖ ἔφη

Εὐριπίδου τ' ἄριστον οὐ κακῶς ἔχον,
τἀλλότρια δειπνεῖν τὸν καλῶς εὐδαίμονα.

59. Γελασάντων οὖν πάντων ἐπὶ τούτοις ὁ Οὐλπιανὸς ἔφη, Πόθεν δὲ καὶ ἡ ἡδυλογία τοῖς ἡδονικοῖς τούτοις ἁμαρτολόγοις; πρὸς ὃν ὁ Κύνουλκος, Ἀλλ' ὦ χοιρίον εὐάρτυτον, Φρύνιχος ὁ κωμῳδιοποιὸς ἐν τῷ Ἐφιάλτῃ μνημονεύει τοῦ ἡδυλόγου διὰ τούτων

Ἔστιν δ' αὐτούς γε φυλάττεσθαι τῶν νῦν χαλεπώτατον ἔργον.
c ἔχουσι γάρ τι κέντρον ἐν τοῖς δακτύλοις,
μισάνθρωπον ἄνθος ἥβης·
εἶθ' ἡδυλογοῦσιν ἅπασιν ἀεὶ κατὰ τὴν ἀγορὰν περιόντες,
ἐπὶ τοῖσι βάθροις δ' ὅταν ὦσιν, ἐκεῖ τούτοις οἷς ἡδυλογοῦσι
μεγάλας ἀμυχὰς καταμύξαντες καὶ συγκύψαντες ἅπαντας

165 a. V. 7. τὸν ἑστιῶντα ABCPV. τῶν ἐσθιόντων L ex epitome Hoeschelii. ὀκνεῖ] ὤκνει Dalecampius. ὡς ὁ αὐτὸς B. Aberat ὁ. ἐστὶν γλυκὺ A.

165 b. τ' ἄριστον] τἀρχαῖον Porsonus. πόθεν δὲ καὶ ἡ B. Aberat ἡ. ἡδολογία B ut 164 e. χοιρίον] χοιρίδιον C et epitome Hoeschelii. εὐάρτυτον L. εὐάρτητον PV. κωμῳδιοποιὸς Schweigh. editio. κωμῳδοποιὸς PVL. „*Phrynichi fragmentum ex loco antistrophico desumtum videtur.*" Seidlerus de versib. dochm. p. 397. V. 1. Libri ἔστι. τῶν ἐνχαλεπώτατον B.

165 c. V. 5. ἐπὶ τοῖσι βάθροις δ' ὅταν Seidlerus. Legebatur ἐπὶ τοῖς βάθροις ὅταν. V. 6. καταμύξαντες A. κατανύξαντες PVL.

γελῶσι.

τὸ δὲ χαριτογλωσσεῖν Αἰσχύλος εἴρηκεν ἐν Προμηθεῖ δεσμώτῃ

Γνώσει τάδ' ὡς ἔτυμ', οὐδὲ μάτην
d χαριτογλωσσεῖν ἔνι μοι.

πάλιν τε εἰπόντος τοῦ Οὐλπιανοῦ, Τίνα δ' ἐστὶν, ἄνδρες φίλοι, τὰ μαγειρικὰ σκεύη; τούτων γὰρ ἐμνημόνευσαν ἐν τοῖς Ἀρκαδικοῖς δείπνοις μνήμης ἠξιωμένων. καὶ τὸ ἀσώτιον ποῦ κεῖται; ἀσώτους μὲν γὰρ οἶδα διαβοήτους· ἕνα μὲν, οὗ μνημονεύει Ἄλεξις ἐν Κνιδίᾳ

Διόδωρος οὑπίτριπτος ἐν ἔτεσιν δύο
σφαῖραν ἀπέδειξε τὴν πατρῴαν οὐσίαν·
οὕτως ἰταμῶς ἅπαντα κατεμασήσατο.

e ἐν δὲ Φαίδρῳ φησὶ

Σχολῇ γε νὴ τὸν ἥλιον, σχολῇ λέγεις.
Ἐπιχαρίδης ὁ μικρὸς ἐν πένθ' ἡμέραις
σφαῖραν ἐποίησε τὴν πατρῴαν οὐσίαν·
οὕτω συνεστρόγγυλεν ἰταμῶς καὶ ταχύ.

60. Καὶ Κτήσιππος δ' ὁ Χαβρίου υἱὸς εἰς τοσοῦτον ἦλθεν ἀσωτίας ὡς καὶ τοῦ μνήματος τοῦ πατρὸς, εἰς ὃ οἱ Ἀθηναῖοι χιλίας ἀνάλωσαν δραχμὰς, τοὺς λίθους πωλῆσαι εἰς τὰς ἡδυπαθείας. Δίφιλος γοῦν ἐν τοῖς Ἐναγίζουσί φησιν

---

συγκύψαντες Schaeferus. συγκρύψαντες PVL. συγκρίψαντες B. ἅπαντας Seidlerus. ἅπαντες ABP. ἅπαντα VL. τὸ δὲ χαριτογλωσσεῖς B. Respicit autem Athenaeus ad usum huius verbi p. 164 b. Προμηθεῖ] V. 293. Hunc locum om. C. Γνώσει] Adde δὲ ex Aeschylo. ὡς ἔτυμα οὐδὲ μάτην AB. ὡς ἕτοιμα οὐδὲ μάτην P. ὡς ἐτυμά (ἔτυμα V) γ' οὐδὲ γὰρ μάτην VL.

165 d. ἐμνημόνευσαν] P. 149 a. V. 2. οὕτως BPV. οὕτω L. ἰταμῶς] ἱκανῶς C.

165 e. Φαίδρῳ] σφαίρῳ B. V. 2.—4. Eustathius p. 1554, 2. V. 2. Ἐπιχαρίδης] Χαρίδης Eustathius. V. 4: οὕτω L et Eustathius. οὕτως BPV. συνεστρόγγυλεν BP et Eustathius. συνεστρόγγυλλεν VL. Χαβρίου] χαυρίου B. οἱ Ἀθηναῖοι Iacobsius p. 108. Aberat οἱ. ἀνάλωσαν B. ἀνήλωσαν PVL. Diphili fragmentum om. C.

f Εἰ μὴ συνήθης Φαιδίμῳ γ' ἐτύγχανεν
ὢν ὁ Χαβρίου Κτήσιππος, εἰσηγησάμην
νόμον τιν' οὐκ ἄχρηστον, ὡς ἐμοὶ δοκεῖ,
ὥστ' ἐπιτελεσθῆναί ποτ' αὐτῷ τοῦ πατρὸς
τὸ μνῆμα· κατ' ἐνιαυτὸν ἕνα * λίθον
ἀμαξιαῖον. καὶ σφόδρ' εὐτελὲς λέγω.

Τιμοκλῆς δ' ἐν Δημοσατύροις φησὶν

Οὐδ' ὁ Χαβρίου Κτήσιππος ἔτι τρὶς κείρεται,
166 ἐν ταῖς γυναιξὶ λαμπρὸς, οὐκ ἐν ἀνδράσιν.

καὶ Μένανδρος δ' ἐν Ὀργῇ περὶ αὐτοῦ τάδε λέγει

Καίτοι νέος ποτ' ἐγενόμην κἀγὼ, γύναι·
ἀλλ' οὐκ ἐλούμην πεντάκις τῆς ἡμέρας
τότ', ἀλλὰ νῦν· οὐδὲ χλανίδ' εἶχον, ἀλλὰ νῦν·
οὐδὲ μύρον εἶχον, ἀλλὰ νῦν· καὶ βάψομαι
καὶ παρατιλοῦμαι νὴ Δία καὶ γενήσομαι
Κτήσιππος, οὐκ ἄνθρωπος, ἐν ὀλίγῳ χρόνῳ,
b κᾆθ' ὡς ἐκεῖνος κατέδομαι καὶ τοὺς λίθους
ἁπαξάπαντας, οὐ γὰρ οὖν τὴν γῆν μόνην.

τάχ' οὖν διὰ τὴν πολλὴν ταύτην ἀσωτίαν καὶ κιναιδίαν τοὔνομα αὐτοῦ παρέλιπε Δημοσθένης ἐν τῷ περὶ ἀτελειῶν. χρὴ δὲ τοὺς τὰ πατρῷα κατεδηδοκότας κατὰ τὸν Μενάνδρου Ναύκληρον οὕτως κολάζεσθαι. φησὶ γὰρ

Ὦ φιλτάτη Γῆ μῆτερ, ὡς σεμνὸν σφόδρ' εἶ
τοῖς νοῦν ἔχουσι κτῆμα πολλοῦ τ' ἄξιον.
ὡς δῆτ' ἐχρῆν, εἴ τις πατρῴαν παραλαβὼν
c γῆν καταφάγοι, πλεῖν τοῦτον ἤδη διὰ τέλους

---

165 f. V. 1. γ' ABP. τ' VL. V. 2. ὢν ὁ Hermannus apud Erfurdtium p. 453. Aberat ὢν. V. 5. Indicavi lacunam. ἵν' ἐμφαγεῖν Iacobsius p. 108. Quod ἵνα φαγεῖν potius scribendum fuisse ait Erfurdtius p. 453. Χαβρίου] χαμβρίου B. τρὶς] τρεῖς BP.

166 a. γυναιξὶ — ἀνδράσι BP. γυναιξὶν — ἀνδράσιν VL. Μένανδρος] P. 127.

166 b. V. 7. κᾆθ' ὡς Porsonus ad Aristoph. Equit. 713. p. 94. Libri καθὼς. καὶ om. B. τὴν πολλὴν] τὴν om. B. κιναιδίαν A. κυναιδίαν B. κιναιδείαν PVL. παρέλιπε Δημοσθένης] Vide orationem Leptineam p. 479. Reisk. τὰ πατρῷα C. Aberat τά. Μενάνδρου] P. 123.

166 c. V. 4. πλεῖν] πλὴν BP. τοῦτον] τοῦτ' P.

καὶ μηδ' ἐπιβαίνειν γῆς, ἵν' οὕτως ἥσθετο
οἷον παραλαβὼν ἀγαθὸν οὐκ ἐφείσατο.

61. Πυθοδήλου δέ τινος ἀσώτου μνημονεύει Ἀξιόνικος ἐν Τυρρηνῷ οὕτως

Ὁ Πυθόδηλος οὑτοσὶ
ὁ Βαλλίων προσέρχετ' ἐπικαλούμενος,
μεθύουσά τ' ἐξόπισθεν ἡ σοφωτάτη
ἀποτυμπανισχὰς κατὰ πόδας πορεύεται.

d Πολύευκτον δ' Ἀναξανδρίδης ἐν Τηρεῖ κωμῳδῶν

Ὄρνις κεκλήσει (φησί). Β. διὰ τί, πρὸς τῆς Ἑστίας;
πότερον καταφαγὼν τὴν πατρῴαν οὐσίαν
ὥσπερ Πολύευκτος ὁ καλός; Α. οὐ δῆτ', ἀλλ' ὅτι
ἄρρην ὑπὸ θηλειῶν κατεκόπης.

Θεόπομπος δ' ἐν τῇ δεκάτῃ τῶν Φιλιππικῶν, ἀφ' ἧς τινες τὸ τελευταῖον μέρος χωρίσαντες ἐν ᾧ ἐστι τὰ περὶ τῶν Ἀθήνησι δημαγωγῶν, Εὔβουλόν φησι τὸν δημαγωγὸν e ἄσωτον γενέσθαι. τῇ λέξει δὲ ταύτῃ ἐχρήσατο „Καὶ τοσοῦτον ἀσωτίᾳ καὶ πλεονεξίᾳ διενήνοχε τοῦ δήμου τοῦ Ταραντίνων, ὅσον ὁ μὲν περὶ τὰς ἑστιάσεις εἶχε μόνον ἀκρατῶς, ὁ δὲ τῶν Ἀθηναίων καὶ τὰς προσόδους καταμισθοφορῶν διατετέλεκε. Καλλίστρατος δὲ (φησὶν) ὁ Καλλικράτους δημαγωγὸς καὶ αὐτὸς πρὸς μὲν τὰς ἡδονὰς ἦν ἀκρατής, τῶν δὲ πολιτικῶν πραγμάτων ἦν ἐπιμελής." περὶ δὲ τῶν Ταραντίνων ἱστορῶν ἐν τῇ δευτέρᾳ πεντηκοστῇ τῶν ἱστοριῶν γράφει οὕτως „Ἡ πόλις ἡ τῶν Ταραντίνων σχεf δὸν καθ' ἕκαστον μῆνα βουθυτεῖ καὶ δημοσίᾳ ἑστιάσεις ποιεῖται. τὸ δὲ τῶν ἰδιωτῶν πλῆθος ἀεὶ περὶ συνουσίας καὶ πότους ἐστί. λέγουσι δὲ καί τινα τοιοῦτον λόγον οἱ Ταραντῖνοι, τοὺς μὲν ἄλλους ἀνθρώπους διὰ τὸ φιλοπο-

---

V. 5. μηδ'] μηδέποτε C. Ἀξιόνικος] ἀξιόμαχος C. ἐν Τυρρηνῷ om. C. οὑτοσὶ ὁ Βαλλίων Elmsleius in Edinburgh Review fasc. V. p. 192. et Dobraeus ad Aristoph. Plut. 361. p. 44. Libri οὗτος ἰσοβαλλίων. ἐπικαλούμενος — μεθύουσά τ' om. B. Post ἐπικαλούμενος add. ἀσωτότατος VL, ἀσωτότατος ἄνθρωπος AP. ἀποτυμπανισχὰς] ἀποτυμπανιστὰς B. ἀποτυμπανιστὴ Q apud Villebrunium.

166 d. V. 1. κεκλήσει] κεκλήση PVL. κεκλήχη B. χωρίσαντές εἰσιν Casaubonus. Aut hoc opus aut ἐχώρισαν.

166 e. πραγμάτων PL. πραγματικῶν BV.

νεῖσθαι καὶ περὶ τὰς ἐργασίας διατρίβειν παρασκευάζεσθαι ζῆν, αὐτοὺς δὲ διὰ τὰς συνουσίας καὶ τὰς ἡδονὰς οὐ μέλλειν, ἀλλ᾽ ἤδη βιῶναι."

62. Περὶ δὲ τῆς ἀσωτίας καὶ τοῦ βίου Φιλίππου καὶ τῶν ἑταίρων αὐτοῦ ἐν τῇ τεσσαρακοστῇ ἐνάτῃ τῶν
167 ἱστοριῶν ὁ Θεόπομπος τάδε γράφει „Φίλιππος ἐπεὶ ἐγκρατὴς πολλῶν ἐγένετο χρημάτων, οὐκ ἀνάλωσεν αὐτὰ ταχέως, ἀλλ᾽ ἐξέβαλε καὶ ἔρριψε, πάντων ἀνθρώπων κάκιστος ὢν οἰκονόμος οὐ μόνον αὐτὸς, ἀλλὰ καὶ οἱ περὶ αὐτόν. ἁπλῶς γὰρ οὐδεὶς αὐτῶν ἠπίστατο ζῆν ὀρθῶς οὐδὲ σωφρόνως οἰκεῖν οἰκίαν. τοῦ δ᾽ αὐτὸς αἴτιος ἦν, ἄπληστος καὶ πολυτελὴς ὢν, προχείρως ἅπαντα ποιῶν καὶ κτώμενος καὶ διδούς. στρατιώτης γὰρ ὢν λογίζεσθαι τὰ προσιόντα καὶ τἀναλισκόμενα δι᾽ ἀσχολίαν οὐκ ἠδύνατο. ἔπειτα δ᾽ οἱ
b ἑταῖροι αὐτοῦ ἐκ πολλῶν τόπων ἦσαν συνερρυηκότες· οἱ μὲν γὰρ ἐξ αὐτῆς τῆς χώρας, οἱ δ᾽ ἐκ Θετταλίας, οἱ δὲ ἐκ τῆς ἄλλης Ἑλλάδος, οὐκ ἀριστίνδην ἐξειλεγμένοι, ἀλλ᾽ εἴ τις ἦν ἐν τοῖς Ἕλλησιν ἢ τοῖς βαρβάροις λάσταυρος ἢ βδελυρὸς, ἢ θρασὺς τὸν τρόπον, οὗτοι σχεδὸν ἅπαντες εἰς Μακεδονίαν ἀθροισθέντες ἑταῖροι Φιλίππου προσηγορεύοντο. εἰ δὲ μὴ καὶ τοιοῦτός τις ἐληλύθει, ὑπὸ τοῦ βίου καὶ τῆς διαίτης τῆς Μακεδονικῆς ταχέως ἐκείνοις ὅμοιος ἐγίνετο.
c τὰ μὲν γὰρ οἱ πόλεμοι καὶ αἱ στρατεῖαι καὶ αἱ πολυτέλειαι θρασεῖς αὐτοὺς εἶναι προετρέποντο καὶ ζῆν μὴ κοσμίως, ἀλλ᾽ ἀσώτως καὶ τοῖς λῃσταῖς παραπλησίως."

63. Δοῦρις δ᾽ ἐν ἑβδόμῳ Μακεδονικῶν περὶ Πασικύπρου λέγων τοῦ ἐν Κύπρῳ βασιλέως ὅτι ἄσωτος ἦν, γράφει καὶ τάδε „Ἀλέξανδρος μετὰ τὴν Τύρου πολιορκίαν

---

166 f. παρασκευάζεσθαι ABP. παρεσκευάζεσθαι VL. καὶ τοῦ βίου] ἐκ τοῦ βίου B. καὶ τοῦ βίου om. P. τεσσαρακοστῇ ἐνάτῃ] μθ´ P.

167 a. τάδε] ταῦτα B. γὰρ ὢν λογίζεσθαι Coraës. Legebatur γὰρ ὢν καὶ λογίζεσθαι.

167 b. τἀναλισκόμενα] τὰ ἀναλισκόμενα P. ἔπειτα — συνερρυηκότες om. C. ἀριστίνδην] ἀριστίδην A. ἐληλύθει] ἐλελύθει P. ἐγίνετο] ἐγένετο B, quod primum fuit in P.

167 c. ἑβδόμῳ] ἕκτῃ P. Πασικύπρου] Pasicryppum in epitome appellari affirmat Casaubonus. Sed in C quidem scriptum

Πνυταγόραν ἀποστέλλων ἄλλας τε δωρεὰς ἔδωκε καὶ χω-
ρίον ὃ ᾐτήσατο. πρότερον δὲ τοῦτο Πασίκυπρος ὁ βασι-
λεύων ἀπέδοτο δι' ἀσωτίαν πεντήκοντα ταλάντων Πυμάτῳ
d τῷ Κιτιεῖ, ἅμα τὸ χωρίον καὶ τὴν αὑτοῦ βασιλείαν· καὶ
λαβὼν τὰ χρήματα κατεγήρασεν ἐν Ἀμαθοῦντι." τοιοῦτος
ἐγένετο καὶ Αἰθίοψ ὁ Κορίνθιος, ὥς φησι Δημήτριος ὁ
Σκήψιος, οὗ μνημονεύει Ἀρχίλοχος. ὑπὸ φιληδονίας γὰρ
καὶ ἀκρασίας καὶ οὗτος, μετ' Ἀρχίου πλέων εἰς Σικελίαν,
ὅτ' ἔμελλε κτίζειν Συρακούσας, τῷ ἑαυτοῦ συσσίτῳ μελι-
τούττης ἀπέδοτο τὸν κλῆρον, ὃν ἐν Συρακούσαις λαχὼν
ἔμελλεν ἕξειν.

64. Εἰς τοσοῦτον δ' ἀσωτίας ἐληλύθει καὶ Δημήτριος
e ὁ Δημητρίου τοῦ Φαληρέως ἀπόγονος, ὥς φησιν Ἡγή-
σανδρος, ὥστε Ἀρισταγόραν μὲν ἔχειν τὴν Κορινθίαν ἐρω-
μένην, ζῆν δὲ πολυτελῶς. ἀνακαλεσαμένων δ' αὐτὸν τῶν
Ἀρεοπαγιτῶν καὶ κελευόντων βέλτιον ζῆν, Ἀλλὰ καὶ νῦν,
εἶπεν, ἐλευθερίως ζῶ. καὶ γὰρ ἑταίραν ἔχω τὴν καλλίστην
καὶ ἀδικῶ οὐδένα καὶ πίνω Χῖον οἶνον, καὶ τἄλλ' ἀρ-
κούντως παρασκευάζομαι, τῶν ἰδίων μου προσόδων εἰς
ταῦτ' ἐκποιουσῶν. οὐ καθάπερ ὑμῶν ἔνιοι δεκαζόμενος
f ζῶ καὶ μοιχεύων. καὶ τῶν τὰ τοιαῦτα πραττόντων καὶ ἐπ'
ὀνόματος τινὰς κατέλεξε. ταῦτα δ' ἀκούσας Ἀντίγονος ὁ
βασιλεὺς θεσμοθέτην αὐτὸν κατέστησε. τοῖς δὲ Παναθη-
ναίοις ἵππαρχος ὢν ἰκρίον ἔστησε πρὸς τοῖς Ἑρμαῖς Ἀρι-
σταγόρᾳ, μετεωρότερον τῶν Ἑρμῶν· Ἐλευσῖνί τε μυστη-
ρίων ὄντων ἔθηκεν αὐτῇ θρόνον παρὰ τὸ ἀνάκτορον,
οἰμώξεσθαι φήσας τοὺς κωλύσοντας.

8 65. Ὅτι δὲ τοὺς ἀσώτους καὶ τοὺς μὴ ἔκ τινος περι-
ουσίας ζῶντας τὸ παλαιὸν ἀνεκαλοῦντο οἱ Ἀρεοπαγῖται καὶ

---

πασικύπρου. Πνυταγόραν] πυθαγόραν B. Πυμάτῳ] πυμάτων BP. πυμάτωνι C.

167 d. βασιλείαν] βασίλειαν P. συσσίτῳ] συμποσίῳ B. μελιτούττης ABC. μελιττούτης PVL.

167 e. τἄλλ' et ταῦτ' B. Scribebatur τἄλλα et ταῦτα.

167 f. ἵππαρχος AC et epitome Hoeschelii. ὕπαρχος PVL. ἰκρίον L. ἴκριον PV. οἰμώξεσθαι] οἰμοίζεσθαι BP.

168 a. ζῶντας] ἀργῶς ζῶντας Casaubonus. ἀνεκαλοῦντο οἱ B. ἐκαλοῦντο οἱ A: quam *scriptam lectionem* dicit esse Casaubonus

ἐκόλαζον ἱστόρησαν Φανόδημος καὶ Φιλόχορος ἄλλοι τε πλείους. Μενέδημον γοῦν καὶ Ἀσκληπιάδην τοὺς φιλοσόφους, νέους ὄντας καὶ πενομένους μεταπεμψάμενοι ἠρώτησαν πῶς ὅλας τὰς ἡμέρας τοῖς φιλοσόφοις συσχολάζοντες, κεκτημένοι δὲ μηδὲν, εὐεκτοῦσιν οὕτω τοῖς σώμασι· καὶ οἱ ἐκέλευσαν μεταπεμφθῆναί τινα τῶν μυλωθρῶν. ἐλθόντος
b δ' ἐκείνου καὶ εἰπόντος ὅτι νυκτὸς ἑκάστης κατιόντες εἰς τὸν μυλῶνα καὶ ἀλοῦντες δύο δραχμὰς ἀμφότεροι λαμβάνουσι, θαυμάσαντες οἱ Ἀρεοπαγῖται διακοσίαις δραχμαῖς ἐτίμησαν αὐτούς. καὶ Δημόκριτον δ' Ἀβδηρῖται δημοσίᾳ κρίνοντες ὡς κατεφθαρκότα τὰ πατρῷα, ἐπειδὴ ἀναγνοὺς αὐτοῖς τὸν μέγαν διάκοσμον καὶ τὰ περὶ τῶν ἐν Ἅιδου εἶπεν εἰς ταῦτα ἀνηλωκέναι, ἀφείθη.

66. Οἱ δὲ μὴ οὕτως ἄσωτοι κατὰ τὸν Ἄμφιν
πίνουσ' ἑκάστης ἡμέρας δι' ἡμέρας,

c διασειόμενοι τοὺς κροτάφους ὑπὸ τοῦ ἀκράτου, καὶ κατὰ τὸν Δίφιλον κεφαλὰς ἔχοντες τρεῖς, ὥσπερ Ἀρτεμίσιον, πολέμιοι τῆς οὐσίας ὑπάρχοντες, ὡς Σάτυρος ἐν τοῖς περὶ χαρακτήρων εἴρηκε, κατατρέχοντες τὸν ἀγρὸν, διαρπάζοντες τὴν οἰκίαν, λαφυροπωλοῦντες τὰ ὑπάρχοντα, σκοποῦντες οὐ τί δεδαπάνηται, ἀλλὰ τί δαπανηθήσεται, οὐδὲ τί περιέσται, ἀλλὰ τί οὐ περιέσται· ἐν τῇ νεότητι τὰ τοῦ γήρως
d ἐφόδια προκαταναλίσκοντες, χαίροντες τῇ ἑταίρᾳ, οὐ τοῖς ἑταίροις, καὶ τῷ οἴνῳ, οὐ τοῖς συμπόταις. Ἀγαθαρχίδης δ' ὁ Κνίδιος ἐν τῇ ὀγδόῃ πρὸς ταῖς εἴκοσι τῶν Εὐρωπιακῶν „Γνώσιππον (φησὶν) ἄσωτον γενόμενον ἐν τῇ Σπάρτῃ

---

ἐκάλουν τε οἱ VL. ἐκάλουν οἱ P. ἐξῆν δὲ τοῖς ἀρεοπαγίταις — ἀνακαλεῖσθαι καὶ κολάζειν C. Sic p. 167 e. ἀνακαλεσαμένων δ' αὐτὸν τῶν Ἀρεοπαγιτῶν. ἱστόρησαν] ἱστορεῖ P.

168 b. μυλῶνα AP. μύλωνα CVL. κατεφθαρκότα] κατέφθηρε P. ἐπειδὴ A. ἐπεὶ PVL. ἐν ἅδου B. εἶπεν C. εἰπὼν PVL. ἀφείθη] Eadem anacoluthia C δημόκριτον δὲ ἀβδηρῖται δημοσίᾳ κρίνοντες — ἀφείθη. δι' ἡμέρας B et Casaubonus recte: vid. Meinek. ad Menandr. p. 182. δι' ἡμέρας D in textu, δύ' ἡμέρας inter versus. δύο ἡμέρας C. δύ' ἡμέρας PVL.

168 c. τὴν οἰκίαν] τὴν om. B.

168 d. ταῖς εἴκοσι Schweigh. τοῖς εἴκοσι A. τοῖς κ' B. τῇ εἰκοστῇ VL.

ἐκώλυον οἱ ἔφοροι συναναστρέφειν τοῖς νέοις.“ παρὰ δὲ Ῥωμαίοις μνημονεύεται, ὥς φησι Ποσειδώνιος ἐν τῇ ἐνάτῃ καὶ τεσσαρακοστῇ τῶν ἱστοριῶν, Ἀπίκιόν τινα ἐπὶ ἀσωτίᾳ πάντας ἀνθρώπους ὑπερηκοντικέναι. οὗτος δ' ἐστὶν Ἀπίκιος ὁ καὶ τῆς φυγῆς αἴτιος γενόμενος Ῥου-
e τιλίῳ τῷ τὴν Ῥωμαϊκὴν ἱστορίαν ἐκδεδωκότι τῇ Ἑλλήνων φωνῇ. περὶ δὲ Ἀπικίου τοῦ καὶ αὐτοῦ ἐπὶ ἀσωτίᾳ διαβοήτου ἐν τοῖς πρώτοις εἰρήκαμεν.

67. Διογένης δ' ὁ Βαβυλώνιος ἐν τοῖς περὶ εὐγενείας „Τὸν Φωκίωνος υἱὸν (φησὶ) Φῶκον οὐκ ἦν ὃς οὐκ ἐμίσει Ἀθηναίων. καὶ ὁπότε ἀπαντήσειέ τις αὐτῷ, ἔλεγεν, ὦ καταισχύνας τὸ γένος. πάντα γὰρ ἀνάλωσε τὰ πατρῷα εἰς ἀσωτίαν, καὶ μετὰ ταῦτα ἐκολάκευε τὸν ἐπὶ τῆς Μου-
f νυχίας· ἐφ' ᾧ πάλιν ὑπὸ πάντων ἐπερραπίζετο. ἐπιδόσεων δέ ποτε γενομένων παρελθὼν καὶ αὐτὸς εἰς τὴν ἐκκλησίαν ἔφη, Ἐπιδίδωμι κἀγώ. καὶ οἱ Ἀθηναῖοι ὁμοθυμαδὸν ἀνεβόησαν, Εἰς ἀκολασίαν. ἦν δ' ὁ Φῶκος καὶ φιλοπότης. νικήσαντος γοῦν αὐτοῦ ἵπποις Παναθηναίοις, ὡς ὁ πατὴρ εἱστία τοὺς ἑταίρους, συνελθόντων εἰς τὸ δεῖπνον λαμπρὰ μὲν ἦν ἡ παρασκευὴ καὶ τοῖς εἰσιοῦσι προσεφέροντο ποδονιπτῆρες οἴνου δι' ἀρωμάτων. οὓς ἰδὼν ὁ πατὴρ καλέσας
169 τὸν Φῶκον, Οὐ παύσεις, ἔφη, τὸν ἑταῖρον διαφθείροντά σου τὴν νίκην;“

---

ἐν τῇ η' πρὸς κ' P. ἐνάτῃ καὶ τεσσαρακοστῇ] θ' καὶ μ' P. συναναστρέφειν] „συναναστρέφεσθαι scribunt meliores libri.“ Casaubonus. Sic C.

168 e. ἀπικίῳ PL. ἀλπικίου BV et margo P. ἄλλον Ἀπικίου Schweigh. εἰρήκαμεν] I. p. 7 d. Φωκίωνος] φωκέωνος B. ἀπαντήσειε] ὑπαντήσειε P. ἀνάλωσε BC. ἀνάλωκε A. ἀνήλωσε VL. ἀνήλωσεν P. Vid. ad 165 e. μουνυχίας PL. μονυχίας V.

168 f. ἀκολασίαν. ἦν δ'] ἀκολασίαν δ' ἦν P. φιλοπότης PL. φιλοκώτης AV. Quae sequuntur usque ad μαγειρικὰ σκεύη om. C. ἵπποις] ἵππος B. ὁ πατὴρ] Non patrem nominare debebat, sed eum qui ab patre precibus impetraverat ut Phoci victoriam epulo celebrare sibi liceret. Plutarchus vita Phocionis c. 20. p. 750 e. νικήσαντος δὲ καὶ πολλῶν αἰτουμένων ἑστιάσαι τὰ νικητήρια, τοὺς ἄλλους Φωκίων παραιτησάμενος ἑνὶ τὴν φιλοτιμίαν ταύτην παρεχώρησεν. ὡς δ' ἐλθὼν ἐπὶ τὸ δεῖπνον ἄλλην τε σοβαρὰν ἑώρα παρασκευὴν καὶ ποδονιπτῆρας οἴνου δι' ἀρωμάτων προσφερομένους τοῖς εἰσιοῦσι, καλέσας τὸν υἱὸν „Οὐ παύσεις“ ἔφη „τὸν ἑταῖρον ὦ Φῶκε διαφθείροντά σου τὴν νίκην;“

Οἶδα δὲ καὶ ἄλλους ἀσώτους πολλούς, περὶ ὧν ὑμῖν καταλείπω ζητεῖν, πλὴν Καλλίου τοῦ Ἱππονίκου, ὃν καὶ οἱ τῶν παίδων ἴσασι παιδαγωγοί. περὶ δὲ τῶν ἄλλων ὧν φθάνω προβεβληκὼς εἴ τι λέγειν ἔχετε, ἀναπεπταμένας ἔχω τῶν ὤτων τὰς πύλας. ὥστε λέγετε, ἐπιζητῶ γάρ. καὶ Μάγνος εἴρηκε τὸ ἐπεσθίειν καὶ τὸ ἐπιφαγεῖν.

Καὶ ὁ Αἰμιλιανὸς ἔφη, Τὸ μὲν ἀσώτιον ἔχεις παρὰ Στράττιδι ἐν Χρυσίππῳ λέγοντι οὕτως

b Εἰ μηδὲ χέσαι γ' αὐτῷ σχολὴ γενήσεται,
μηδ' εἰς ἀσώτιον τραπέσθαι, μηδ', ἐὰν
αὐτῷ ξυναντᾷ τις, λαλῆσαι μηδενί.

68. Μαγειρικὰ δὲ σκεύη καταριθμεῖται Ἀνάξιππος ἐν Κιθαρῳδῷ οὕτως

Ζωμήρυσιν φέροις, ὀβελίσκους δώδεκα,
κρεάγραν, θυείαν, τυροκνῆστιν παιδικήν,
στελεὸν, σκαφίδας τρεῖς, δορίδα, κοπίδας τέτταρας.
οὐ μὴ πρότερον νεύσεις, θεοῖσιν ἐχθρὲ σύ,
c τὸ λεβήτιον κἀκ τοῦ χύτρου - πάλιν ὑστερεῖς; -
καὶ τὴν κύβηλιν τὴν ἀγωνιστηρίαν;

τὴν χύτραν δ' Ἀριστοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις κακκάβην εἴρηκεν οὕτως

---

169 a. ὑμῖν] ἡμῖν B, quod primum fuit in P. ἴσασι BP. Legebatur οἴδασι. ἐπιζητῶ γὰρ καὶ ὁ Μάγνος Casaubonus. εἴρηκε] P. 164 a. καὶ ὁ AB. Aberat ὁ. αἰμυλιανὸς B ut solet. Στράττιδι L. στράτιδι BV. στράττιδι δ' P.

169 b. μηδ' ἐὰν] μηδέ γ' ἂν VL. μὴ δ' ἂν BP. V. 1. ζωμήρυσι P. V. 2. θυείαν] θυίαν VL. θυννίαν P. θυείαν ex hoc loco memorat Eustathius p. 872, 12. παιδικὴν om. C. V. 3. στελεὸν] στελέον P. δορίδα L. δερίδα ABP. Om. C neque Eustathius memoravit l. l., sed δορίδας, μαγειρικὰς τραπέζας auctore Aelio Dionysio interpretatur p. 243, 6. V. 4. 5. om. C. V. 4. νεύσεις] εὔσεις Schweigh. οἴσεις Villebrunius.

169 c. V. 5. κἀκ τοῦ χύτρου VL. κἀκ τοῦ λήτρου A. κἀκ τοῦ χήτρου B. κἀκ τοῦ χύτρου (η superscr.) P. In quibus probabile est crasin aliquam absconditam esse, veluti si scriptum esset καὶ τοὔλυτρον. De olla non cogitandum: nam τὸν χύτρον vix dixerit Anaxippus. V. 6. κίβηλιν AB et Eustathius p. 872, 13. κύβηλον PVL. κύβιλιν epitome Hoeschelii. κίβιλλιν C. τὴν ἀγωνιστηρίαν om. C. σκηνὰς ABD. σκηναῖς PVL. ἀριστοφάνης δὲ τὴν χύτραν κακκάβην που

Τὴν κακκάβην γὰρ καὶ τοῦ διδασκάλου.
κἀν Δαιταλεῦσι „Κἄγειν ἐκεῖθεν κακκάβην.“ Ἀντιφάνης δ' ἐν Φιλοθηβαίῳ

Πάντ' ἐστὶν ἡμῖν· ἥ τε γὰρ συνώνυμος
τῆς ἔνδον οὔσης ἔγχελυς Βοιωτία
μιχθεῖσα κοίλοις ἐν βυθοῖσι κακκάβης
d χλιαίνετ', αἴρεθ', ἕψεται, παφλάζεται.

βατάνιον δ' εἴρηκεν Ἀντιφάνης ἐν Εὐθυδίκῳ

Ἔπειτα πουλύπους τετμημένος
ἐν βατανίοισιν ἑφθός.

Ἄλεξις ἐν Ἀσκληπιοκλείδῃ

Οὕτως δ' ὀψοποιεῖν εὐφυῶς
περὶ τὴν Σικελίαν αὐτὸς ἔμαθον ὥστε τοὺς
δειπνοῦντας εἰς τὰ βατάνι' ἐμβαλεῖν ποιῶ
ἐνίοτε τοὺς ὀδόντας ὑπὸ τῆς ἡδονῆς.

πατάνιον δὲ διὰ τοῦ π Ἀντιφάνης ἐν Γάμῳ

---

εἴρηκε C. κασσοῦ A. κάσσου B. κάσσοῦ D. κασσοῦ Pollux X, 106. καὶ τοῦ Iungermannus. καρύστου PVL. κακκάβην autem Pollux λοπάδα interpretatur. διδασκάλου ABD. διδάσκαλον VL. διδασκάλον (sic) P. Δαιταλεῦσιν] κακκάβην ex Aristophanis Daedalo memorat Phrynichus p. 427. Lob. V. 2. βοιωτία C et epitome Hoeschelii et XIV. p. 622 f. βοιωτίας PVL. V. 3. μιχθεῖσα] τμηθεῖσα 623 a.

169 d. V. 4. χλιαίνεθ', αἴρεθ' P. παμφλάζεται B. In C sequitur σκεῦος δέ τι καὶ τὸ ἀσώτιον παρὰ στράττιδι: inepte. Vid. 169 a.

βατάνιον] βατάνειον (κατάνειον C) libri, qui per totum hunc de βατανίοις et πατανίοις locum fere ubique diphthongo utuntur. πουλύπους Schweigh. πολύπους libri et Pollux X, 107. βατανείοισιν (immo βατανίοισιν) Casaubonus. Libri βατάνοισιν. πατανίδισιν Pollux, de quo vide annotationem. ἑφθάς PVL et Pollux. ἑφθὸς ἐντετμημένοις AC. ἀσκληπιοκληίδι B. Pollux X, 108. Ἄλεξις δὲ ἐν Ἀσκληπιοκλείδῃ πατάνια (πλατάνια liber MS.) εἴρηκεν. Vide annotationem. V. 2. τὴν additum ab Casaubono. V. 3. 4. Vide ad III. p. 107 d. V. 3. βατάνι' Schweigh. βατάνεια ABP. βατάνιον C. βατάνειά γ' VL. λοπάδι' 107. ἐμβαλεῖν Iungermannus ad Pollucem X, 107. ἐκβαλεῖν ABPVL. ἐκβάλλειν C. ἐμβάλλειν 107. διὰ τοῦ π ABCPV. διὰ τὸ π L. Γάμῳ] Librorum vitium σάμῳ dudum ab aliis correctum. Antiatticista Bekkeri p. 84, 13. Βατάνια: τὰς λοπάδας, ὡς Ἀλεξανδρεῖς. Ἀντιφάνης Γάμοις. Antiphanis fabula Γάμος citatur ab Athenaeo IV. p. 160 d.: Γάμοι III. p. 95 a.

e Πατάνια, σεῦτλον, σίλφιον, χύτρας, λύχνους,
κορίαννα, κρόμμυ', ἅλας, ἔλαιον, τρυβλίον.

Φιλέταιρος Οἰνοπίωνι

Ὁ μάγειρος οὗτος πατανίων προσελθέτω.

καὶ πάλιν

Πλείους Στρατονίκου τοὺς μαθητάς μοι δοκεῖ
ἕξειν πατανίων.

ἐν δὲ Παρασίτῳ ὁ Ἀντιφάνης καὶ τάδε εἴρηκεν

Ἄλλος ἐπὶ τούτῳ μέγας
ἥξει τις ἰσοτράπεζος εὐγενής. Β. τίνα
λέγεις; Α. Καρύστου θρέμμα, γηγενής, ζέων.
f Β. εἶτ' οὐκ ἂν εἴποις; ὕπαγε. Α. κάκκαβον λέγω·
σὺ δ' ἴσως ἂν εἴποις λοπάδ'. Β. ἐμοὶ δὲ τοὔνομα
οἴει διαφέρειν, εἴτε κάκκαβόν τινες
χαίρουσιν ὀνομάζοντες εἴτε σίττυβον;
πλὴν ὅτι λέγεις ἀγγεῖον οἶδα.

Εὔβουλος δ' ἐν Ἴωνι καὶ βατάνια καὶ πατάνια λέγει ἐν τούτοις

Τρυβλία δὲ καὶ βατάνια καὶ κακκάβια καὶ
λοπάδια καὶ πατάνια πυκνά, ταρφέα,
κοὐδ' ἂν λέγων λέξαιμι.

170 69. Ἡδυσμάτων δὲ κατάλογον Ἄλεξις ἐποιήσατο ἐν Λέβητι οὕτως

Μὴ προφάσεις ἐνταῦθά μοι, μηδ' Οὐκ ἔχω.

---

169 e. V. 1. *πατάνια* hic dedit B. *πατάνεια* PVL. *σίλφιον*] *σιλφίον* PVL. V. 2. om. C. *ἅλας* Schweigh. *ἅλς* BPVL. *τρυβλίον*] *τρίβλιον* B. *τρύβλιον* PVL. *προσελθέτω — ἕξειν πατανίων* add. ABPL. om. V. *ὁ ἀντιφάνης* AP. *ὁ* om. VL. V. 3. *καρύστου* PVL. *καρύστρου* BC.

169 f. V. 4. — 6. inde ab *κάκκαβον λέγω* attulerunt Pollux X, 106. et non nominato scriptore Eustathius p. 872, 14. V. 5. *τοὔνομ'* BP. V. 6. *εἴτε*] *εἴ τις* P. V. 7. *χαίρουσιν ὀνομάζοντες* B et Pollux. *χαίροντες ὀνομάζουσιν* PVL. Eustathius ex epitome solum posuit *ὀνομάζουσιν*. *πατάνια λέγει*] *πητάνεια λέγει* B.
Pollux X, 106. ex Eubuli Ione haec apposuit *τρυβλία δὲ καὶ πατάνια καὶ κακκάβια καὶ λοπάδια*. V. 2. *καὶ πατάμια, πυκνὰ τάρβα, καὶ οὐδ'* B.

170 a. V. 1. — 4. om. C. V. 1. *μὴ* ABP. *καὶ μὴ* VL. *μηδὲ*

Β. ἀλλ' ἄγε λέγ'· οὐ δεῖ· λήψομαι γὰρ πάντ' ἐγώ.
Α. ὀρθῶς. τὸ πρῶτον μὲν λάβ' ἐλθὼν σήσαμα.
Β. ἀλλ' ἔστιν ἔνδον. Α. ἀσταφίδα κεκομμένην,
μάραθρον, ἄνηθον, νᾶπυ, καυλὸν, σίλφιον,
κορίαννον αὖον, ῥοῦν, κύμινον, κάππαριν,
b ὀρίγανον, γήτειον, * σκόροδον, θύμον,
σφάκον, σίραιον, σέσελι, πήγανον, πράσον.

ἐν δὲ Παννυχίδι ἢ Ἐρίθοις μάγειρον τάδε ποιεῖ λέγοντα·

Κύκλῳ δεήσει περιτρέχειν με καὶ βοᾶν,
ἄν του δέωμαι. δεῖπνον αἰτήσεις με σὺ
ἤδη παρελθών· οὐκ ἔχων δὲ τυγχάνω
οὐκ ὄξος, οὐκ ἄνηθον, οὐκ ὀρίγανον,
οὐ θρῖον, οὐκ ἔλαιον, οὐκ ἀμυγδάλας,
οὐ σκόροδον, οὐ σίραιον, οὐχὶ γήτιον,
c οὐ βολβὸν, οὐ πῦρ, οὐ κύμινον, οὐχ ἅλας,
οὐκ ᾠὸν, οὐ ξύλ', οὐ σκάφην, οὐ τήγανον·
οὐχ ἱμονίαν, οὐ λάκκον εἶδον, οὐ φρέαρ·
οὐ στάμνος ἐστί· διακενῆς δ' ἕστηκ' ἐγὼ
ἔχων μάχαιραν, προσέτι περιεζωσμένος.

κἀν Πονήρᾳ

Τῆς ὀριγάνου·

---

Schweigh. V. 2. ἀλλ' ἄγε λέγ' Casaubonus dubia emendatione. ἀλλά γε λέγ' VL. ἀλλὰ λέγοντα AP. ἀλλὰ λέγοντα B. οὐ δεῖ VL. ρὺ δεῖ A. οὐδ' εἰ BP. V. 3. — 8. attulit Pollux VI, 66. V. 4. ἄνηθον, μάραθον, ἀσταφίδα κεκομμένην, νάπυ, σέσελι, θύμον καὶ σίραιον καὶ ἄλλα C. V. 5. μάραθρον B et Casauboniana tertia. μάραθον PVL. μάραθρα Pollux. νᾶπυ] Scribebatur νάπυ, quod ubique correxi. V. 6. — 8. κάππαριν — σφάκον add. ABL. om. PV.

170 b. V. 7. γήτειον] γάρτειον B. χήτιον Pollux. Indicavi lacunam. Fortasse γήτιον, ἅλας, σκόροδον. σκόροδον AB. σκορόδιον L. ἄνισον Pollux. V. 8. σίραιον ABCPV. σισίραιον L. τόν' αὖ σίραιον Pollux. σέσελι ABCP. σέσελλι VL. πέπερι Pollux, qui propter hoc ipsum πέπερι Alexidis versus attulit. Παννυχίδι] πανυχίδι B. τάδε ποιεῖ Schweigh. δὲ ποιεῖ PVL. V. 1. Κύκλῳ] κύκχῳ P. με καὶ βοᾶν] μὴ ἐκβοᾶν B. V. 2. ἄντου δέομαι B. V. 5. ἀμυγδάλας] Scribebatur ἀμυγδαλᾶς. V. 6. γήτιον Schweigh. γήτειον PVL.

170 c. V. 8. ξύλ' B. Legebatur ξύλον. V. 9. ἱμονίαν] ἱμονιὰν P. εἶδον] ἴδον P. κἀν PV. καὶ ἐν L.

πρώτιστον ὑποθεὶς εἰς λοπάδα νεανικήν,
τὸ τρίμμ᾽ ἐπιπολῆς εὐρύθμως διειμένον
ὄξει, σιραίῳ χρωματίσας καὶ σιλφίῳ
πυκνῷ πατάξας.

d ἐπεσθίειν δ᾽ εἴρηκε Τηλεκλείδης Πρυτάνεσιν οὕτως „Τυρίον ἐπεσθίοντα." ἐπιφαγεῖν δ᾽ Εὔπολις Ταξιάρχοις

Ἐπιφαγεῖν
μηδὲν ἄλλ᾽ ἢ κρόμμυον βλέποντα καὶ τρεῖς ἁλμάδας.

καὶ Ἀριστοφάνης Πλούτῳ

Πρὸ τοῦ δ᾽ ὑπὸ τῆς πενίας ἅπαντ᾽ ἐπήσθιεν.

70. Τῶν δὲ μαγείρων διάφοροί τινες ἦσαν οἱ καλούμενοι τραπεζοποιοί. εἰς ὃ δὲ οὗτοι παρελαμβάνοντο σαφῶς παρίστησιν Ἀντιφάνης ἐν Μετοίκῳ

Προσέλαβον ἐλθὼν τουτονὶ
τραπεζοποιόν, ὃς πλυνεῖ σκεύη, λύχνους
e ἑτοιμάσει, σπονδὰς ποιήσει, τἄλλ᾽ ὅσα
τούτῳ προσήκει.

ζητητέον δὲ εἰ καὶ ὁ τραπεζοκόμος ὁ αὐτός ἐστι τῷ τραπεζοποιῷ. Ἰόβας γὰρ ὁ βασιλεὺς ἐν ταῖς Ὁμοιότησι τὸν αὐτὸν εἶναί φησι τραπεζοκόμον καὶ τὸν ὑπὸ Ῥωμαίων καλούμενον στρούκτωρα, παρατιθέμενος ἐκ δράματος Ἀλεξάνδρου ᾧ ἐπιγραφὴ Πότος

Εἰς αὔριον με δεῖ λαβεῖν αὐλητρίδα·
τραπεζοποιὸν δημιουργὸν λήψομαι.
ἐπὶ τοῦτ᾽ ἀπέστειλ᾽ ἐξ ἀγροῦ μ᾽ ὁ δεσπότης.

---

V. 2. ὑποθεὶς εἰς Casaubonus. ὑποτίθει Meinekius. Libri ὑποτιθεὶς εἰς. V. 3. εὐρύθμως] ἐρύθμως B. V. 4. σιλφίῳ L. σιλφίνῳ PV.

170 d. ἐπεσθίειν δ᾽ B. Aberat δ᾽. "Ὅτι καὶ τὸ ἐπεσθίειν εὕρηται παρὰ τοῖς ἀρχαίοις: πρὸ τοῦ δ᾽ ὑπὸ τῆς πενίας ἅπαντ᾽ ἐπήσθιον. καὶ τὸ ἐπιφαγεῖν εὔπολις — C. κρόμμυον] κρόμυον P. Πλούτῳ] V. 1005. ἐπήσθιεν] Libri ἐπήσθιον. Correctum ex Aristophane. εἰς ὃ δὲ οὗτοι] εἰς ὅδε οὗτος B. Antiphanis versus om. C. λύχνους Iacobsius p. 111. λύχνους τ᾽ A. λύχνους τε P. λύχνους θ᾽ VL.

170 e. ἑτοιμάσει AP et ut opinor B. ἑτοιμάσα VL. ποιήσει BP et haud dubie etiam A. ποιήσα VL. Frequens in V error litterarum α et ει commutatio. ταὐτῷ A. τούτοις PVL. στρούκτωρα C. στρούκτορα PVL.

ἐκάλουν δὲ τραπεζοποιὸν τὸν τραπεζῶν ἐπιμελητὴν καὶ τῆς ἄλλης εὐκοσμίας. Φιλήμων Παρεισιόντι

Περὶ τοὐπτάνιον οὐ γίγνεθ' ἡ σκευωρία·
τραπεζοποιός ἐστ' ἐπὶ τοῦ διακονεῖν.

ἔλεγον δὲ καὶ ἐπιτραπεζώματα τὰ ἐπιτιθέμενα τῇ τραπέζῃ βρώματα. Πλάτων Μενελάῳ

171 Ὡς ὀλίγα λοιπὰ τῶν ἐπιτραπεζωμάτων.

ἐκάλουν δὲ καὶ ἀγοραστὴν τὸν τὰ ὄψα ὠνούμενον, νῦν δ' ὀψωνάτωρα, ὡς Ξενοφῶν ἐν δευτέρῳ Ἀπομνημονευμάτων οὑτωσὶ λέγων „Διάκονον δ' ἂν καὶ ἀγοραστὴν τὸν τοιοῦτον ἐθέλοιμεν προῖκα λαβεῖν;“ παρὰ δὲ Μενάνδρῳ ἐστὶ κοινότερον ἐν Φανίῳ

Φειδωλὸς ἦν καὶ μέτριος ἀγοραστής.

ὀψώνην δ' εἴρηκεν Ἀριστοφάνης ἐν Ταγηνισταῖς διὰ τού-
b των „Ὡς οὐψώνης διατρίβειν ἡμῶν τὸ ἄριστον ἔοικε.“ παροψωνεῖν δ' ἔφη Κρατῖνος ἐν Κλεοβουλίναις οὕτως * *. παραγοράζειν δ' Ἄλεξις ἐν Δρωπίδῃ. εἰλέατροι δὲ καλοῦνται, ὥς φησι Πάμφιλος, οἱ ἐπὶ τὴν βασιλικὴν καλοῦντες τράπεζαν, παρὰ τὸν ἐλεόν. Ἀρτεμίδωρος δ' αὐτοὺς δειπνοκλήτορας ὀνομάζει.

71. Ἐκάλουν δέ, φησί, καὶ τοὺς προγεύστας ἐδεάτρους, ὅτι προήσθιον τῶν βασιλέων πρὸς ἀσφάλειαν. νῦν δὲ ὁ ἐδέατρος ἐπιστάτης γέγονε τῆς ὅλης διακονίας. ἦν δ' ἐπι-

---

170 f. Φιλήμων] P. 375. τοὐπτάνιον ABP. τοὐπτάνειον V. τοὐπτανεῖον L. Scribebatur γίνεθ'.. γίνεται ABP. σκευωρία Pursanus apud Villebrunium et Schneiderus in lexico. Legebatur σκεπτωρία. ἐστ' ἐπὶ] Libri ἐστιν ἐπί. Πλάτων] XIV. p. 641 b.

171 a. ὀψωνάτωρα Schweigh. ὀψωνάτορα L. ὀψονάτορα PV. δευτέρῳ] Immo I, 5, 2. ἐθέλοιμεν A. θέλοιμεν VL. θέλομεν P. ἐθελήσαιμεν ἂν Xenophon. Μενάνδρῳ] P. 174. φανίῳ ABP. φανίᾳ VL.

171 b. ὡς οὐψώνης AC. ὡς οὐψώνης P. ὡς ὀψώνης V. ὡς οὐκ ὀψώνης L. ἡμῶν] ἡμῖν C. Inter οὕτως et παραγοράζειν nonnihil spatii relictum in VL, non in BP. εἰλέατροι δὲ C. εἰλαίατροι δὲ AP. εἰλαιάτροισι B. εἰλειατροι δὲ V. ἰλέατροι δὲ L. τὸν ἐλεόν VL. τὸ ἔλαιον AP. τὸ ἔλαιος B, qui fortasse τὸ ἐλεός debuit. ἐδεάτρους Valckenar. Animadv. ad Ammonium p. 74. αιδε ελαιατρους A. αἰδελαιάτρους B. αἰδελεάτρους P. ἐλεάτρους V. ἐλεάτρους L, qua scriptura C per totum hunc locum utitur. ἐδέατρος Valckenarius. ἐλέατρος CVL. ἐλάιατρος ABP.

φανὴς καὶ ἄτιμος ἡ χρεία. Χάρης γοῦν ἐν τῇ τρίτῃ τῶν
c ἱστοριῶν Πτολεμαῖόν φησι τὸν Σωτῆρα ἐδέατρον ἀποδει-
χθῆναι Ἀλεξάνδρου. μήποτε δὲ καὶ ὃν νῦν καλοῦσι Ῥωμαῖοι
προγεύστην τότε οἱ Ἕλληνες προτένθην ὠνόμαζον, ὡς Ἀρι-
στοφάνης ἐν προτέραις Νεφέλαις διὰ τούτων

Πῶς οὐ δέχονται δῆτα τῇ νουμηνίᾳ
ἀρχαὶ τὰ πρυτανεῖ', ἀλλ' ἔνῃ τε καὶ νέᾳ;
Β. ὅπερ οἱ προτένθαι γὰρ δοκοῦσί μοι παθεῖν·
ἵν' ὡς τάχιστα τὰ πρυτανεῖ' ὑφέλοιατο,
d διὰ τοῦτο προὐτένθευσαν ἡμέρᾳ μιᾷ.

μνημονεύει αὐτῶν καὶ Φερεκράτης ἐν Ἀγρίοις

Μὴ θαυμάσῃς·
τῶν γὰρ προτενθῶν ἐσμέν· ἀλλ' οὐκ οἶσθα σύ.

καὶ Φιλύλλιος ἐν Ἡρακλεῖ

Βούλεσθε δῆτ' ἐγὼ φράσω τίς εἴμ' ἐγώ;
ἡ τῶν προτενθῶν Δορπία καλουμένη.

εὑρίσκω δὲ καὶ ψήφισμα ἐπὶ Κηφισοδώρου ἄρχοντος Ἀθή-
νησι γενόμενον, ἐν ᾧ ὥσπερ τι σύστημα οἱ προτένθαι εἰσί,
e καθάπερ καὶ οἱ παράσιτοι ὀνομαζόμενοι, ἔχον οὕτως „Φῶ-
κος εἶπεν· ὅπως ἂν ἡ βουλὴ ἄγῃ τὰ Ἀπατούρια μετὰ τῶν
ἄλλων Ἀθηναίων κατὰ τὰ πάτρια, ἐψηφίσθαι τῇ βουλῇ
ἀφεῖσθαι τοὺς βουλευτὰς τὰς ἡμέρας, ὥσπερ καὶ αἱ ἄλλαι
βουλαὶ αἱ ἀφεταί, ἀπὸ τῆς ἡμέρας ἧς οἱ προτένθαι
ἄγουσι πέντε ἡμέρας.“ ὅτι δ' εἶχον οἱ ἀρχαῖοι καὶ τοὺς
προγεύστας καλουμένους Ξενοφῶν ἐν τῷ ἐπιγραφομένῳ
Ἱέρωνι ἢ Τυραννικῷ φησιν „Ὁ τύραννος οὔτε σιτίοις
καὶ ποτοῖς πιστεύων διάγει, ἀλλὰ καὶ τούτων ἀντὶ τοῦ
f ἀπάρχεσθαι τοῖς θεοῖς τοῖς διακονοῦσι πρῶτον κελεύουσιν

---

171 c. ἐδέατρον Valckenarius. αἰδέατρον AP. ἐλέατρον CVL. καλοῦσι ῥωμαῖοι ABC. καλοῦσιν οἱ ῥωμαῖοι PVL. προτέραις Νεφέλαις] Immo δευτέραις v. 1196. ἀρχαὶ] Scribebatur ἀρχαί. αἱ ἀρχαὶ ABP.

171 d. προτένθευσαν B. οὐκ οἶσθα σὺ A. οὐκ οἶδα σύ PVL. οὐκ οἶδας σύ Q apud Villebrunium. φράσω τίς εἴμ' ἐγὼ exciderunt in B.

171 e. Psephisma om. C. αἱ ἀφεταὶ Porsonus. διαφέται AV. διάφεται P. διαφε cum lacuna B. διαφίενται L. Ἱέρωνι] IV, 2. σιτίοις] σίτοις L. σιτίτοις V. σπίοις AP. ποτοῖς] πότοις AC.

171 f. τοῖς θεοῖς B. Aberat τοῖς.

ἀπογεύεσθαι, διὰ τὸ ἀπιστεῖν μὴ καὶ ἐν τούτοις κακόν τι φάγωσιν ἢ πίωσιν." Ἀναξίλας δ' ἐν Καλυψοῖ φησιν

12 Παραγεύσεταί σοι πρῶτον ἡ γραῦς τοῦ ποτοῦ.

72. Τοὺς δὲ τὰ πέμματα προσέτι τε τοὺς ποιοῦντας τοὺς πλακοῦντας οἱ πρότερον δημιουργοὺς ἐκάλουν. Μένανδρος Ψευδηρακλεῖ καταμεμφόμενος τοὺς μαγείρους ὡς ἐπιχειροῦντας καὶ οἷς μὴ δεῖ φησιν

Μάγειρ', ἀηδής μοι δοκεῖς εἶναι σφόδρα.
πόσας τραπέζας μέλλομεν ποιεῖν τρίτον
ἤδη μ' ἐρωτᾷς. χοιρίδιον ἓν θύομεν,
ὀκτὼ ποιήσοντες τραπέζας δ' ἢ μίαν,
b τί σοι διαφέρει; τοῦτο παράθες σημίαν.
οὐκ ἔστι κανδύλους ποιεῖν οὐδ' οἷα σὺ
εἴωθας εἰς ταυτὸν καρυκεύειν, μέλι,
σεμίδαλιν, ᾠά· πάντα γὰρ τἀναντία
νῦν ἐστιν· ὁ μάγειρος γὰρ ἐγχύτους ποιεῖ,
πλακοῦντας ὀπτᾷ, χόνδρον ἕψει καὶ φέρει
μετὰ τὸ τάριχος, εἶτα θρῖον καὶ βότρυς·
ἡ δημιουργὸς δ' ἀντιπαρατεταγμένη

---

μὴ καὶ ἐν ABC. μὴ ἐν PVL. πίωσιν] πίνωσιν B.

172 a. παραγεύσεται A. προγεύσεται VL. προσγεύσεται P. τοὺς ποιοῦντας add. A. om. PVL. ποιοῦντας post πλακοῦντας inseruit L. ὅτι οἱ τὰ πέμματα καὶ τοὺς πλακοῦντας ποιοῦντες δημιουργοὶ πρότερον ἐκαλοῦντο C. Μένανδρος] P. 178. Eius versus omisit C. καταμεμφόμενος δὲ τοὺς ABP. Fortasse igitur scribendum ἐκάλουν, ὡς Μένανδρος Ψευδηρακλεῖ· καταμεμφόμενος δὲ —. V. 3. 4. Emendavi librorum scripturam θύομεν. ὀκτὼ ποίησον τὰς τραπέζας δύο μίαν. Meinekius inchoata, non perfecta emendatione ποιήσω τὰς τραπέζας ἢ μίαν.

172 b. V. 5. Correxi distinctionem verborum: nam τοῦτο ad διαφέρει referebatur. παράθες σημίαν ABD. παράθες σὺ μίαν PVL. In σημίαν fortasse nomen hominis Σιμία latet, quae vox similes corruptelas perpessa est infra aliquoties. V. 6. — 13. attulit XIV. p. 644 c. V. 6. κἂν δύλους P. V. 7. ταυτὸν] ταὐτὸ BP. καρυκεύειν BP et 644. Scribebatur καρυκκεύειν. V. 9. ἐγχύτους repositum ex 644. ἐνπιχυχέτους A. ἐν πιχυχετοῦ B. ἐν πιχυχέτου P. ἐνπιχηχέτου VL. „Je trouve dans DQ en pichycheton." Villebrunius. Quae manifestum est ex duplici scriptura ἐγχύτους et ἐπιχύτους orta esse, quorum posterius probari posset, nisi ἐγχύτους altero loco diserte testaretur Athenaeus. V. 10. Scribe-

κρεάδι᾽ ὀπτᾷ καὶ κίχλας τραγήματα.
ἔπειθ᾽ ὁ δειπνῶν μὲν τραγηματίζεται,
c μυρισάμενος δὲ καὶ στεφανωσάμενος πάλιν
δειπνεῖ * * τὰ μελίπηκτα ταῖς κίχλαις.

ὅτι δὲ ἐκεχώριστο τὰ τῆς ὑπουργίας πεμμάτων μὲν προνοουσῶν τῶν δημιουργῶν, ὀψαρτυτικῆς δὲ τῶν μαγείρων, Ἀντιφάνης διεσάφησεν ἐν Χρυσίδι οὕτως

Τέτταρες δ᾽ αὐλητρίδες.
ἔχουσι μισθὸν καὶ μάγειροι δώδεκα
καὶ δημιουργοί, μέλιτος αἰτοῦσαι σκάφας.

Μένανδρος Δημιουργῷ

Τί τοῦτο, παῖ; διακονικῶς γὰρ νὴ Δία
d προελήλυθας. Β. ναί· πλάττομεν γὰρ πλάσματα,
τὴν νύκτα τ᾽ ἠγρυπνήκαμεν· καὶ νῦν ἔτι
ἀποίητα πάμπολλ᾽ ἐστὶν ἡμῖν.

πεμμάτων δὲ πρῶτόν φησι μνημονεῦσαι Πανύασιν Σέλευκος ἐν οἷς περὶ τῆς παρ᾽ Αἰγυπτίοις ἀνθρωποθυσίας διηγεῖται, πολλὰ μὲν ἐπιθεῖναι λέγων πέμματα, πολλὰς δὲ νοσσάδας ὄρνεις, προτέρου Στησιχόρου ἢ Ἰβύκου ἐν Ἄθλοις ἐπιγραφομένοις εἰρηκότος

Φέρεσθε τῇ παρθένῳ δῶρα
e σασαμίδας χόνδρον τε καὶ ἐγκρίδας,
ἄλλα τε πέμματα καὶ μέλι χλωρόν.

ὅτι δὲ τὸ ποίημα τοῦτο Στησιχόρου ἐστὶν ἱκανώτατος μάρτυς Σιμωνίδης ὁ ποιητής, ὅς περὶ τοῦ Μελεάγρου τὸν λόγον ποιούμενός φησιν

Ὃς δουρὶ πάντας νίκασε νέους,

---

batur ἐψεῖ. V. 13. ὀπτᾷ VL. ὀπτὰ DPQ. τραγήματα Schweigh. Libri καὶ τραγήματα.

172 c. V. 16. Indicavi lacunam. τὰ τῆς] τὰ om. BP. ὀψαρτυκῆς τε τῶν B. διεσάφησεν] διεσάφισεν B. χρυσίδι P. Scribebatur Χρύσιδι. Μένανδρος] P. 45.

172 d. Πανύασιν] πανύασσιν B. ὄρνεις] ὄρνις C et Eustathius p. 228, 46. φέρεσθε] φέρεσθαι B. δῶρα σησαμίδας Casaubonus. δορὰς ἀσαμίδας A. δώρας (δωρὰς PV) ἀσαμίδας BPV. δῶρ᾽ ἀσαμίδας L.

172 e. χόνδρον — χλωρὸν attulit XIV. p. 645 c. Simonidis versus om. C. V. 1. ὃς L. ὥς PV. νίκασε νέους L.

δινάεντα βαλὼν Ἄναυρον ὕπερ πολυβότρυος ἐξ Ἰωλκοῦ.
οὕτω γὰρ Ὅμηρος ἠδὲ Στασίχορος ἄεισε λαοῖς.

f ὁ γὰρ Στησίχορος οὕτως εἴρηκεν ἐν τῷ προκειμένῳ ᾄσματι τοῖς Ἄθλοις

Θρώσκων μὲν γὰρ Ἀμφιάραος,
ἄκοντι δὲ νίκασεν Μελέαγρος.

73. Οὐκ ἀγνοῶ δὲ καὶ περὶ Δηλίων ἃ Ἀπολλόδωρος ὁ Ἀθηναῖος εἴρηκεν, ὅτι μαγείρων καὶ τραπεζοποιῶν παρείχοντο χρείας τοῖς παραγινομένοις πρὸς τὰς ἱερουργίας, καὶ ὅτι ἦν αὐτοῖς ἀπὸ τῶν πράξεων ὀνόματα Μαγίδες
173 καὶ Γογγύλοι, ἐπειδὴ τὰς μάζας, φησὶν Ἀριστοφάνης, ἐν ταῖς θοίναις δι᾽ ἡμέρας τρίβοντες παρεῖχον ὥσπερ γυναιξὶ γογγύλας μεμαγμένας. καλοῦνται δὲ καὶ μέχρι νῦν τινες αὐτῶν Χοίρακοι καὶ Ἀμνοὶ καὶ Ἀρτυσίλεῳ καὶ Σήσαμοι καὶ Ἀρτυσίτραγοι καὶ Νεωκόροι καὶ Ἰχθυβόλοι, τῶν δὲ γυναικῶν Κυμινάνθαι, κοινῇ δὲ πάντες Ἐλεοδύται, διὰ τὸ τοῖς ἐλεοῖς ὑποδύεσθαι διακονοῦντες ἐν ταῖς θοίναις. ἐλεὸς δ᾽ ἐστὶν ἡ μαγειρικὴ τράπεζα. Ὅμηρος

Αὐτὰρ ἐπεί ῥ᾽ ὤπτησε καὶ εἰν ἐλεοῖσιν ἔθηκεν.

b ὅθεν καὶ Πολυκράτων ὁ Κρίθωνος Ῥηναιεὺς δίκην γραφόμενος οὐ Δηλίους αὐτοὺς ὀνομάζει, ἀλλὰ τὸ κοινὸν τῶν Ἐλεοδυτῶν ἐπῃτιάσατο. καὶ ὁ τῶν Ἀμφικτυόνων δὲ νόμος

---

νικᾶς ἐνεοὺς APV. νικῶν ἐνέους B. V. 2. διννήεντα B. V. 3. ἠδὲ Στασίχορος] ὡς δὲ στησίχορος B. ἠδὲ στησίχορος P.

172 f. ᾄσματι om. P. νίκασεν Μελέαγρος L. νικᾶς ἐμμελέαγρος BPV. ἀγνοῶ] ἀγνοῶν BP. Μαγίδες Villebrunius. μάγιδες PVL. μάγασις C et epitome Hoeschelii. Γογγύλοι Villebrunius. Libri γογγύλος.

173 a. ἐπεὶ τὰς μάζας φησὶν ἀριστοτέλης ἐν ταῖς θ. δι᾽ ἡ. τρ. παρεῖχον γογγύλας C et epitome Hoeschelii. Ἀριστοφάνης Schweigh. Libri ἀριστοτέλης. Pacis v. 27.

ἣν μὴ παραθῶ τρίψας δι᾽ ἡμέρας ὅλης
ὥσπερ γυναικὶ γογγύλην μεμαγμένην.

Libri ὥσπερ ἐν γυναιξὶ γογγύλας μεμιγμένας. Correctum ex Aristophane. ἀρτυσίλεω BC et epitome Hoeschelii. ἀρτυσίλαοι εω A. ἀρτυσίλαοι εω P. ἀρτυσίλαοι VL. Ὅμηρος] Il. ι, 215.

173 b. ὁ Ῥηναιεὺς vir doctus in Miscell. observat. Amstelod. vol. VII. p. 109. ῥηναίους PL. ἠρηναίους V. Hunc locum om. C.

κελεύει ὕδωρ παρέχειν ἐλεοῦντας, τοὺς τραπεζοποιοὺς καὶ τοὺς τοιούτους διακόνους σημαίνων. Κρίτων δ' ὁ κωμῳδιοποιὸς ἐν Φιλοπράγμονι παρασίτους τοῦ θεοῦ καλεῖ τοὺς Δηλίους διὰ τούτων

Φοίνικα, μεγάλου κύριον βαλλαντίου,
ναύκληρον ἐν τῷ λιμένι ποιήσας ἄπλουν,
c κἀφ' ὅρμον ὦσαι ναῦς ἀναγκάσας δύο,
εἰς Δῆλον ἐλθεῖν ἠθέλησ' ἐκ Πειραιῶς,
πάντων ἀκούων διότι παρασίτῳ τόπος
οὗτος τρία μόνος ἀγαθὰ κεκτῆσθαι δοκεῖ,
εὔοψον ἀγοράν, παντοδαπὸν οἰκοῦντ' ὄχλον,
αὐτοὺς παρασίτους τοῦ θεοῦ τοὺς Δηλίους.

74. Ἀχαιὸς δ' ὁ Ἐρετριεὺς ἐν Ἀλκμαίωνι τῷ σατυρικῷ καρυκοποιοὺς καλεῖ τοὺς Δελφοὺς διὰ τούτων

d Καρυκοποιοὺς προσβλέπων βδελύττομαι.

παρόσον τὰ ἱερεῖα περιτέμνοντες δῆλον ὡς ἐμαγείρευον αὐτὰ καὶ ἐκαρύκευον. εἰς ταῦτα δὲ ἀποβλέπων καὶ Ἀριστοφάνης ἔφη

Ἀλλ' ὦ Δελφῶν πλείστας ἀκονῶν
Φοῖβε μαχαίρας,
καὶ προδιδάσκων τοὺς σοὺς προπόλους.

κἀν τοῖς ἑξῆς δ' ὁ Ἀχαιός φησιν

Τίς ὑποκεκρυμμένος μένει,
σαραβάκων κοπίδων συνομώνυμε;

---

παρέχειν] παρέχων B. κωμῳδιοποιὸς Schweigh. editio. κωμῳδοποιὸς PVL. Φιλοπαίγμονι L errore ab Casaubono in annotatione correcto. Libri omnes φιλοκρύγμωνι. Critonis verses om. C. V. 1. βαλλαντίου] βάλλοντι οὐ BP.

173 c. V. 3. κἀφ' ὅρμον ὦσαι Erfordtius p. 453. καὶ φορμιῶσαι PVL. „*Je lis ephormiosai, et ephormioo, avec le manuscrit Q.*“ Villebrunius. V. 4. ἠθέλησ' AB. ἠθέλησεν PVL. V. 6. μόνος Casaubonus. Libri μόνον. V. 7. παντοδαπῶν. οὐκοῦντ' B. παντοδαπὰν οὔκουν τ' ὄχλουν P. καρυκοποιοὺς L bis. καρυκκοποιοὺς BCPV bis.

173 d. Eadem varietas in ἐκαρύκευον. Aristophanis versus attulit Eustathius p. 1560, 16. πλείστας om. P. προπόλους] προσπόλους BP. Τίς — μένει] τί — μένεις Toupius Emend. vol. II. p. 476.

e ἐπισκώπτουσι γὰρ οἱ Σάτυροι τοὺς Δελφοὺς ὡς περὶ τὰς θυσίας καὶ τὰς θοίνας διατρίβοντας. Σῆμος δ' ἐν τετάρτῳ Δηλιάδος „Δελφοῖς (φησὶ) παραγινομένοις εἰς Δῆλον παρεῖχον Δήλιοι ἅλας καὶ ὄξος καὶ ἔλαιον καὶ ξύλα καὶ στρώματα.“ Ἀριστοτέλης δ' ἢ Θεόφραστος ἐν τοῖς ὑπομνήμασι περὶ Μαγνήτων λέγων τῶν ἐπὶ τοῦ Μαιάνδρου ποταμοῦ ὅτι Δελφῶν εἰσιν ἄποικοι, τοσαύτας ἐπιτελοῦντας αὐτοὺς ποιεῖ χρείας τοῖς παραγιγνομένοις τῶν ξένων λέγων
f οὕτως „Μάγνητες οἱ ἐπὶ τῷ Μαιάνδρῳ ποταμῷ κατοικοῦντες ἱεροὶ τοῦ θεοῦ, Δελφῶν ἄποικοι, παρέχουσι τοῖς ἐπιδημοῦσι στέγην, ἅλας, ἔλαιον, ὄξος, ἐπίλυχνον, κλίνας, στρώματα, τραπέζας.“ Δημήτριος δ' ὁ Σκήψιος ἐν ἑκκαιδεκάτῳ Τρωικοῦ διακόσμου ἐν τῇ Λακωνικῇ φησιν ἐπὶ τῆς ὁδοῦ τῆς καλουμένης Ὑακινθίδος ἱδρῦσθαι ἥρωας Δαίτωνα καὶ Κεράωνα ὑπὸ τῶν ἐν τοῖς φειδιτίοις ποιούν-
4 των τε τὰς μάζας καὶ κεραννύντων τὸν οἶνον διακόνων. ὁ δ' αὐτὸς ἱστορεῖ κἀν τῷ τετάρτῳ καὶ εἰκοστῷ τῆς αὐτῆς πραγματείας Δαίτην ἥρωα τιμώμενον παρὰ τοῖς Τρωσίν, οὗ μνημονεύειν Μίμνερμον. κἀν Κύπρῳ δέ φησι τιμᾶσθαι Ἡγήσανδρος ὁ Δελφὸς Δία εἰλαπιναστήν τε καὶ σπλαγχνοτόμον.

75. Πολλῶν δὲ τοιούτων ἔτι λεγομένων ἐκ τῶν γειτόνων τις ἐξηκούσθη ὑδραύλεως ἦχος πάνυ τις ἡδὺς καὶ τερπνός, ὡς πάντας ἡμᾶς ἐπιστραφῆναι θελχθέντας ὑπὸ τῆς ἐμμελείας. καὶ ὁ Οὐλπιανὸς ἀποβλέψας πρὸς τὸν μουσικὸν Ἀλκείδην, Ἀκούεις, ἔφη, μουσικώτατε ἀνδρῶν, τῆς

---

173 e. σάτυροι ABP. σατύρειοι VL. C totum locum omisit. Σῆμος] σίμος B. ἀριστοφάνης δέ φησι περὶ μαγνήτων C. ποιεῖν χρείας τοῖς παραγινομένοις B.

173 f. τρωικοῦ AB. τοῦ τρωικοῦ PVL. ἐπὶ τοῖς ὁδοῦ B. Δαίτωνα καὶ Κεράωνα] Eustathius p. 1413, 21. Δαίτωνα] Ματτῶνα II. p. 39 c.

174 a. δαίτην BC et Eustathius p. 1413, 21. δαῖταν PVL. μνημονεύει ABP. Μίμνερμον] μιμνέομεν B. μίμνερμος P. κἀν] καὶ B. δία BC et Eustathius. δι' V. δι' L. εἰλαπιναστήν L, libri scripti et Eustathius. ἐλαπιναστὴν V. τιμᾶσθαι δειλαπίνας τήν τε καὶ P. σπλαχνοτόμον P. ἔτι add. A. om. PVL. πάνυ τις] πάνυ τι Schweigh.

καλῆς ταύτης εὐφωνίας, ἥτις ἡμᾶς ἐπέστρεψε πάντας καταχηληθέντας ὑπὸ τῆς μουσικῆς; καὶ οὐχ ὡς παρ᾽ ὑμῖν τοῖς Ἀλεξανδρεῦσι πολὺς ὁ μόναυλος ἀλγηδόνα μᾶλλον τοῖς ἀκούουσι παρέχων ἤ τινα τέρψιν μουσικήν. καὶ ὁ Ἀλκείδης ἔφη, Ἀλλὰ μὴν καὶ τὸ ὄργανον τοῦτο, ἡ ὕδραυλις, εἴτε τῶν ἐντατῶν αὐτὸ θέλεις εἴτε τῶν ἐμπνευστῶν, Ἀλεξανδρέως ἐστὶν ἡμεδαποῦ εὕρημα, κουρέως τὴν τέχνην·
c Κτησίβιος δ᾽ αὐτῷ τοὔνομα. ἱστορεῖ δὲ τοῦτο Ἀριστοκλῆς ἐν τῷ περὶ χορῶν οὑτωσί πως λέγων „Ζητεῖται πότερα τῶν ἐμπνευστῶν ἐστιν ὀργάνων ἡ ὕδραυλις ἢ τῶν ἐντατῶν. Ἀριστόξενος μὲν οὖν τοῦτο οὐκ οἶδε. λέγεται δὲ Πλάτωνα μικράν τινα ἔννοιαν δοῦναι τοῦ κατασκευάσματος νυκτερινὸν ποιήσαντα ὡρολόγιον ἐοικὸς τῷ ὑδραυλικῷ, οἷον κλεψύδραν μεγάλην λίαν. καὶ τὸ ὑδραυλικὸν δὲ ὄργανον δοκεῖ κατὰ κλεψύδραν εἶναι. ἐντατὸν οὖν καὶ καθαπτὸν οὐκ
d ἂν νομισθείη, ἐμπνευστὸν δ᾽ ἂν ἴσως ῥηθείη διὰ τὸ ἐμπνεῖσθαι τὸ ὄργανον ὑπὸ τοῦ ὕδατος. κατεστραμμένοι γάρ εἰσιν οἱ αὐλοὶ εἰς τὸ ὕδωρ, καὶ ἀρασσομένου τοῦ ὕδατος ὑπό τινος νεανίσκου, ἔτι δὲ διικνουμένων ἀξινῶν διὰ τοῦ ὀργάνου, ἐμπνέονται οἱ αὐλοὶ καὶ ἦχον ἀποτελοῦσι προσηνῆ. ἔοικε δὲ τὸ ὄργανον βωμῷ στρογγύλῳ. καί φασι τοῦτο εὑρῆσθαι ὑπὸ Κτησιβίου κουρέως, ἐνταῦθα οἰκοῦντος ἐν τῇ Ἀσπενδίᾳ ἐπὶ τοῦ δευτέρου Εὐεργέτου, διαπρέ-
e ψαι τέ φασι μεγάλως. τουτονὶ οὖν καὶ τὴν αὐτοῦ διδάξαι γυναῖκα Θαΐδα.“ Τρύφων δ᾽ ἐν τρίτῳ περὶ ὀνομασιῶν,

---

174 b. ὕδραυλλς B. εὕρημα] εὕρεμα C. ἕρειμα B.

174 c. ζητεῖται] ζητεῖτε BP. δοκεῖ κατὰ κλεψύδραν Casaubonus auctore Eustathio p. 1157, 46. (ὕδραυλις, ἣν ὁ ἑρμηνεύων Ἀθήναιος ἐμπνευστὴν λέγει, φάμενος καὶ ὅτι τὸ ὑδραυλικὸν ὄργανον κατὰ κλεψύδραν ἐστίν.) δοκεῖ κλεψύδραν B. δοκεῖ κλεψύδρα ACP et epitome Hoeschelii. δοκεῖ κλεψύδρας VL. „Membranae κλέψυδρας.“ Casaubonus aperto calami lapsu: videtur κλεψύδραν voluisse. ἐμπνευστὸν δ᾽ (δὲ B) ABC. δ᾽ om. PVL.

174 d. ἀξινῶν ABCPV. ἀξόνων L. Vide annotationem. εὑρῶν δὲ ταύτην κτησίβιος ἐπὶ τοῦ δευτέρου εὐεργέτου διέπρεψέ τε μεγάλως καὶ τὴν αὐτοῦ γυναῖκα θαΐδα ἐδίδαξεν C. Ἀσπενδίᾳ] Ἀλεξανδρείᾳ Casaubonus. διαπρέψαι] διαπρέψας B.

174 e. αὐτοῦ AP. αὑτοῦ VL.

ἔστι δὲ τὸ σύγγραμμα περὶ αὐλῶν καὶ ὀργάνων, συγγράψαι φησὶ περὶ τῆς ὑδραύλεως Κτησίβιον τὸν μηχανικόν. ἐγὼ δὲ οὐκ οἶδα εἰ περὶ τὸ ὄνομα σφάλλεται. ὁ μέντοι Ἀριστόξενος προκρίνει τὰ ἐντατὰ καὶ καθαπτὰ τῶν ὀργάνων τῶν ἐμπνευστῶν, ῥᾴδια εἶναι φάσκων τὰ ἐμπνευστά· πολλοὺς γὰρ μὴ διδαχθέντας αὐλεῖν τε καὶ συρίζειν, ὥσπερ τοὺς ποιμένας.

76. Καὶ τοσαῦτα μὲν ἔχω σοι ἐγὼ λέγειν περὶ τοῦ
f ὑδραυλικοῦ ὀργάνου, Οὐλπιανέ. γιγγραΐνοισι γὰρ οἱ Φοίνικες, ὥς φησιν ὁ Ξενοφῶν, ἐχρῶντο αὐλοῖς σπιθαμιαίοις τὸ μέγεθος, ὀξὺ καὶ γοερὸν φθεγγομένοις. τούτοις δὲ καὶ οἱ Κᾶρες χρῶνται ἐν τοῖς θρήνοις, εἰ μὴ ἄρα καὶ ἡ Καρία Φοινίκη ἐκαλεῖτο, ὡς παρὰ Κορίννῃ καὶ Βακχυλίδῃ ἔστιν εὑρεῖν. ὀνομάζονται δὲ οἱ αὐλοὶ γίγγροι ὑπὸ τῶν Φοινίκων ἀπὸ τῶν περὶ Ἄδωνιν θρήνων· τὸν γὰρ Ἄδωνιν Γίγγρην καλεῖτε ὑμεῖς οἱ Φοίνικες, ὡς ἱστορεῖ Δημοκλείδης.
75 μνημονεύει τῶν γίγγρων αὐλῶν Ἀντιφάνης ἐν Ἰατρῷ καὶ Μένανδρος ἐν Καρίνῃ, Ἄμφις τ᾽ ἐν Διθυράμβῳ λέγων οὕτως·

Ἐγὼ δὲ τὸν γίγγραντα τὸν σοφώτατον.
B. τίς δ᾽ ἔσθ᾽ ὁ γίγγρας; A. καινὸν ἐξεύρημά τι
ἡμέτερον, ὃ θεάτρῳ μὲν οὐδεπώποτε
δέδειχτ᾽, Ἀθήνησιν δὲ κατακεχρημένον
ἐν συμποσίοις ἤδη ᾽στί. B. διὰ τί δ᾽ οὐκ ἄγεις
εἰς τὸν ὄχλον αὐτό; A. διότι φυλὴν περιμένω

---

ἐγὼ δὲ — σφάλλεται om. C. εἰ περὶ AB et Casauboniani. εἴπερ PVL. ῥᾴδια] ῥᾷω C.

174 f. γιγγραίνοις CP. γιγγραίνοισι VL. γιγγραίνουσι margo Q. Ξενοφῶν] Repetiit hoc Eustathius p. 1157, 40. γιγγραίνους αὐλοὺς σπιθαμιαίους memorans. Quae quum in Xenophontis scriptis non reperiantur, aut librariorum aut ipsius Athenaei error subesse videtur. γίγγρην ABPV. γίγγρην Bas. L. γίγγριν C et Eustathius p. 1157, 42.

175 a. αὐλῶν AB. αὐτῶν PVL. Comicorum de γίγγραις testimonia om. C. Μένανδρος] P. 91. V. 1. γίγγραντα B. γίγγραν τε PVL. V. 3. οὐδεπώποτ᾽ VL. V. 4. ἐδείχθη ABP. ἐδείχθη γ᾽ VL. Correxi δέδειχτ᾽. V. 5. ἤδη ᾽στί] Legebatur ἥδιστον. V. 6. αὐτό] αὐτὸν B.

Β. ποῖον μόναυλον; Α. τὸν καλάμινον.

Σώπατρος Βακχίδι

Καὶ τὸ μόναυλον μέλος ἤχησεν.

Πρωταγορίδης δ' ὁ Κυζικηνὸς ἐν δευτέρῳ περὶ τῶν ἐπὶ Δάφνῃ πανηγύρεών φησι „Παντὸς δ' ὀργάνου καταμίτου
b ἦπται, κροτάλων, ὑπὸ φανοῦ, πανδούρου, τῷ τε ἡδεῖ μοναύλῳ τὰς ἡδίστας ἁρμονίας ἀναμινυρίζει." Ποσειδώνιος δ' ὁ ἀπὸ τῆς στοᾶς φιλόσοφος ἐν τῇ τρίτῃ τῶν ἱστοριῶν διηγούμενος περὶ τοῦ Ἀπαμέων πρὸς Λαρισσαίους πολέμου γράφει τάδε „Παραζωνίδια καὶ λογχάρι' ἀνειληφότες ἰῷ καὶ ῥύπῳ κεκρυμμένα, πετάσια δ' ἐπιτεθειμένοι καὶ προσκόπια, σκιὰν μὲν ποιοῦντα, καταπνεῖσθαι δ' οὐ κωλύοντα τοὺς τραχήλους, ὄνους ἐφελκόμενοι γέμοντας οἴνου καὶ
c βρωμάτων παντοδαπῶν, οἷς παρέκειτο φωτίγγια καὶ μοναύλια, κώμων, οὐ πολέμων ὄργανα." οὐκ ἀγνοῶ δὲ ὅτι Ἀμερίας ὁ Μακεδὼν ἐν ταῖς Γλώσσαις τιτύρινόν φησι καλεῖσθαι τὸν μόναυλον. ἴδε ἀπέχεις, καλὲ Οὐλπιανέ, καὶ τὸν τῆς φώτιγγος μνημονεύοντα. ὅτι δὲ ὁ μόναυλος ἦν ὁ νῦν καλούμενος καλαμαύλης σαφῶς παρίστησιν Ἡδύλος ἐν τοῖς ἐπιγράμμασιν οὑτωσὶ λέγων

Τοῦτο Θέων ὁ μόναυλος ὑπ' ἠρίον ὁ γλυκὺς οἰκεῖ
αὐλητής, μίμων κὴν θυμέλῃσι χάρις.

---

μόναυλον Porsonus. κάλαμον] καλάμινον? Βακχίδι] βακχίδῃ B. καὶ τὸ μόναυλον μέλος ἤχησεν Porsonus. Legebatur καὶ τὸν μόναυλον μέλος ἤχησε.

176 b. καταμίτου Schweigh. κατάμιτον VL. καταμιτον P. κατα μι τον B. ἦπται] ηπται B. ὑποφανου] Vide annotationem. πανδούρου AP. πανδόρου VL. Vid. 183 f. ἡδεῖ] εἴδει P. ἡδίστας] ἡδύστας B. ποσειδώνιος δ' ὁ στωϊκὸς φιλόσοφος φωτίγγια φησὶ καὶ μοναύλια, κώμων οὐ πολέμων ὄργανα C: quae omisso Posidonii nomine apposuit Eustathius p. 1157, 44. Λαρισσαίους] λαρισαίους P. λογχάρι' PVL. λογχάρια Schweigh. editio. πετάσια Villebrunius. Libri πεταστά. ἐπιτεθειμένοι] ἐπιτεθειμένα BP. προσκόπια ABPV. προσώπια Bedrotus in Basil. et L.

176 c. φωτίγγια] φωτάγγια B. οὐκ ἀγνοῶ — καλεῖσθαι τὸν μόναυλον post μνημονεύοντα transponit Schweigh. Hedyli epigramma om. C. Receptum in Anthol. Palat. vol. II. p. 706. V. 1. τοῦτο add. VL. om. ABP. ὑπ' ἠρίον ὁ VL. ὑπηριονον ὁ A. ὑπήριον ἂν ὁ B. ὑπηρίονον ὁ P. V. 2. μίμων κὴν Toupius Emend. vol. II. p. 434. μίμωκην V. μίμῳ κὴν L. μιμωμένην ABP. θυμέλῃσιν B.

d τυφλὸς ὑπαὶ γήρως οἴχωκε, Σκιρπάλου υἱός,
νήπιον ὄντ' ἐκάλει Σκίρπαλος Εὐπάλαμον,
ἀείδειν αὐτοῦ τὰ γενέθλια· τοῦτο γὰρ εἶχεν,
πᾶν μαρπᾶν ἥδυσμα σημανέων.
ηὔλει δὲ Γλαύκης μεμεθυσμένα παίγνια Μουσέων
καὶ τὸν ἐν ἀκρήτοις Βάτταλον ἡδυπότην,
ἢ καὶ Κώταλον, ἢ καὶ Πάκαλον. ἀλλὰ Θέωνα
τὸν καλαμαυλήτην εἴπατε, χαῖρε Θέων.

ὥσπερ οὖν τοὺς τῷ καλάμῳ αὐλοῦντας καλαμαύλας λέγουσι
e νῦν, οὕτω καὶ ῥαπαύλας, ὥς φησιν Ἀμερίας ὁ Μακεδὼν
ἐν ταῖς Γλώσσαις, τοὺς τῇ καλάμῃ αὐλοῦντας.

79. Γιγνώσκειν δὲ βούλομαί σε, ἀνδρῶν λῷστε Οὐλπιανέ, ὅτι Ἀλεξανδρέων μουσικώτεροι ἄλλοι γενέσθαι οὐχ ἱστόρηνται. καὶ οὐ λέγω περὶ κιθαρῳδίαν μόνην, ἧς καὶ ὁ εὐτελέστατος παρ' ἡμῖν ἰδιώτης προσέτι δὲ καὶ ἀναλφάβητος οὕτως ἐστὶ συνήθης ὡς τάχιστα ἐλέγχειν τὰ παρὰ τὰς κρούσεις ἁμαρτήματα γινόμενα· ἀλλὰ καὶ περὶ αὐ-
f λούς εἰσι μουσικώτατοι, οὐ μόνον τοὺς παρθενίους καλουμένους καὶ παιδικούς, ἀλλὰ καὶ τοὺς ἀνδρείους, οἵτινες

---

176 d. V. 3. οἴχωκε sive ᾤχωκε Σκιρπάλου υἱὸς Iacobsius. Libri εἶχε καὶ σκίρπαλον υἱόν. V. 4. νήπιον ὄν γ' ἐκάλει Iacobsius. νηπιόν τ' ἐκάλει VL. νηπίοντε (νηπίον τε P) καλεῖ AP. νηπίαχόν τ' ἐκάλει Casaubonus. Σκίρπαλος Εὐπάλαμον Casaubonus et Iacobsius. σκίρπαλον εὐπαλάμου PVL. V. 5. ἀείδειν PVL. ἀείδων Casaubonus. κυδαίνων Iacobsius. εἶχεν A. εἶχε PVL. εἶπε Casaubonus, qui in initio sequentis versus τοὔνομα addebat. V. 6. πᾶν μαρπᾶν] τὰν καλαμᾶν ἀρετὰν Iacobsius. ἥδυσμα ABP. ἥδυμα VL. αἴσιμα Schweigh. et Iacobsius. V. 7. δὲ Casaubonus. δὴ PVL. V. 8. καὶ τὸν B et H. Stephanus. νὴ τὸν PVL. ἢ τὸν Toupius. ἀκρήτοις VL. ἄκρης τοις A. ἄκρης τοῖς B. ἄκροις τῆς P. ἀκρίβοις Toupius. Βάτταλον] βάταλον BP. ἡδυπότην PVL. ἡδυπότην A. V. 9. Κώταλον, ἢ] κωτάλόνη B. πάκαλον ABV. Πάγκαλον L. κάταλον P.

176 e. ἦν δὲ ὁ μόναυλος ὁ νῦν καλούμενος καλαμαύλης, ὁ καὶ ῥαπαύλης (ῥαπταύλης Eustathius p. 1157, 39.) C. οὕτω P. οὕτως VL. ῥαπαύλας VL. ῥαππαύλας ABCP. ῥαπαταύλας Casaubonus. Γλώσσαις] γλώτταις B, qui γλώσσαις p. 267 c. ubi ceteri γλώτταις. Γιγνώσκειν] γινώσκειν BP. εὐτελέστατος] ἐντελέστατος B. προσέτι δὲ B. προσέτι τε VL. προσέτι δὲ καὶ etiam III. p. 90 d. restituendum videtur. τὰ παρὰ τὰς ABCPV. τὰ περὶ τὰς Basil. L.

καὶ τὰ τρίγωνα καὶ τὰς σαμβύκας ἀρχαῖα εἶναι. ἐν γοῦν Μυτιλήνῃ μίαν τῶν Μουσῶν πεποιῆσθαι ὑπὸ Λεσβοθέμιδος, ἔχουσαν σαμβύκην.“ Ἀριστόξενος δ᾽ ἔκφυλα ὄργανα καλεῖ φοίνικας καὶ πηκτίδας καὶ μαγάδιδας σαμβύκας τε καὶ τρίγωνα καὶ κλεψιάμβους καὶ σκινδαψοὺς καὶ τὸ ἐννεάχορδον καλούμενον. Πλάτων δ᾽ ἐν τρίτῳ Πολιτείας φησὶν „Οὐκ ἄρα, ἦν δ᾽ ἐγώ, πολυχορδίας γε οὐδὲ παναρμονίου ἡμῖν δεήσει ἐν ταῖς ᾠδαῖς τε καὶ μέλεσιν. Οὔ μοι,
183 ἔφη, φαίνεται. Τριγώνων ἄρα καὶ πηκτίδων καὶ πάντων ὀργάνων ὅσα πολύχορδα καὶ παναρμόνια.“

81. Ἔστι δ᾽ ὁ σκινδαψὸς τετράχορδον ὄργανον, ὡς ὁ παρῳδός φησι Μάτρων ἐν τούτοις

Οὐδ᾽ ὑπὸ πασσαλόφιν κρέμασαν, ὅθι περ τετάνυστο
σκινδαψὸς τετράχορδος ἀνηλακάτοιο γυναικός.

μνημονεύει δ᾽ αὐτοῦ καὶ Θεόπομπος ὁ Κολοφώνιος ἐποποιὸς ἐν τῷ ἐπιγραφομένῳ Ἁρματίῳ·

b Σκινδαψὸν λυρόεντα μέγαν χείρεσσι τινάσσων,
ὀξύϊνον, προμάλοιο τετυγμένον αἰζήεντος.

καὶ Ἀναξίλας ἐν Λυροποιῷ·

Ἐγὼ δὲ βαρβίτους τριχόρδους, πηκτίδας,
κιθάρας, λύρας, σκινδαψὸν ἐξηρτυόμαν.

Σώπατρος δ᾽ ὁ παρῳδὸς ἐν τῷ ἐπιγραφομένῳ Μύσται δίχορδον εἶναί φησι τὴν πηκτίδα λέγων οὕτως

Πηκτὶς δὲ Μούσῃ γαυριῶσα βαρβάρῳ
c δίχορδος εἰς τὴν χεῖρά πως κατεστάθη.

τῶν δὲ παριαμβίδων Ἐπίχαρμος ἐν Περιάλλῳ μνημονεύει οὕτως·

---

p. 636 c. φοίνικας Casaubonus. φοινικικὰς PVL. φοινικᾶς C. Eustathius p. 1558, 6. οἷον φοίνικες, πηκτίδες, μαγαδίδες, σαμβῦκαι, καὶ ἑξῆς παρὰ τῷ Ἀθηναίῳ· ἐν οἷς καὶ σκινδαψοί. μαγάδιδας] Scribebatur μαγαδίδας. κλεψιάμβους Casaubonus. κλεψιάγγους PVL. κλεψιάγους C. κλεψιάνους epitome Hoeschelii. τρίτῳ Πολιτείας] P. 399 c. παναρμονίου] παναρμονίους BP.

183 a. παναρμόνια] πολυαρμόνια Plato. V. 1. ὅθι] ὅ,τι P. μνημονεύει δ᾽ B. Aberat δ᾽. Ἁρματίῳ] „In membranis dicitur Αἰμάτιον et Αἱμάτια.“ Casaubonus.

183 b. λύρας, σκινδαψὸν] Legebatur λύρας, σκινδαψοὺς. ἐξηρτυόμαν] Dorismus fortasse librario debetur. Μούσῃ] μοίσης AB.

183 c. πως Schweigh. πῶς PVL. περιάλλῳ A. περιάλῳ PVL.

Σεμέλα δὲ χορεύει·
καὶ ὑπαλίσφιν σοφὸς κιθάρᾳ παριαμβίδας· ἃ δὲ γεγάθει
πυκινῶν κρεγμῶν ἀκροαζομένα.

τὸ δὲ ψαλτήριον, ὥς φησιν Ἰόβας, Ἀλέξανδρος ὁ Κυθήριος συνεπλήρωσε χορδαῖς, καὶ ἐγγηράσας τῇ Ἐφεσίων πόλει ὡς σοφώτατον τῆς ἑαυτοῦ τέχνης τουτὶ τὸ εὕρημα ἀνέθηκεν ἐν Ἀρτέμιδος. μνημονεύει δ' ὁ Ἰόβας καὶ τοῦ λυροφοίνικος καὶ τοῦ ἐπιγονείου, ὃ νῦν εἰς ψαλτήριον
d ὄρθιον μετασχηματισθὲν διασώζει τὴν τοῦ χρησαμένου προσηγορίαν. ἦν δ' ὁ Ἐπίγονος φύσει μὲν Ἀμβρακιώτης, δημοποίητος δὲ Σικυώνιος, μουσικώτατος δ' ὢν κατὰ χεῖρα δίχα πλήκτρου ἔψαλλε. πάντων οὖν τούτων τῶν προειρημένων ὀργάνων καὶ αὐλῶν ἐμπείρως ἔχουσι καὶ τεχνικῶς Ἀλεξανδρεῖς, καὶ ἐν οἷς ἄν μου θέλῃς ἀποπειραθῆναι, ἐπιδείξομαί σοι ἐγὼ αὐτός, πολλῶν ἄλλων μουσικωτέρων μου ἐν τῇ πατρίδι ὑπαρχόντων.

e 82. Ἀλέξανδρος δ' ὁ πολίτης μου, οὗτος δ' οὐ πρὸ πολλοῦ τετελεύτηκε, δημοσίᾳ ἐπιδειξάμενος ἐν τῷ τριγώνῳ ἐπικαλουμένῳ ὀργάνῳ οὕτως ἐποίησε πάντας Ῥωμαίους μουσομανεῖν ὡς τοὺς πολλοὺς καὶ ἀπομνημονεύειν αὐτοῦ τὰ κρούσματα. μνημονεύει δὲ τοῦ τριγώνου τούτου καὶ Σοφοκλῆς ἐν μὲν Μυσοῖς οὕτως

Πολὺς δὲ Φρὺξ τρίγωνος ἀντίσπαστά τε
Λυδῆς ἐφυμνεῖ πηκτίδος συγχορδία.

καὶ ἐν Θαμύρᾳ. Ἀριστοφάνης δ' ἐν Δαιταλεῦσι καὶ Θεό-
f πομπος ἐν Πηνελόπῃ. Εὔπολις δ' ἐν Βάπταις φησὶν

Ὃς καλῶς μὲν τυμπανίζει
καὶ διαψάλλει τριγώνοις.

---

V. 2. ὑπαλίσφιν] ὑπᾴδει σφιν Grotefendus. ὑπαυλεῖ σφιν Schweigh. ὑπαυλοῦσί σφιν Villebrunius. ἐν κιθάρᾳ Schweigh. γεγάθει Schweigh. Scribebatur γεγαθεῖ. γεγήθη B. γεγάθη P. ἐπιγονείου] Scribebatur ἐπιγονίου.

183 d. καὶ ἐν οἷς AB. καὶ om. PVL.

183 e. Μυσοῖς] Fr. 4. p. 633. ἀντίσπαστα ABP et XIV. p. 635. e. αὐτίσπαστα VL. Λυδῆς] Libri λύδης. αὐδῆς 635. ἐφύμνει 635. Δαιταλεῦσι] δαιλεῦσι B.

183 f. Βάπταις] βαπταῖς AP. καλῶς μὲν] μὲν om. C.

τοῦ δὲ καλουμένου πανδούρου Εὐφορίων μέν, ὡς προείρηται, καὶ Πρωταγορίδης ἐν δευτέρῳ περὶ τῶν ἐπὶ Δάφνῃ πανηγύρεων. Πυθαγόρας δὲ ὁ γεγραφὼς περὶ τῆς ἐρυθρᾶς
184 θαλάσσης τοὺς Τρωγλοδύτας φησὶ κατασκευάζειν τὴν πανδούραν ἐκ τῆς ἐν τῇ θαλάσσῃ φυομένης δάφνης. Τυρρηνῶν δ' ἐστὶν εὕρημα κέρατά τε καὶ σάλπιγγες. Μητρόδωρος δ' ὁ Χῖος ἐν Τρωικοῖς σύριγγα μέν φησιν εὑρεῖν Μαρσύαν καὶ αὐλὸν ἐν Κελαιναῖς, τῶν πρότερον ἐνὶ καλάμῳ συριζόντων. Εὐφορίων δ' ὁ ἐποποιὸς ἐν τῷ περὶ μελοποιῶν τὴν μὲν μονοκάλαμον σύριγγα Ἑρμῆν εὑρεῖν, τινὰς δ' ἱστορεῖν Σεύθην καὶ Ῥωνάκην τοὺς Μήδους, τὴν δὲ πολυκάλαμον Σειληνόν, Μαρσύαν δὲ τὴν κηρόδετον.

83. Ταῦτα ἔχεις παρ' ἡμῶν τῶν Ἀλεξανδρέων, Οὐλ-
b πιανὲ ὀνοματοθήρα, τῶν περὶ τοὺς μοναύλους ἐσπουδακότων. οὐ γὰρ οἶδας ἱστοροῦντα Μενεκλέα τὸν Βαρκαῖον συγγραφέα, ἔτι τε Ἄνδρωνα ἐν τοῖς Χρονικοῖς τὸν Ἀλεξανδρέα ὅτι Ἀλεξανδρεῖς εἰσιν οἱ παιδεύσαντες πάντας τοὺς Ἕλληνας καὶ τοὺς βαρβάρους, ἐκλειπούσης ἤδη τῆς ἐγκυκλίου παιδείας διὰ τὰς γενομένας συνεχεῖς κινήσεις ἐν τοῖς κατὰ τοὺς Ἀλεξάνδρου διαδόχους χρόνοις. ἐγένετο οὖν ἀνανέωσις πάλιν παιδείας ἁπάσης κατὰ τὸν ἕβδομον βα-
c σιλεύσαντα Αἰγύπτου βασιλέα Πτολεμαῖον, τὸν κυρίως ὑπὸ τῶν Ἀλεξανδρέων καλούμενον Κακεργέτην. οὗτος γὰρ πολλοὺς τῶν Ἀλεξανδρέων ἀποσφάξας, οὐκ ὀλίγους δὲ καὶ φυγαδεύσας τῶν κατὰ τὸν ἀδελφὸν αὐτοῦ ἐφηβησάντων, ἐποίησε πλήρεις τάς τε νήσους καὶ πόλεις ἀνδρῶν γραμ-

---

τοῦ δὲ καλουμένου πανδούρου] τῆς πανδούρας C. προείρηται] P. 182 e. Πρωταγορίδης] πρωταγορίδας B. Vid. p. 176 a. θαλάσσης] θαλάττης B.

184 a. πανδούραν] πανδοῦραν Schweigh. ἐν τῇ θαλάσσῃ] κατὰ θάλασσαν Eustathius p. 1157, 52. Τυρρηνῶν] συρρηνῶν C. εὕρημα] εὕρεμα C. φησὶν εὑρεῖν μαρσύαν A. φησὶ μαρσίαν omisso εὑρεῖν BPV. φησὶν εὗρε μαρσύας L. σύριγγα δ' εὗρε μαρσύας epitome Hoeschelii. Εὐφορίων) P. 85. μελοποιῶν] μελοποιῶν Dalecampius. τὴν μὲν AC. μὲν om. PVL. Μήδους] Μαιδοὺς Schweigh. in indice. Σειληνόν] Scribebatur Σιληνόν.

184 b. αἰγύπτου βασιλέα B. Aberat βασιλέα.

184 c. Κακεργέτην] κακεργάτην BC.

*ματικῶν, φιλοσόφων, γεωμετρῶν, μουσικῶν, ζωγράφων, παιδοτριβῶν τε καὶ ἰατρῶν καὶ ἄλλων πολλῶν τεχνιτῶν· οἳ διὰ τὸ πένεσθαι διδάσκοντες ἃ ἠπίσταντο πολλοὺς κατεσκεύασαν ἄνδρας ἐλλογίμους.*

*84. Ἔμελε δὲ τοῖς πάλαι πᾶσιν Ἕλλησι μουσικῆς·*
d *διόπερ καὶ ἡ αὐλητικὴ περισπούδαστος ἦν. Χαμαιλέων γοῦν ὁ Ἡρακλεώτης ἐν τῷ ἐπιγραφομένῳ Προτρεπτικῷ Λακεδαιμονίους φησὶ καὶ Θηβαίους πάντας αὐλεῖν μανθάνειν, Ἡρακλεώτας τε τοὺς ἐν τῷ Πόντῳ καθ' ἑαυτὸν ἔτι, Ἀθηναίων τε τοὺς ἐπιφανεστάτους Καλλίαν τε τὸν Ἱππονίκου καὶ Κριτίαν τὸν Καλλαίσχρου. Δοῦρις δ' ἐν τῷ περὶ Εὐριπίδου καὶ Σοφοκλέους Ἀλκιβιάδην φησὶ μαθεῖν τὴν αὐλητικὴν οὐ παρὰ τοῦ τυχόντος, ἀλλὰ Προνόμου τοῦ μεγίστην ἐσχηκότος δόξαν. Ἀριστόξενος δὲ καὶ Ἐπα-*
e *μινώνδαν τὸν Θηβαῖον αὐλεῖν μαθεῖν παρὰ Ὀλυμπιοδώρῳ καὶ Ὀρθαγόρᾳ. καὶ τῶν Πυθαγορικῶν δὲ πολλοὶ τὴν αὐλητικὴν ἤσκησαν, ὡς Εὐφράνωρ τε καὶ Ἀρχύτας Φιλόλαός τε ἄλλοι τε οὐκ ὀλίγοι. ὁ δ' Εὐφράνωρ καὶ σύγγραμμα περὶ αὐλῶν κατέλιπεν· ὁμοίως δὲ καὶ ὁ Ἀρχύτας. ἐμφανίζει δὲ καὶ ὁ Ἀριστοφάνης ἐν τοῖς Δαιταλεῦσι τὴν περὶ τὸ πρᾶγμα τοῦτο σπουδήν, ὅταν λέγῃ*

*Ὅστις αὐλοῖς καὶ λύραισι κατατέτριμμαι χρώμενος,*
*εἶτά με σκάπτειν κελεύεις;*

f *Φρύνιχος Ἐφιάλτῃ*

*Οὐ τουτονὶ μέντοι σὺ κιθαρίζειν ποτὲ*
*αὐλεῖν τ' ἐδίδαξας;*

*καὶ τὴν Ἀθηνᾶν δέ φησιν Ἐπίχαρμος ἐν Μούσαις ἐπαυλῆσαι τοῖς Διοσκόροις τὸν ἐνόπλιον. Ἴων δ' ἐν Φοίνικι ἢ Καινεῖ ἀλέκτορα τὸν αὐλὸν καλεῖ ἐν τούτοις „Ἐπὶ δ'*

---

**184 e.** *τῶν πυθαγοριαίων πολλοὶ τὴν* **B.** *τε καὶ Ἀρχύτας — Εὐφράνωρ* **add. ABPL. om. V.** *εὐφράνωρ τε καὶ ἀρχύτας οἱ πυθαγαρικοί, οἳ καὶ συγγράμματα περὶ αὐλῶν κατέλιπον* **C.** *φιλόλαος* **PL.** *φιλολίλαιος* **A.** *φιλόλλαιος* **B.** *ὁ ἀριστοφάνης* **AB.** *ὁ* **om. PVL. Aristophanis et Phrynichi versus om. C. Libri** *ὅστις δ' αὐτὴν αὐλοῖς. αὐτὴν* **delevit Casaubonus,** *δ'* **Brunckius.** *λύραισι]* **Libri** *λίραις.*

**184 f.** *ἐφιάλτῃ* **AB.** *ἐν ἐφιάλτῃ* **PVL.** *τ' ἐδίδαξας* **VL.** *τε διδάξας* **ABP.** *διοσκόροις* **A.** *διοσκούροις***PVL.** *ἐπὶ δ'* **ABPV.** *ἐπῃ δ'* **L.**

αὐλὸς ἀλέκτωρ Λύδιον ὕμνον Ἀχαιῶν." ἐν δὲ Φρουροῖς
185 τὸν ἀλεκτρυόνα Ἰδαῖον εἴρηκε σύριγγα διὰ τούτων „Προθεῖ δέ τοι σῦριγξ Ἰδαῖος ἀλέκτωρ." ἐν δὲ τῷ δευτέρῳ Φοίνικι ὁ αὐτὸς Ἴων φησὶν „Ἔκτυπον ἄγων βαρὺν αὐλὸν τρέχοντι ῥυθμῷ." οὕτω λέγων τῷ Φρυγίῳ. βαρὺς γὰρ οὗτος· παρ' ὃ καὶ τὸ κέρας αὐτῷ προσάπτουσιν, ἀναλογοῦν τῷ τῶν σαλπίγγων κώδωνι.

Ἐπὶ τούτοις τέλος ἐχέτω καὶ ἥδε ἡ βίβλος, ἑταῖρε Τιμόκρατες, ἱκανὸν εἰληφυῖα μῆκος.

---

Ἐπῇδ' ἀλέκτωρ Λύδιος Schweigh.

185 a. Προθεῖ] προσθεῖ B. ὁ αὐτὸς (Ἴων) καὶ ῥυθμὸν τρέχοντα τὸν φρύγιον καλεῖ· καὶ βαρὺν αὐλὸν τὸν φρύγιον. βαρὺς γὰρ οὗτος τῷ ὄντι, παρ' ὃ καὶ τὸ κέρας αὐτῷ προσάπτουσιν, ἀναλογοῦν τῷ τῶν σαλπίγγων κώδωνι C. τρέχοντι] τρέχοντα B: quam *scriptam lectionem* dicit Casaubonus. Ἐκτύπουν ἄγων βαρὺν | αὐλὸν, τρέχοντα ῥυθμόν Bentleius in epist. ad Millium p. 55. (498. ed. Lips.) βίβλος] βύβλος P.

# E

185 Ἀλλ᾽ ἐπεὶ πολὺς οὕτως λόγος συμποσίων προδιήντληται, ὦ Τιμόκρατες, ἐν τοῖς πρὸ τούτων, παρελίπομεν δὲ αὐτῶν τὰ χρησιμώτατα καὶ οὐ βαροῦντα τὴν ψυχὴν, ὠφελοῦντα δὲ καὶ τρέφοντα κατὰ πανδαισίαν, ἅπερ ὁ θεῖος Ὅμηρος παρεισήγαγε, μνημονεύσω καὶ τὰ περὶ τούτων λεχθέντα ὑπὸ τοῦ πάντ᾽ ἀρίστου Μασουρίου. ἡμεῖς γὰρ κατὰ τὸν καλὸν Ἀγάθωνα

Τὸ μὲν πάρεργον ἔργον ὡς ποιούμεθα,
b τὸ δ᾽ ἔργον ὡς πάρεργον ἐκπονούμεθα.

φησὶ δ᾽ οὖν ὁ ποιητὴς περὶ τοῦ Μενελάου τὸν λόγον ποιούμενος

Τὸν δ᾽ εὗρον δαινῦντα γάμον πολλοῖσιν ἔτῃσιν
υἱέος ἠδὲ θυγατρὸς ἀμύμονος ᾧ ἐνὶ οἴκῳ.

ὡς νενόμισται ἄγειν συμπόσια περὶ τοὺς γάμους, τῶν τε γαμηλίων θεῶν ἕνεκα καὶ τῆς οἱονεὶ μαρτυρίας. τὸ δὲ πρὸς τοὺς ξένους συμπόσιον ὁ τῆς Λυκίας βασιλεὺς διδάσκει οἷον εἶναι δεῖ, τὸν Βελλεροφόντην μεγαλοπρεπῶς
c δεξάμενος,

Ἐννῆμαρ ξείνισσε καὶ ἐννέα βοῦς ἱέρευσε.

2. Δοκεῖ γὰρ ἔχειν πρὸς φιλίαν τι ὁ οἶνος ἑλκυστικὸν, παραθερμαίνων τὴν ψυχὴν καὶ διαχέων. διόπερ οὐδὲ πρότερον ἠρώτων οἵτινες εἶεν, ἀλλ᾽ ὕστερον, ὡς τὴν ξενίαν αὐτὴν τιμῶντες, ἀλλ᾽ οὐ τοὺς ἐν μέρει καὶ καθ᾽ ἕκαστον ἡμῶν. τῶν δὲ νῦν δείπνων προνοοῦντες οἱ νομοθέται τά

---

185 a. πάντ᾽ ἀρίστου B. πάντα ἀρίστου PVL. ποιούμεθα — ἐκπονούμεθα] ἡγούμενοι — ἐκπονούμενοι Clemens Alex. Stromat. V. p. 733. Pott.

185 b. ὁ ποιητής] Odyss. δ, 3. δαινῦντα PV. δαίνυντα L. πολλοῖσιν ἔτῃσιν B.

185 c. Ἐννῆμαρ] Iliad. ζ, 174. φιλίαν] φιλοσοφίαν C et epitome Hoeschelii. ἑλκυστικὸν] ἑλκυτικὸν P. τὴν ψυχὴν] τὴν om. B.

τε φυλετικὰ δεῖπνα καὶ τὰ δημοτικὰ προσέταξαν, ἔτι δὲ τοὺς θιάσους καὶ τὰ φρατρικά, καὶ πάλιν ὀργεωνικὰ κα-
186 λούμενα. πολλῶν γοῦν εἰσι φιλοσόφων ἐν ἄστει σύνοδοι, τῶν μὲν Διογενιστῶν, τῶν δὲ Ἀντιπατριστῶν λεγομένων, τῶν δὲ Παναιτιαστῶν. κατέλιπε δὲ καὶ Θεόφραστος εἰς τὴν τοιαύτην σύνοδον χρήματα, μὰ Δί᾽ οὐχ ἵν᾽ ἀκολασταίνωσι συνιόντες, ἀλλ᾽ ἵνα τοὺς κατὰ τὸ συμπόσιον λόγους σωφρόνως καὶ πεπαιδευμένως διεξάγωσι. συνεδείπνουν δ᾽ ὁσημέραι οἱ περὶ πρύτανιν σώφρονα καὶ σωτήρια τῶν πόλεων σύνδειπνα. πρὸς γοῦν τοιοῦτο συμπόσιόν φησιν ὁ Δημοσθένης ἀνενηνέχθαι τὴν Ἐλατείας κατάληψιν· „Ἑσπέρα
b μὲν γὰρ ἦν, ἧκε δὲ ἀγγέλλων τις ὡς τοὺς πρυτάνεις ὡς Ἐλάτεια κατείληπται.“ καὶ τοῖς φιλοσόφοις δὲ ἐπιμελὲς ἦν συνάγουσι τοὺς νέους μετ᾽ αὐτῶν πρός τινα τεταγμένον νόμον εὐωχεῖσθαι. τοῦ γοῦν Ξενοκράτους ἐν Ἀκαδημίᾳ καὶ πάλιν Ἀριστοτέλους συμποτικοί τινες ἦσαν νόμοι. τὰ δ᾽ ἐν Σπάρτῃ φειδίτια καὶ παρὰ τοῖς Κρησὶν ἀνδρεῖα μετὰ πάσης ἐπιμελείας αἱ πόλεις συνῆγον. διὸ καί τις οὐ κακῶς ἔφη

Οὐ χρὴ συμποσίοιο φίλους ἀπέχεσθαι ἑταίρους
c δηρόν· ἀνάμνησις δὲ πέλει χαριεστάτη αὕτη.

Ἀντίπατρος δ᾽ ὁ φιλόσοφος συμπόσιόν ποτε συνάγων συνέταξε τοῖς ἐρχομένοις ὡς περὶ σοφισμάτων ἐροῦσιν. Ἀρκεσίλαον δέ φασιν εἰς συμπόσιον παρακληθέντα καὶ συγκατακλιθέντα ἑνὶ τῶν βορῶς ἐσθιόντων, αὐτὸν δὲ μηδενὸς ἀπολαῦσαι δυνάμενον, ἐπεί τις αὐτῷ τῶν παρόντων ἐξέτεινε, φάναι

---

φυλετικὰ DL. φιλετικὰ PV. πάλιν om. B. καλούμενα B. Legebatur λεγόμενα.

186 a. λεγομένων, τῶν δὲ Παναιτιαστῶν om. B. παναιτιστῶν C. ἵν᾽ B. ἵνα PVL. τοὺς κατὰ τὸ συμπόσιον λόγους C et epitome Hoeschel. τὸν κατὰ τοῦ συμποσίου λόγον B. τὰ κατὰ τοῦ συμποσίου λόγου (λόγον AP) PVL. τοιοῦτο L. τοιοῦτον PV. τὸ τοιοῦτο C. Δημοσθένης] De corona p. 284. γὰρ ἦν] ἦν om. BP.

186 b. Ξενοκράτους] Vid. I. p. 3 f. φειδίτια BCP. φιδίτια A. φειδίτεια VL. παρὰ τοῖς Κρησὶν ἀνδρεῖα] IV. p. 143 b. Οὐ χρὴ] Poetae versus om. C. συμποσίοιο Casaubonus. συμποσίοισι PVL.

186 c. Locum de Arcesilao infra infert C p. 193 c. δέ φασιν] δὲ φησὶν B. συγκατακληθέντα B. αὐτῷ] αὐτὸν C.

*Εὖ σοι γένοιτο, Τηλέφῳ δ' ἁγὼ νοῶ·*

ἔτυχε δ' ὁ κατοψοφαγῶν Τήλεφος καλούμενος. ὁ δὲ Ζή-
d νων, ἐπεί τις τῶν παρόντων ὀψοφάγων ἀπέσυρεν ἅμα τῷ παρατεθῆναι τὸ ἐπάνω τοῦ ἰχθύος, στρέψας καὶ αὐτὸς τὸν ἰχθὺν ἀπέσυρεν ἐπιλέγων

*Ἰνὼ δὲ τἀπὶ θάτερ' ἐξειργάζετο.*

Σωκράτης δ' ἰδών τινα ἀμέτρως τῇ ἐποψήσει χρώμενον, Ὦ παρόντες, ἔφη, τίς ὑμῶν τῷ μὲν ἄρτῳ ὡς ὄψῳ χρῆται, τῷ δ' ὄψῳ ὡς ἄρτῳ;

3. Ἡμεῖς δὲ νῦν περὶ τῶν Ὁμηρικῶν συμποσίων λέξομεν. ἀφορίζει γὰρ αὐτῶν ὁ ποιητὴς χρόνους, πρόσωπα,
e αἰτίας. τοῦτο δὲ ὀρθῶς ἀπεμάξατο ὁ Ξενοφῶν καὶ Πλάτων, οἳ κατ' ἀρχὰς τῶν συγγραμμάτων ἐκτίθενται τὴν αἰτίαν τοῦ συμποσίου καὶ τίνες οἱ παρόντες. Ἐπίκουρος δὲ οὐ τόπον, οὐ χρόνον ἀφορίζει, οὐ προλέγει οὐδέν. δεῖ οὖν μαντεύσασθαι πῶς ποτ' ἄνθρωπος ἐξαπίνης ἔχων κύλικα προβάλλει ζητήματα καθάπερ ἐν διατριβῇ λέγων. Ἀριστοτέλης δὲ ἄλουτον καὶ κονιορτοῦ ἥκειν πλήρη τινὰ ἐπὶ τὸ συμπόσιον ἀπρεπὲς εἶναι φησίν. ἔπειθ' ὁ μὲν Ὅμη-
f ρος ἐκδιδάσκει τίνας κλητέον, εἰπὼν ὡς τοὺς ἀρίστους τε καὶ ἐντίμους χρὴ καλεῖν·

*Κίκλησκεν δὲ γέροντας ἀριστῆας Παναχαιῶν.*

οὐχ ὃν τρόπον Ἡσίοδος· οὗτος γὰρ ἀξιοῖ καὶ τοὺς γείτονας·

*Μάλιστα καλεῖν ὅστις σέθεν ἐγγύθι ναίει.*

---

φάναι] Scribebatur φᾶναι, ἔφη C oratione aliter constructa.
Εὖ σοι] Euripidis ex Telepho versus: vide Aristoph. Acharn. v. 446. ubi scriptum εὐδαιμονοίης· Τηλέφῳ δ' ἁγὼ φρονῶ. et in scholii καλῶς ἔχοιμι, Τηλέφῳ δ' ἁγὼ φρονῶ. ἃ 'γὼ νοῶ ACDLQ. ἁγονόω B. ἀγωνοῦ P. ἀγωνιῶ V.

186 d. Ζήνων] Βίων VIII. p. 344 a. ὀψοφάγων] ὀψοφαγῶν P. Ἰνὼ] Euripidis Bacch. versus 1127. ὑμῶν] ἡμῶν P.

186 e. ὁ Ξενοφῶν] ὁ om. B. συγγραμμάτων B. ξυγγραμμάτων PVL. λέγων. ἀριστοτέλης δὲ ἄλ. A. λέγων ἀριστοτέλης, ἄλ. PVL. In C haec omissa. Ἀριστοτέλης] Vide infra p. 178 f., unde verba ἀπρεπὲς εἶναι, in libris omissa, inserenda esse vidit Casaubonus.

186 f. Κίκλησκεν] Iliad. β, 404. κέκληκεν P. Παναχαιῶν] ἀχαιῶν B. τε ἀχαιῶν P. οὗτος] Ἔργ. v. 341. καὶ om. C.

τοῦτο γὰρ ὡς ἀληθῶς Βοιωτικῆς ἐστιν ἀναισθησίας
συμπόσιον καὶ τῇ μισανθρωποτάτῃ τῶν παροιμιῶν ἁρ-
μόττον
187 Τηλοῦ φίλοι ναίοντες οὐκ εἰσὶν φίλοι.
πῶς γὰρ οὐκ ἄλογον τόπῳ τὴν φιλίαν καὶ οὐ τρόπῳ κρί-
νεσθαι; τοιγαροῦν παρ' Ὁμήρῳ μετὰ τὸ πιεῖν
Τοῖς δ' ὁ γέρων πάμπρωτος ὑφαίνειν ἤρχετο μῆτιν·
παρὰ δὲ τοῖς οὐ τὰ σώφρονα συμπόσια συνάγουσι·
Τοῖς δ' ὁ κόλαξ πάμπρωτος ὑφαίνειν ἤρχετο μῶκον.
ἔτι δὲ ὁ μὲν Ὅμηρος ἡλικίαις εἰσάγει διαφέροντας καὶ ταῖς
προαιρέσεσι τοὺς κεκλημένους, Νέστορα καὶ Αἴαντα καὶ
b Ὀδυσσέα, τὸ μὲν καθόλου σύμπαντας τῆς ἀρετῆς ἀντι-
χομένους, εἴδει δὲ διαφόροις ὁδοῖς ὡρμηκότας ἐπ' αὐτήν.
ὁ δ' Ἐπίκουρος ἅπαντας εἰσήγαγε προφήτας ἀτόμων, καὶ
ταῦτ' ἔχων παραδείγματα τήν τε τοῦ ποιητοῦ τῶν συμ-
ποσίων ποικιλίαν καὶ τὴν Πλάτωνός τε καὶ Ξενοφῶντος
χάριν. ὧν ὁ μὲν Πλάτων τὸν μὲν Ἐρυξίμαχον, ἰατρόν,
τὸν δ' Ἀριστοφάνη ποιητήν, ἄλλον δ' ἀπ' ἄλλης προαι-
177 ρέσεως σπουδάζοντας εἰσήγαγε, Ξενοφῶν δὲ καὶ τινας
b ἰδιώτας συνανέμιξε. πολλῷ τοίνυν κάλλιον Ὅμηρος ἐποίησε
καὶ διάφορα παρατιθέμενος συμπόσια. πᾶν γὰρ ἐξ ἀντι-
παραβολῆς ὁρᾶται μᾶλλον. ἔστι γὰρ αὐτῷ τὸ μὲν τῶν μνη-
στήρων οἷον ἂν γένοιτο νεανίσκων μέθαις καὶ ἔρωσιν ἀνα-
κειμένων, τὸ δὲ τῶν Φαιάκων εὐσταθέστερον μὲν τούτων,
φιλήδονον δέ. τούτοις δ' ἀντέθηκε τὰ μὲν ἐπὶ στρατιᾶς,
τὰ δὲ πολιτικώτερον τελούμενα σωφρόνως. καὶ πάλιν αὖ

---

Βοιώτικῆς Iacobsius p. 117. βρωτικῆς PVL. ἀροτικῆς C duobus punctis superne appositis et epitome Hoeschelii.

187 a. ἄλογον] ἄτοπον C. πιεῖν] ποιεῖν C. Τοῖς δ' ὁ γέρων] Iliad. η, 324.

187 b. εἴδει BC. ἤδει A. ἤδη PVL. ἐπ'] εἰς C. ἀπ' ἄλλης] ἐπ' ἄλλης B. προαιρέσεως σπουδάζοντας] Vide ad 182 c. supra p. 394.

177 b. πᾶν Porsonus. Legebatur πάλιν. Prolegom. in Aphthon. in Aldi Rhetoribus vol. II. p. 7 a, 37. ab Porsono indicata, πέφυκε γὰρ τὰ πράγματα τῇ παραθέσει τῶν ἐναντίων ἐκδηλότερα φαίνεσθαι, ὡς τὸ φῶς τῇ τοῦ σκότους παραβολῇ. τὸ μὲν τῶν — φιλήδονον δέ] Eustathius p. 1413, 18.

διεῖλε τὰ μὲν δημοθοινίαν ἔχοντα, τὰ δ' οἰκείων σύνο-
δον. Ἐπίκουρος δὲ συμπόσιον φιλοσόφων μόνον πεποίηται.
c 4. Ἐδίδαξε δ' Ὅμηρος καὶ οὓς οὐ δεῖ καλεῖν, ἀλλ'
αὐτομάτους ἰέναι πρεπόντως, ἐξ ἑνὸς τῶν ἀναγκαίων δει-
κνὺς τὴν τῶν ὁμοίων παρουσίαν·

Αὐτόματος δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος.

δῆλον γὰρ ὡς οὔτε ἀδελφὸν οὔτε γονέας οὔτε γυναῖκα κλη-
τέον οὔτ' εἴ τις ἰσοτίμως τινὰς τούτοις ἄγει· καὶ γὰρ ἂν
ψυχρὸν εἴη καὶ ἄφιλον. καίτοι τινὲς στίχον προσέγραψαν
τὴν αἰτίαν προστιθέντες

Ἤιδεε γὰρ κατὰ θυμὸν ἀδελφεὸν ὡς ἐπονεῖτο,

ὥσπερ δέον ὂν εἰπεῖν αἰτίαν δι' ἣν ἀδελφὸς αὐτόματος ἂν
d ἥκοι πρὸς δεῖπνον, πιθανῆς τῆς αἰτίας ἀποδιδομένης.
„Πότερον γάρ, φησίν, ὡς οὐκ ᾔδει τὸν ἀδελφὸν ἑστιῶντα;
καὶ πῶς οὐ γελοῖον, ὁπότε περιφανὴς ἦν ἡ βουθυσία καὶ
πᾶσι γνώριμος; πῶς δ' ἂν ἦλθεν, εἰ μὴ ᾔδει; ἢ νὴ Δία
περισπώμενον, φησίν, αὐτὸν εἰδὼς συνεγνωμόνει τῷ μὴ
κεκληκέναι καὶ συμπεριφερόμενος ἦλθεν αὐτόματος;" ὥσπερ
ὁ φήσας ἄκλητον ἥκειν, ἵνα μὴ πρωΐας ὑποβλέπωσιν ἀλ-
λήλους ὁ μὲν αἰδούμενος, ὁ δὲ μεμφόμενος. ἀλλὰ γελοῖον
e ἦν ἐπιλαθέσθαι τὸν Ἀγαμέμνονα τοῦ ἀδελφοῦ, καὶ ταῦτα
δι' ἐκεῖνον οὐ μόνον εἰς τὸ παρὸν θύοντα, ἀλλὰ καὶ τὸν
πόλεμον ἀναδεδεγμένον καὶ κεκληκότα τοὺς μήτε γένει
προσήκοντας μήτε πατρίδι προσῳκειωμένους. Ἀθηνοκλῆς
δ' ὁ Κυζικηνὸς μᾶλλον Ἀριστάρχου κατακούων τῶν Ὁμη-
ρικῶν ἐπῶν εὐπαιδευτότερον ἡμῖν φησι τοῦτον Ὅμηρον κα-
ταλιπεῖν, ὡς τῆς ἀνάγκης ὁ Μενέλεως οἰκειοτέρως ἔχειν.

---

177 c. πρεπόντως accessit ex AB. ἐξ ἑνὸς τῶν] ἐξ. ἓν ὀστῶν B. Αὐτόματος] Iliad. β, 408. ἄγει C et Eustathius p. 247, 11. ἄγοι PVL. δέον ὂν BC. Aberat ὄν. ὥσπερ δέον ὂν καὶ αἰτίαν εἰπεῖν Eustathius p. 247, 13. αἰτίαν add. BCL. om. APV.

177 d. ἡ βουθυσία AB. ἡ om. VL. superne adscriptum in P. εἰ μὴ] εἰ μη B. αὐτὸν εἰδὼς] αὐτόν. εἰ δ' ὡς P. κεκληκέναι καὶ] καὶ om. ABP. ὥσπερ ὁ] ὥσπερεὶ Casaubonus.

177 e. οὐ μόνον om. B. μήτε γένει] μὴ γένει P, τε in margine adscripto. προσῳκειωμένους] συνῳκειουμένους P. τοῦτον A. τὸν PVL. Post Μενέλεως aliqua excidisse videntur. Δημή-

Δημήτριος δ' ὁ Φαληρεὺς ἐπαρίστερον τὴν τοῦ στίχου παρ-
f ράληψιν ἐπειπὼν καὶ τῆς ποιήσεως ἀλλότριον τοῦ

Ἤιδεε γὰρ κατὰ θυμὸν ἀδελφεὸν ὡς ἐπονεῖτο,

μικρολογίαν ἐμβάλλει τοῖς ἤθεσιν. „Οἶμαι γάρ, φησίν, ἕκαστον τῶν χαριέντων ἀνθρώπων ἔχειν καὶ οἰκεῖον καὶ
188 φίλον, πρὸς ὃν ἂν ἔλθοι θυσίας οὔσης τὸν καλοῦντα μὴ περιμείνας.“

5. Πλάτων δ' ἐν τῷ Συμποσίῳ περὶ τῶν αὐτῶν λέγει οὕτως „Ἵνα καὶ τὴν παροιμίαν, φησί, διαφθείρωμεν μεταβάλλοντες, ὡς ἄρα καὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴασιν αὐτόματοι ἀγαθοί. Ὅμηρος μὲν γὰρ κινδυνεύει οὐ μόνον διαφθεῖραι, ἀλλὰ καὶ ὑβρίσαι εἰς αὐτήν· ποιήσας γὰρ τὸν Ἀγαμέμνονα ἀγαθὸν τὰ πολεμικά, τὸν Μενέλαον δὲ μαλθακὸν αἰχμητήν, θυσίαν ποιουμένου τοῦ Ἀγαμέμνονος
b ἄκλητον ἐποίησεν ἐλθόντα τὸν χείρονα ἐπὶ τὴν τοῦ ἀμείνονος δίαιταν.“ Βακχυλίδης δὲ περὶ Ἡρακλέους λέγων ὡς ἦλθεν ἐπὶ τὸν τοῦ Κήϋκος οἶκόν φησιν

Ἔστη δ' ἐπὶ λάϊνον οὐδόν,
τοὶ δὲ θοίνας ἔντυον, ὧδέ τ' ἔφα·
Αὐτόματοι δ' ἀγαθῶν
δαῖτας εὐόχθους ἐπέρχονται δίκαιοι
φῶτες.

αἱ δὲ παροιμίαι ἡ μέν φησιν

Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴασιν.

ἡ δὲ

---

τριος δ'] καὶ δημήτριος δὲ C. δ' ὁ] δ' om. B. στίχου] στοίχου B. ἐπειπὼν] ὑπειπὼν Dobraeus in Add. ad Aristophanica p. (111). καὶ τῆς — ὡς ἐπονεῖτο om. C.

177 f. τοῦ] τὸν ABP. ἂν ἔλθοι] ἂν om. P.

178 a. μὴ περιμείνας] μὴ om. BP. Συμποσίῳ] P. 174 b. πολεμικὰ] Legebatur πολέμια. Correxi ex Platone. μαλθακὸν A. μαλακὸν PVL.

178 b. Bacchylidis locum om. C. περὶ Ἡρακλέους λέγων ὡς ἦλθεν ἐπὶ τὸν τοῦ Κήϋκος οἰκόν φησιν Schweigh. περὶ τοῦ κήϋκος λέγων, ὡς ἦλθεν ἐπὶ τὸν τοῦ κήϋκος οἶκον, φησὶν A. περὶ τοῦ κήϋκος οἶκον (οἶκον BP) φησὶν PVL. V. 1. Ἔστη] Immo Ἔστα. ἔστι B. V. 2. ἔντυον Neue p. 51. ἔντυνον VL. εὔτονον B. ἔφα Neue p. 52. ἔφασ' PVL. ἔφασκ' Stephanus in Lyric. fragm. p. 256. V. 3. δ' delevit Neue p. 51.

*Αὐτόματοι ἀγαθοὶ δειλῶν ἐπὶ δαῖτας ἴασιν.*

οὐ δεόντως γοῦν Πλάτων τὸν Μενέλεων ἐνόμισεν εἶναι δει-
c λόν, ὃν ἀρηίφιλον Ὅμηρος λέγει καὶ μόνον ὑπὲρ Πατρόκλου ἀριστεύσαντα, καὶ τῷ Ἕκτορι πρὸ πάντων πρόθυμον μονομαχεῖν, καίπερ ὄντα τῇ ῥώμῃ καταδεέστερον, ἐφ' οὗ μόνου τῶν στρατευσαμένων εἴρηκεν

*Ἐν δ' αὐτὸς κίεν ᾗσι προθυμίῃσι πεποιθώς.*

εἰ δὲ ὁ ἐχθρὸς ὁ βλασφημῶν αὐτὸν εἴρηκε μαλθακὸν αἰχμητὴν, καὶ διὰ τοῦτο Πλάτων τῷ ὄντι μαλθακὸν αὐτὸν ὑπολαμβάνει, οὐκ ἂν φθάνοι καὶ τὸν Ἀγαμέμνονα τιθεὶς ἐν τοῖς φαύλοις, ὃν αὐτός φησιν εἶναι ἀγαθὸν, εἴπερ εἰς αὐ-
d τὸν εἴρηται τοῦτο τὸ ἔπος

*Οἰνοβαρὲς, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο.*

οὐ γὰρ εἴ τι λέγεται παρ' Ὁμήρῳ, τοῦθ' Ὅμηρος λέγει. πῶς γὰρ ἂν εἴη μαλθακὸς Μενέλαος, ὁ τὸν Ἕκτορα μόνος ἀπείρξας τοῦ Πατρόκλου καὶ Εὔφορβον ἀποκτείνας τε καὶ σκυλεύσας ἐν μέσοις τοῖς Τρωσί; τὸ δὲ μηδὲ τὸν
e στίχον ὃν ᾐτιᾶτο τελείως κατανοῆσαι ἄτοπον, δι' οὗ βοὴν ἀγαθὸς Μενέλαος λέγεται. τοῖς γὰρ ἀνδρειοτάτοις Ὅμηρος εἴωθεν ἐπιφωνεῖν, καλούντων τῶν παλαιῶν τὸν πόλεμον βοήν.

6. Πάντα δ' ὢν ἀκριβὴς Ὅμηρος καὶ τὸ μικρὸν τοῦτο οὐ παρέλιπε, τὸ δεῖν θεραπεύσαντα τὸ σωμάτιον καὶ λουσάμενον ἰέναι πρὸς τὸ δεῖπνον. ἐπὶ γοῦν τοῦ Ὀδυσσέως εἶπε πρὸ τῆς παρὰ Φαίαξι θοίνης

*Αὐτόδιον δ' ἄρα μιν ταμίη λούσασθαι ἄνωγεν.*

---

*μενέλεων* ABPV. *μενέλαων* Basil.: unde *Μενέλαον* L et Schweigh. editio.

178 c. *ἀριστεύσαντα*] Iliad. rhapsod. ρ. *μονομαχεῖν* CL et Basil. *μονομαχεῖ* APV (sic *χωρεῖ* V infra p. 179 a). Vid. Iliad. η, 94. *εἴρηκεν*] Iliad. β, 588. *ἐχθρὸς*] *αἰσχρὸς* C. *ἐχθρὸς ὁ* ABP. ὁ om. VL. *μαλθακὸν αἰχμητὴν*] Iliad. ρ, 588.

178 d. *τοῦτο τὸ ἔπος* PL. *τοῦτο ἔπος* V. *Οἰνοβαρὲς*] Iliad. α, 225. *κραδίην δ'*] *κραδίην τ'* B. *Εὔφορβον ἀποκτείνας*] Iliad. ρ, 59.

178 e. *ἔπειτ' οὖν* BP. *ἐπεί τ' οὖν* V. *ἐπί τ' οὖν* L et correctus P. Emendatum ex C, in quo sic scriptum. *ὀδυσσέα γοῦν παρὰ φαίαξι πρὸ τῆς θοίνης ἡ ταμίη λούει.* *Αὐτόδιον*] Odyss. θ, 449.

f ἐπὶ δὲ τῶν περὶ Τηλέμαχον

Ἔς ῥ᾽ ἀσαμίνθους βάντες ἐϋξέστας λούσαντο.

ἀπρεπὲς γὰρ ἦν, φησὶν Ἀριστοτέλης, ἥκειν εἰς τὸ συμπόσιον σὺν ἱδρῶτι πολλῷ καὶ κονιορτῷ. δεῖ γὰρ τὸν χαρίεντα μήτε ῥυπᾶν μήτε αὐχμεῖν μήτε βορβόρῳ χαίρειν καθ᾽ Ἡράκλειτον. δεῖ δὲ καὶ τὸν πρῶτον εἰς ἀλλοτρίαν οἰκίαν ἐρχόμενον ἐπὶ δεῖπνον μὴ γαστρισόμενον εὐθὺς ἐπὶ τὸ
179 συμπόσιον χωρεῖν, ἀλλά τι δοῦναι πρότερον τῷ φιλοθεάμονι καὶ κατανοῆσαι τὴν οἰκίαν. οὐδὲ γὰρ τοῦτο παρέλιπεν ὁ ποιητής

Αὐτοὶ δ᾽ εἰσῆλθον θεῖον δόμον, οἱ δὲ ἰδόντες
θαύμαζον κατὰ δῶμα διοτρεφέος βασιλῆος.
ὥστε γὰρ ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης
δῶμα καθ᾽ ὑψερεφὲς Μενελάου κυδαλίμοιο.

καὶ Ἀριστοφάνης ἐν Σφηξὶ ποιεῖ τὸν ἄγριον γέροντα καὶ φιλοδικαστὴν καταρρυθμιζόμενον εἰς βίον ἥμερον ὑπὸ τοῦ
b παιδὸς

Παῦ᾽, ἀλλὰ δευρὶ κατακλινεὶς προσμάνθανε
ξυμποτικὸς εἶναι καὶ ξυνουσιαστικός·

διδάξας τε αὐτὸν ὡς δεῖ κατακλίνεσθαί φησιν

Ἔπειτ᾽ ἐπαίνεσόν τι τῶν χαλκωμάτων,
ὀροφὴν θέασαι, κρεκάδι᾽ αὐλῆς θαύμασον.

7. Καὶ πρὸ τοῦ θοινᾶσθαι δὲ ἃ δεῖ ποιεῖν ἡμᾶς διδάσκει πάλιν Ὅμηρος, ἀπαρχὰς τῶν βρωμάτων νέμειν τοῖς θεοῖς. οἱ γοῦν περὶ τὸν Ὀδυσσέα, καίπερ ὄντες ἐν τῷ
c τοῦ Κύκλωπος σπηλαίῳ

Ἔνθάδε πῦρ κείαντες ἐθύσαμεν, ἠδὲ καὶ αὐτοὶ
τυρῶν αἰνύμενοι φάγομεν.

---

178 f. τῶν L. τὸν PV. Ἔς ῥ᾽ ἀσαμίνθους] Odyss. δ, 48. Ἀριστοτέλης] Vide supra p. 186 e.

179 a. V. 1. Αὐτοὶ δ᾽ εἰσῆλθον] αὐτοὺς δ᾽ εἰσῆγον Odyss. δ, 43. Hos versus om. C. V. 2. διοτρεφέος — δῶμα om. B. V. 3. ἠὲ] ἠδὲ P. V. 4. ὑψερεφὲς] Scribebatur ὑψιρεφὲς. ὑψηρεφὲς ABP. Σφηξὶ] V. 1208. καταρρυθμιζόμενον] καταρυθμιζόμενον PVL. Simplici verbo utitur C, καὶ παρὰ Ἀριστοφάνει δὲ ὁ παῖς τὸν ἄγριον γέροντα εἰς βίον ἥμερον ῥυθμίζων, διδάξας τε ὡς δεῖ κατακλίνεσθαι, φησὶν, ἔπειτα ἐπαίνεσόν τι τῶν χαλκωμάτων, ὀροφὴν θέασαι.

179 c. Ἐνθάδε] Odyss. ι, 231.

καὶ ὁ Ἀχιλλεὺς, καίπερ ἐπειγομένων τῶν πρέσβεων, ὡς ἐν μέσαις νυξὶν ἡκόντων, ὅμως

Θεοῖσι δὲ θῦσαι ἀνώγει
Πάτροκλον, ὃν ἑταῖρον· ὁ δ᾽ ἐν πυρὶ βάλλε θυηλάς·

καὶ σπονδοποιεῖταί γε τοὺς δαιτυμόνας·

Κοῦροι μὲν κρητῆρας ἐπεστέψαντο ποτοῖο·
d νώμησαν δ᾽ ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν.
αὐτὰρ ἐπεὶ σπείσαντο.

ἅπερ καὶ Πλάτων φυλάττει κατὰ τὸ συμπόσιον. μετὰ γὰρ τὸ δειπνῆσαι σπονδάς τέ φησι ποιῆσαι καὶ τὸν θεὸν παιωνίσαντας τοῖς νομιζομένοις γέρασι. παραπλησίως δὲ καὶ Ξενοφῶν. παρὰ δ᾽ Ἐπικούρῳ οὐ σπονδὴ, οὐκ ἀπαρχὴ θεοῖς, ἀλλ᾽ ὥσπερ Σιμωνίδης ἔφη περὶ τῆς ἀκόσμου γυναικὸς

Ἄθυτα δ᾽ ἱρὰ πολλάκις κατεσθίει.

e 8. Τὴν γὰρ σύμμετρον κρᾶσιν τοῦ οἴνου ὑπὸ Ἀμφικτύονος βασιλεύσαντος διδαχθῆναί φασιν Ἀθηναίους, καὶ διὰ τοῦτο ἱερὸν Διονύσου ὀρθοῦ ἱδρύσασθαι. τότε γὰρ ὀρθός ἐστι τῷ ὄντι καὶ οὐ σφαλερὸς, ὅταν συμμέτρως καὶ κεκραμένως πίνηται.

Οἶνος γὰρ ἀνώγει
ἠλεὸς, ὅς τ᾽ ἐφέηκε πολύφρονά περ μάλ᾽ ἀεῖσαι,
καί θ᾽ ἁπαλὸν γελάσαι καί τ᾽ ὀρχήσασθαι ἀνῆκεν,
f καί τι ἔπος προέηκεν ὅπερ τ᾽ ἄρρητον ἄμεινον.

τὸν γὰρ οἶνον Ὅμηρος οὐκ ἠλεὸν ὥσπερ ἠλίθιον καλεῖ καὶ ματαιοποιὸν, οὐδὲ κελεύει σκυθρωπὸν εἶναι μήτε ᾄδοντα μήτε γελῶντα μήτ᾽ ἐρρύθμως ποτὲ καὶ πρὸς ὄρχησιν τρε-

---

Θεοῖσι] Iliad. ι, 219. Κοῦροι] Iliad. ι, 175. κρητῆρας] κρατῆρας B.

179 d. σπείσαντο] Immo σπεῖσάν τε. Vide ad 180 b. σπείσανθ᾽ P, qui primum σπείσαντ᾽ habuit. φυλάττει P. φυλάσσει VL. φησι] Sympos. p. 176 a. Post γέρασι ex Platone supplendum τρέπεσθαι πρὸς τὸν πότον. Σιμωνίδης] Fr. 230. v. 56. p. 413. Scribebatur ἱερά. ἱρὰ dedi ex Stobaei Floril. vol. III. p. 64. Gaisf.

179 e. Τὴν γὰρ] τὴν δὲ C. φασιν ABCPV. φησὶν Basil. L. ἱερὸν] βωμὸν dixerat II. p. 38 c. ὀρθός ἐστι τῷ] ὀρθὸς τῷ B. κεκραμένως] κεκραμμένως BPV. Οἶνος] Odyss. ξ, 463.

179 f. καί τε ἔπος BP. ἐρρύθμως] ἐνρύθμως PVL. ἐν ῥύθμῳ B.

πόμενον· οὐχ οὕτως ἄγροικος οὐδ' ἐπαρίστερός ἐστιν, ἀλλ' ᾔδει τούτων ἑκάστου καὶ ποσότητος καὶ ποιότητος διαφοράν. ὅθεν οὐκ εἶπεν ὡς ἄρα τὸν πολύφρονα ὁ οἶνος ποιεῖ
180 ᾆσαι, ἀλλὰ μάλ' ἀεῖσαι, τουτέστιν ἀμέτρως καὶ ἐπὶ πλεῖον, ὥστε προσοχλεῖν· οὐδ' ἔτι γελάσαι μὰ Δί' οὐδ' ὀρχήσασθαι· κοινὸν δ' ἐπ' ἀμφοτέρων λαβὼν τὸ ἁπαλὸν τὴν ἄνανδρον εἰς τοῦτο πρόπτωσιν ἐπιστομίζει·

Καί θ' ἁπαλὸν γελάσαι καί τ' ὀρχήσασθαι ἀνῆκεν.

παρὰ δὲ τῷ Πλάτωνι τούτων οὐδὲν ἔμμετρον, ἀλλὰ πίνουσι μὲν τοσοῦτον ὥστε μηδὲ τοῖς ἰδίοις ποσὶν ἵστασθαι. ὅρα γὰρ τὸν ἐπίκωμον Ἀλκιβιάδην, ὡς ἀσχημονεῖ· οἱ δ' ἄλλοι τὸν ὀκτακότυλον ψυκτῆρα πίνουσι, προφάσεως λα-
b βόμενοι, ἐπεί περ αὐτοὺς προείλκυσεν Ἀλκιβιάδης· οὐχ ὥσπερ οἱ παρ' Ὁμήρῳ

Αὐτὰρ ἐπεὶ σπεῖσάν τ' ἔπιόν θ' ὅσον ἤθελε θυμός.

τούτων οὖν ἃ μὲν καθάπαξ περιγραπτέον, οἷς δὲ συμμέτρως χρηστέον, ὥσπερ ἀναθήμασί τισι μικρὸν προσαποβλέψαντας, καθάπερ Ὅμηρος εἴρηκε

Μολπή τ' ὀρχηστύς τε· τὰ γάρ τ' ἀναθήματα δαιτός.

9. Τὸ δ' ὅλον τὸ πρὸς τὰ τοιαῦτα νενευκὸς τοῖς μνηστῆρσι καὶ τοῖς Φαίαξιν ἔνειμεν, ἀλλ' οὐχὶ Νέστορι
c οὐδὲ Μενελάῳ· οὗ ἐν τῇ γαμοποιίᾳ μὴ συνέντες οἱ περὶ Ἀρίσταρχον ὅτι συνεχοῦς οὔσης τῆς ἑστιάσεως καὶ τῶν ἀκμαίων ἡμερῶν παρεληλυθυιῶν, ἐν αἷς παρείληπτο μὲν ἡ γαμουμένη πρὸς τοῦ νυμφίου, πέρας δ' εἶχεν ὁ τοῦ Μεγαπένθους γάμος, αὐτοὶ δὲ μονάζοντες διῃτῶντο ὅ τε Με-

---

τούτων] τοῦτο B.

180 a. ὥστε Coraës. ὥσπερ PVL. τουτέστιν — προσοχλεῖν om. C. οὐδέ τι γελάσαι (— ᾆσαι B) BC. ἐπιστομίζει] ἀναστομίζει B. ἵστασθαι. καὶ τὸν ὀκτακότυλον omissis mediis C. ὅρα] ὁρᾷ AP. γὰρ τὸν ἐπίκωμον A. γὰρ ἐπὶ κῶμον PVL. ἀσχημονεῖν B. ὀκτακότυλον ψυκτῆρα] Sympos. p. 213 e.

180 b. οὐχ ὥσπερ — θυμός om. C. Αὐτὰρ] Iliad. ι, 177. σπεῖσαν τ' L. σπείσαντ' PV. Vide ad 179 d. Ὅμηρος] Odyss. α, 152.

180 c. μὴ συνέντες C et Eustathius p. 1480, 16. μὴ οὐ συνέντες PVL. συνεχοῦς οὔσης τῆς ἑστιάσεως καὶ C et Eustathius. μὲν ἡ] μὲν οὐ BP.

γέλαιος καὶ ἡ Ἑλένη, μὴ συνέντες, ἀλλ' ἐξαπατηθέντες ὑπὸ τοῦ πρώτου ἔπους

*Τὸν δ' εὗρον δαινύντα γάμον πολλοῖσιν ἔτῃσιν,*

προσσυνῆψαν τοιούτους τινὰς στίχους

d *Ὣς οἱ μὲν δαίνυντο καθ' ὑψερεφὲς μέγα δῶμα*
*γείτονες ἠδὲ ἔται Μενελάου κυδαλίμοιο,*
*τερπόμενοι· μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς*
*φορμίζων· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς*
*μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους.*

μετενεγκόντες ἐκ τῆς Ὁπλοποιίας σὺν αὐτῷ γε τῷ περὶ τὴν λέξιν ἁμαρτήματι. οὐ γὰρ ἐξάρχοντες οἱ κυβιστητῆρες, ἀλλ' ἐξάρχοντος τοῦ ᾠδοῦ πάντως ὠρχοῦντο. τὸ γὰρ ἐξάρχειν τῆς φόρμιγγος ἴδιον. διόπερ ὁ μὲν Ἡσίοδός φησιν ἐν
e τῇ Ἀσπίδι „Θεαὶ δ' ἐξῆρχον ἀοιδῆς Μοῦσαι Πιερίδες“ καὶ ὁ Ἀρχίλοχος

*Αὐτὸς ἐξάρχων πρὸς αὐλὸν Λέσβιον παιήονα.*

καλεῖ δὲ Στησίχορος μὲν τὴν Μοῦσαν ἀρχεσίμολπον, Πίνδαρος δ' ἀγησίχορα τὰ προοίμια. Διόδωρος δ' ὁ Ἀριστοφάνειος ὅλον τὸν γάμον περιέγραψε, τοπάζων πρώτας ἡμέρας εἶναι, καὶ τὸ λῆγον αὐτῶν, ἔτι δὲ καὶ τὸ ἴωλον τῆς συμποσίας οὐκ ἐπιλογιζόμενος. ἔπειτα κελεύει γράφειν „δοιὼ δὲ κυβιστητῆρε καθ' αὐτοὺς“ ἐν τῷ δασεῖ γράμματι, συ-

---

*μὴ συνέντες*] *μὴ* in margine habet P. *Τὸν δ' εὗρον*] Odyss. δ, 3. *δαινύντα* AC. *δαινῦντα* PVL.

180 d. V. 1. *δαίνυντο καθ' ὑψιρεφὲς* B. *ὑψηρεφὲς* P. V. 2. *ἔται*] *ἑταῖροι* B. V. 3. *σφιν*] *σφισιν* P. V. 4. *δοιὼ*] *δύο* AB hic et infra. *δύω* P. *κυβιστητῆρε*] *κυβιστῆρες* P. V. 5. *μέσσου*] *μέσους* BP. *μέσσον* apud Homerum. *κατὰ μέσσους* Iliad. σ, 606. *μετενεγκόντες ἐκ τῆς Ὁπλοποιίας σὺν αὐτῷ*] *παρεγγράψαντες* (*παραγράψαντες* Eustathius et epit. Hoeschel.) *ταῦτα ἐκ τοῦ κρητικοῦ χοροῦ τῆς ἐν Ἰλιάδι ὁπλοποιίας* (*ὁπλοφορίας* epit. Hoeschel.) *σὺν αὐτῷ* C et Eustathius p. 1480, 18. quae partim ex 180 f. huc traducta sunt. *γε τῷ*] *γε* om. Eustathius. *κυβιστητῆρες*] *κυβιστῆρες* BP. *ὠρχοῦντο*] *ὀρχοῦντο* P.

180 e. *Ἀσπίδι*] V. 205. *Ἀρχίλοχος*] Fragm. 50. p. 311. *ἀγησίχορον* B. *Πίνδαρος*] Pyth. I, 6. *ἡγησίχορα* C. *ὅλον τε τὸν γάμον περιγράφει καὶ κελεύει γράφειν* C et Eustathius p. 1480, 24.

180 f. *δύο* (*δύω* P) *δὲ κυβιστῆρες* BP.

λογίζειν ἀναγκάζων. τὸ μὲν γὰρ κατ' αὐτοὺς κατὰ σφᾶς ἐστιν αὐτούς, τὸ δὲ λέγειν ἑαυτοὺς σόλοικον.

10. Ἀλλ' ὅπερ εἶπον, ἡ τῶν ἀκροαμάτων εἰς τὸ σῶφρον τοῦτο συμπόσιον εἰσαγωγὴ παρέγγραφός ἐστιν ἐκ τοῦ Κρητικοῦ χοροῦ μετενηνεγμένη, περὶ οὗ φησιν ἐν Ὁπλο-
181 ποιίᾳ

Ἐν δὲ χορὸν ποίκιλλε περικλυτὸς Ἀμφιγυήεις,
τῷ ἴκελον, οἷόν ποτ' ἐνὶ Κνωσσῷ εὐρείῃ
Δαίδαλος ἤσκησεν καλλιπλοκάμῳ Ἀριάδνῃ.
ἔνθα μὲν ἠίθεοι καὶ παρθένοι ἀλφεσίβοιαι
ὀρχεῦντ', ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχουσαι.

τούτοις γὰρ ἐπιβάλλει

Πολλὸς δ' ἱμερόεντα χορὸν περιίσταθ' ὅμιλος
b τερπόμενος· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς
μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους.

τοῖς μὲν οὖν Κρησὶν ἥ τε ὄρχησις ἐπιχώριος καὶ τὸ κυβιστᾶν. διό φησι πρὸς τὸν Κρῆτα Μηριόνην·

Μηριόνη, τάχα κέν σε, καὶ ὀρχηστήν περ ἐόντα,
ἔγχος ἐμὸν κατέπαυσε διαμπερές, εἴ σ' ἔβαλόν περ.

ὅθεν καὶ Κρητικὰ καλοῦσι τὰ ὑπορχήματα.

Κρῆτα μὲν καλέουσι τρόπον·
τὸ δ' ὄργανον Μολοσσόν.

---

ἡ τῶν B et Schweigh. editio. οἱ τῶν PVL.

181 a. Ἐν δὲ χορὸν] Iliad. σ, 590. Hos versus om. C. V. 2. ἐν κνωσσῷ B. V. 3. ἤσκησεν AP. ἤσκησε VL. V. 4. ἀλφεσίβοια BV. V. 5. ὠρχεῦντ' A. ὀρχεῦντ' PVL. ἔχουσαι] ἔχοντες Homerus. ἐπιβάλλει] V. 603. V. 1. Πολλὸς] πολλοῖς BP.

181 b. V. 2. τερπόμενοι Homerus. δύο δὲ κυβιστῆρε B. δύω δὲ κυβιστῆρες P. Μηριόνη] Iliad. π, 617. τάχα μέν σε B. εἰσέβαλόν πως B. Κρητικὰ καλοῦσι τὰ] τὰ κρη[illegible]κὰ C. Quod sequitur Simonidis fragmentum esse ex loco corrupto Plutarchi Quaest. symp. p. 748. recte collegit Schweigh. κρῆται CP. κρῆτα VL et Plutarchus. Eustathius p. 1166, 49. ὁ δὲ τρόπος κρήτας, ὡς ἂν εἴποι τις, κρητικός. καὶ ἔστι Δωρικὸν τοὔνομα, ὅμοιον τῷ Νικίτας καὶ Φιλήτας, ὧν τὰ κοινὰ Νικήτης καὶ Φιλήτης. μὲν P et Plutarchus. μὴν VL. τε C. μιν Casaubonus. τρόπον] τὸν τρόπον C. Alterum versum non habet Plutarchus. τὸ δ'] καὶ τὸ C.

c „Οἱ δὲ Λακωνισταὶ λεγόμενοι (φησὶν ὁ Τίμαιος) ἐν τετραγώνοις χοροῖς ᾖδον.“ καθόλου δὲ διάφορος ἦν ἡ μουσικὴ παρὰ τοῖς Ἕλλησι, τῶν μὲν Ἀθηναίων τοὺς Διονυσιακοὺς χοροὺς καὶ τοὺς κυκλίους προτιμώντων, Συρακοσίων δὲ τοὺς ἰαμβιστάς, ἄλλων δ' ἄλλο τι.

Ὁ δ' Ἀρίσταρχος οὐ μόνον εἰς τὸ τοῦ Μενελάου συμπόσιον ἐμβαλὼν οὓς οὐ προσῆκε στίχους καὶ τῆς Λακώνων παιδείας ἀλλότριον ἐποίησε καὶ τῆς τοῦ βασιλέως σωφροσύνης, ἀλλὰ καὶ τοῦ Κρητικοῦ χοροῦ τὸν ᾠδὸν d ἐξεῖλεν, ἐπιτεμὼν τὰ ποιήματα τὸν τρόπον τοῦτον

Πολλὸς δ' ἱμερόεντα χορὸν περιίσταθ' ὅμιλος
τερπόμενος· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς
μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους.

ὥστ' ἀνίατον γίνεσθαι παντάπασι τὸ ἐξάρχοντες, μηκέτι δυναμένης τῆς ἐπὶ τὸν ᾠδὸν ἀναφορᾶς σώζεσθαι.

11. Διότι δὲ οὐ πιθανὸν ἀκρόαμα παρὰ τῷ Μενελάῳ τυγχάνειν δῆλον ἐκ τοῦ δι' ὁμιλίας ὅλον τὸ συμπόσιον e περαίνεσθαι τῆς πρὸς ἀλλήλους, ὄνομα δὲ μηδὲν εἰρῆσθαι τοῦ ᾠδοῦ μηδὲ ᾠδὴν ἣν ᾖδε, μηδὲ προσέχειν τοὺς περὶ Τηλέμαχον αὐτῷ, καθάπερ δ' ἐν σιωπῇ τινι καὶ ἠρεμίᾳ κατανοεῖν μᾶλλον τὸν οἶκον· καίτοι γε πῶς οὐκ ἀπίθανον τοὺς τῶν φρονιμωτάτων υἱέας Ὀδυσσέως καὶ Νέστορος ἐπαριστέρους εἰσάγεσθαι, ὥστε τρόπον ἀγροίκων τινῶν μὴ προσέχειν τοῖς παρεσκευασμένοις ἀκροάμασιν; ὁ γοῦν Ὀδυσσεὺς προσέχει τοῖς τῶν Φαιάκων ᾀσματοποιοῖς

Αὐτὰρ Ὀδυσσεὺς.

---

181 c. λακωνισταὶ λεγόμενοι B. λεγόμενοι λακωνισταὶ PVL. διάφορος] διάφορον B. Συρακοσίων] Scribebatur Συρακουσίων. δὲ τοὺς] δὲ om. B. ἄλλων δ' ἄλλο τι] ἄλλος δ' ἄλλοτι B. Proxima sic contraxit C, ὅτι ἐν τοῖς φθάσασι ῥηθῆναι ὁμηρικοῖς ἔπεσιν, ἀνίατον παντάπασι τὸ ἐξάρχοντες, μὴ δυναμένης τῆς ἐπὶ τὸν ᾠδὸν ἀναφορᾶς σώζεσθαι. κεῖται δὲ κρεῖττον ἐν Ἰλιάδι, προηγουμένου τοῦ, πολλὸς δ' — ὅμιλος.

181 d. δύο (δύω P) δὲ κυβιστῆρε BP. ὥστ' ἀνίατον — ἐξάρχοντες om. B.

181 e. μηδὲ ᾠδὴν Schweigh. editio. μὴ ᾠδὴν PVL. ἠρεμίᾳ] ἐρημίᾳ P. Αὐτὰρ] Odyss. θ, 264.

f μαρμαρυγὰς θηεῖτο ποδῶν, θαύμαζε δὲ θυμῷ·
καίπερ ἔχων πολλὰ τὰ περιέλκοντα καὶ δυνάμενος εἰπεῖν
Κήδεά μοι καὶ μᾶλλον ἐνὶ φρεσὶν ἤπερ ἀοιδαί.
πῶς οὖν οὐκ ἂν ἀβέλτερος εἴη ὁ Τηλέμαχος ᾠδοῦ παρόντος καὶ κυβιστητῆρος προσκύπτων πρὸς τὸν Πεισίστρατον καὶ τῶν σκευῶν διατιθέμενος; ἀλλ' Ὅμηρος ὥσπερ ἀγα-
182 θὸς ζωγράφος πάντα ὅμοιον τῷ πατρὶ τὸν Τηλέμαχον παρίστησι. πεποίηκε γοῦν ἀμφοτέρους, τὸν μὲν τῷ Ἀλκινόῳ, τὸν δὲ τῷ Μενελάῳ, διὰ δακρύων γνωριζομένους.

12. Ἐν δὲ τῷ Ἐπικούρου συμποσίῳ κολάκων ἐστὶν ἄγυρις ἀλλήλους ἐπαινούντων, τὸ δὲ Πλάτωνος πλῆρές ἐστι μυκτηριστῶν ἀλλήλους τωθαζόντων· τὸν γὰρ περὶ Ἀλκιβιάδου λόγον σιωπῶ. παρὰ δ' Ὁμήρῳ κεκρότηται τὰ σώφρονα συμπόσια. καὶ ποτὲ μὲν ἐπῄνεσέ τις φήσας πρὸς τὸν Μενέλαον ὡς οὐ τολμῶ λέγειν
b ἄντα σέθεν, τοῦ νῶϊ θεοῦ ὣς τερπόμεθ' αὐδῇ,
ὁ δ' ἐπελάβετό τινος τῶν οὐκ ὀρθῶς λεγομένων ἢ γιγνομένων
Καὶ νῦν, εἴ τί που ἐστί, πίθοιό μοι· οὐ γὰρ ἔγωγε
τέρπομ' ὀδυρόμενος μεταδόρπιος.
ὁ δὲ πάλιν
Τηλέμαχε, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.
187 οὔτε γὰρ κόλακα πρέπον ἐστὶν εἶναι οὔτε μυκτηριστήν.
c πάλιν Ἐπίκουρος ἐν τῷ Συμποσίῳ ζητεῖ περὶ δυσπεψίας, ὥστ' οἰωνίσασθαι· εἶθ' ἑξῆς περὶ πυρετῶν. τὴν μὲν γὰρ ἐπιτρέχουσαν τῇ λέξει ἀρρυθμίαν τί δεῖ καὶ λέγειν; Πλάτων δὲ — τὸν μὲν ὑπὸ τῆς λυγγὸς ὀχλούμενον καὶ θερα-

---

181 f. Κήδεα] Odyss. θ, 154. ubi ἤπερ ἄεθλοι. καὶ κυβιστῆρος BP. προσκύπτων πρὸς τὸν Πεισίστρατον] Odyss. δ, 69.

182 a. τὸν μὲν] Odyss. θ, 521. τὸν δὲ] Odyss. δ, 113. Ἐπικούρου] ἐπικούρῳ B. περὶ] παρ' B. περὶ in margine habet P. ἐπῄνεσέ τις] Telemachus Odyss. δ, 160. τολμῶ] τολμῶν DQ.

182 b. του νῶ θεοῦ B. τοῦ νω θεοῦ P. γινομένων B. Καὶ νῦν] Odyss. δ, 193. Τηλέμαχε] Odyss. γ, 230.

187 c. ἀρρυθμίαν BC. ἀρυθμίαν PVL. πλάτων τε τὸν ὑπὸ τῆς λυγγὸς C. Πλάτων] Πλάτωνι Villebrunius. τὸν μὲν] τὸν μὲν γὰρ Casaubonus. ὀχλούμενον] Aristophanem p. 185 d.

πενόμενον ἀνακογχυλιασμοῖς ὕδατος, ἐν δὲ ταῖς ὑποθήκαις
τοῦ κάρφους, ἵνα τὴν ῥῖνα κινήσας πτάρῃ, παρίημι· κω-
μῳδεῖν γὰρ ἤθελε καὶ διασύρειν — χλευάζει τε τὰ ἰσό-
κωλα τὰ Ἀγάθωνος καὶ τὰ ἀντίθετα, καὶ τὸν Ἀλκιβιάδην
δὲ παράγει λέγοντα ὅτι πασχητιᾷ. ἀλλ' ὅμως τοιαῦτα γρά-
d φοντες τὸν Ὅμηρον ἐκβάλλουσι τῶν πόλεων. ἀλλ' οὔτ'
ἐκ θύμβρας, ἔφη Δημοχάρης, λόγχη οὔτ' ἐκ τοιούτων
λόγων ἀνὴρ ἀγαθὸς γίνεται. οὐ μόνον δ' Ἀλκιβιάδην δια-
σύρει, ἀλλὰ καὶ Χαρμίδην καὶ Εὐθύδημον καὶ ἄλλους πολ-
λοὺς τῶν νέων. τοῦτο δὲ κωμῳδοῦντός ἐστι τὴν Ἀθηναίων
πόλιν, τὸ τῆς Ἑλλάδος μουσεῖον, ἣν ὁ μὲν Πίνδαρος,
Ἑλλάδος ἔρεισμα ἔφη, Θουκυδίδης δ' ἐν τῷ εἰς Εὐριπίδην
ἐπιγράμματι Ἑλλάδος Ἑλλάδα, ὁ δὲ Πύθιος ἑστίαν καὶ
e πρυτανεῖον τῶν Ἑλλήνων. διότι τοίνυν κατέψευσται τῶν
νεανίσκων πάρεστι σκοπεῖν ἐξ αὐτοῦ τοῦ Πλάτωνος. τὸν
μὲν γὰρ Ἀλκιβιάδην φησὶν ἐν τῷ ὁμωνύμῳ διαλόγῳ πα-
ρακμάσαντα τότε πρῶτον ἄρξασθαι Σωκράτει λαλεῖν, ὅτε
πάντες αὐτὸν κατέλιπον οἱ τοῦ σώματος ἐπιθυμηταί. λέγει
γὰρ ταῦτα κατ' ἀρχὰς τοῦ διαλόγου. τὰ δ' ἐν τῷ Χαρ-
μίδῃ ἐναντιώματα ἐξ αὐτοῦ τοῦ διαλόγου ὁ βουλόμενος
εἴσεται. ποιεῖ γὰρ αὐτὸν ἀσυμφώνως ποτὲ μὲν σκοτοδι-
f νιῶντα καὶ μεθυσκόμενον τῷ τοῦ παιδὸς ἔρωτι καὶ γινόμε-
νον ἔξεδρον, καὶ καθάπερ νεβρὸν ὑποπεπτωκότα λέοντος
ἀλκῇ, ἅμα δὲ καταφρονεῖν φησι τῆς ὥρας αὐτοῦ.

---

ἐν δὲ ταῖς ὑποθήκαις] Corrigendum videtur ἔτι δὲ τὰς ὑποθήκας. ὑποθήκαις] ὑποθέσεσι ex epitome memorat Casaubonus. In C compendiose scriptum, sed ut nihil aliud quam ὑποθήκαις significari possit. Ἀγάθωνος] P. 197 d. τὰ ἀντίθετα] τὰ om. BP. Ἀλκιβιάδην] P. 217 a. ἀλκιβιάδη P.

187 d. οὔτε ἐν θύμβρας B. Δημοχάρης] Conf. p. 215 c. ἀλκιβιάδην PVL. ἀλκιβιάδη AC. Πίνδαρος] Fr. 46., p. 579. Ἑλλάδος ἔρεισμα — ἐπιγράμματι add. ABCPL et membranae Casauboni. om. V. ἔφη] φησὶ P. Θουκυδίδης] Antholog. Palat. vol. I. p. 320. ὁ δὲ Πύθιος] Conf. VI. p. 254 b. et Aelian. V. H. IV, 6.

187 e. σκοπεῖν] νοεῖν C. διαλόγῳ] Alcibiadem primum dicit. ἄρξασθαι A. ἄρξαντα PVL. αὐτὸν] Socratem.

187 f. νεβρὸν AC. νευρὸν epitome Hoeschel. νεκρὸν PVL. Vide Platonem p. 155 d.

13. Ἀλλὰ μὴν καὶ τὸ Ξενοφῶντος Συμπόσιον, καίπερ ἐπαινούμενον, οὐκ ἐλάττους ἔχει τούτων ἐπιλήψεις. Καλλίας μὲν γὰρ συνάγει τὸ συμπόσιον, ἐπειδήπερ τὰ παιδικὰ αὐτοῦ Αὐτόλυκος Παναθήναια παγκράτιον ἐστεφανώθη. καὶ εὐθὺς οἱ κατακλιθέντες τῷ παιδὶ προσέχουσι
188 τὸν νοῦν, καὶ ταῦτα τοῦ πατρὸς παρακαθημένου. „Ὥσπερ γάρ, ὅταν φέγγος ἐν νυκτὶ παρῇ, πάντων προσάγεται τὰ ὄμματα, οὕτω καὶ τὸ Αὐτολύκου κάλλος πάντων ἐφέλκεται τὰς ὄψεις ἐφ' ἑαυτό. ἔπειτα τῶν παρόντων οὐδεὶς ἦν ὃς οὐκ ἔπασχέ τι τὴν ψυχὴν ὑπ' ἐκείνου· οἱ μέν γε σιωπηλότεροι ἐγίγνοντο, οἱ δὲ καὶ ἐσχηματίζοντό πως.“ ἀλλ' οὐχ Ὅμηρος τοιοῦτόν τι εἰπεῖν ἐπεχείρησε, καίπερ τῆς Ἑλένης παρούσης, περὶ ἧς τοῦ κάλλους τὶς τῶν ἐναντίων αὐτῇ τοιαῦτ' εἶπεν ὑπὸ τῆς ἀληθείας ἐκνικώμενος

b Οὐ νέμεσις Τρῶας καὶ ἐϋκνήμιδας Ἀχαιοὺς
τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν·
αἰνῶς ἀθανάτῃσι θεῇς εἰς ὦπα ἔοικεν.

εἶτά φησιν

Ἀλλὰ καὶ ὥς, τοίηπερ ἐοῦσ', ἐν νηυσὶ νεέσθω.

τὰ δὲ μειράκια τὰ ὡς τὸν Μενέλαον παραγενόμενα, ὁ Νέστορος υἱὸς καὶ ὁ Τηλέμαχος, ἐν οἴνῳ ὄντες καὶ ἐν γαμικῷ συμποσίῳ διατρίβοντες, καὶ τῆς Ἑλένης παρακα-
c θημένης, ὡς πρέπον ἐστὶν ἡσυχίαν ἄγοντες πρὸς τὸ περιβόητον ἐκκεκωφωμένοι κάλλος. ὁ δὲ Σωκράτης τίνος χάριν τῶν αὐλητρίδων ἀνεχόμενος καὶ τοῦ ὀρχουμένου παιδὸς καὶ κιθαρίζοντος, ἔτι δὲ καὶ τῆς κυβιστώσης γυναικὸς ἀπρεπῶς, τὸ μύρον ἀπείπατο; οὐδεὶς γὰρ ἂν αὐτοῦ ἀγελαστὶ ἠνέσχετο κατὰ νοῦν ἔχων ταῦτα τὰ ἔπη

---

188 a. Ὥσπερ] Xenophon Sympos. I, 9. τὰς ὄψεις ABCP. τὰς om. VL. ἦν om. P. οἱ μέν — πως om. C. ἐσχηματίζοντο L. ἐσχημάτιζον BPV. ἀλλ' οὐχ ὅμηρος τοιοῦτόν τι ἐπεχείρησεν εἰπεῖν. καίπερ δὲ τῆς ἑλένης παρούσης περὶ τοῦ κάλλους C. καίπερ Casaubonus. καὶ περὶ PVL. περὶ τῆς τοῦ AB, quod in περὶ ἧς τοῦ mutavi. περὶ τῆς τοῦ etiam P, sed τῆς deleto. περὶ τοῦ VL. Locus Homericus Iliad. γ, 156.

188 b. τρῶας καὶ B. τρῶάς τε καὶ PVL. Scribebatur εὐκνήμιδας.

188 c. ἄγοντες ABPV. ἄγουσι CL et epitome Hoeschelii. τὸ μύρον ἀπείπατο] Xenophon Sympos. II, 3. οὐδεὶς γὰρ ABC. οὐδὲ γὰρ P. οὐ γὰρ VL. ἔπη] Aristophanis Nub. v. 103.

Τοὺς ὠχριῶντας, τοὺς ἀνυποδήτους λέγεις,
ὧν ὁ κακοδαίμων Σωκράτης καὶ Χαιρεφῶν.

καὶ μὴν ἀσύμφωνα καὶ τὰ μετὰ ταῦτα τῇ αὐστηρότητι. d ὁ γὰρ δὴ Κριτόβουλος, μειράκιον ἀστεῖον, γέροντα καὶ διδάσκαλον αὐτοῦ τὸν Σωκράτη σκώπτει πολὺ τῶν Σειληνῶν αἰσχίονα λέγων εἶναι. ὁ δὲ αὐτῷ διαμορφοσκοπεῖται καὶ κριτὰς ἑλόμενος τόν τε παῖδα καὶ τὴν ὀρχηστρίδα προτίθησι νικητήρια φιλήματα τῶν κριτῶν. τίς οὖν τῶν νέων ἐντυχὼν τούτοις οὐκ ἐπιτριβήσεται μᾶλλον ἤπερ εἰς ἀρετὴν προαχθείη;

14. Παρὰ δ' Ὁμήρῳ ἐν τῷ τοῦ Μενελάου συμποσίῳ προβάλλουσιν ἀλλήλοις ὥσπερ ἐν διατριβῇ ζητήματα, καὶ πολιτικῶς ὁμιλοῦντες τέρπουσιν ἀλλήλους καὶ ἡμᾶς. ὁ γοῦν Μενέλαος παραγενομένων ἐκ τοῦ λουτρῶνος τῶν περὶ τὸν Τηλέμαχον καὶ τῶν περὶ τὴν ἐδωδὴν παρατεθέντων παρακαλεῖ μεταλαμβάνειν λέγων τάδε

Σίτου δ' ἅπτεσθον καὶ χαίρετον, αὐτὰρ ἔπειτα
δείπνου πασσαμένω εἰρησόμεθ' οἵτινές ἐστόν.

ἔπειτα προσεπιδίδωσι τῶν παρακειμένων αὐτῷ φιλανθρωπευόμενος

Ὣς φάτο, καί σφιν νῶτα βοὸς παρὰ πίονα θῆκεν
ὄπτ' ἐν χερσὶν ἑλών, τά ῥά οἱ γέρα πάρθεσαν αὐτῷ.

φαγόντες δ' ἐκεῖνοι μετὰ σιωπῆς, ὡς πρέπει νέοις, ἀλλήλοις ὁμιλοῦσιν ἠρέμα προσκύψαντες, οὐ περὶ ἐδεσμάτων, φησίν, οὐδὲ περὶ θεραπαινῶν τοῦ κεκληκότος, ὑφ' ὧν ἐλούσαντο, περὶ δὲ τῶν κτημάτων τοῦ ὑποδεξαμένου

Ζηνός που τοιαῦτα δόμοις ἐν κτήματα κεῖται.

βέλτιον γὰρ οὕτως φησὶν ὁ Σέλευκος γράφεσθαι. Ἀρίσταρχος δὲ οὐ δεόντως γράφει

---

ὠχριῶντας] ωντας (sic) B.

188 d. σωκράτη VL. σωκράτην BP. σκώπτει] Xenophon Sympos. IV, 19. αἰσχίονα ABC. αἰσχίω PVL. ὁ δὲ] ἰδὲ B. ὀρχηστρίδα BC. ὀρχηστίδα PVL. διατριβῆς ζητήματι B.

188 e. Σίτου] Odyss. δ, 60. πασσαμένω] πασσαμένου A. παυσαμένου BP. σφιν νῶτα] σφῖν ὦτα B.

188 f. φησὶν PL. φασὶν V. Ζηνός] Odyss. δ, 74. ubi vide Eustathium p. 1483, 40., qui plura ex Athenaeo repetiit.

189 *Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή.*

οὐ γὰρ τῆς οἰκίας τὸ κάλλος μόνον ἀποθαυμάζουσι. πῶς γὰρ ἤλεκτρον καὶ ἄργυρος καὶ ἐλέφας ἐν τοῖς τοίχοις ἦν; ἀλλὰ τὰ μὲν περὶ τοῦ οἴκου εἰρήκασιν, ὡς ἔστι „δώματα ἠχήεντα.“ τοιαῦτα γὰρ δὴ τὰ ὑψόροφα καὶ μεγάλα. περὶ δὲ τῶν σκευῶν τὸ

*Χρυσοῦ τ' ἠλέκτρου τε καὶ ἀργύρου ἠδ' ἐλέφαντος.*

οἷς εἰκότως ἐπιφέρεται

*Ζηνός που τοιαῦτα δόμοις ἐν κτήματα κεῖται,*
b *ὅσσα τάδ' ἄσπετα πολλά, σέβας μ' ἔχει εἰσορόωντα.*

οὐκ ἔστι δ' ἀκόλουθον τῷ

*Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή*

ἐπιφέρειν

*Ὅσσα τάδ' ἄσπετα πολλά·*

σόλοικον ὂν τῷ ἀσυνήθει τῆς ἀναγνώσεως.

15. Ἔτι τοίνυν οὐδ' ἡ αὐλὴ ἁρμόττει ἐπὶ τοῦ οἴκου. ὁ γὰρ διαπνεόμενος τόπος αὐλὴ λέγεται. καὶ διαυλωνίζειν φαμὲν τὸ δεχόμενον ἐξ ἑκατέρου πνεῦμα χωρίον. ἔτι δὲ αὐλὸς
c μὲν τὸ ὄργανον ᾧ διέρχεται τὸ πνεῦμα, καὶ πᾶν τὸ διατεταμένον εἰς εὐθύτητα σχῆμα αὐλὸν καλοῦμεν, ὥσπερ τὸ στάδιον καὶ τὸν κρουνὸν τοῦ αἵματος

*Αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθε.*

καὶ τὴν περικεφαλαίαν, ὅταν ἐκ τοῦ μέσου πρὸς ὀρθὸν ἀνατείνῃ, αὐλῶπιν. λέγονται δὲ Ἀθήνησι καὶ ἱεροί τινες αὐλῶνες, ὧν μέμνηται Φιλόχορος ἐν τῇ ἐνάτῃ. καλοῦσι δ' ἀρσενικῶς τοὺς αὐλῶνας, ὥσπερ Θουκυδίδης ἐν τῇ τετάρτῃ καὶ πάντες οἱ καταλογάδην συγγραφεῖς, οἱ δὲ ποιηταὶ θη-
d λυκῶς. Καρκίνος μὲν Ἀχιλλεῖ

*Βαθεῖαν εἰς αὐλῶνα περίδρομον στρατοῦ.*

καὶ Σοφοκλῆς Σκύθαις

---

189 a. ὑψόροφα VL. ὑψόῤῥοφα BP et Schweigh. editio. ἐπιφέρεται] ἐπιφέρει P.

189 b. ἀκόλουθον τῷ] ἀκόλουθον τὸ P. ἐπιφέρειν om. P. τὸ ὄργανον] τῷ ὄργανον P.

189 c. διατεταμένον] διατεταγμένον P. Αὐτίκα] Odyss. χ 18. ἐνάτῃ B. ἐννάτῃ VL. θ' P. τετάρτῃ] Cap. 103.

189 d. Καρκίνος] Scribebatur Καρκῖνος. Σκύθαις] Fr. 3, p. 650.

Κρημνούς τε καὶ σήραγγας ἠδ' ἐπακτίας
αὐλῶνας.

ἐκδεκτέον οὖν καὶ τὸ παρ' Ἐρατοσθένει ἐν τῷ Ἑρμῇ θηλυκῶς εἰρῆσθαι „Βαθὺς διαφύεται αὐλών“ ἀντὶ τοῦ βαθεῖα, καθάπερ λέγεται θῆλυς ἐέρση. πᾶν οὖν τὸ τοιοῦτον
e αὐλή τε καὶ αὐλὼν λέγεται. νῦν δὲ τὰ βασίλεια λέγουσιν αὐλάς· ὥσπερ Μένανδρος

Αὐλὰς θεραπεύειν καὶ σατράπας.

καὶ Δίφιλος

Αὐλὰς θεραπεύειν δ' ἐστὶν, ὡς ἐμοὶ δοκεῖ,
ἢ φυγάδος, ἢ πεινῶντος, ἢ μαστιγίου.

ἤτοι διὰ τὸ μεγάλους ἔχειν τοὺς πρὸ τῶν οἴκων ὑπαιθρίους τόπους, ἢ τῷ παραυλίζεσθαι καὶ παρακοιμᾶσθαι τοὺς δορυφόρους τοῖς βασιλείοις. Ὅμηρος δὲ τὴν αὐλὴν ἀεὶ τάττει ἐπὶ τῶν ὑπαίθρων τόπων, ἔνθα ἦν ὁ τοῦ ἑρκείου Ζηνὸς βωμός. ὁ μέντοι γε Πηλεὺς καταλαμβάνεται

Αὐλῆς ἐν χόρτῳ· ἔχε δὲ χρύσειον ἄλεισον,
σπένδων αἴθοπα οἶνον ἐπ' αἰθομένοις ἱεροῖσι·

ὁ δὲ Πρίαμος

Αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον,

καὶ ὁ Ὀδυσσεὺς προστάττει τοῖς περὶ τὸν Φήμιον

Ἀλλ' ἐξελθόντες μεγάρων εὖ ναιεταόντων
ἐκ φόνου εἰς αὐλήν.

ὅτι δὲ ὁμοῦ τόν τε οἶκον καὶ τὰ κτήματα ἐπήνεσεν ὁ Τηλέμαχος ἐμφανίζει ὁ Μενέλαος

Τέκνα φίλ', ἤτοι Ζηνὶ βροτῶν οὐκ ἄν τις ἐρίζοι·
ἀθάνατοι γάρ τοῦ γε δόμοι καὶ κτήματ' ἔασιν.

16. Ἀλλὰ γὰρ ἐπανιτέον ἐπὶ τὸ συμπόσιον, ἐν ᾧ Ὅμηρος ἐπιδεξίως ἀφορμὴν εὗρε λόγων, ὥστε κτῆσιν συγκρί-

---

θῆλυς ἐέρση] Hesiodi Scut. v. 395.

189 e. Μένανδρος] P. 283. καὶ Δίφιλος] καὶ om. B. αὐλὰς] αὐλὸς B. δ' ἐστὶν ABP. δ' om. VL. βασιλείοις] βασιλείοις B. Ὅμηρος] Odyss. χ, 334.

189 f. Πηλεὺς] Iliad. λ, 774. ἐπαιθομένοις P. Πρίαμος] Iliad. ω, 640. κυλινδόμενος] Scribebatur κυλινδούμενος. Ὀδυσσεὺς] Odyss. χ, 375. εὖ ναιεταόντων] ἔξεσθε θύραζε Homerus.

190 a. Μενέλαος] Odyss. δ, 78. Post ἔασιν C sic pergit, ς καὶ ἐπεὶ ἤκουσε τῶν ἐπαίνων.

ναι φίλου. οὐ γὰρ ὡς πρόβλημα προτείνει, ἀλλ' ἐπιχαρίτως παρενείρας ὁ Μενέλαος, ἐπειδὴ ἤκουσε τῶν ἐπαίνων,
b τὸ μὲν εἶναι πλούσιος οὐκ ἀρνεῖται· κἀνταῦθα δὲ περιελὼν τὸν φθόνον, πολλὰ γάρ, φησί, παθὼν ἔχειν αὐτόν. οὐ μέντοι γε ἀξιοῖ ἑαυτὸν θεοῖς συγκρίνειν

Ἀθάνατοι γὰρ τοῦ γε δόμοι καὶ κτήματ' ἔασιν.

ἐνδειξάμενος δὲ φιλάδελφον ἦθος καὶ μετ' ἀνάγκης φήσας ζῆν τε καὶ πλουτεῖν ἀντιπαρέθηκε τὸν τῆς φιλίας λόγον

Ὧν ὄφελον τριτάτην περ ἔχων ἐν δώμασι μοῖραν
c ναίειν, οἱ δ' ἄνδρες σόοι ἔμμεναι, οἳ τότ' ὄλοντο
Τροίῃ ἐν εὐρείῃ ἑκὰς Ἄργεος ἱπποβότοιο.

τίς ἂν οὖν τῶν ἐκγόνων ἐκείνων τῶν ὑπὲρ τοῦ τοιούτου τεθνηκότων οὐκ ἂν ἀνταξίαν δόξειε τὴν ἐπὶ τῇ στερήσει τοῦ πατρὸς λύπην τῇ τοῦ πατρὸς εὐχαρίστῳ μνήμῃ διορθουμένην; ὅπως δὲ μὴ δόξῃ κοινὸς εἶναι πρὸς πάντας τοὺς παραπλησίως αὐτῷ τὴν εὔνοιαν ἐνδεδειγμένους, ἐπήνεγκε

Τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ,
d ὡς ἑνός, ὅστε μοι ὕπνον ἀπεχθαίρει καὶ ἐδωδήν.

ἵνα δὲ μὴ φαίνηται μηδενὸς τῶν ἐκείνου παραμελῶν, ἐμνήσθη κατ' ὄνομα

Ὀδύρονται νύ που αὐτὸν
Λαέρτης θ' ὁ γέρων καὶ ἐχέφρων Πηνελόπεια,
Τηλέμαχός θ', ὃν ἔλειπε νέον γεγαῶτ' ἐνὶ οἴκῳ.

τοῦ δὲ δακρύσαντος πρὸς τὴν μνήμην ὁ μὲν ἐφίστησι, κἂν τοσούτῳ τῆς Ἑλένης ἐπεισόδῳ, κἀκείνης ἐκ τῆς ὁμοιώ-

---

παρενείρας VL. παρείρας ABP.

190 b. πολλὰ — παθὼν] Odyss. δ, 81. 95. μέντοι γε B. γε om. PVL. Ἀθάνατοι] Odyss. δ, 79. Hunc versum om. B. Ὧν L ex Odyss. δ, 97. ὧς V. ὡς BP. περ ἔχων] παρέχων BP.

190 c. σόοι] σῶοι P. οἳ ὤλοντο B. τίς ἂν οὖν τῶν ἐκγόνων ἐκείνων τῶν ὑπὲρ τοῦ τοιούτου θανόντων οὐκ ἂν ἀταξίαν δώσει τὴν ἐπὶ τῇ στερήσει τοῦ πατρὸς τῇ τοῦ πατρὸς εὐχαρίστῳ γνώμῃ διορθουμένην C. ὑπὲρ τοῦ τοιούτου τεθνηκότων] τεθνηκότων ὑπὲρ τοῦ τοιούτου P. ἀνταξίαν] ἀνταξίᾳ Schweigh. ἀνταξίως Turnebus et Casaubonus. δόξειεν τὴν ἐπὶ VL. δόξειεν ἐπὶ P.

190 d. μηδενὸς τῶν] μηδὲν ὀστῶν B. ἐπεισόδῳ VL. ἐπ' εἰσόδῳ P. ἐπεισόδιον C et epitome Hoeschel. ἐπεισιούσης Schweigh. κἂν τούτῳ τὸ τῆς Ἑλένης ἐπεισόδιον Casaubonus.

e τηπος τεκμηραμένης — πάνυ γὰρ αἱ γυναῖκες διὰ τὸ παρατηρεῖσθαι τὴν ἀλλήλων σωφροσύνην δειναὶ τὰς ὁμοιότητας τῶν παίδων πρὸς τοὺς γονέας ἐλέγξαι — παρεμβάλλοντός τινα λόγον καὶ τοῦ Πεισιστράτου, χρὴ γὰρ καὶ τοῦτον μὴ παρεῖναι δορυφορήματος τρόπον, καὶ διαλεχθέντος εὐσχημόνως περὶ τῆς αἰδοῦς τοῦ Τηλεμάχου, πάλιν ἐπιβάλλει ὁ Μενέλαος περὶ τῆς τοῦ Ὀδυσσέως φιλίας, ὅτι μετὰ μόνου καταγηράναι μάλιστ᾽ ἂν ἤθελεν ἐκείνου.

f 17. Κατὰ δὲ τὸ εἰκὸς οἱ μὲν δακρύουσιν, ἡ δ᾽ Ἑλένη, Διὸς οὖσα θυγάτηρ καὶ παρὰ τῶν ἐν Αἰγύπτῳ σοφῶν μεμαθηκυῖα πολλοὺς λόγους, εἰς τὸν οἶνον ἐμβάλλει πανακὲς τῷ ὄντι φάρμακον καὶ ἄρχεται διηγεῖσθαι τὰ περὶ τοῦ Ὀδυσσέως, μεταξὺ ταλασιουργίας ἁπτομένη, οὐ δι᾽ ἀρέσκειαν τοῦτο πράττουσα, ἀλλ᾽ οἴκοθεν ἔχουσα τὴν τοιαύτην αἵρεσιν. ἡ γοῦν Ἀφροδίτη ἐρχομένη πρὸς αὐτὴν μετὰ τὸ μονομάχιον εἰκάζεται

Γρηῒ δέ μιν εἰκυῖα παλαιγενέϊ προσέειπεν
εἰροκόμῳ, ἥ οἱ Λακεδαίμονι ναιετανούσῃ
ἤσκειν εἴρια καλά.

ἐμφανίζεται δ᾽ αὐτῆς οὐ παρέργως τὸ φίλεργον κἀκ τούτων

Τῇ δ᾽ ἄρ᾽ ἅμ᾽ Ἀδρήστη κλισίην εὔτυκτον ἔθηκεν·
Ἀλκίππη δὲ τάπητα φέρεν μαλακοῦ ἐρίοιο,
Φυλὼ δ᾽ ἀργύρεον τάλαρον φέρε, τόν οἱ ἔδωκεν
Ἀλκάνδρη, Πολύβοιο δάμαρ.
τόν ῥά οἱ ἀμφίπολος Φυλὼ παρέθηκε φέρουσα,
νήματος ἀσκητοῖο βεβυσμένον· αὐτὰρ ἐν αὐτῷ
ἠλακάτη τετάνυστο, ἰοδνεφὲς εἶρος ἔχουσα.

---

190 e. πάνυ γὰρ — ἐλέγξαι] Eustathius p. 1489, 22. παρατηρεῖσθαι] παρατηρῆσθαι B. μὴ παρεῖναι] μὴ om. C. μετὰ μόνου om. C. ἤθελεν ἐκείνου Schweigh. Legebatur ἤθελε μετ᾽. ἐκείνου.

190 f. πανακὲς AP. πάνακες VL. πανακὲς BC. Vide Odyss. δ, 221. ἔχουσα] ἔχουσαν B.

191 a. αὐτὴν] αὐτὸν B. μονομάχιον] Scribebatur μονομαχεῖον. Γρηῒ] Iliad. γ, 386. παλαιγενὲς B. ναιεταώσῃ Homerus. φίλεργον] φιλεργὸν P. Τῇ δ᾽ ἄρ᾽] Odyss. δ, 123. Ἀδρήστη] ἀδράστη BP.

191 b. V. 3. ἀργύρεον] ἀργύριον B. V. 4. Ἀλκάνδρη] ἀλκανδρίππη ABP. V. 6. ἐν αὐτῷ] ἐπ᾽ αὐτῷ Homerus.

ἔοικε δὲ καὶ αὐτὴ τὴν ἑαυτῆς καλλιτεχνίαν συνορᾶν. τῷ γοῦν Τηλεμάχῳ πέπλον τινὰ δωρουμένη φησὶ

c Δῶρόν τοι καὶ ἐγὼ, τέκνον φίλε, τοῦτο δίδωμι,
μνῆμ' Ἑλένης χειρῶν, πολυηράτου ἐς γάμου ὥρην,
σῇ δ' ἀλόχῳ φορέειν.

αὕτη δ' ἡ φιλεργία τὴν σωφροσύνην αὐτῆς καταμηνύει· οὐ χλιδῶσα γὰρ οὐδὲ θρυπτομένη διὰ τὸ κάλλος εἰσάγεται: εὑρίσκεται γοῦν περὶ ἱστὸν ὑφαίνουσα καὶ ποικίλλουσα·

Τὴν δ' εὗρ' ἐν μεγάρῳ· ἡ δὲ μέγαν ἱστὸν ὕφαινε,
d δίπλακα μαρμαρέην: πολέας δ' ἐνέπασσεν ἀέθλους
Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων,
οὓς ἕθεν εἵνεκ' ἔπασχον ὑπ' Ἄρηος παλαμάων.

18. Διδάσκει δ' ἡμᾶς Ὅμηρος ὅτι δεῖ καὶ τοὺς κεκλημένους ἐφ' ἑστίασιν παρακαλεῖν ἀπανίστασθαι τοὺς κεκληκότας. ὁ μὲν Τηλέμαχος τὸν Μενέλαον

Ἀλλ' ἄγετ', εἰς εὐνὴν τράπεθ' ἡμέας, ὄφρα καὶ ἤδη
ὕπνῳ ὑπὸ γλυκερῷ ταρπώμεθα κοιμηθέντες.

ἡ δὲ προσποιουμένη Μέντωρ εἶναι Ἀθηνᾶ πρὸς τὸν Νέστορα

e Ἀλλ' ἄγε, τάμνετε μὲν γλώσσας, κεράσασθε δὲ οἶνον,
ὄφρα Ποσειδάωνι καὶ ἄλλοις ἀθανάτοισιν
σπείσαντες κοίτοιο μεδώμεθα· τοῖο γὰρ ὥρη.

ἐν δὲ ταῖς τῶν θεῶν ἑορταῖς οὐδ' ὅσιον εἶναι δοκεῖ πλείω χρόνον παραμένειν. γνωμικῶς γοῦν φησι παρὰ τῷ Ὁμήρῳ ἡ Ἀθηνᾶ

Ἤδη γὰρ φάος οἴχεθ' ὑπὸ ζόφον, οὐδὲ ἔοικε
δηθὰ θεῶν ἐν δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι.

---

ἑαυτῆς] ἑαυτοῖς B. καλλιτεχνίαν A. φιλοτεχνίαν BCPVL.

191 c. Δῶρόν τοι] Odyss. ο, 125. ἐς γάμου BP. εἰς γάμου VL. σῇ δ'] δ' om. Homerus. ποικίλλουσα] ποικίλουσα B. Τὴν] Iliad. γ, 125.

191 d. μαρμαρέην] πορφυρέην Homerus. εἵνεκ' ABP. οὕνεκ' VL. Διδάσκει — κεκληκότας] Eustathius p. 1471, 40. Ἀλλ'] Odyss. δ, 294. ἡμέας] ὑμέας P. κοιμηθέντες] κοιμηθέντες B.

191 e. Ἀλλ'] Odyss. γ, 332. κεράσασθε BPV. κεράσεσθε L et Schweigh. editio. κεράασθε Homerus. Ἤδη] Odyss. γ, 335. θαασσέμεν] θεασσέεμεν B.

καὶ νῦν δὴ νόμος ἐκ θυσιῶν τινων πρὸ ἡλίου δύνοντος
f ἀπιέναι. καὶ παρ' Αἰγυπτίοις δὲ τὸ παλαιὸν σωφρονικῶς διεξήγετο τὸ τῶν συμποσίων γένος, καθάπερ εἴρηκεν Ἀπολλώνιος ὁ περὶ τούτων γεγραφώς. καθήμενοι μὲν γὰρ ἐδείπνουν, τροφῇ τῇ λιτοτάτῃ καὶ ὑγιεινοτάτῃ χρώμενοι καὶ οἴνῳ τοσούτῳ ὅσος ἱκανὸς ἂν γένοιτο πρὸς εὐθυμίαν, ἣν ὁ Πίνδαρος αἰτεῖται παρὰ τοῦ Διὸς

Τί δ' ἔρδων φίλος
σοί τε καρτεροβρόντα Κρονίδα, φίλος δὲ Μοίσαις
Εὐθυμίᾳ τε μέλων εἴην,
τοῦτ' αἴτημί σε.

192 τὸ δὲ Πλάτωνος συμπόσιον οὐ συνέδριόν ἐστιν, οὐ βουλευτήριον, οὐ λέσχη φιλοσόφων. Σωκράτης γὰρ οὐδὲ τοῦ συμποσίου ἀποστῆναι θέλει, καίτοι Ἐρυξιμάχου καὶ Φαίδρου καὶ ἄλλων τινῶν ἀποστάντων, ἀλλ' ἐγρήγορε μετ' Ἀγάθωνος καὶ Ἀριστοφάνους καὶ πίνει ἐξ ἀργυροῦ φρέατος· καλῶς γάρ τις τὰ μεγάλα ποτήρια οὕτως ὠνόμασε. πίνει τ' ἐκ τῆς φιάλης ἐπιδέξια. φησὶ δὲ καὶ μετὰ τοῦτο τοὺς μὲν δύο νυστάζειν, καταδαρθεῖν δὲ πρότερον τὸν
b Ἀριστοφάνη, ἤδη δὲ ἡμέρας ὑποφαινούσης τὸν Ἀγάθωνα· καὶ τὸν Σωκράτη κατακοιμήσαντα ἐκείνους ἀναστάντ' ἀπιέναι εἰς τὸ Λύκειον, ἐξόν, φησὶν ὁ Ἡρόδικος, εἰς τοὺς Ὁμήρου Λαιστρυγόνας,

Ἔνθα κ' ἄϋπνος ἀνὴρ δοιοὺς ἐξήρατο μισθούς.

19. Πᾶσα δὲ συμποσίου συναγωγὴ παρὰ τοῖς ἀρχαίοις τὴν αἰτίαν εἰς θεὸν ἀνέφερε, καὶ στεφάνοις ἐχρῶντο τοῖς οἰκείοις τῶν θεῶν καὶ ὕμνοις καὶ ᾠδαῖς. καὶ δοῦλος

---

καὶ νῦν δὴ — ἀπιέναι] Eustathius p. 1471, 39.

191 f. ὁ περὶ] BPV. ὁ om. L et Schweigh. editio. λιτοτάτῃ] λιτωτάτῃ AP. Πίνδαρος] Fr. 127. p. 632. Τί δ'] δ' om. B et Eustathius p. 1490, 38. μέλων Casaubonus. μελῶν PVL. αἴτημι ABC et Eustathius. αἰτοῦμαι PVL.

192 a. οὐ συνέδριον] ὃ συνέδριον B. ὁ συνέδριον P. καλῶς γάρ τις] Chamaeleo: vide XI. p. 461 c. πίνει τ' — εἰς τὸ Λύκειον] Plato Sympos. p. 213. 214. 223.

192 b. σωκράτη B. σωκράτην PVL. κατακοιμήσαντα] κατακοιμίσαντ' pars librorum in Platone p. 223 d. ἀναστάντ' B. ἀναστάντα PVL. Ἔνθα κ' ἄϋπνος] Odyss. κ, 84.

οὐδεὶς ἦν ὁ διακονήσων, ἀλλ᾽ οἱ νέοι τῶν ἐλευθέρων ᾠνοχόουν, ὡς ὁ τοῦ Μενελάου υἱὸς, καίτοι νυμφίος ὑπάρχων
c καὶ ἐν αὐτοῖς τοῖς γάμοις. παρὰ δὲ τῇ καλῇ Σαπφοῖ καὶ ὁ Ἑρμῆς οἰνοχοεῖ τοῖς θεοῖς. καὶ τἄλλα δὲ πάντα παρεσκεύαζον τοῖς δειπνοῦσιν ἐλεύθεροι. καὶ οἱ δειπνήσαντες ἀπελύοντο φωτὸς ὄντος. ἐν ἐνίοις δὲ καὶ τῶν Περσικῶν συμποσίων ἐγίνοντό τινες καὶ βουλαὶ, καθάπερ ἐν τῷ τοῦ Ἀγαμέμνονος κατὰ τὴν στρατείαν. τὸ δὲ τοῦ Ἀλκινόου συμπόσιον, πρὸς ὃ ἀποτέταται τοῦ Ὀδυσσέως ὁ λόγος

Οὐ γάρ ἔγωγέ τί φημι τέλος χαριέστερον εἶναι
d ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα,
δαιτυμόνες δ᾽ ἀνὰ δώματ᾽ ἀκουάζωνται ἀοιδοῦ.

ξένου ὑποδοχὴν ἔχει, ὄντων καὶ αὐτῶν τῶν Φαιάκων τρυφερῶν. ὅπερ συμβάλλων τις πρὸς τὰ τῶν φιλοσόφων συμπόσια κοσμιώτερον ἂν εὕροι, καίτοι τοῦτο περιέχον καὶ ἱλαρότητα καὶ παιδιὰν εὐσχήμονα. μετὰ γὰρ τὸν ἀγῶνα τὸν γυμνικὸν ᾄδει ὁ ᾠδὸς „ἀμφ᾽ Ἄρεος φιλότητα“ μῦθόν τινα χλεύῃ κεκραμένον καὶ εἰς τὴν μνηστηροφονίαν ὑποθήκας
e ὑποτιθέμενον τῷ Ὀδυσσεῖ, ὡς τοῦ Ἡφαίστου καὶ τοῦ κυλλοποδίωνος τὸν ἀνδρειότατον Ἄρη καταγωνισαμένου.

20. Ἐκαθέζοντο δὲ καὶ δειπνοῦντες οἱ τότε. πολλαχοῦ γοῦν ὁ Ὅμηρός φησιν

Ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε.

---

192 c. Σαπφοῖ] Conf. II. p. 39 a. et X. p. 425 d. τοῖς θεοῖς — ἐλεύθεροι add. ABCL et codex Corselianus apud Schott. Observ. hum. I. 6. p. 9. om. PV. τἄλλα δὲ πάντα] ταῦτα δὲ C et Corselianus. ἐλεύθεροι] ἐλευθέροις B. Περσικῶν] Vide IV. p. 144 a. τινες καὶ] τινα καὶ B. ὁ λόγος] ὁ om. BP. Οὐ γὰρ] Odyss. ι, 5.

192 d. τρυφερῶν] τρυφηλῶν C. συμβάλλων L. συμβάλων (sic) V. συμβαλὼν P. καίτοι τοῦτο] καὶ τοιοῦτο B. καὶ ἱλαρότητα] καὶ om. P. ἄρεος C cum Homero Odyss. θ, 267. ἄρεως PVL. φιλότητα] φιλότητος, ut in Homero est, in scripturae compendio codicis C videre sibi videbatur Schweigh. καὶ εἰς] καίτοι εἰς P.

192 e. ὑποθήκας ὑποτιθέμενον C. ὑποθηκῶν ὑποτιθεμένων PVL. κυκλωποδίωνος B. κυκλοποδίωνος P. Ἄρη] ἄρην B. ὁ Ὅμηρος] ὁ om. B. Ἑξείης] Odyss. α, 145. γ, 389.

ὁ γὰρ θρόνος αὐτὸ μόνον ἐλευθέριός ἐστι καθέδρα σὺν ὑποποδίῳ, ὅπερ θρῆνυν καλοῦντες ἐντεῦθεν αὐτὸν ὠνόμασαν θρόνον τοῦ θρήσασθαι χάριν, ὅπερ ἐπὶ τοῦ καθέζεσθαι τάσσουσιν, ὡς Φιλητᾶς

Θρήσασθαι πλατάνῳ γαίῃ ὕπο.

f ὁ δὲ κλισμὸς περιττοτέρως κεκόσμηται ἀνακλίσει. τούτων δ' εὐτελέστερος ἦν ὁ δίφρος. τῷ γοῦν Ὀδυσσεῖ ἐπαίτῃ εἶναι δοκοῦντι „δίφρον ἀεικέλιον, φησὶ, καταθεὶς ὀλίγην τε τράπεζαν.“

Οἱ δὲ κρατῆρες αὐτοῖς, ὥσπερ ἔχει καὶ τοὔνομα, κεκραμένοι παρειστήκεσαν, ἐξ ὧν οἱ κοῦροι διακονούμενοι τοῖς μὲν ἐντιμοτάτοις ἀεὶ πλήρες παρεῖχον τὸ ποτήριον, τοῖς δ' ἄλλοις ἐξ ἴσου διένεμον. ὁ γοῦν Ἀγαμέμνων πρὸς τὸν Ἰδομενέα φησὶ

93 Σὸν δὲ πλεῖον δέπας αἰεὶ
ἕστηχ', ὥσπερ ἐμοὶ, πιέειν ὅτε θυμὸς ἀνώγοι.

προέπινον δ' ἀλλήλοις οὐχ ὥσπερ ἡμεῖς, τοῦτο γὰρ προεκπιεῖν ἐστὶν, ἀλλὰ μεστὸν τὸν σκύφον·

Πλησάμενος δ' οἴνοιο δέπας δείδεκτ' Ἀχιλῆα.

ὁσάκις δὲ καὶ τροφὰς ἐλάμβανον προειρήκαμεν ἤδη· ὅτι δὴ τρεῖς ἦσαν διὰ τὸ τὸ αὐτὸ ποτὲ μὲν ἄριστον, ποτὲ δὲ δεῖπνον ὀνομάζεσθαι. γελοῖοι γάρ εἰσιν οἱ φάσκοντες ὅτι καὶ τέσσαρας ἐλάμβανον, ἐπεὶ ὁ ποιητὴς ἔφη „Σὺ δ' b ἔρχεο δειελιήσας,“ οὐ νοοῦντες ὅτι λέγει τὸν δειλινὸν διατρίψας χρόνον. ὅμως δὲ οὐδεὶς δείξει παρὰ τῷ ποιητῇ τρεῖς τινα λαμβάνοντα τροφάς. διαμαρτάνουσι δὲ πολλοὶ

---

αὐτὸ μόνον] αὐτὸς μόνον C. utramque vocem omisit Eustathius p. 1482, 3. Φιλητᾶς] Scribebatur Φιλήτας. φιλίτας B. πλατάνῳ] δὲ πλατάνῳ ABCP et Eustathius. γαίῃ] λασίῃ Heinrich. Observat. p. 56.

192 f. ὁ δέ γε κλισμὸς περισσοτέρως κεκόσμηται ἐπὶ ἀνακλίσει Eustathius p. 1482, 5. ἀνακλίσει] ἀνακλίσεις B. δίφρον] Odyss. υ, 259. παρειστήκεσαν C. παρεστήκεσαν PVL.

193 a. Σὸν] Iliad. δ, 262. αἰεὶ B. ἀεὶ PVL. ἀνώγοι AP. ἀνώγει VL. Πλησάμενος] Iliad. ι, 224. τὸ αὐτὸ BPV. τὸ τὸ αὐτὸ L. οἱ φάσκοντες] Philemo: vide I. p. 11 d. e. τέσσαρας] τέσσαρες B. Σὺ δ'] Odyss. ρ, 599. διελιήσας BP.

193 b. λέγει τὸν] λέγει τὸ B. δείξει] δόξει P. παρὰ τῷ ποιητῇ — δὲ πολλοὶ om. P. τρεῖς B et Eustathius p. 1833, 5. τρίς VL.

παρὰ τῷ ποιητῇ ἐφεξῆς τιθέντες τούτους τοὺς στίχους

> Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
> εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων·
> δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας.

εἰ γὰρ εἴδατα παρέθηκεν ἡ ταμίη, δῆλον ὡς κρεάτων λείψανα τυγχάνοντα τὸν δαιτρὸν οὐκ ἔδει παρεισφέρειν. διόπερ τὸ δίστιχον ἀπαρκεῖ. ἀπαλλαγέντων δὲ τῶν δειπνούντων αἱ τράπεζαι ἐβαστάζοντο, ὥσπερ παρὰ τοῖς μνηστῆρσι καὶ τοῖς Φαίαξιν, ἐφ' ὧν καὶ λέγει

c Ἀμφίπολοι δ' ἀπεκόσμεον ἔντεα δαιτός·

δῆλον ὡς τὰ ἀγγεῖα. καὶ γὰρ τῶν ὅπλων τὰ σκεπαστικὰ, θώρακα καὶ κνημῖδας καὶ τὰ τούτοις ἐμφερῆ, λέγουσιν ἔντη, καθάπερ ἀγγεῖα τῶν τοῦ σώματος μερῶν ὄντα. τῶν δὲ ἡρωϊκῶν οἴκων τοὺς μείζονας Ὅμηρος μέγαρα καλεῖ καὶ δώματα καὶ κλισίας, οἱ δὲ νῦν ξενῶνας καὶ ἀνδρῶνας ὀνομάζουσι.

21. Τί οὖν ὀνομάσομεν, ἄνδρες φίλοι, τὸ συμπόσιον, ὅπερ Ἀντίοχος ὁ Ἐπιφανὴς μὲν κληθεὶς, Ἐπιμανὴς δ' ἐκ
d τῶν πράξεων ὀνομασθείς; βασιλεὺς δ' ἦν οὗτος τῶν Συριακῶν τῶν ἀπὸ Σελεύκου εἷς· περὶ οὗ φησι Πολύβιος

---

διαμαρτάνουσι δὲ πολλοὶ παρὰ τῷ ποιητῇ ἐφεξῆς AB et codex Aegianus in schedis Casauboni. ἁμαρτάνουσι δὲ οἱ ἐφεξῆς CVL. Σῖτον] Odyss. α, 139. στῖχον P. λείψανα VL. λειψάνων ABP. ἀπαλλαγέντων — μερῶν ὄντα om. C.

193 c. Ἀμφίπολοι] Odyss. η, 232. ἀγγεῖα] Legebatur αἴτια. ἀντία corrigebat Casaubonus: quod in D et libro Aegiano in schedis Casauboni scriptum esse narrat Villebrunius, de libro Aegiano mendacii convictus ab Schweigh.: de D non constat. Insolentem vocis ἀγγεῖα usum addito e more grammaticorum καθάπερ lenivit Athenaeus. Etymol. M. p. 345, 17. Ἔντεα: τὰ ὅπλα, παρὰ τὸ ἐντὸς περιλαμβάνειν τὸ σῶμα, καὶ ἐντὸς εἶναι τὸν φοροῦντα, οἱονεὶ σκεπαστήριά τινα ὄντα, διὰ τὸ περιλαμβάνειν τὰ σώματα. cui similia tradunt Etymol. Gud. p. 190, 53. schol. Homer. Iliad. γ, 339. ὀνομάζουσι Casaubonus. Legebatur νομίζουσι. Verbum om. C et Eustathius p. 1483, 24. Post ἀνδρῶνας C infert ὅτι ἀρκεσίλαος εἰς συμπόσιον παρακληθεὶς καὶ συγκατακλιθεὶς ἐνὶ — τήλεφος καλούμενος, quae ex p. 186 c sumta. Ἀντίοχος] Ἀντίοχος συνήγαγεν Schweighaeuserus.

193 d. δ' ἦν] δ' οὖν B. Πολύβιος] Libro XXVI. (vol. IV. p. 353. Schweigh.): vide X. p. 439 a.

τάδε, ὡς ἀποδιδράσκων ἐκ τῆς αὐλῆς ἐνίοτε τοὺς θερα-
πεύοντας, οὗ τύχοι τῆς πόλεως ἀλύων ἐφαίνετο δεύτερος
καὶ τρίτος· μάλιστα δὲ πρὸς τοῖς ἀργυροκοπείοις εὑρίσκετο
καὶ χρυσοχοείοις, εὑρησιλογῶν καὶ φιλοτεχνῶν πρὸς τοὺς
τορευτὰς καὶ τοὺς ἄλλους τεχνίτας. ἔπειτα καὶ μετὰ δημο-
τῶν ἀνθρώπων συγκαταβαίνων ὡμίλει ᾧ τύχοι, καὶ μετὰ
τῶν παρεπιδημούντων συνέπινε τῶν εὐτελεστάτων. ὅτε δὲ
e τῶν νεωτέρων αἴσθοιτό τινας συνευωχουμένους, οὐδεμίαν
ἔμφασιν ποιήσας παρῆν ἐπικωμάζων μετὰ κεραμίου καὶ
συμφωνίας, ὥστε τοὺς πολλοὺς διὰ τὸ παράδοξον ἀφιστα-
μένους φεύγειν. πολλάκις δὲ καὶ τὴν βασιλικὴν ἀποθέμε-
νος ἐσθῆτα τήβενναν ἀναλαβὼν περιῄει κατὰ τὴν ἀγορὰν
ἀρχαιρεσιάζων, καὶ τοὺς μὲν δεξιούμενος, τοὺς δὲ καὶ περι-
πτύσσων, παρεκάλει φέρειν αὐτῷ τὴν ψῆφον, ποτὲ μὲν
ὡς ἀγορανόμος γένηται, ποτὲ δὲ ὡς δήμαρχος. τυχὼν δὲ
τῆς ἀρχῆς καὶ καθίσας ἐπὶ τὸν ἐλεφάντινον δίφρον κατὰ
τὸ παρὰ Ῥωμαίοις ἔθος, διήκουε τῶν κατὰ τὴν ἀγορὰν
γενομένων συναλλαγμάτων καὶ διέκρινε μετὰ πολλῆς σπου-
δῆς καὶ προθυμίας. ἐξ ὧν εἰς ἀπορίαν ἦγε τῶν ἀνθρώ-
πων τοὺς ἐπιεικεῖς· οἱ μὲν γὰρ ἀφελῆ τινα αὐτὸν εἶναι
ὑπελάμβανον, οἱ δὲ μαινόμενον. καὶ γὰρ περὶ τὰς δωρεὰς
194 ἦν παραπλήσιος. ἐδίδου γὰρ τοῖς μὲν ἀστραγάλους δορ-
καδείους, τοῖς δὲ φοινικοβαλάνους, ἄλλοις δὲ χρυσίον. καὶ

---

*ὑποδιδράσκων*] *ἀποδιδάσκων* B. *θεράποντας οὐ τύχῃ* B. *ἀλύων* Diodorus in Excerptis Valesii p. 303. (vol. II. p. 577. Wess. vol. IX. p. 408. Bip.) ab Schweigh. indicatus: qui sic scribit, *περιῄει τὴν πόλιν ἀλύων ὅπου τύχοι δεύτερος ἢ τρίτος.* Legebatur *αὐτῶν*. *ἑαυτῶν* BDP. *ἀργυροκοπίοις* AP. *χρυσοχοείοις* BC. *χρυσοχοίοις* PVL. *ᾧ τύχοι* PVL. *ὃ τύχοι* AC et *scripti quidam* Casauboni.

193 e. *ποιήσας*] *ποιήσασι* B. *κεραμίου* VL hic et X. p. 439 a. *κεραμείου* ABP. *κερατίου* Diodorus. *ἀφισταμένους*] „*Placet ἀνισταμένους, ut alii libri habent.*“ Casaubonus. *ἀφισταμένους* ex ABCP diserte enotatum, quia L *ἀμφισταμένους* errore typothetae. *Alios libros* Casaubonus Athenaeum dicere videtur X. p. 439 a. ubi *ἀνισταμένους* scriptum. *αὐτῷ*] Scribebatur *αὐτῷ*. *ἑαυτῷ* Diodorus. *ποτὲ δὲ ὡς* B et Diodorus. *ποτὲ δὲ καὶ ὡς* PVL.

193 f. *γινομένων συναλαγμάτων* B.

194 a. *ἐδίδου — χρυσίον*] Eustathius p. 998, 22. ubi *χρυσόν*.

ἐξ ἀπαντήσεως δέ τισι συντυγχάνων, οὓς μὴ ἑοράκει ποτὲ, ἐδίδου δωρεὰς ἀπροσδοκήτους. ἐν δὲ ταῖς πρὸς τὰς πόλεις θυσίαις καὶ ταῖς πρὸς τοὺς θεοὺς τιμαῖς πάντας ὑπερέβαλλε τοὺς βεβασιλευκότας. τοῦτο δ' ἄν τις τεκμήραιτο ἔκ τε τοῦ παρ' Ἀθηναίοις Ὀλυμπιείου καὶ τῶν περὶ τὸν ἐν Δήλῳ βωμὸν ἀνδριάντων. ἐλούετο δὲ κἀν τοῖς δημοσίοις βαλανείοις, ὅτε δημοτῶν ἦν τὰ βαλανεῖα πεπληρω-
b μένα, κεραμίων εἰσφερομένων αὐτῷ μύρων τῶν πολυτελεστάτων. ὅτε καί τινος εἰπόντος, μακάριοί ἐστε ὑμεῖς οἱ βασιλεῖς οἱ καὶ τούτοις χρώμενοι καὶ ὀδωδότες ἡδὺ, μηδὲν τὸν ἄνθρωπον προσειπὼν, ὅπου κεῖνος τῇ ἑξῆς ἐλούετο, ἐπεισελθὼν ἐποίησεν αὐτοῦ καταχυθῆναι τῆς κεφαλῆς μέγιστον κεράμιον πολυτελεστάτου μύρου τῆς στακτῆς καλουμένης, ὡς πάντας ἀναστάντας κυλίεσθαι λουομένους τῷ μύρῳ καὶ διὰ τὴν γλισχρότητα καταπίπτοντας γέλωτα
c παρέχειν, καθάπερ καὶ αὐτὸν τὸν βασιλέα."

22. „Ὁ δ' αὐτὸς οὗτος βασιλεὺς ἀκούσας τοὺς ἐν τῇ Μακεδονίᾳ συντετελεσμένους ἀγῶνας ὑπὸ Αἰμιλίου Παύλου τοῦ Ῥωμαίων στρατηγοῦ βουλόμενος τῇ μεγαλουργίᾳ [δωρεᾷ] ὑπερᾶραι τὸν Παῦλον ἐξέπεμψε πρέσβεις καὶ θεωροὺς εἰς τὰς πόλεις, καταγγελοῦντας τοὺς ἐσομένους ἀγῶνας ὑπ' αὐτοῦ ἐπὶ Δάφνης· ὡς πολλὴν γενέσθαι τῶν Ἑλλήνων σπουδὴν εἰς τὴν ὡς αὐτὸν ἄφιξιν. ἀρχὴν δ' ἐποιήσατο τῆς πανηγύρεως τὴν πομπείαν, οὕτως ἐπιτελεσθεῖσαν. καθ-
d ηγοῦντό τινες, Ῥωμαϊκὸν ἔχοντες καθοπλισμὸν, ἐν θώραξιν ἁλυσιδωτοῖς, ἄνδρες ἀκμάζοντες ταῖς ἡλικίαις, πεν-

συντυγχάνων B et Schweigh. editio. τυγχάνων PVL. ἑοράκει] Libri ἑωράκει. ὑπερέβαλλε] ὑπερέβαλε B. Ὀλυμπιείου] ὀλυμπίου BP.

194 b. κεραμίων] κεραμείων BP. ὅτε καί τινος] Confer Ptolemaei narrationem infra X. p. 438 f. μηδὲν C. καὶ μηδὲν PVL.

Forma κεῖνος aliena videtur ab Polybio, apud quem οὐ κεῖνος editum XII. 13, 9. vol. III. p. 407.: ut aut ἐκεῖνος aut 'κεῖνος scribendum sit. στακτῆς] στάκτης P.

194 c. Ὁ δ' αὐτὸς] Haec ex Polybii libro XXXI. (vol. IV. p. 495.) sumta: vide X. p. 439 b. Αἰμιλίου] αἰμυλίου B. μεγαλουργίᾳ C. μεγαλοεργίᾳ PVL. δωρεᾷ om. C. καὶ τῇ δωρεᾷ scripsit Ursinus in Excerptis p. 236.

ταχισχίλιοι· μεθ᾽ οὓς Μυσοὶ πεντακισχίλιοι συνεχεῖς ἦσαν· Κίλικες δ᾽ εἰς τὸν τῶν εὐζώνων τρόπον καθωπλισμένοι τρισχίλιοι, χρυσοῦς ἔχοντες στεφάνους. ἐπὶ δὲ τούτοις Θρᾷκες τρισχίλιοι καὶ Γαλάται πεντακισχίλιοι. τούτοις ἐπέβαλλον Μακεδόνες δισμύριοι καὶ χαλκάσπιδες πεντακισχίλιοι, ἄλλοι δὲ ἀργυράσπιδες. οἷς ἐπηκολούθει μονομάχων ζεύγη
e διακόσια τεσσαράκοντα. τούτων κατόπιν ἦσαν ἱππεῖς Νισαῖοι μὲν χίλιοι, πολιτικοὶ δὲ τρισχίλιοι· ὧν οἱ μὲν πλείους ἦσαν χρυσοφάλαροι καὶ χρυσοστέφανοι, οἱ δ᾽ ἄλλοι ἀργυροφάλαροι. μετὰ δὲ τούτους ἦσαν οἱ λεγόμενοι ἑταῖροι ἱππεῖς· οὗτοι δὲ ἦσαν εἰς χιλίους, πάντες χρυσοφάλαροι. τούτοις συνεχὲς ἦν τὸ τῶν φίλων σύνταγμα, ἴσον καὶ κατὰ τὸ πλῆθος καὶ κατὰ τὸν κόσμον. ἐπὶ δὲ τούτοις ἐπίλεκτοι χίλιοι. οἷς ἐπηκολούθει τὸ καλούμενον ἄγημα, κράτιστον
f εἶναι δοκοῦν σύστημα τῶν ἱππέων, περὶ χιλίους. τελευταία δ᾽ ἦν ἡ κατάφρακτος ἵππος, οἰκείως τῇ προσηγορίᾳ τῶν ἵππων καὶ τῶν ἀνδρῶν ἐσκεπασμένων τοῖς ὅπλοις· ἦσαν δὲ καὶ αὐτοὶ χίλιοι καὶ πεντακόσιοι. πάντες δ᾽ οἱ προειρημένοι εἶχον πορφυρᾶς ἐφαπτίδας, πολλοὶ δὲ καὶ διαχρύσους καὶ ζωωτάς. ἐπὶ δὲ τούτοις ἑξιππα μὲν ἦν ἑκατὸν, τέθριππα δὲ τεσσαράκοντα· ἔπειτα ἐλεφάντων ἅρμα καὶ συνωρίς· καθ᾽ ἕνα δὲ εἵποντο ἐλέφαντες διεσκευασμένοι τριάκοντα καὶ ἕξ."

23. „Τὴν δ᾽ ἄλλην πομπὴν λέγειν ἐστὶ δυσέφικτον· ὡς ἐν κεφαλαίῳ δὲ λεκτέον. ἔφηβοι μὲν γὰρ ἐπόμπευσαν
195 εἰς ὀκτακοσίους, χρυσοῦς ἔχοντες στεφάνους, βόες δ᾽ εὐτρε-

---

194 d. τούτοις ἐπέβαλλον — χαλκάσπιδες πεντακισχίλιοι add. ABCL: om. PV. ex Corseliano libro ediderat Schottus Obs. Hum. I. 6. p. 9. qui negligenter sic scripta attulit, τούτοις ἐπ. Μα. δισμύριοι καὶ χαλκάσπιδες, οἷς —.

194 e. Νισαῖοι Casaubonus. πισαῖοι PVL. πισσαῖοι C. οἷς ἐπηκολούθει — περὶ χιλίους add. ABCPL. om. V.

194 f. ἐπὶ δὲ (δὲ om. C) τούτοις addita ex AC. om. PVL. ἕξιππα μὲν] μὲν om. B. τεσσαράκοντα] Iure Reiskius miratur si τεθρίππων minor quam ἑξίππων numerus fuerit. quare τεσσαράκοσια ipse corrigebat, τετρακόσια Schweigh. διεσκευασμένοι Hoeschelius. διασκευασμένοι C. διεσκηδασμένοι V. διεσκεδασμένοι PL. διασκεδασμένοι B.

195 a. εὐτρεφεῖς ABPV. εὐτραφεῖς CL. εὐτραιφεῖς Basil., quae in

*φεῖς περὶ χιλίους, θεωρία δὲ βραχὺ λείπουσαι τριακοσίων, ἐλεφάντων δὲ ὀδόντες ὀκτακόσιοι. τὸ δὲ τῶν ἀγαλμάτων πλῆθος οὐ δυνατὸν ἐξηγήσασθαι· πάντων γὰρ τῶν παρ' ἀνθρώποις λεγομένων ἢ νομιζομένων θεῶν ἢ δαιμόνων, προσέτι δὲ ἡρώων, εἴδωλα διήγετο, τὰ μὲν κεχρυσωμένα, τὰ δ' ἠμφιεσμένα στολαῖς διαχρύσοις. καὶ πᾶσι τούτοις οἱ προσήκοντες μῦθοι κατὰ τὰς παραδεδομένας ἱστορίας*
b *ἐν διασκευαῖς πολυτελέσι παρέκειντο. εἵπετο δ' αὐτοῖς καὶ Νυκτὸς εἴδωλον καὶ Ἡμέρας Γῆς τε καὶ Οὐρανοῦ καὶ Ἠοῦς καὶ Μεσημβρίας. τὸ δὲ τῶν χρυσωμάτων καὶ ἀργυρωμάτων πλῆθος οὕτως ἄν τις ὑπονοήσειεν ὅσον ἦν· ἑνὸς γὰρ τῶν φίλων, Διονυσίου τοῦ ἐπιστολιαγράφου, χίλιοι παῖδες ἐπόμπευσαν, ἀργυρώματ' ἔχοντες ὧν οὐδὲν ἔλαττον ὁλκὴν εἶχε δραχμῶν χιλίων. βασιλικοὶ δὲ παῖδες παρῆλθον ἑξακόσιοι, χρυσώματα ἔχοντες. ἔπειτα γυναῖκες*
c *ἐκ χρυσῶν καλπίδων μύροις ἔρραινον εἰς διακοσίας. ταύταις δ' ἑξῆς ἐπόμπευον ἐν χρυσόποσι μὲν φορείοις ὀγδοήκοντα γυναῖκες, ἀργυρόποσι δὲ πεντακόσιαι καθήμεναι, πολυτελῶς διεσκευασμέναι. καὶ τῆς μὲν πομπῆς τὰ ἐπιφανέστατα ταῦτα ἦν."*

24. *„Ἐπιτελεσθέντων δὲ τῶν ἀγώνων καὶ μονομαχιῶν καὶ κυνηγεσίων, κατὰ τριάκονθ' ἡμέρας ἐν αἷς τὰς θέας συνετέλει πέντε μὲν τὰς πρώτας ἐν τῷ γυμνασίῳ πάντες ἐκ χρυσῶν ὁλκίων ἠλείφοντο κροκίνῳ μύρῳ· ἦν δὲ ταῦτα*

---

corrigendis *εὐτραφεῖς.* *θεωρία* ABCPV. *θεωρίαι* L, quod voluisse Basileensem, quae in textu *θεωρίας*, in corrigendis *θεωρεῖαι* dedit, ex Bedroti schedis intellexit Schweigh. *θεωρίδες* Casaubonus „*ex vestigiis lectionis Hoeschelianae*," quam non dixit quae fuerit. *γὰρ τῶν παρ'*] *γὰρ παρ'* P.

195 b. Post *Μεσημβρίας* sic pergit C, *τὰ δὲ λοιπὰ τῆς πομπῆς καὶ τὰ κινναμώμινα καὶ νάρδινα καὶ τήλινα καὶ ἀμαράκινα μύρα καὶ ἴρινα· καὶ τὰ μετὰ γυναικῶν χρυσόποδα καὶ ἀργυρόποδα φορεῖα καὶ τὰ ἄλλα περιττὸν λέγειν. ταῦτα δὲ πάντα συνετελέσθη* (195 f.) —. *τὸ δὲ τῶν*] *τῶν δὲ τῶν* B. *ἐπιστολιαγράφου* Schweigh. *ἐπιστολαγράφου* A. *ἐπιστολογράφου* PVL. *ἀργυρώματ'* B. *ἀργυρώματα* PVL.

195 c. *ἔρραινον*] *ἔραινον* BP. *Ἐπιτελεσθέντων — φεύγειν* (195 f.)] Haec in brevius contracta repetiit X. p. 439 b. c.

d πεντεκαίδεκα, καὶ κινναμωμίνου τὰ ἴσα καὶ ναρδίνου. πα-
ραπλησίως δὲ καὶ ταῖς ἑξῆς εἰσεφέρετο τήλινον, ἀμαράκι-
νον, ἴρινον, πάντα διαφέροντα ταῖς εὐωδίαις. ἔστρωτο δὲ
εἰς εὐωχίαν ποτὲ μὲν χίλια τρίκλινα, ποτὲ δὲ χίλια πεν-
τακόσια, μετὰ τῆς πολυτελεστάτης διασκευῆς. ὁ δὲ χειρισ-
μὸς ἐγίνετο τῶν πραγμάτων δι᾽ αὐτοῦ τοῦ βασιλέως. ἵπ-
πον γὰρ ἔχων εὐτελῆ παρέτρεχε παρὰ τὴν πομπὴν τοὺς
μὲν προάγειν κελεύων, τοὺς δὲ ἐπέχειν. κατὰ δὲ τοὺς πό-
e τους αὐτὸς ἐπὶ τὰς εἰσόδους ἐφιστάμενος οὓς μὲν εἰσῆγεν,
οὓς δ᾽ ἀνέκλινε. καὶ τοὺς διακόνους δὲ τοὺς τὰς παραθέ-
σεις φέροντας αὐτὸς εἰσήγαγε. καὶ περιπορευόμενος οὗ
μὲν προσεκάθιζεν, οὗ δὲ προσανέπιπτε. καὶ ποτὲ μὲν ἀπο-
θέμενος μεταξὺ τὸν ψωμόν, ποτὲ δὲ τὸ ποτήριον ἀνεπή-
δα καὶ μετανίστατο, καὶ περιήει τὸν πότον προπόσεις
λαμβάνων ὀρθὸς ἄλλοτε παρ᾽ ἄλλοις, ἅμα δὲ καὶ τοῖς
ἀκροάμασι προσπαίζων. προϊούσης δ᾽ ἐπὶ πολὺ τῆς συν-
f ουσίας καὶ πολλῶν ἤδη κεχωρισμένων, ὑπὸ τῶν μίμων ὁ
βασιλεὺς εἰσεφέρετο ὅλος κεκαλυμμένος καὶ εἰς τὴν γῆν
ἐτίθετο, ὡς εἷς ὢν δῆτα τῶν μίμων· καὶ τῆς συμφωνίας
προκαλουμένης ἀναπηδήσας ὠρχεῖτο καὶ ὑπεκρίνετο μετὰ
τῶν γελωτοποιῶν, ὥστε πάντας αἰσχυνομένους φεύγειν.
ταῦτα δὲ πάντα συνετελέσθη ἐξ ὧν τὰ μὲν ἐκ τῆς Αἰγύ-
πτου ἐνοσφίσατο παρασπονδήσας τὸν Φιλομήτορα βασιλέα
παιδίσκον ὄντα, τὰ δὲ καὶ τῶν φίλων συμβαλλομένων.
ἱεροσυλήκει δὲ καὶ τὰ πλεῖστα τῶν ἱερῶν."

96 25. Θαυμασάντων δὲ τῶν δαιτυμόνων τήν τε τοῦ βα-
σιλέως διάνοιαν, ὡς οὐκ ἐπιφανής, ἀλλ᾽ ὄντως ἐπιμανὴς
ὑπῆρχε, προσέθηκεν ὁ Μασούριος περὶ τῆς ἐν Ἀλεξαν-
δρείᾳ γεγενημένης ὑπὸ τοῦ πάντ᾽ ἀρίστου Πτολεμαίου τοῦ

---

195 d. κινναμωμίνου ABC. κιναμωμίνου PVL. εἰσεφέρετο] εἰςφέρτετο B. εἰςφέρετο P. ἴρινον Casaubonus. ἰῤινὸν B. εἰρινὸν PVL. Recte scriptum in C: vide ad 195 b. Gravius corruptum 439. ὁ δὲ χειρισμὸς] ὅτι δὲ χὲιρισμὸς B.

195 e. περιήει] περιείη B. προϊούσης δ᾽] δ᾽ om. BP.

195 f. ὑπὸ τῶν μίμων Basil. et L. ὑπὸ τῶν νομίμων BPV. ἐκ τῆς Αἰγύπτου — παιδίσκον ὄντα] Eustathius p. 1164, 19. τὰ δὲ καὶ τῶν] τὰ δὲ om. B. τὰ om. P.

196 a. ἀρίστου] ἀρίστου τοῦ B.

Φιλαδέλφου καὶ βασιλέως πομπῆς Καλλίξενον τὸν Ῥόδιον ἱστοροῦντα ἐν τῷ τετάρτῳ περὶ Ἀλεξανδρείας, ὅς φησι „Πρὸ δὲ τοῦ ἄρξασθαι τὴν κατασκευασθεῖσαν σκηνὴν ἐν τῷ τῆς ἄκρας περιβόλῳ, χωρὶς τῆς τῶν στρατιωτῶν καὶ τεχνιτῶν καὶ παρεπιδήμων ὑποδοχῆς, ἐξηγήσομαι. καλὴ
b γὰρ εἰς ὑπερβολὴν ἀξία τε ἀκοῆς ἐγενήθη. τὸ μὲν οὖν μέγεθος αὐτῆς ἑκατὸν τριάκοντα κλίνας ἐπιδεχόμενον κύκλῳ, διασκευὴν δ' εἶχε τοιαύτην. κίονες διεστάθησαν ξύλινοι, πέντε μὲν κατὰ πλευρὰν ἑκάστην τοῦ μήκους, πεντηκονταπήχεις πρὸς ὕψος, ἑνὶ δὲ ἐλάττους κατὰ πλάτος· ἐφ' ὧν ἐπιστύλιον καθηρμόσθη τετράγωνον, ὑπερεῖδον τὴν σύμπασαν τοῦ συμποσίου στέγην. αὕτη δ' ἐνεπετάσθη κατὰ μέσον οὐρανίσκῳ κοκκινοβαφεῖ περιλεύκῳ, καθ' ἑκά-
c τερον δὲ μέρος εἶχε δοκοὺς μεσολεύκοις ἐμπετάσμασι πυργωτοῖς κατειλημένας, ἐν αἷς φατνώματα γραπτὰ κατὰ μέσον ἐτέτατο. τῶν δὲ κιόνων οἱ μὲν τέσσαρες ὡμοίωντο φοίνιξιν, οἱ δ' ἀνὰ μέσον θύρσων εἶχον φαντασίαν. τούτων δ' ἐκτὸς περίστυλος ἐπεποίητο σῦριγξ ταῖς τρισὶ πλευραῖς καμαρωτὴν ἔχουσα στέγην, ἐν ᾗ τὴν τῶν κατακειμένων ἀκολουθίαν ἑστάναι συνέβαινεν. ἧς τὸ μὲν ἐντὸς αὐλαίαις περιείχετο φοινικίναις, ἐπὶ δὲ τῶν ἀνὰ μέσον χωρῶν δοραὶ θηρίων παράδοξοι καὶ τῇ ποικιλίᾳ καὶ τοῖς
d μεγέθεσιν ἐκρέμαντο. τὸ δὲ περιέχον αὐτὴν ὕπαιθρον μυρρίναις καὶ δάφναις ἄλλοις τ' ἐπιτηδείοις ἔρνεσιν ἐγεγόνει συνηρεφές. τὸ δ' ἔδαφος πᾶν ἄνθεσι κατεπέπαστο παντοίοις. ἡ γὰρ Αἴγυπτος καὶ διὰ τὴν τοῦ περιέχοντος ἀέρος

---

Καλλίξενον] καλλίξεινον C. καλὴ] καλὰ B.

196 b. διασκευὴν δὲ (δ' B)] διασκευήν τε P. εἶχε Schweigh. Legebatur ἔχει. διεστάθησαν] δ' ἐστάθησαν BP. ἐλάττους] ἐλάττω BP.

196 c. μεσολεύκοις ἐμπετάσμασι Casaubonus. μεσολεύκους ἐν πετάσμασι PVL. κατειλημένας Schweigh. κατειλημμένας PVL. ἐτέτατο Villebrunius. ἐτέτακτο PVL. ὡμοίωντο] ὁμοίωτο B. θύρσων] θυρσῶν AP. ἔχουσα] ἔχουσαν P. στέγην om. P. αὐλαίαις PL. αὐλέαις BV. χωρῶν Casaubonus recte: vid. 196 e. f, ubi χώραις. χώρων PVL. ἐκρέμαντο] ἐκρέματο P.

196 d. μυρρίναις καὶ δάφναις, ἄλλοις τ' (τε A.) ἐπιτηδείοις AB. μυῤῥίναις καὶ δάφναις καὶ ἄλλοις τε ἐπιτηδείοις P. μυρρίναις τε καὶ δάφναις καὶ ἄλλοις ἐπιτηδείοις VL. διὰ τὴν τοῦ] περὶ τὴν τοῦ B.

εὐκρασίαν καὶ διὰ τοὺς κηπεύοντας τὰ σπανίως καὶ καθ᾽
ὥραν ἐνεστηκυῖαν ἐν ἑτέροις φυόμενα τόποις ἄφθονα γεννᾷ
καὶ διὰ παντὸς, καὶ οὔτε ῥόδον οὔτε λευκόϊον οὔτ᾽ ἄλλο
ῥᾳδίως ἄνθος ἐκλιπεῖν οὐδὲν οὐδέποτ᾽ εἴωθεν. διὸ δὴ καὶ
κατὰ μέσον χειμῶνα τῆς ὑποδοχῆς τότε γενηθείσης, παρά-
e δοξος ἡ φαντασία τότε τοῖς ξένοις κατέστη. τὰ γὰρ εἰς
μίαν εὑρεθῆναι στεφάνωσιν οὐκ ἂν δυνηθέντα ἐν ἄλλῃ
πόλει ῥᾳδίως, ταῦτα καὶ τῷ πλήθει τῶν κατακειμένων
ἐχορηγεῖτο εἰς τοὺς στεφάνους ἀφθόνως καὶ εἰς τὸ τῆς
σκηνῆς ἔδαφος κατεπέπαστο χύδην, θείου τινὸς ὡς ἀλη-
θῶς ἀποτελοῦντα λειμῶνος πρόσοψιν."

26. „Διέκειτο δὲ ἐπὶ μὲν τῶν τῆς σκηνῆς παραστά-
δων ζῷα μαρμάρινα τῶν πρώτων τεχνιτῶν ἑκατόν. ἐν δὲ
ταῖς ἀνὰ μέσον χώραις πίνακες τῶν Σικυωνικῶν ζωγρά-
φων, ἐναλλὰξ δ᾽ ἐπίλεκτοι εἰκασίαι παντοῖαι καὶ χιτῶνες·
f χρυσοϋφεῖς ἐφαπτίδες τε κάλλισται, τινὲς μὲν εἰκόνας ἔχου-
σαι τῶν βασιλέων ἐνυφασμένας, αἱ δὲ μυθικὰς διαθέσεις.
ὑπεράνω δὲ τούτων θυρεοὶ περιέκειντο ἐναλλὰξ ἀργυροῖ
τε καὶ χρυσοῖ. ἐν δὲ ταῖς ἐπάνω τούτων χώραις, οὔσαις
ὀκταπήχεσιν, ἄντρα κατεσκεύαστο, κατὰ μὲν τὸ μῆκος τῆς
σκηνῆς ἓξ ἐν ἑκατέρᾳ πλευρᾷ, κατὰ πλάτος δὲ τέτταρα·
συμπόσιά τε ἀντία ἀλλήλων ἐν αὐτοῖς τραγικῶν τε καὶ
197 κωμικῶν καὶ σατυρικῶν ζώων, ἀληθινὸν ἐχόντων ἱματισμὸν,
οἷς παρέκειτο καὶ ποτήρια χρυσᾶ. κατὰ μέσον δὲ τῶν ἄν-
τρων νύμφαι ἐλείφθησαν, ἐν αἷς ἔκειντο Δελφικοὶ χρυσοῖ
τρίποδες, ὑποστήματ᾽ ἔχοντες. κατὰ δὲ τὸν ὑψηλότατον
τόπον τῆς ὀροφῆς ἀετοὶ κατὰ πρόσωπον ἦσαν ἀλλήλων

---

σπανίως καὶ καθ᾽ B. Aberat καί. οὐδὲν B. οὐθὲν PVL. γεννηθείσης PVL. Correxit Schweigh.

196 e. φαντασία τότε] τότε recte delet Schweigh. κατακειμένων] παρακειμένων P. σικυωνικῶν BCD et membranae Casauboni. σικυωνιακῶν PQVL.

196 f. παντοῖαι Schweigh. Legebatur παντοῖοι. μυθικὰς] μυθικαὶ B. ἀργυροῖ τε καὶ χρυσοῖ Casaubonus. ἀργυραῖ τε καὶ χρυσαῖ PVL. ἄντρα] ἄντρον B. ἓξ ἐν AB et Casauboniani. ἐν om. PVL. ἐν αὐτοῖς Casaubonus. ἐν om. PVL.

197 a. νύμφαι — ἐν αἷς] νυμφαῖ᾽ — ἐν οἷς Casaubonus.

χρυσοῦ, πεντεκαιδεκαπήχεις τὸ μέγεθος. ἔκειντο δὲ κλῖναι χρυσαῖ σφιγγόποδες ἐν ταῖς δυσὶ πλευραῖς ἑκατόν· ἡ γὰρ κατὰ πρόσωπον ὄψις ἀφεῖτ᾽ ἀναπεπταμένη. ταύταις δ᾽
b ἀμφίταποι ἁλουργεῖς ὑπέστρωντο τῆς πρώτης ἐρέας, καὶ περιστρώματα ποικίλα διαπρεπῆ ταῖς τέχναις ἐπῆν. ψιλαὶ δὲ Περσικαὶ τὴν ἀνὰ μέσον τῶν ποδῶν χώραν ἐκάλυπτον, ἀκριβῆ τὴν εὐγραμμίαν τῶν ἐνυφασμένων ἔχουσαι ζωδίων. παρετέθησαν δὲ καὶ τρίποδες τοῖς κατακειμένοις χρυσοῖ διακόσιοι τὸν ἀριθμόν, ὥστ᾽ εἶναι δύο κατὰ κλίνην, ἐπ᾽ ἀργυρῶν διέδρων. ἐκ δὲ τῶν ὄπισθεν πρὸς τὴν ἀποψιν ἑκατὸν ἀργυραῖ λεκάναι καὶ καταχύσεις ἴσαι παρέκειντο.
c ἐπεπήγει δὲ τοῦ συμποσίου καταντικρὺ καὶ ἑτέρα κλίνη πρὸς τὴν τῶν κυλικείων καὶ ποτηρίων τῶν τε λοιπῶν τῶν πρὸς τὴν χρῆσιν ἀνηκόντων κατασκευασμάτων ἔκθεσιν· ἃ δὴ πάντα χρυσᾶ τε ἦν καὶ διάλιθα, θαυμαστὰ ταῖς τέχναις. τούτων δὲ τὴν μὲν κατὰ μέρος κατασκευὴν καὶ τὰ γένη μακρὸν ἐπεφαίνετό μοι δηλοῦν· τὸ δὲ τοῦ σταθμοῦ πλῆθος εἰς μύρια τάλαντ᾽ ἀργυρίου τὴν σύμπασαν εἶχε κατασκευήν.“

27. „Ἡμεῖς δὲ ἐπειδὴ τὰ κατὰ τὴν σκηνὴν διεληλύθαμεν, ποιησόμεθα καὶ τῆς πομπῆς ἐξήγησιν. ἤγετο γὰρ
d διὰ τοῦ κατὰ τὴν πόλιν σταδίου. πρώτη δ᾽ ἐβάδιζεν Ἑωσφόρου· καὶ γὰρ ἀρχὴν εἶχεν ἡ πομπὴ καθ᾽ ὃν ὁ προειρημένος ἀστὴρ φαίνεται χρόνον. ἔπειθ᾽ ἡ τοῖς τῶν

---

ὑποστήματ᾽] ὑποστήματα PVL. ὑπογήματ᾽ B. ἔκειντο] ἵσταντο posuit Eustathius p. 1057, 6. δὲ κλῖναι Schweigh. Legebatur δὲ καὶ κλῖναι. ἀφεῖτ᾽ B. ἀφεῖται PVL.

197 b. ψιλαὶ δὲ] ψιλαί τε B. διέδρων] δένδρων C. ἐπεπήγει] ἐπεπήγη C.

197 c. κυλικείων] Scribebatur κυλικίων. „*Alia lectio est κυλικείων.*“ Casaubonus. κυλίκων C, qui post διέδρων sic pergit, τῶν δὲ κυλίκων τὴν κατὰ μέρος κατασκευὴν —. Legebatur καὶ κατασκευασμάτων. καὶ delevit Casaubonus. ἐπεφαίνετο] διεφαίνετο C et scripti libri Casauboni. μύρια Schweigh. μυρία PVL. τάλαντ᾽ B. τάλαντα PVL. Post κατασκευήν C pergit ἡ δὲ πομπὴ ἤγετο —. Ἡμεῖς δὲ — τὴν σκηνὴν om. P. ἡμεῖς δὲ ἐπειδὴ τὰ κατὰ τὴν σκηνὴν (σκευὴν B) διεληλύθαμεν AB. ἐπεὶ δὲ τῆς σκηνῆς τὴν κατασκευὴν διεληλύθαμεν VL.

βασιλέων γονεῦσι κατωνομασμένη. μετὰ δὲ ταύτας αἱ τῶν
θεῶν ἁπάντων, οἰκείαν ἔχουσαι τῆς περὶ ἑκάστων αὐτῶν
ἱστορίας διασκευήν. τὴν δὲ τελευταίαν Ἑσπέρου συνέβαινεν
εἶναι, τῆς ὥρας εἰς τοῦτο συναγούσης τὸν καιρόν. τὰ δὲ
κατὰ μέρος αὐτῶν εἴ τις εἰδέναι βούλεται, τὰς τῶν πεν-
e τετηρίδων γραφὰς λαμβάνων ἐπισκοπείτω. τῆς δὲ Διονυ-
σιακῆς πομπῆς πρῶτοι μὲν προῄεσαν οἱ τὸν ὄχλον ἀνείρ-
γοντες Σειληνοί, πορφυρᾶς χλαμύδας, οἱ δὲ φοινικίδας
ἠμφιεσμένοι. τούτοις δ᾽ ἐπηκολούθουν Σάτυροι καθ᾽ ἕκα-
στον τοῦ σταδίου μέρος εἴκοσι, λαμπάδας φέροντες κισσί-
νας διαχρύσους. μεθ᾽ οὓς Νῖκαι χρυσᾶς ἔχουσαι πτέρυγας.
ἔφερον δ᾽ αὗται θυμιατήρια ἑξαπήχη, κισσίνοις χρυσοῖς
κλωσὶ διακεκοσμημένα, ζωωτοὺς ἐνδεδυκυῖαι χιτῶνας, αὐταὶ
f δὲ πολὺν κόσμον χρυσοῦν περικείμεναι. μετὰ δὲ ταύτας
εἵπετο βωμὸς ἑξάπηχυς διπλοῦς, κισσίνῃ φυλλάδι διαχρύσῳ
πεπυκασμένος, ἔχων ἀμπέλινον χρυσοῦν στέφανον, μεσο-
λεύκοις μίτραις κατειλημένον. ἐπηκολούθουν δ᾽ αὐτῷ παῖ-
δες ἐν χιτῶσι πορφυροῖς λιβανωτὸν καὶ σμύρναν ἔτι δὲ
κρόκον ἐπὶ χρυσῶν μαζονόμων φέροντες ἑκατὸν εἴκοσι.
μεθ᾽ οὓς Σάτυροι τεσσαράκοντα ἐστεφανωμένοι κισσίνοις
χρυσοῖς στεφάνοις, τὰ δὲ σώματα οἱ μὲν ἐκέχριντο ὀστρείῳ,
8 τινὲς δὲ μίλτῳ καὶ χρώμασιν ἑτέροις. ἔφερον δὲ καὶ οὗτοι
στέφανον χρυσοῦν ἐξ ἀμπέλου καὶ κισσοῦ εἰργασμένον.
μεθ᾽ οὓς Σειληνοὶ δύο ἐν πορφυραῖς χλαμύσι καὶ κρη-

---

197 d. κατωνομασμένη] ἐπωνομασμένη C, superscripto κατω.

197 e. προῄεσαν] προΐεσαν B. σειληνοὶ PVL. σιληνοὶ AC hic et infra. Etiam P σιληνοὶ p. 198 a. χλαμύδας] Libri χλανίδας. οἱ δὲ φοινικίδας] ἢ φοινικίδας BC. κισσίνας] βυσσίνας MS. Aegianus. Legebatur κισσίνοις καὶ χρυσοῖς. καὶ delendum vidit Schweigh. κλωσὶ Adamus. καίωσι AB et Casauboniani. κέωσι PVL. In C haec omissa. αὐταὶ δὲ Schweigh. αὗται δὲ PVL.

197 f. ἑξάπηχυς] ἑξάπηχης B. κατειλημένον L. κατειλημμένον ABCPV. ἐπὶ χρυσῶν μαζονόμων] ἐν χρυσοῖς μαζονόμοις C et epitome Hoeschel ἐκέχριντο CQV et Eustathius p. 1570, 2. ἐκέχρηντο AP. ἐκέχρωντο DL.

198 a ἑτέροις] ἑταίροις B. ἔφερον — εἰργασμένον om. C. κισσοῦ Schweigh. comparata p. 204 d. Legebatur χρυσοῦ. χλαμύσι PVL. χλανίσι C et membranae Casauboni. χλαμίσι B.

*ποσὶ λευκαῖς. εἶχε δ' αὐτῶν ὁ μὲν πέτασον καὶ κηρύκειον χρυσοῦν, ὁ δὲ σάλπιγγα. μέσος δὲ τούτων ἐβάδιζεν ἀνὴρ μείζων τετράπηχυς ἐν τραγικῇ διαθέσει καὶ προσώπῳ, φέρων χρυσοῦν Ἀμαλθείας κέρας, ὃς προσηγορεύετο Ἐνιαυτός. ᾧ γυνὴ περικαλλεστάτη κατὰ τὸ μέγεθος εἵπετο*
b *πολλῷ χρυσῷ καὶ διαπρεπεῖ κεκοσμημένη, φέρουσα τῇ μὲν μιᾷ τῶν χειρῶν στέφανον περσαίας, τῇ δ' ἑτέρᾳ ῥάβδον φοίνικος· ἐκαλεῖτο δὲ αὕτη Πεντετηρίς. ταύτῃ δ' ἐπηκολούθουν Ὧραι τέσσαρες διεσκευασμέναι καὶ ἑκάστη φέρουσα τοὺς ἰδίους καρπούς. ἐχόμενα τούτων θυμιατήρια δύο κίσσινα ἐκ χρύσου ἑξαπήχη καὶ βωμὸς ἀνὰ μέσον τούτων τετράγωνος χρυσοῦ. καὶ πάλιν Σάτυροι, στεφάνους ἔχοντες κισσίνους χρυσοῦς, φοινικίδας περιβεβλημένοι· ἔφερον δ' οἱ μὲν οἰνοχόην χρυσῆν, οἱ δὲ καρχήσιον. μεθ' οὓς*
c *ἐπορεύετο Φιλίσκος ὁ ποιητής, ἱερεὺς ὢν Διονύσου, καὶ πάντες οἱ περὶ τὸν Διόνυσον τεχνῖται. τούτων δ' ἐφεξῆς ἐφέροντο Δελφικοὶ τρίποδες, ἆθλα τοῖς τῶν ἀθλητῶν χορηγοῖς· ὁ μὲν παιδίσκων, ἐννέα πηχῶν τὸ ὕψος, ὁ δὲ πηχῶν δώδεκα, ὁ τῶν ἀνδρῶν."*

28. *„Μετὰ τούτους τετράκυκλος πηχῶν τεσσαρεσκαίδεκα, ὀκτὼ δὲ τὸ πλάτος, ἤγετο ὑπὸ ἀνδρῶν ὀγδοήκοντα καὶ ἑκατόν, ἐπὶ δὲ ταύτης ἐπῆν ἄγαλμα Διονύσου δεκάπηχυ σπένδον ἐκ καρχησίου χρυσοῦ, χιτῶνα πορφυροῦν ἔχον διάπεζον, καὶ ἐπ' αὐτοῦ κροκωτὸν διαφανῆ· περι-*

---

*κηρύκειον* P. Scribebatur *κηρύκιον*: sed *κηρύκειον* p. 200 c, 202 c. *ἐβάδιζεν*] *ἐβάδισεν* B. *μείζων* om. P. *Ἀμαλθείας*] *ἀμαλθίας* B. *περικαλλεστάτη*] *περικαλλὴς* C. *κατὰ τὸ μέγεθος* om. C.

198 b. *περσαίας*] *περσίας* C. *ἑκάστη — θυμιατήρια* om. PVL. add. ABDQ et ex *membranis* suppleverat Casaubonus in annotatione, ubi quod *ἐχόμενα δὲ* scriptum est, Casauboni coniectura esse videtur: nam in lectionibus Aegianis, unde hunc locum haud dubie sumsit Casaubonus, *δὲ* non comparere testatur Schweigh. Quinque priora tantum verba *ἑκάστη — καρπούς* add. C, omissis ceteris usque ad finem capitis.

198 c. *ἐφέροντο*] *φέροντο* P. *παιδίσκων* L et margo ed. Basil. *παιδίσκος* ABPV. *τεσσαρεσκαίδεκα*] *ιδ'* C. *ιζ'* MSS. Casauboni. *διονύσου* C et Eustathius p. 867, 31. *διονυσίου* PVL.

d βέβλητο δὲ ἱμάτιον πορφυροῦν χρυσοποίκιλον. προέκειτο δὲ αὐτοῦ κρατὴρ Λακωνικὸς χρυσοῦς μετρητῶν πεντεκαίδεκα καὶ τρίπους χρυσοῦς, ἐφ' οὗ θυμιατήριον χρυσοῦν καὶ φιάλαι δύο χρυσαῖ, κασσίας μεσταὶ καὶ κρόκου. περιέκειτο δ' αὐτῷ καὶ σκιὰς ἐκ κισσοῦ καὶ ἀμπέλου καὶ τῆς λοιπῆς ὀπώρας κεκοσμημένη· προσήρτηντο δὲ καὶ στέφανοι καὶ ταινίαι καὶ θύρσοι καὶ τύμπανα καὶ μίτραι πρόσωπά
e τε σατυρικὰ καὶ κωμικὰ καὶ τραγικά. τῇ δὲ τετρακύκλῳ ἱερεῖς καὶ ἱέρειαι καὶ πέρσεις τελεταὶ καὶ θίασοι παντοδαποὶ καὶ τὰ λίκνα φέρουσαι. μετὰ δὲ ταῦτα Μακέται αἱ καλούμεναι Μιμαλλόνες καὶ Βασσάραι καὶ Λυδαί, κατακεχυμέναι τὰς τρίχας καὶ ἐστεφανωμέναι τινὲς μὲν ὄφεσιν, αἱ δὲ μίλαξι καὶ ἀμπέλῳ καὶ κισσῷ· κατεῖχον δὲ ταῖς χερσὶν αἱ μὲν ἐγχειρίδια, αἱ δὲ ὄφεις. μετὰ δὲ ταύτας ἤγετο τετράκυκλος πηχῶν ὀκτὼ πλάτος ὑπὸ ἀνδρῶν ἑξήκοντα,
f ἐφ' ἧς ἄγαλμα Νύσης ὀκτάπηχυ καθήμενον, ἐνδεδυκὸς μὲν θάψινον χιτῶνα χρυσοποίκιλον, ἱμάτιον δὲ ἠμφιέστο Λακωνικόν· ἀνίστατο δὲ τοῦτο μηχανικῶς οὐδενὸς τὰς χεῖρας προσάγοντος, καὶ σπεῖσαν ἐκ χρυσῆς φιάλης γάλα πάλιν ἐκάθητο. εἶχε δὲ ἐν τῇ ἀριστερᾷ θύρσον ἐστεμμένον μίτραις. αὕτη δ' ἐστεφάνωτο κισσίνῳ χρυσῷ καὶ βότρυσι

---

198 d. προέκειτο — καὶ κρόκου om. C. αὐτοῦ ABDPQ. αὐτῶν VL. λακωνικοῦς χρυσοῦς B. πεντεκαίδεκα] Legebatur δεκαπέντε. κασσίας A. κασίας L. κασσίας BPV. περιέκειτο — ἀμπέλου] Eustathius p. 857, 37. προσήρτηντο — λίκνα φέρουσαι om. C.

198 e. τῇ δὲ τετρακύκλῳ] „ἐπηκολούθουν supple aut εἵποντο." Schweigh. ᾤχοῦντο vel ἐφέροντο addi volebat Casaubonus. πέρσεις (περσεῖς B.) τελεταὶ corrupte ABP. πέρσης τελεταὶ VL. Ὀρφεοτελεσταὶ Casaubonus. καὶ τὰ] καὶ αἱ τὰ Casaubonus. λίκνα] λίχνα P. Μακέται αἱ] Μακέται καὶ αἱ Schweigh. adiuvante Eustathio p. 989, 26. καὶ μνεία δέ τις γέγονε τῶν περὶ ἐκεῖνον (τὸν Διόνυσον), αἳ βασσάραι μὲν ἐλέγοντο καὶ λυδαὶ καὶ μακέται καὶ μιμαλλόνες, δαιμόνιά τινα. μίλαξι ABCP. σμίλαξι VL. τετράκυκλος] τετράκυκλοι B. πλάτος] Longitudinis notam excidisse coniicit Schweigh.

198 f. νύσης ABP. νύσσης CVL. ἀνίστατο δὲ Schweigh. ἀνίστατο δὴ PVL. ὃ ἀνίστατο C. εἶχε δὲ — διάχρυσοι τέτταρες om. C.

Post ἐστεφάνωτο et post ἐστεφανωμένον p. 201 c. excidisse στεφάνῳ probabile videbitur comparanti quae ad 199 c. 201 d. ex libris enotata sunt. Monuit Schweigh.

διαλίθοις πολυτελέσιν. εἶχε δὲ σκιάδα, καὶ ἐπὶ τῶν γωνιῶν τῆς τετρακύκλου κατεπεπήγεσαν λαμπάδες διάχρυσοι τέτ-
199 ταρες. ἑξῆς εἵλκετο ἄλλη τετράκυκλος μῆκος πηχῶν εἴκοσι, πλάτος ἑκκαίδεκα, ὑπὸ ἀνδρῶν τριακοσίων· ἐφ' ἧς κατεσκεύαστο ληνὸς πηχῶν εἴκοσι τεσσάρων, πλάτος πεντεκαίδεκα, πλήρης σταφυλῆς. ἐπάτουν δὲ ἑξήκοντα Σάτυροι, πρὸς αὐλὸν ᾄδοντες μέλος ἐπιλήνιον· ἐφειστήκει δ' αὐτοῖς Σειληνός· καὶ δι' ὅλης τῆς ὁδοῦ τὸ γλεῦκος ἔρρει. ἑξῆς ἐφέρετο τετράκυκλος μῆκος πηχῶν εἴκοσι πέντε, πλάτος τεσσαρεσκαίδεκα· ἤγετο δὲ ὑπὸ ἀνδρῶν ἑξακοσίων· ἐφ' ἧς ἦν ἀσκὸς τρισχιλίους ἔχων μετρητάς, ἐκ παρδαλῶν
b δερμάτων ἐρραμμένος· ἔρρει δὲ καὶ οὗτος κατὰ μικρὸν ἀνιέμενος κατὰ πᾶσαν τὴν ὁδόν. ἠκολούθουν δ' αὐτῷ Σάτυροι καὶ Σειληνοὶ ἑκατὸν εἴκοσιν ἐστεφανωμένοι, φέροντες οἱ μὲν οἰνοχόας, οἱ δὲ φιάλας, οἱ δὲ θηρικλείους μεγάλας, πάντα χρυσᾶ."

29. „Ἐχομένως ἤγετο κρατὴρ ἀργυροῦς ἑξακοσίους χωρῶν μετρητάς, ἐπὶ τετρακύκλου ἑλκόμενος ὑπὸ ἀνδρῶν ἑξακοσίων. εἶχε δὲ ὑπὸ τὰ χείλη καὶ τὰ ὦτα καὶ ὑπὸ τὴν
c βάσιν ζῶα τετορνευμένα, καὶ διὰ μέσου ἐστεφάνωτο στεφάνῳ χρυσῷ διαλίθῳ. ἑξῆς ἐπεφέρετο κυλικεῖα ἀργυρᾶ δωδεκαπήχη δύο, ὕψος πηχῶν ἕξ. ταῦτα δ' εἶχεν ἄνω τε ἀκρωτήρια καὶ ἐν ταῖς γάστραις κύκλῳ, καὶ ἐπὶ τῶν ποδῶν ζῶα τριημιπήχη καὶ πηχυαῖα πλήθει πολλά. καὶ λου-

---

199 a. ἑξῆς] ἐξ ἧς P. εἵλκετο ABC et epitome Hoeschel. εἵλετο DPQ. εἵπετο VL et margo Q. εἴκοσι — ληνὸς πηχῶν add. ABL. om. PV. ἐφ' ἧς C et epitome Hoeschel. ἐφεξῆς L. ληνὸς] ληνοὶ B. εἰκοσιτεσσάρων] κδ' P. ιδ' C. ἐπιλήνιον] ἐπινήνιον P. ἐφειστήκει C. ἐφεστήκει PVL. Σειληνὸς et infra Σειληνοὶ L. σιληνὸς et σιληνοὶ ACPV. εἰκοσιπέντε] κε' P Basil. et L. κύριε V. τεσσαρεσκαίδεκα] ιδ' P. κδ' C et epitome Hoeschel.

199 b. παρδαλῶν] παρδάλεων C. θηρικλείους] Conf. XI. p. 472 a. μεγάλας] μεγάλους P. Ἐχομένως] ἐχόμενος P. δὲ ὑπὸ A. δὲ καὶ ὑπὸ PVL. τετορνευμένα] τετορευμένα Salmasius Exerc. Plin. p. 737. similiterque p. 199 e. Vide ad p. 210 c.

199 c. στεφάνῳ add. ABP et codex Romanus in schedis Aegianis. om. VL. Vid. ad 198 f. ἐπεφέρετο] ex duobus punctis ut delendae notantur in A. κυλικεῖα Villebrunius. κυλίκια PVL. τριημιπήχη Schweigh. τρία ἡμιπήχη PVL. πλήθει] πλήθη P.

τῆρες μεγάλοι δέκα καὶ κρατῆρες ἑκκαίδεκα, ὧν οἱ μείζους ἐχώρουν μετρητὰς τριάκοντα, οἱ δ' ἐλάχιστοι πέντε. εἶτα λέβητες ἕξ, βανωτοὶ εἴκοσι τέσσαρες, ἐπ' ἐγγυθήκαις πέντε, καὶ ληνοὶ ἀργυραῖ δύο, ἐφ' ὧν ἦσαν βῖκοι εἴκοσι τέσσαρες,
d τράπεζά τε ὁλάργυρος δωδεκάπηχυς, καὶ ἄλλαι ἑξαπήχεις τριάκοντα. πρὸς δὲ τούτοις τρίποδες τέσσαρες, ὧν εἷς μὲν εἶχε τὴν περίμετρον πηχῶν ἑκκαίδεκα, κατάργυρος ὢν ὅλος, οἱ δὲ τρεῖς ἐλάττονες ὄντες διάλιθοι κατὰ μέσον ὑπῆρχον. μετὰ τούτους ἐφέροντο Δελφικοὶ τρίποδες ἀργυροῖ ὀγδοήκοντα τὸν ἀριθμόν, ἐλάττους τῶν προειρημένων, ὧν αἱ γωνίαι τετράμετροι· ὑδρίαι εἴκοσι καὶ ἕξ, ἀμφορεῖς Παναθηναϊκοὶ ἑκκαίδεκα, ψυκτῆρες ἑκατὸν ἑξήκοντα· τούτων ὁ μέγιστος ἦν μετρητῶν ἕξ, ὁ δὲ ἐλάχιστος δύο. ταῦτα
e μὲν οὖν ἦν ἅπαντα ἀργυρᾶ."

30. „Ἐχόμενοι δὲ τούτων ἐπόμπευον οἱ τὰ χρυσώματα φέροντες, κρατῆρας Λακωνικοὺς τέτταρας, ἔχοντας στεφάνους ἀμπελίνους. τετραμέτρητοι ἕτεροι, Κορινθιουργεῖς δύο — οὗτοι δ' εἶχον ἄνωθεν καθήμενα περιφανῆ τετορνευμένα ζῶα καὶ ἐν τῷ τραχήλῳ καὶ ἐν ταῖς γάστραις πρόστυπα ἐπιμελῶς πεποιημένα· ἐχώρει δ' ἕκαστος μετρητὰς ὀκτώ — ἐπ' ἐγγυθήκαις. καὶ ληνὸς, ἐν ᾗ ἦσαν βῖκοι
f δέκα· ὀλκεῖα δύο, ἑκάτερον χωροῦν μετρητὰς πέντε. κώθωνες διμέτρητοι δύο· ψυκτῆρες εἴκοσι δύο, ὧν ὁ μέγιστος ἐχώρει μετρητὰς τριάκοντα, ὁ δὲ ἐλάχιστος μετρητήν.

---

βανωτοὶ] Dalecampius in interpretatione Latina ἀμφωτοὶ expressit: quo vitium non tollitur. ἐπ' ἐγγυθήκαις] Harpocratio in ἐγγυθήκη. ἐπεγγυθήκες BP. (καις margo P.)

199 d. μετὰ τούτους B. μετὰ δὲ τούτους PVL. Conf. 198 c. ὑδρίαι] ὑδρεῖαι AB. εἴκοσι καὶ ἕξ] κς' P. ἑκκαίδεκα]. Legebatur δεκαέξ. ις' P.

199 e. Ἐχόμενοι Schweigh. ἐχόμενα PVL. ἀμπελίνους PL. ἀμπελίους AV. ἀμπελίνους, τετραμετρήτους. ἕτεροι Κορ. Schweigh. τετορνευμένα] Vide ad p. 199 b. πρόστυπα]. πρόσυπα B. ἐπ' ἐγγυθήκαις] ἐπεγγυθήκες B. ὀλκεῖα PVL. ὁλκεῖα Schweigh. editio.

199 f. κώθωνες repositum ex XI. p. 483 f. καθῶναι V. κωθῶναι PL. διμέτρητοι L. διαμέτρητοι BPV. διάμετροι 483. ἐλάχιστος μετρητὴν B. Legebatur ἐλάχιστος ἐχώρει μετρητήν. Conf. p.

ἐπόμπευσαν δὲ τρίποδες χρυσοῖ μεγάλοι τέτταρες· καὶ χρυ-
σωματοθήκη χρυσῆ διάλιθος, πηχῶν δέκα ὕψος, ἔχουσα
βασμοὺς ἕξ, ἐν οἷς καὶ ζῷα τετραπάλαιστα ἐπιμελῶς πε-
ποιημένα, πολλὰ τὸν ἀριθμόν· καὶ κυλικεῖα δύο, καὶ
ὑάλινα διάχρυσα δύο· ἐγγυθῆκαι χρυσαῖ τετραπήχεις δύο,
200 ἄλλαι ἐλάττους τρεῖς, ὑδρίαι δέκα, βωμὸς τρίπηχυς, μαζο-
νόμια εἴκοσι πέντε. μετὰ δὲ ταῦτα ἐπορεύοντο παῖδες χίλιοι
καὶ ἑξακόσιοι, ἐνδεδυκότες χιτῶνας λευκούς, ἐστεφανωμένοι
οἱ μὲν κισσῷ, οἱ δὲ πίτυϊ· ὧν διακόσιοι μὲν καὶ πεντή-
κοντα χοεῖς εἶχον χρυσοῦς, τετρακόσιοι δὲ ἀργυροῦς, ἕτεροι
δὲ τριακόσιοι καὶ εἴκοσι ψυκτήρια ἔφερον χρυσᾶ, οἱ δὲ
ἀργυρᾶ. μεθ' οὓς ἄλλοι παῖδες ἔφερον κεράμια πρὸς τὴν
τοῦ γλυκισμοῦ χρείαν· ὧν εἴκοσι μὲν ἦν χρυσᾶ, πεντή-
b κοντα δὲ ἀργυρᾶ, τριακόσια δὲ κεκηρογραφημένα χρώμασι
παντοίοις. καὶ κερασθέντων ἐν ταῖς ὑδρίαις καὶ πίθοις
πάντες κοσμίως ἐγλυκάνθησαν οἱ ἐν τῷ σταδίῳ."

31. Ἑξῆς τούτοις καταλέγει τετραπήχεις τραπέζας·
ἐφ' ὧν πολλὰ θέας ἄξια πολυτελῶς κατεσκευασμένα περιή-
γετο θεάματα. „Ἐν οἷς καὶ ὁ τῆς Σεμέλης θάλαμος, ἐν
ᾧ ἔχουσι χιτῶνας τινὲς διαχρύσους καὶ λιθοκολλήτους τῶν
πολυτιμήτων. οὐκ ἄξιον δ' ἦν παραλιπεῖν τήνδε τὴν τετρά-
κυκλον, μῆκος οὖσαν πηχῶν εἴκοσι δύο, πλάτος τεσσα-
c ρεσκαίδεκα, ὑπὸ ἀνδρῶν ἑλκομένην πεντακοσίων· ἐφ' ἧς
ἄντρον ἦν βαθὺ καθ' ὑπερβολὴν κισσῷ καὶ μίλτῳ. ἐκ
τούτου περιστεραὶ καὶ φάσσαι καὶ τρυγόνες καθ' ὅλην
ἐξίπταντο τὴν ὁδόν, λημνίσκοις τοὺς πόδας δεδεμέναι πρὸς

---

199 c. βασμοὺς] βαγμοὺς B, ut nescias utrum βασμοὺς an βαθμοὺς voluerit. κυλικεῖα Schweigh. κυλίκια PVL.

200 a. ὑδρίαι] ὑδρεῖαι B. μαζονόμια Casaubonus. μαζονομίαι PVL. πίτυϊ ὧν Schweigh. πιτυίῳ AB. πιτυίνῳ PVL. In C hic locus omissus. μὲν καὶ AB. δὲ καὶ PVL. κεράμια] κεράμεια P.

200 b. κεκηρογραφημένα παντοίοις χρώμασι, καὶ κοσμίως γλυκάνθησαν οἱ B. καὶ λιθοκολλήτους] ἢ λιθοκολλήτους B. τεσσαρεσκαίδεκα] δεκατεσσάρων VL. δὲ, ιδ' B. ιδ' P.

200 c. κισσῷ] χρυσῷ P. μίλτῳ] μιλίῳ vel μίλῳ Schweigh. λημνίσκοις ADPQV. λιμνήσκοις errore typothetae L. λινίσκοις BC et epitome Hoeschelii et Eustathius p. 1164, 17. qui λινίσκος inter-

τὸ ῥεῖθρον ὑπὸ τῶν θεωμένων ἁρπάζεσθαι. ἀνέβλυζον δὲ
ἐξ αὐτοῦ καὶ κρουνοὶ δύο, ὁ μὲν γάλακτος, ὁ δὲ οἴνου.
πᾶσαι δ' αἱ περὶ αὐτὸν Νύμφαι στεφάνους εἶχον χρυ-
σοῦς· ὁ δὲ Ἑρμῆς καὶ κηρύκειον χρυσοῦν, ἐσθῆτας δὲ
πολυτελεῖς. ἐπὶ δὲ ἄλλης τετρακύκλου, ᾗ περιεῖχε τὴν ἐξ
d Ἰνδῶν κάθοδον Διονύσου, Διόνυσος ἦν δωδεκάπηχυς, ἐπ'
ἐλέφαντος κατακείμενος, ἠμφιεσμένος πορφυρίδα καὶ στέ-
φανον κισσοῦ καὶ ἀμπέλου χρυσοῦν ἔχων, εἶχεν ἐν ταῖς
χερσὶ θυρσόλογχον χρυσοῦν· ὑπεδέδετο δ' ἐμβάδας χρυ-
σογραφεῖς. προεκάθητο δ' αὐτοῦ ἐπὶ τῷ τραχήλῳ τοῦ
ἐλέφαντος σατυρίσκος πεντάπηχυς, ἐστεφανωμένος πίτυος
στεφάνῳ χρυσῷ, τῇ δεξιᾷ αἰγείῳ κέρατι χρυσῷ σημαίνων.
ὁ δὲ ἐλέφας σκευὴν εἶχε χρυσῆν, καὶ περὶ τῷ τραχήλῳ
e κίσσινον χρυσοῦν στέφανον. ἠκολούθουν δὲ τούτῳ παι-
δίσκαι πεντακόσιαι, κεκοσμημέναι χιτῶσι πορφυροῖς, χρυσῷ
διεζωσμέναι. ἐστεφάνωντο δὲ αἱ μὲν ἡγούμεναι ἑκατὸν εἴ-
κοσι χρυσοῖς πιτυΐνοις στεφάνοις, ἠκολούθουν δὲ αὐταῖς
Σάτυροι ἑκατὸν εἴκοσι, πανοπλίας οἱ μὲν ἀργυρᾶς, οἱ δὲ
χαλκᾶς ἔχοντες. μετὰ δὲ τούτους ἐπορεύοντο ὄνων ἶλαι
πέντε, ἐφ' ὧν ἦσαν Σειληνοὶ καὶ Σάτυροι ἐστεφανωμένοι.
τῶν δὲ ὄνων οἱ μὲν χρυσᾶς, οἱ δὲ ἀργυρᾶς προμετωπίδας
καὶ σκευασίας εἶχον."
f 32. Μετὰ δὲ τούτους ἐλεφάντων ἅρματα ἀφείθη εἴκο-
σι τέσσαρα καὶ συνωρίδες τράγων ἑξήκοντα, κώλων δώδεκα,

---

pretatur ὁ λεπτότατος λίνος. περὶ αὐτὸν] περὶ αὐτὸ Coraës et Schweigh. In C scriptum περὶ δὲ ταύτην (h. e. τὴν τετράκυκλον) νύμφαι χρυσοστέφανοι. ἐπὶ δὲ ἄλλης τετρακύκλου —.

200 d. κατακείμενος] χρυσοῦ κατακείμενος ex epitome affert Casaubonus. κατακείμενος χρυσοῦς C. χρυσοῦν ἔχων, εἶχεν ἐν] χρυσοῦν. ἔχων ἐν C. εἶχεν] εἶχε δ' Schweigh. χρυσογραφεῖς AC. χρυσογράμμους ex epitome affert Casaubonus. χρυσοβαφεῖς PVL. προεκάθητο δ' αὐτοῦ] παρεκάθητο δ' αὐτῷ C. δεξιᾷ αἰγείῳ B. Legebatur δεξιᾷ χειρὶ αἰγείῳ.

200 e. χρυσοῖς πιτυΐνοις — Σάτυροι ἑκατὸν εἴκοσι om. P. Σειληνοὶ L. σιληνοὶ ACPV.

200 f. κώλων] κόλων Cour. Gesnerus: vide annotationem. δώδεκα] Legebatur δεκαδύο. ιβ P.

ὀρύγων ἑπτά, βουβάλων πεντεκαίδεκα, στρουθῶν συνωρίδες ὀκτώ, ὀνελάφων ἑπτά, καὶ συνωρίδες τέσσαρες ὄνων ἀγρίων, ἅρματα τέσσαρα. ἐπὶ δὲ πάντων τούτων ἀναβεβήκει παιδάρια χιτῶνας ἔχοντα ἡνιοχικοὺς καὶ πετάσους. παραναβεβήκει δὲ παιδισκάρια διεσκευασμένα πελταρίοις καὶ θυρσολόγχοις, κεκοσμημένα ἱματίοις καὶ χρυσίοις. ἐστεφάνωτο δὲ τὰ μὲν ἡνιοχοῦντα παιδάρια πίτυϊ, τὰ δὲ παιδισκάρια κισσῷ. ἐπῆσαν δὲ καὶ συνωρίδες καμήλων ἐξ ἑκατέρου
201 μέρους τρεῖς· αἷς ἐπηκολούθουν ἀπῆναι ὑφ᾽ ἡμιόνων ἀγόμεναι. αὗται δ᾽ εἶχον σκηνὰς βαρβαρικάς, ἐφ᾽ ὧν ἐκάθηντο γυναῖκες Ἰνδαὶ καὶ ἕτεραι, κεκοσμημέναι ὡς αἰχμάλωτοι. κάμηλοι δ᾽ αἱ μὲν ἔφερον λιβανωτοῦ μνᾶς τριακοσίας, σμύρνης τριακοσίας, κρόκου καὶ κασσίας καὶ κινναμώμου καὶ ἴριδος καὶ τῶν λοιπῶν ἀρωμάτων διακοσίας. ἐχόμενοι τούτων ἦσαν Αἰθίοπες δωροφόροι, ὧν οἱ μὲν ἔφερον ὀδόντας ἑξακοσίους, ἕτεροι δὲ ἐβένου κορμοὺς δισχιλίους, ἄλλοι χρυσοῦς καὶ ἀργυροῦς κρατῆρας ἑξήκοντα,
b καὶ ψήγματα χρυσίου. μεθ᾽ οὓς ἐπόμπευσαν κυνηγοὶ δύο ἔχοντες σιβύνας ἐπιχρύσους. ἤγοντο δὲ καὶ κύνες δισχίλιοι τετρακόσιοι, οἱ μὲν Ἰνδοί, οἱ λοιποὶ δὲ Ὑρκανοὶ καὶ Μολοσσοὶ καὶ ἑτέρων γενῶν. ἑξῆς ἄνδρες ἑκατὸν πεντήκοντα

---

ἑπτὰ] ζ B. βουβάλων BP et Schweigh. editio. καὶ βουβάλων VL. Eustathius p. 1411, 13. ἀφείθη ἐλεφάντων ἅρματα κδ, συνωρίδες τράγων ἑξήκοντα, βουβαλίων ιε', στρουθῶν ὀκτώ. πεντεκαίδεκα] Legebatur δεκαπέντε. ιε' BP. ὀνελάφων ADPQ et „Huraldinus codex et aliqui etiam Italicorum" apud Casaubonum. ἀνελάφων V. ἐλάφων C, Basil. L. καὶ συνωρίδες τέσσαρες om. C, ὄνων ἀγρίων cum ἅρματα δ' iungens. θυρσολόγχοις] θυρσολόχοις B. χρυσολόγχαις C et epitome Hoeschel. κεκοσμημένα — χρυσίοις om. C. καὶ χρυσίοις] καὶ om. P. πίτυϊ] πίτυς B. ἐπῆσαν δὲ καὶ BCP. καὶ om. VL. ἐπῆσαν δὲ καὶ συνωρῖδες (sic C constanter) καμήλων, φέρουσαι λιβανωτοῦ μνᾶς τριακοσίας, κρόκου, κασίας, κινναμώμου, ἴριδος, λοιπῶν ἀρωμάτων. ἐχόμενοι τούτων αἰθ. — C.

201 a. δ' αἱ μὲν] δ' ἄλλαι Schweigh. σμύρνης τριακοσίας addita ex A. κασσίας A. κασίας PVL. κινναμώμου BP. κιναμώμου VL. ἴριδος BC. εἴριδος PVL. δισχιλίους] διακοσίους C. χρυσοῦς καὶ ἀργυροῦς Schweigh. χρυσίους καὶ ἀργυρίους BC. χρυσοῦ καὶ ἀργυρίου PVL.

201 b. δύο] „Numerus iusto minor." Schweigh. σιβύνας] σιβύννας B. καὶ κύνες] καὶ om. B. οἱ λοιποὶ δὲ] οἱ δὲ λοι-

φέροντες δένδρα ἐξ ὧν ἀνήρτητο θηρία παντοδαπὰ καὶ ὄρνεα. εἶτ᾽ ἐφέροντο ἐν ἀγγείοις ψιττακοὶ καὶ ταῷ καὶ μελεαγρίδες καὶ φασιανοὶ ὄρνιθες καὶ ἄλλοι Αἰθιοπικοὶ πλήθει πολλοί.“ εἰπὼν δὲ καὶ ἄλλα πλεῖστα καὶ καταλέξας ζῴων ἀγέλας ἐπιφέρει „Πρόβατα Αἰθιοπικὰ ἑκατὸν
c τριάκοντα, Ἀράβια τριακόσια, Εὐβοϊκὰ εἴκοσι, ὁλόλευκοι βόες Ἰνδικοὶ εἴκοσι ἕξ, Αἰθιοπικοὶ ὀκτώ, ἄρκτος μὲν λευκὴ μεγάλη μία, παρδάλεις τεσσαρεσκαίδεκα, πάνθηρες ἑκκαίδεκα, λυγκία τέσσαρα, ἄρκηλοι τρεῖς, καμηλοπάρδαλις μία, ῥινόκερως Αἰθιοπικὸς εἷς.“

33. „Ἑξῆς ἐπὶ τετρακύκλου Διόνυσος περὶ τὸν τῆς Ῥέας βωμὸν καταπεφευγώς, ὅτε ὑπὸ Ἥρας ἐδιώκετο, στέφανον ἔχων χρυσοῦν, Πριάπου αὐτῷ παρεστῶτος ἐστεφανωμένου χρυσῷ κισσίνῳ. τὸ δὲ τῆς Ἥρας ἄγαλμα στεφάνην
d εἶχε χρυσῆν. Ἀλεξάνδρου δὲ καὶ Πτολεμαίου ἀγάλματα ἐστεφανωμένα στεφάνοις κισσίνοις ἐκ χρυσοῦ. τὸ δὲ τῆς Ἀρετῆς ἄγαλμα, τὸ παρεστὸς τῷ Πτολεμαίῳ, στέφανον εἶχεν ἐλαίας χρυσοῦν. καὶ Πρίαπος δ᾽ αὐτοῖς συμπαρῆν ἔχων στέφανον κίσσινον ἐκ χρυσοῦ. Κόρινθος δ᾽ ἡ πόλις παρεστῶσα τῷ Πτολεμαίῳ, ἐστεφάνωτο διαδήματι χρυσῷ.

---

καὶ B. καὶ ταῷ — Αἰθιοπικοὶ om. PV. ταῷ] Libri ταῶς. ταὼς IX. p. 387 d. καὶ ἄλλοι — ἐπιφέρει om. C. ἄλλοι αἰθιοπικοὶ AB. ἄλλαι αἰθιοπικαὶ L. καὶ φασιανοὶ καὶ ὄρνιθες Αἰθιοπικοὶ 387. πολλοὶ BPV et 387. πολλαὶ L.

201 c. εὐβοϊκὰ εἴκοσι, ἄρκτος μὲν — C. ὁλόλευκοι de coniectura dedi. κολοι (sic) λευκοὶ A. κολλοι λευκοὶ codex Romanus in schedis Aegianis. κολοῖλευκοι P. κωλοῖλευκοι V. „Je trouve dans Q *koloi leukoi* et dans D *koloileukoi* d' un seul mot; mais en marge *kaiholoileukoi*, ou *holoileukoi*.“ Villebrunius. καὶ ὅλοι λευκοὶ L, quam *scriptam lectionem* recte dicere videtur Casaubonus: nam neque ex B quidquam dissensionis enotatum est et eandem scripturam in margine codicis D exstare affirmat Villebrunius. τεσσαρεσκαίδεκα] Legebatur δεκατέσσαρες. ιδʹ P. πάνθηρες C et epitomo Hoeschel. πάνθηροι PVL. ἑκκαίδεκα] Legebatur δεκαὲξ ιςʹ P. λυγκία] λαγκία BC. τέσσαρα] δʹ BP. ἄρκηλοι] ἄρκιλοι Casaubonus. ἄρκηλοι — εἷς om. C. ἐστεφανωμένου] στεφάνῳ recte addit Schweigh. Vide ad p. 198 f.

201 d. στεφάνοις om. B. κίσσινον Casaubonus. κισσὸν PVL. δ᾽ ἡ πόλις AC. δὲ πόλις PVL.

παρέκειντο δὲ πᾶσι τούτοις κυλικεῖον μεστὸν χρυσωμάτων
κρατήρ τε χρυσοῦς μετρητῶν πέντε. τῇ δὲ τετρακύκλῳ ταύτῃ
e ἠκολούθουν γυναῖκες ἔχουσαι ἱμάτια πολυτελῆ καὶ κόσμον·
προσηγορεύοντο δὲ πόλεις, αἵ τ' ἀπ' Ἰωνίας καὶ λοιπαὶ
Ἑλληνίδες, ὅσαι τὴν Ἀσίαν καὶ τὰς νήσους κατοικοῦσαι
ὑπὸ τοὺς Πέρσας ἐτάχθησαν· ἐφόρουν δὲ πᾶσαι στεφάνους χρυσοῦς. ἐφέρετο καὶ ἐπ' ἄλλων τετρακύκλων θύρσος
ἐνενηκοντάπηχυς χρυσοῦς καὶ λόγχη ἀργυρᾶ ἑξηκοντάπηχυς, καὶ ἐν ἄλλῃ φαλλὸς χρυσοῦς πηχῶν ἑκατὸν εἴκοσι,
διαγεγραμμένος, καὶ διαδεδεμένος στέμμασι διαχρύσοις,
ἔχων ἐπ' ἄκρου ἀστέρα χρυσοῦν, οὗ ἦν ἡ περίμετρος
πηχῶν ἕξ."

„Πολλῶν οὖν καὶ ποικίλων εἰρημένων ἐν ταῖς πομ-
f παῖς ταύταις μόνα ἐξελεξάμεθα ἐν οἷς ἦν χρυσὸς καὶ ἄργυρος. καὶ γὰρ διαθέσεις πολλαὶ ἀκοῆς ἦσαν ἄξιαι καὶ
θηρίων πλήθη καὶ ἵππων καὶ λέοντες παμμεγέθεις εἴκοσι
καὶ τέσσαρες. ἦσαν δὲ καὶ ἄλλαι τετράκυκλοι, οὐ μόνον
εἰκόνας βασιλέων φέρουσαι, ἀλλὰ καὶ θεῶν πολλαί. μεθ'
ἃς χορὸς ἐπόμπευσεν ἀνδρῶν ἑξακοσίων· ἐν οἷς κιθαρισταὶ
συνεφώνουν τριακόσιοι, ἐπιχρύσους ἔχοντες ὅλας κιθάρας
202 καὶ στεφάνους χρυσοῦς. μεθ' οὓς ταῦροι διῆλθον δισχίλιοι ὁμοιοχρώματοι, χρυσόκερῳ, προμετωπίδας χρυσᾶς, καὶ
ἀνὰ μέσον στεφάνους ὅρμους τε καὶ αἰγίδας πρὸ τῶν στηθῶν ἔχοντες· ἦν δ' ἅπαντα ταῦτα χρυσᾶ."

34. „Καὶ μετὰ ταῦτα Διὸς ἤγετο πομπὴ καὶ ἄλλων
παμπόλλων θεῶν, καὶ ἐπὶ πᾶσιν Ἀλεξάνδρου, ὃς ἐφ' ἅρματος ἐλεφάντων ἀληθινῶν ἐφέρετο χρυσοῦς, Νίκην καὶ
Ἀθηνᾶν ἐξ ἑκατέρου μέρους ἔχων. ἐπόμπευσαν δὲ καὶ
θρόνοι πολλοὶ ἐξ ἐλέφαντος καὶ χρυσοῦ κατεσκευασμένοι·
b ὧν ἐφ' ἑνὸς ἔκειτο στεφάνη χρυσῆ, ἐπ' ἄλλου δίκερας χρυ-

---

κυλικεῖον Casaubonus. κυλίκιον PVL.

201 e. ἐφέρετο — καὶ θεῶν πολλαὶ om. C. ἄλλων τετρακύκλων A. ἄλλῳ τετρακύκλῳ PVL. θύρσος] θύρσον B. καὶ διαδεδεμένος om. B. ἄκρου ABP. ἄκρον VL.

201 f. θεῶν πολλαί] θεῶν πολλάς B.

202 a. ἔκειτο] καὶ ἔκειτο B.

202 b. δικερας sine accentu A. δικέρας B. κέρας C. δὴ κέ-

σοῦν, ἐπ᾽ ἄλλου δὲ ἦν στέφανος χρυσοῦς, καὶ ἐπ᾽ ἄλλου δὲ κέρας ὁλόχρυσον. ἐπὶ δὲ τὸν Πτολεμαίου τοῦ Σωτῆρος θρόνον στέφανος ἐπέκειτο ἐκ μυρίων κατεσκευασμένος χρυσῶν. ἐπόμπευσε δὲ καὶ θυμιατήρια χρυσᾶ τριακόσια καὶ πεντήκοντα, καὶ βωμοὶ δὲ ἐπίχρυσοι, ἐστεφανωμένοι χρυσοῖς στεφάνοις· ὧν ἐνὶ παρεπεπήγεσαν δᾷδες χρυσαῖ δεκαπήχεις τέσσαρες. ἐπόμπευσαν δὲ καὶ ἐσχάραι ἐπίχρυσοι δώδεκα· ὧν ἡ μὲν δωδεκάπηχυς τῇ περιμέτρῳ, τεσσαρακοντάπηχυς ὕψει, ἡ δὲ πηχῶν πεντεκαίδεκα. ἐπόμπευσαν δὲ καὶ Δελφικοὶ τρίποδες χρυσοῖ ἐννέα, ἐκ πηχῶν τεσσά-
c ρων· ἄλλοι ὀκτώ, πηχῶν ἕξ· ἄλλος πηχῶν τριάκοντα, ἐφ᾽ οὗ ἦν ζῷα χρυσᾶ πενταπήχη καὶ στέφανος κύκλῳ χρυσοῦς ἀμπέλινος. παρῆλθον δὲ καὶ φοίνικες ἐπίχρυσοι ὀκταπήχεις ἑπτά, καὶ κηρύκειον ἐπίχρυσον πηχῶν τεσσαράκοντα πέντε, καὶ κεραυνὸς ἐπίχρυσος πηχῶν τεσσαράκοντα, ναός τε ἐπίχρυσος, οὗ ἡ περίμετρος πηχῶν τεσσαράκοντα· δίκερας πρὸς τούτοις ὀκτάπηχυ. πολὺ δὲ καὶ ζῴων πλῆθος ἐπιχρύσων συνεπόμπευεν, ὧν ἦν τὰ πολλὰ δωδεκαπήχη· καὶ
d θηρία ὑπεράγοντα τοῖς μεγέθεσι καὶ ἀετοὶ πηχῶν εἴκοσι. στέφανοί τ᾽ ἐπίχρυσοι ἐπόμπευσαν τρισχίλιοι διακόσιοι, ἕτερός τε μυστικὸς χρυσοῦς λίθοις πολυτελέσι κεκοσμημένος, ὀγδοηκοντάπηχυς· οὗτος δὲ περιετίθετο τῷ τοῦ Βερενικείου θυρώματι, αἰγίς τε ὁμοίως χρυσῆ. ἐπόμπευσαν δὲ καὶ στεφάναι χρυσαῖ πάνυ πολλαί, ἃς ἔφερον παιδίσκαι πολυτελῶς κεκοσμημέναι· ὧν μία δίπηχυς εἰς ὕψος, τὴν δὲ περίμετρον ἔχουσα ἑκκαίδεκα πηχῶν. ἐπόμ-
e πευσε δὲ καὶ θώραξ χρυσοῦς πηχῶν δώδεκα καὶ ἕτερος ἀργυροῦς πηχῶν ὀκτωκαίδεκα, * * * ἐννέα, ἔχων ἐφ᾽ ἑαυτὸν

---

ρας PVL. καὶ ἐπ᾽ — ὁλόχρυσον om. C. τριακόσια καὶ πεντήκοντα] τν᾽ P. „καὶ est soulignée dans Q comme inutile." Villebrunius. βωμοὶ δὲ ἐπίχρυσοι] Desideratur ararum numerus. βωμοὶ δ᾽ ἐπίχρυσοι Schweigh. παρεπεπήγεσαν] παραπεπήγεσαν ABP. περιμέτρῳ L. ἐπιμέτρῳ PV. πεντεκαίδεκα] Legebatur δεκαπέντε.

202 c. ἐκ] ἕκαστος Schweigh. ἄλλος πηχῶν τριάκοντα] ἄλλοι πηχῶν λ᾽ B.

202 d. στέφανοί τ᾽ ἐπίχρυσοι B. στέφανοί τε χρυσοῖ PVL. Βερενικείου] βερενικίου BP.

202 e. καὶ ἕτερος — ὀκτωκαίδεκα om. P. ὀκτωκαίδεκα] ιή B.

κεραυνοὺς χρυσοῦς δεκαπήχεις δύο καὶ στέφανον δρυὸς διάλι-
θον· ἀσπίδες χρυσαῖ εἴκοσι, πανοπλίαι χρυσαῖ ἑξήκοντα
τέσσαρες, κνημῖδες χρυσαῖ τριπήχεις δύο, λεκάναι χρυσαῖ
δώδεκα, φιάλαι πολλαὶ πάνυ τὸν ἀριθμόν, οἰνοχόαι τριά-
κοντα, ἐξάλειπτρα μεγάλα δέκα, ὑδρίαι δώδεκα, μαζονό-
μια πεντήκοντα, τράπεζαι διάφοροι, κυλικεῖα χρυσωμάτων
f πέντε, — κέρας ὁλόχρυσον πηχῶν τριάκοντα. ταῦτα δὲ τὰ
χρυσώματα ἐκτὸς ἦν τῶν ἐν τῇ τοῦ Διονύσου πομπῇ δι-
ενεχθέντων. εἶτ' ἀργυρωμάτων ἅμαξαι τετρακόσιαι καὶ χρυ-
σωμάτων εἴκοσι, ἀρωμάτων δὲ ὀκτακόσιαι."

35. „Ἐπὶ δὲ πᾶσιν ἐπόμπευσαν αἱ δυνάμεις αἱ ἱππι-
καὶ καὶ πεζικαί, πᾶσαι καθωπλισμέναι θαυμασίως. πεζοὶ
μὲν ἐς πέντε μυριάδας καὶ ἑπτακισχιλίους καὶ ἑξακοσίους,
203 ἱππεῖς δὲ δισμύριοι τρισχίλιοι διακόσιοι. πάντες δ' οὗτοι
ἐπόμπευσαν, τὴν ἁρμόζουσαν ἑκάστῳ ἠμφιεσμένοι στολὴν
καὶ τὰς προσηκούσας ἔχοντες πανοπλίας. ἐκτὸς δ' ὧν πάν-
τες οὗτοι εἶχον πανοπλιῶν καὶ ἄλλαι πλεῖσται ἦσαν ἀπο-
κείμεναι, ὧν οὐδὲ τὸν ἀριθμὸν ἀναγράψαι ῥᾴδιον." κα-
τέλεξε δ' αὐτὸν ὁ Καλλίξενος. „ἐστεφανώθησαν δ' ἐν τῷ
ἀγῶνι καὶ στεφάνοις χρυσοῖς εἴκοσι· Πτολεμαῖος δὲ ὁ
πρῶτος καὶ Βερενίκη εἴκοσι τρισὶν ἐφ' ἁρμάτων χρυσῶν
καὶ τεμένεσιν ἐν Δωδώνῃ. καὶ ἐγένετο τὸ δαπάνημα τοῦ
b νομίσματος τάλαντα δισχίλια διακόσια τριάκοντα ἐννέα,
μναῖ πεντήκοντα, καὶ ταῦτ' ἠριθμήθη πάντα παρὰ τοῖς
οἰκονόμοις, διὰ τὴν τῶν στεφανούντων προθυμίαν, πρὸ
τοῦ τὰς θέας παρελθεῖν. ὁ δὲ Φιλάδελφος Πτολεμαῖος,

---

ἐννέα ἔχων ABP. ἐννέα om. VL. Indicavi lacunam. ἐφ' ἑαυτὸν] ἐφ' ἑαυτοῦ P. δεκαπήχεις AB. δωδεκαπήχεις PVL. χρυσαῖ δώδεκα] Scribebatur χρυσαῖ δυοκαίδεκα. χρυσαῖ δεκαδύο et infra ὑδρίαι δεκαδύο A. δεκαδύο et δεκαπέντε et δεκατέσσαρες et similia omnia non ab ipso scriptore profecta sunt, sed ab librariis numerorum notas sua consuetudine exprimentibus. τριάκοντα, ἐξάλειπτρα Hemsterhusius. Legebatur τριάκοντα ἕξ, ἄλειπτρα. λξ ἄλειπτρα P.

202 f. κυλικεῖα Schweigh. κυλίκια PVL.

203 a. Καλλίξενος] καλλίξεινος BP. Βερενίκη] βερονίκη B. τὸ δαπάνημα] Aberat τὸ.

203 b. ἠριθμήθη] ἀριθμήθη B. παρὰ om. B.

υἱὸς αὐτῶν, εἴκοσι χρυσαῖς, δυσὶ μὲν ἐφ' ἁρμάτων χρυσῶν, ἐπὶ δὲ κιόνων ἐξαπήχει μιᾷ, πενταπήχεσι πέντε, τετραπήχεσιν ἕξ."

36. Ποία οὖν, ἄνδρες δαιτυμόνες, βασιλεία οὕτως γέγονε πολύχρυσος; οὐ γὰρ τὰ ἐκ Περσῶν καὶ Βαβυλῶνος λα-
c βοῦσα χρήματα, ἢ μέταλλα ἐργαζομένη, ἢ Πακτωλὸν ἔχουσα χρυσοῦν ψῆγμα καταφέροντα. μόνος γὰρ ὡς ἀληθῶς ὁ χρυσορρόας καλούμενος Νεῖλος μετὰ τροφῶν ἀφθόνων καὶ χρυσὸν ἀκίβδηλον καταφέρει, ἀκινδύνως γεωργούμενον, ὡς πᾶσιν ἐξαρκεῖν ἀνθρώποις, δίκην Τριπτολέμου πεμπόμενον εἰς πᾶσαν γῆν. διόπερ αὐτὸν καὶ ὁ Βυζάντιος ποιητὴς Παρμένων ἐπικαλούμενος, Αἰγύπτιε Ζεῦ, φησί, Νεῖλε. πολλῶν δ' ὁ Φιλάδελφος βασιλέων πλούτῳ διέφερε, καὶ περὶ πάντα ἐσπουδάκει τὰ κατασκευάσματα φιλοτίμως,
d ὥστε καὶ πλοίων πλήθει πάντας ὑπερέβαλλε. τὰ γοῦν μέγιστα τῶν πλοίων ἦν παρ' αὐτῷ τριακοντήρεις δύο, εἰκοσήρης μία, τέσσαρες τρισκαιδεκήρεις, δωδεκήρεις δύο, ἐνδεκήρεις τεσσαρεσκαίδεκα, ἐννήρεις τριάκοντα, ἑπτήρεις τριάκοντα ἑπτά, ἑξήρεις πέντε, πεντήρεις ἑπτακαίδεκα· τὰ δ' ἀπὸ τετρήρους μέχρι τριηρημιολίας διπλάσια τούτων. τὰ δ' εἰς τὰς νήσους πεμπόμενα καὶ τὰς ἄλλας πόλεις ὧν
e ἦρχε καὶ τὴν Λιβύην πλείονα ἦν τῶν τετρακισχιλίων. περὶ δὲ βιβλίων πλήθους καὶ βιβλιοθηκῶν κατασκευῆς καὶ τῆς εἰς τὸ Μουσεῖον συναγωγῆς τί δεῖ καὶ λέγειν πᾶσι τούτων ὄντων κατὰ μνήμην;

37. Ἐπεὶ δὲ περὶ νεῶν κατασκευῆς εἰρήκαμεν, φέρ' εἴπωμεν, ἀκοῆς γάρ ἐστιν ἄξια, καὶ τὰ ὑπὸ τοῦ Φιλοπά-

---

χρυσαῖς] χρυσοῖς Schweigh.

203 c. χρήματα ἢ μέταλλα AB. μέταλλα ἢ χρήματα PVL. ἐργαζομένη B. ἐργασαμένη PVL. χρυσορρόας] χρυσορόας B. Αἰγύπτιε Ζεῦ Νεῖλε] Scholiastes Pindari Pyth. IV, 97.

203 d. ὑπερέβαλλε] ὑπερέβαλεν B. τῶν πλοίων ἦν ABC. ἦν τῶν πλοίων PVL. τέσσαρες B. Legebatur τέσσαρες δέ. τεσσαρεσκαίδεκα] Legebatur δεκατέσσαρες. ἑπτακαίδεκα] ιζ' CP. δεκαεπτὰ A. Vide ad 202 e. λιβύην AC. λικύην BV. Λυκίην L. λικύην λυκίην P deleto λικύην.

203 e. βυβλίων et βυβλιοθηκῶν P. κατασκευῆς — συναγωγῆς ABCL: inverso ordine συναγωγῆς — κατασκευῆς V. κατασκευῆς συναγωγῆς — κατασκευῆς P deleto priore κατασκευῆς.

τορος βασιλέως κατεσκευασμένα σκάφη. περὶ ὧν ὁ αὐτὸς
Καλλίξενος ἱστορεῖ ἐν τῷ πρώτῳ περὶ Ἀλεξανδρείας οὑ-
τωσὶ λέγων „Τὴν τεσσαρακοντήρη ναῦν κατεσκεύασεν ὁ
Φιλοπάτωρ, τὸ μῆκος ἔχουσαν διακοσίων ὀγδοήκοντα πη-
f χῶν, ὀκτὼ δὲ καὶ τριάκοντα ἀπὸ παρόδου ἐπὶ πάροδον,
ὕψος δὲ ἕως ἀκροστολίου τεσσαράκοντα ὀκτὼ πηχῶν. ἀπὸ
δὲ τῶν πρυμνητικῶν ἀφλάστων ἐπὶ τὸ πρὸς τῇ θαλάσσῃ
μέρος αὐτῆς τρεῖς πρὸς τοῖς πεντήκοντα πήχεις. πηδάλια
δ' εἶχε τέτταρα τριακονταπήχη, κώπας δὲ θρανιτικὰς ὀκτὼ
204 καὶ τριάκοντα πηχῶν τὰς μεγίστας, αἳ διὰ τὸ μόλυβδον
ἔχειν ἐν τοῖς ἐγχειριδίοις καὶ γεγονέναι λίαν εἴσω βαρεῖαι
κατὰ τὴν ζύγωσιν εὐήρεις ὑπῆρχον ἐπὶ τῆς χρείας. δίπρω-
ρος δ' ἐγεγόνει καὶ δίπρυμνος, καὶ ἔμβολα εἶχεν ἑπτά·
τούτων ἓν μὲν ἡγούμενον, τὰ δ' ὑποστέλλοντα· τινὰ δὲ
κατὰ τὰς ἐπωτίδας. ὑποζώματα δὲ ἐλάμβανε δώδεκα· ἑξα-
κοσίων δ' ἦν ἕκαστον πηχῶν. εὔρυθμος δ' ἦν καθ' ὑπερ-
βολήν· θαυμαστὸς δ' ἦν καὶ ὁ ἄλλος κόσμος τῆς νεώς.
ζῷα μὲν γὰρ εἶχεν οὐκ ἐλάττω δώδεκα πηχῶν κατὰ πρύ-
b μναν τε καὶ πρῷραν, καὶ πᾶς τόπος αὐτῆς κηρογραφίᾳ
κατεπεποίκιλτο, τὸ δ' ἔγκωπον ἅπαν μέχρι τῆς τρόπεως
κισσίνην φυλλάδα καὶ θύρσους εἶχε πέριξ. πολὺς δ' ἦν
καὶ ὁ τῶν ὅπλων κόσμος. ἀνεπλήρου δὲ τὰ προσδεόμενα
τῆς νεὼς μέρη. γενομένης δὲ ἀναπείρας ἐδέξατο ἐρέτας
πλείους τῶν τετρακισχιλίων, εἰς δὲ τὰς ὑπηρεσίας τετρα-
κοσίους· εἰς δὲ τὸ κατάστρωμα ἐπιβάτας τρισχιλίους, ἀπο-
δέοντας ἑκατὸν καὶ πεντήκοντα· καὶ χωρὶς ὑπὸ τὰ ζύγια

---

Καλλίξενος] καλλίξεινος ABCP.

203 f. τὸ πρὸς τῇ C et ex epitome Casaubonus. πρὸς om. PVL. θρανιτικὰς ACP. θρανητικὰς VL.

204 a. μόλυβδον] μόλιβδον BCP. ἐγχειριδίοις] ἐγχειριδείοις B. ἐπωτίδας] ἰπωτίδας B.

204 b. κατεπεποίκιλτο L. καταπεποίκιλτο BPV. τὸ δὲ ἔγκωπον — πέριξ] „Vertit defensor Salmasii in observ. ad ius Att. et Rom. c. 28. p. 679. *remi vero a summo ad imam carinam hederae frondibus involuti erant instar thyrsorum.* Leg. κατὰ θύρσους." Reinesius. πέριξ] πέρυξ B. ἀνεπλήρου — μέρη om. C. καὶ χωρὶς — οὐκ ὀλίγον om. C. ἐπισιτισμοὺς] ἐπισιτισμοῦ Casaubonus.

c πλῆθος ἀνθρώπων ἕτερον, ἐπισιτισμούς τε οὐκ ὀλίγον. καθειλκύσθη δὲ τὴν μὲν ἀρχὴν ἀπὸ ἐσχαρίου τινὸς, ὅ φασι παγῆναι πεντήκοντα πλοίων πεντηρικῶν ξυλείᾳ, ὑπὸ δὲ ὄχλου μετὰ βοῆς καὶ σαλπίγγων κατήγετο. ὕστερον δὲ τῶν ἀπὸ Φοινίκης τις ἐπενόησε τὴν καθολκὴν, τάφρον ὑποστησάμενος ἴσην τῇ νηὶ κατὰ μῆκος, ἣν πλησίον τοῦ λιμένος ὤρυξε. ταύτῃ δὲ τοὺς θεμελίους κατῳκοδόμησε λίθῳ στερεῷ πρὸς πέντε πήχεις τὸ βάθος, καὶ διὰ τούτων φάλαγγας ἐπικαρσίας κατὰ πλάτος τῆς τάφρου διώσας
d συνεχεῖς, τετράπηχυν εἰς βάθος τόπον ἀπολιπούσας. καὶ ποιήσας εἴσρουν ἀπὸ τῆς θαλάσσης ἐνέπλησεν αὐτῆς πάντα τὸν ὀρυχθέντα τόπον, εἰς ὃν ῥᾳδίως ἀπὸ τῶν τυχόντων ἀνδρῶν εἰσήγαγε τὴν ναῦν· * * * τὸ ἀνοιχθὲν κατ' ἀρχὰς ἐμφράξαντας μετεξαντλῆσαι πάλιν τὴν θάλασσαν ὀργάνοις. τούτου δὲ γενομένου ἑδρασθῆναι τὸ πλοῖον ἀσφαλῶς ἐπὶ τῶν προειρημένων φαλάγγων."

38. „Κατεσκεύασε δ' ὁ Φιλοπάτωρ καὶ ποτάμιον πλοῖον, τὴν θαλαμηγὸν καλουμένην, τὸ μῆκος ἔχουσαν ἡμισταδίου, τὸ δ' εὖρος ᾗ πλατύτατον τριάκοντα πηχῶν·
e τὸ δὲ ὕψος σὺν τῷ τῆς σκηνῆς ἀναστήματι μικρὸν ἀπέδει τεσσαράκοντα πηχῶν. τὸ δὲ σχῆμ' αὐτῆς οὔτε ταῖς μακραῖς ναυσὶν οὔτε ταῖς στρογγύλαις ἐοικὸς, ἀλλὰ παρηλλαγμένον τε καὶ πρὸς τὴν χρείαν τοῦ ποταμοῦ τὸ βάθος. κά-

---

204 c. ὀλίγον] ὀλίγους Schweigh. ἀπὸ ἐσχαρίου] ὑπὸ ἐσχαρίου BC. Eustathius p. 1575, 42. Ἀθήναιος δὲ καὶ ἐσχάριον παραγώγως οἶδε, δι' οὗ καθέλκονται νῆες εἰς θάλασσαν, ὅθεν ἡ ἀπερίεργος γλῶσσα παραφθείρουσα τὸ καινὸν πλοῖον ἀπὸ σκαρίου εἶναί φησι, βουλομένη πάντως ὑπὸ ἐσχαρίου εἰπεῖν. ξυλείᾳ] ξυλίαι P. καθολκὴν L. καθολικὴν PV.

204 d. ἀπὸ τῶν] ὑπὸ τῶν C, in quo sic scriptum εἰς ὃν ῥᾳδίως ὑπὸ τῶν τυχόντων ἀνδρῶν εἰσήγαγε τὴν ναῦν τὸ ἀνοιχθὲν κατ' ἀρχὰς ἐμφράξας, μετεξήντλησέ τε πάλιν τὴν θάλασσαν ὀργάνοις. τούτου δὲ γενομένου ἡδράσθη τὸ πλοῖον ἀσφαλῶς ἐπὶ τῶν προειρημένων φαλάγγων. Indicavi lacunam. ἐμφράξαντας ABP. ἐμφράξας VL. μετεξαντλῆσαι ABP. μετεξήντλησε VL. πλατύτατον DL. πλατύτερον PQV.

204 e. μικρὸν] μιᾶς epitome Hoeschelii, non C. σχῆμ' B. σχῆμα PVL. τοῦ ποταμοῦ] Nisi plura ex hoc loco exciderunt, scribendum saltem τοῦ τε ποταμοῦ.

τωθὲν μὲν γὰρ ἁλιτενὴς καὶ πλατεῖα, τῷ δ' ὄγκῳ μετέωρος· τὰ δ' ἐπὶ τῶν ἄκρων αὐτῆς μέρη, καὶ μάλιστα τὰ κατὰ πρῷραν, παρέτεινεν ἐφ' ἱκανὸν, τῆς ἀνακλάσεως εὐγράμμου φαινομένης. δίπρωρος δ' ἐγεγόνει καὶ δίπρυμνος,
f καὶ πρὸς ὕψος ἀνέτεινε, διὰ τὸ μετέωρον ἄγαν ἵστασθαι πολλάκις ἐν τῷ ποταμῷ τὸ κῦμα. κατεσκεύαστο δ' αὐτῆς κατὰ μὲν μέσον τὸ κύτος τὰ συμπόσια καὶ οἱ κοιτῶνες καὶ τὰ λοιπὰ τὰ πρὸς τὴν διαγωγὴν χρηστήρια. πέριξ δὲ τῆς νεὼς περίπατοι κατὰ τὰς τρεῖς πλευρὰς ἐγεγόνεσαν διπλοῖ. ὧν ἡ μὲν περίμετρος ἦν πέντε πλέθρων οὐκ ἐλάττων, ἡ δὲ διάθεσις τοῦ μὲν καταγείου περιστύλῳ παραπλήσιος,
205 τοῦ δ' ὑπερῴου κρύπτῃ φραγμοῖς καὶ θυρίσι περιεχομένῃ πάντοθεν. πρώτη δ' εἰσιόντι κατὰ πρύμναν ἐτέτακτο προστὰς ἐξ ἐναντίου μὲν ἀναπεπταμένη, κύκλῳ δὲ περίπτερος· ἧς ἐν τῷ καταντικρὺ τῆς πρῴρας μέρει προπύλαιον κατεσκεύαστο, δι' ἐλέφαντος καὶ τῆς πολυτελεστάτης ὕλης γεγονός. τοῦτο δὲ διελθοῦσιν ὡσανεὶ προσκήνιον ἐπεποίητο τῇ διαθέσει, κατάστεγον ἄνω. πάλιν ὁμοίως κατὰ μὲν τὴν μέσην πλευρὰν προστὰς ἑτέρα παρέκειτο ὄπισθεν, καὶ τε-
b τράθυρος ἔφερεν εἰς αὐτὴν πυλών. ἐξ ἀριστερῶν δὲ καὶ δεξιῶν θυρίδες ὑπέκειντο εὐάειαν παρέχουσαι. συνῆπτο δὲ τούτοις ὁ μέγιστος οἶκος· περίπτερος δ' ἦν εἴκοσι κλίνας ἐπιδεχόμενος. κατεσκευάσθη δ' αὐτοῦ τὰ μὲν πλεῖστα ἀπὸ κέδρου σχιστῆς καὶ κυπαρίσσου Μιλησίας, αἱ δὲ τῆς πε-

---

ἁλιτενὴς] ἀλιτενὴς B. ἀνακλάσεως] ἀνακλήσεως B et membranae Casauboni.

204 f. ἐγεγόνεσαν] Scribebatur ἐγεγόνεισαν. ἐγεγόνεσαν legitur p. 218 d.

205 a. κρύπτῃ — περιεχομένῃ Schweigh. κρυπτὴ — περιεχομένη PVL. προστὰς Villebrunius. πρὸς VL. πρὸς τὰ AB et codex Romanus in libro Aegiano. ἐτέτακτο προσεξεναντιούμενα P. ἐξ ἐναντίου μὲν Casaubonus. Libri ἐξεναντιούμενα. περίπτερος ABD et membranae Casauboni. περίπατος PQVL. ἄνω om. B vacuo spatio relicto. κατάστεγον νω πάλιν P. προστὰς ἑτέρα Villebrunius. πρὸς τὰ ἕτερα PVL. ὄπισθεν om. P.

205 b. εὐάειαν in Casauboni annotatione scriptum. εὐαείαν L. εὐαγείαν ABPV. συνῆπτο Schweigh. Legebatur συνήγετο.

ριστάσεως θύραι, τὸν ἀριθμὸν εἴκοσιν οὖσαι, θυΐναις κα-
τεκεκόλληντο σανίσιν, ἐλεφαντίνους ἔχουσαι τοὺς κόσμους.
ἡ δ' ἐνήλωσις ἡ κατὰ πρόσωπον αὐτῶν καὶ τὰ ῥόπτρα
ἐξ ἐρυθροῦ γεγονότα χαλκοῦ τὴν χρύσωσιν ἐκ πυρὸς εἰλή-
c φει. τῶν δὲ κιόνων τὰ μὲν σώματα ἦν κυπαρίσσινα, αἱ δὲ
κεφαλαὶ Κορινθιουργεῖς, ἐλέφαντι καὶ χρυσῷ διακεκοσμη-
μέναι. τὸ δὲ ἐπιστύλιον ἐκ χρυσοῦ τὸ ὅλον· ἐφ' οὗ διά-
ζωσμα ἐφήρμοστο, περιφανῆ ζώδια ἔχον ἐλεφάντινα, μεί-
ζονα πηχυαίων, τῇ μὲν τέχνῃ μέτρια, τῇ χορηγίᾳ δ' ἀξιο-
θαύμαστα. ἐπέκειτο δὲ καὶ στέγη καλὴ τῷ συμποσίῳ τε-
τράγωνος κυπαρισσίνη· γλυπτοὶ δ' αὐτῆς ἦσαν οἱ κόσμοι,
χρυσῆν ἔχοντες τὴν ἐπιφάνειαν. παρέκειτο δὲ τῷ συμποσίῳ
d τούτῳ καὶ κοιτὼν ἑπτάκλινος· ᾧ συνῆπτο στενὴ σῦριγξ,
κατὰ πλάτος τοῦ κύτους χωρίζουσα τὴν γυναικωνῖτιν. ἐν
δὲ ταύτῃ συμπόσιον ἐννεάκλινον ἦν, παραπλήσιον τῇ πο-
λυτελείᾳ τῷ μεγάλῳ, καὶ κοιτὼν πεντάκλινος. καὶ τὰ μὲν
ἄχρι τῆς πρώτης στέγης κατεσκευασμένα τοιαῦτ' ἦν."

39. „Ἀναβάντων δὲ τὰς παρακειμένας πλησίον τῷ
προειρημένῳ κοιτῶνι κλίμακας οἶκος ἦν ἄλλος πεντάκλινος,
ὀρόφωμα ῥομβωτὸν ἔχων· καὶ πλησίον αὐτοῦ ναὸς Ἀφρο-
e δίτης θολοειδής, ἐν ᾧ μαρμάρινον ἄγαλμα τῆς θεοῦ. κα-
τεναντίον δὲ τούτου ἄλλο συμπόσιον πολυτελὲς περίπτερον·
οἱ γὰρ κίονες αὐτοῦ ἐκ λίθων Ἰνδικῶν συνέκειντο. παρὰ
δὲ καὶ τούτῳ τῷ συμποσίῳ κοιτῶνες ἀκόλουθον τὴν κα-
τασκευὴν τοῖς προδεδηλωμένοις ἔχοντες. προάγοντι δὲ ἐπὶ
τὴν πρῷραν οἶκος ὑπέκειτο Βακχικὸς τρισκαιδεκάκλινος πε-
ρίπτερος, ἐπίχρυσον ἔχων τὸ γεῖσον ἕως τοῦ περιτρέχοντος
ἐπιστυλίου· στέγη δὲ τῆς τοῦ θεοῦ διαθέσεως οἰκεία. ἐν
f δὲ τούτῳ κατὰ μὲν τὴν δεξιὰν πλευρὰν ἄντρον κατεσκεύα-
στο, οὗ χρῶμα μὲν ἦν ἔχον τὴν πετροποιίαν ἐκ λίθων
ἀληθινῶν καὶ χρυσοῦ δεδημιουργημένον· ἵδρυτο δ' ἐν αὐτῷ

---

εἴκοσιν οὖσαι C. εἴκοσι οὖσαι PVL. εἰλήφει AB. εἰλήφασιν PVL.
205 c. τῶν δὲ κιόνων — τὸ ὅλον] Eustathius p. 1673, 11.
ἐλέφαντι] ἐλεφάντιναι Eustathius. μείζονα B. μείζω PVL.
205 d. Ἀναβάντων] ἀναβάντι Schweigh.
205 e. παρὰ δὲ καὶ] δὲ om. P. οἰκεία] οἰκία P.
205 f. δεδημιουργούμενον B.

τῆς τῶν βασιλέων συγγενείας ἀγάλματα εἰκονικὰ λίθου
λυχνέως. ἐπιτερπὲς δ' ἱκανῶς καὶ ἄλλο συμπόσιον ἦν ἐπὶ
τῇ τοῦ μεγίστου οἴκου στέγῃ κείμενον, σκηνῆς ἔχον τάξιν·
ὥστε τῇ μὲν οὐκ ἐπῆν * * διατόναια δὲ τοξοειδῆ διὰ πο-
206 σοῦ τινος ἐνετέτακτο διαστήματος, ἐφ' ὧν αὐλαῖαι κατὰ
τὸν ἀνάπλουν ἁλουργεῖς ἐνεπετάννυντο. μετὰ δὲ τοῦτο αἴ-
θριον ἐξεδέχετο, τὴν ἐπάνω τῆς ὑποκειμένης προστάδος
τάξιν κατέχον· ᾧ κλῖμαξ τε ἑλικτὴ φέρουσα πρὸς τὸν κρυ-
πτὸν περίπατον παρέκειτο καὶ συμπόσιον ἐννεάκλινον, τῇ
διαθέσει τῆς κατασκευῆς Αἰγύπτιον. οἱ γὰρ γεγονότες αὐ-
τόθι κίονες ἀνήγοντο στρογγύλοι, διαλλάττοντες τοῖς σπον-
δύλοις, τοῦ μὲν μέλανος, τοῦ δὲ λευκοῦ, παράλληλα τιθε-
b μένων. εἰσὶ δ' αὐτῶν καὶ αἱ κεφαλαὶ τῷ σχήματι περι-
φερεῖς, ὧν ἡ μὲν ὅλη περιγραφὴ παραπλησία ῥόδοις ἐπὶ
μικρὸν ἀναπεπταμένοις ἐστίν. περὶ δὲ τὸν προσαγορευόμε-
νον κάλαθον οὐχ ἕλικες, καθάπερ ἐπὶ τῶν Ἑλληνικῶν,
καὶ φύλλα τραχέα περίκειται, λωτῶν δὲ ποταμίων κάλυκες
καὶ φοινίκων ἀρτιβλάστων καρπός· ἔστι δ' ὅτε καὶ πλειό-
νων ἄλλων ἀνθέων γέγλυπται γένη. τὸ δ' ὑπὸ τὴν ῥίζαν,
ὃ δὴ τῷ συνάπτοντι πρὸς τὴν κεφαλὴν ἐπίκειται σπονδύλῳ,
κιβωρίων ἄνθεσι καὶ φύλλοις ὡσανεὶ καταπεπλεγμένοις
c ὁμοίαν εἶχε τὴν διάθεσιν. τοὺς μὲν οὖν κίονας οὕτως Αἰ-
γύπτιοι κατασκευάζουσι, καὶ τοὺς τοίχους δὲ λευκαῖς τε
καὶ μελαίναις διαποικίλλουσι πλινθίσιν· ἐνίοτε δὲ καὶ τοῖς
ἀπὸ τῆς ἀλαβαστίτιδος προσαγορευομένης πέτρας. πολλὰ
δὲ καὶ ἕτερα κατὰ μέσον τῆς νεὼς τὸ κύτος ἐν κοίλῃ καὶ
κατὰ πᾶν αὐτῆς μέρος οἰκήματα ἦν. ὁ δὲ ἱστὸς ἦν αὐτῆς
ἑβδομήκοντα πηχῶν, βύσσινον ἔχων ἱστίον ἁλουργεῖ παρα-

---

ἐπὶ τῇ τοῦ] ἐπὶ τῆς τοῦ B. μὲν οὐκ ἐπῆν] μὲν ἐπὴν B. Post ἐπῆν indicavi lacunam. διατόναια (sive διατόνια) δὲ τοξοειδῆ Casaubonus. διατοναίῳ (διατοναία P) δὲ τοξοειδεῖ PVL. ἐνετέτακτο] ἐνετέτατο Casaubonus.

206 a. τοῦτο Casaubonus. τοῦτον AV. τὸν PL.

206 b. περὶ δὲ τὸν] δὲ om. P.

206 c. εἶχε L. ἔχει PV. λευκαῖς τε καὶ B. λευκαῖς καὶ PVL. ἀλαβαστίτιδος APV. ἀλαβαστρίτιδος L. αὐτῆς BCP et Villebrunius. αὐτοῖς VL. ἑβδομήκοντα] ὁ C. βύσσινον margo Basil. et L. βύσινον B. βύσσιον P. βύσιον V.

σείρῳ κεκοσμημένον. πᾶς δ' ὁ τοῦ βασιλέως τοῦ Φιλα-
d δέλφου πλοῦτος φυλαχθεὶς κατελύθη ὑπὸ τοῦ τελευταίου Πτολεμαίου, τοῦ καὶ τὸν Γαβινιακὸν συστησαμένου πόλεμον, οὐκ ἀνδρὸς γενομένου, ἀλλ' αὐλητοῦ καὶ μάγου."

40. Περὶ δὲ τῆς ὑπὸ Ἱέρωνος τοῦ Συρακοσίου κατασκευασθείσης νεὼς, ἧς καὶ Ἀρχιμήδης ἦν ὁ γεωμέτρης ἐπόπτης, οὐκ ἄξιον εἶναι κρίνω σιωπῆσαι, σύγγραμμα ἐκδόντος Μοσχίωνος τινὸς, ᾧ οὐ παρέργως ἐνέτυχον ὑπογυίως. γράφει οὖν ὁ Μοσχίων οὕτως „Διοκλείδης μὲν ὁ Ἀβδηρίτης θαυμάζεται ἐπὶ τῇ πρὸς τὴν Ῥοδίων πόλιν ὑπὸ Δημητρίου
e προσαχθείσῃ τοῖς τείχεσιν ἑλεπόλει, Τίμαιος δ' ἐπὶ τῇ πυρᾷ τῇ κατασκευασθείσῃ Διονυσίῳ τῷ Σικελίας τυράννῳ, καὶ Ἱερώνυμος ἐπὶ τῇ κατασκευῇ τῆς ἁρμαμάξης ᾗ συνέβαινε κατακομισθῆναι τὸ Ἀλεξάνδρου σῶμα, Πολύκλειτος δ' ἐπὶ τῷ λυχνίῳ τῷ κατασκευασθέντι τῷ Πέρσῃ· ὁ δ' Ἱέρων ὁ τῶν Συρακοσίων βασιλεὺς, ὁ πάντα Ῥωμαίοις φίλος, ἐσπουδάκει μὲν καὶ περὶ ἱερῶν καὶ γυμνασίων κατασκευὰς, ἦν δὲ καὶ περὶ ναυπηγίας φιλότιμος, πλοῖα σιτηγὰ κατασκευαζόμενος, ὧν ἑνὸς τῆς κατασκευῆς μνησθή-
f σομαι. εἰς ὕλην μὲν ξύλων ἐκ τῆς Αἴτνης παρεσκευάσατο ἑξήκοντα τριηρικῶν σκαφῶν πλῆθος ἐξεργάσασθαι δυναμένην. ὡς δὲ ταῦτα ἡτοιμάσατο, γόμφους τε καὶ ἐγκοίλια καὶ σταμῖνας καὶ τὴν εἰς τὴν ἄλλην χρείαν ὕλην τὴν μὲν

---

206 d. συρακοσίου P. Scribebatur Συρακουσίου. Μοσχίωνος] μουχίωνος B. ὑπογυίως L. ὑπογείως B. ὑποχύως PV. ὁ Μοσχίων om. B. ἀβδηρίτης PL. αὐδηρίτης V.

206 e. ἑλεπόλει PL. ἐλαιπόλει V. ἐπὶ τῇ κατασκευῇ AC. ἐν τῇ κατασκευῇ VL. δ' ἐν τῇ κατασκευῇ P. κατακομισθῆναι L. κατακοσμηθῆναι BPV. ὁ δ' (δὲ B) Ἱέρων ὁ L. ἱέρων δὲ ὁ PV. τῶν add. B. om. PVL. Συρακοσίων] Scribebatur Συρακουσίων. περὶ ἱερῶν] περὶ om. P.

206 f. ἑξήκοντα] ἑξήκοντά τε BP. πλῆθος] τὸ πλῆθος BP. δυναμένην] δύναμιν BC. ἡτοιμάσατο] ἡτοίμαστο? σταμῖνας C hic et p. 207 b. σταμίνας PVL. Eustathius p. 1533, 30. προσθετέον ὅτι καὶ πεζολογικῶς εὕρηνται σταμῖνες παρὰ τῷ Ἀθηναίῳ ἐν τῷ, γόμφους τε ἡτοιμάσατο καὶ ἐγκοίλια καὶ σταμῖνας. χρείαν ὕλην L. ὕλην χρείαν ABCPV. τὴν δ' (δὲ B) ἐκ Σικελίας add. L. om. PV. „Scripsimus ex antiquis καὶ τὴν εἰς τὴν ἄλλην χρείαν ὕλην, τὴν μὲν ἐξ Ἰταλίας, τὴν δ' ἐκ Σικελίας. postrema in editis male desiderantur." Casaubonus.

ἐξ Ἰταλίας, τὴν δ᾽ ἐκ Σικελίας· εἰς δὲ σχοινία λευκέαν
μὲν ἐξ Ἰβηρίας, κάνναβιν δὲ καὶ πίτταν ἐκ τοῦ Ῥοδανοῦ
ποταμοῦ, καὶ τἄλλα πάντα τὰ χρειώδη πολλαχόθεν συν-
ήγαγε. συνήγαγε δὲ καὶ ναυπηγοὺς καὶ τοὺς ἄλλους τεχνί-
τας, καὶ καταστήσας ἐκ πάντων Ἀρχίαν τὸν Κορίνθιον
ἀρχιτέκτονα, παρεκάλεσε προθύμως ἐπιλαβέσθαι τῆς κα-
207 τασκευῆς, προσκαρτερῶν καὶ αὐτὸς τὰς ἡμέρας. τὸ μὲν
οὖν ἥμισυ τοῦ παντὸς τῆς νεὼς ἐν μησὶν ἓξ εἰργάσατο,
καὶ ταῖς ἐκ μολίβου ποιηθείσαις κεραμίσιν ἀεὶ καθ᾽ ὃ
ναυπηγηθείη μέρος περιελαμβάνετο, ὡς ἂν τριακοσίων ὄν-
των τῶν τὴν ὕλην ἐργαζομένων τεχνιτῶν, χωρὶς τῶν ὑπη-
ρετούντων. τοῦτο μὲν οὖν τὸ μέρος εἰς τὴν θάλασσαν κα-
θέλκειν προσετέτακτο, τὴν λοιπὴν κατασκευὴν ἵν᾽ ἐκεῖ
λαμβάνῃ. ὡς δὲ περὶ τὸν καθελκυσμὸν αὐτοῦ τὸν εἰς τὴν
θάλασσαν πολλὴ ζήτησις ἦν, Ἀρχιμήδης ὁ μηχανικὸς μό-
νος αὐτὸ κατήγαγε δι᾽ ὀλίγων σωμάτων. κατασκευάσας γὰρ
b ἕλικα τὸ τηλικοῦτον σκάφος εἰς τὴν θάλασσαν κατήγαγε.
πρῶτος δ᾽ Ἀρχιμήδης εὗρε τὴν τῆς ἕλικος κατασκευήν. ὡς
δὲ καὶ τὰ λοιπὰ μέρη τῆς νεὼς ἐν ἄλλοις ἓξ μησὶ κατε-
σκευάσθη καὶ τοῖς χαλκοῖς ἥλοις πᾶσα περιελήφθη, ὧν οἱ
πολλοὶ δεκάμνοοι ἦσαν, οἱ δ᾽ ἄλλοι τούτων ἡμιόλιοι· διὰ
τρυπάνων δ᾽ ἦσαν οὗτοι ἡρμοσμένοι τοὺς σταμῖνας συνέ-
χοντες· μολυβδίναις δὲ κεραμίσιν ἀπεστεγανοῦντο πρὸς τὸ

---

λευκέαν C et epitome Hoeschelii. λευκαίαν PVL. Eustathius p. 1453, 9. Ἀθήναιος ἱστορεῖ παρά τινος καὶ ὅτι εἰς σχοινία ἡτοιμάσατο λευκέαν μὲν ἐξ Ἰβηρίας, κάνναβιν δὲ ἐκ τοῦ Ἠριδανοῦ ποταμοῦ. εἴη δ᾽ ἂν ἴσως λευκέα δέρμα λεύκης παρόμοιον τῷ ἐκ φιλύρας. πίτταν Casaubonus. κίττον VL. κιττὸν P. Ῥοδανοῦ] ῥοδανοῦ epitome Hoeschelii, non C. Ἠριδανοῦ Eustathius. πολλαχόθεν συνήγαγε Schweigh. Aberat συνήγαγε. Aliter vitio mederi studuit epitomes auctor, qui post ἐξεργάσασθαι δύναμιν sic pergit, γόμφους τε ἡτοιμάσατο καὶ ἐγκοίλια cet.

207 a. εἰργάσατο] ἐξειργάσατο Schweigh. μολίβου ABC. μολίβδου VL. μολύβδου P. καθ᾽ ὃ BCP. καθ᾽ ὃν VL. περιελαμβάνετο Schweigh. προσελαμβάνετο PVL.

207 b. τὴν τῆς ἕλικος] τὴν om. P. περιελήφθη] περιελήφθει B. δεκάμνοοι ABCP. δεκάμναιοι VL. τρυπάνων] τρυπανῶν P. τοὺς σταμῖνας] Immo τὰς σταμῖνας. μολυβδίναις Schweigh. μολιβδίναις B. μολιβδαίναις C, μολυβδαίναις PVL. ἀπεστεγανοῦντο BC. ἀπεστεγνοῦντο PVL.

ξύλου, ὑποτιθεμένων ὀθονίων μετὰ πίττης· ὡς οὖν τὴν ἐκτὸς ἐπιφάνειαν ἐξειργάσατο, τὴν ἐντὸς διασκευὴν ἐξεπονεῖτο.“

c 41. „Ἦν δ' ἡ ναῦς τῇ μὲν κατασκευῇ εἰκόσορος, τριπάροδος δὲ, τὴν μὲν κατωτάτω ἔχουσα ἐπὶ τὸν γόμον, ἐφ' ἣν διὰ κλιμάκων πυκνῶν ἡ κατάβασις ἐγίνετο· ἡ δ' ἑτέρα τοῖς εἰς τὰς διαίτας βουλομένοις εἰσιέναι μεμηχάνητο· μεθ' ἣν ἡ τελευταία τοῖς ἐν τοῖς ὅπλοις τεταγμένοις. ἦσαν δὲ τῆς μέσης παρόδου παρ' ἑκάτερον τῶν τοίχων δίαιται τετράκλινοι τοῖς ἀνδράσι, τριάκοντα τὸ πλῆθος. ἡ δὲ ναυκληρικὴ δίαιτα κλινῶν μὲν ἦν πεντεκαίδεκα, θαλάμους δὲ τρεῖς εἶχε τρικλίνους, ὧν ἦν τὸ κατὰ τὴν πρύμναν ὀπτάνιον. ταῦτα δὲ πάντα δάπεδον εἶχεν ἐν ἀβακίσκοις συγκείμενον ἐκ παντοίων λίθων, ἐν οἷς ἦν κα-
d τεσκευασμένος πᾶς ὁ περὶ τὴν Ἰλιάδα μῦθος θαυμασίως· ταῖς τε κατασκευαῖς καὶ ταῖς ὀροφαῖς καὶ θυρώμασι δὲ πάντα ἦν ταῦτα πεπονημένα. κατὰ δὲ τὴν ἀνωτάτω πάροδον γυμνάσιον ἦν καὶ περίπατοι σύμμετρον ἔχοντες τὴν κατασκευὴν τῷ τοῦ πλοίου μεγέθει, ἐν οἷς κῆποι παντοῖοι θαυμασίως ἦσαν περιβάλλοντες ταῖς φυτείαις διὰ κεραμίδων μολυβδινῶν κατεστεγανωμένων. ἔτι δὲ σκηναὶ κιττοῦ λευκοῦ καὶ ἀμπέλων, ὧν αἱ ῥίζαι τὴν τροφὴν ἐν πίθοις εἶχον γῆς πεπληρωμένοις, τὴν αὐτὴν ἄρδευσιν λαμβάνου-
e σαι καθάπερ καὶ οἱ κῆποι. αὗται δὲ αἱ σκηναὶ συνεσκίαζον τοὺς περιπάτους. ἑξῆς δὲ τούτων Ἀφροδίσιον κατεσκεύαστο

---

207 c. εἰκόσορος] εἰκοσήρης Palmer. Exercit. p. 500. ἔχουσα C. ἔχων PVL. τεταγμένοις] τεταμένοις C. ὀπτάνιον] Scribebatur ὀπτανεῖον· ὀπτάνειον P. ταῦτα δὲ — λίθων] Eustathius p. 1927, 64.

207 d. κατεσκευασμένος] κατασκευασμένος BP. ταῖς τε — πεπονημένα om. C. ὀροφαῖς καὶ θυρώμασι] ὀροφαῖς. θυρώμασι B. θυρώμασι δὲ] δὲ om. P. πεπονημένα A. πεποιημένα PVL. κατασκευὴν] παρασκευὴν B. κεραμίδων μολυβδινῶν Schweigh. Legebatur κεραμίδων ἢ μολυβδαινῶν (μολιβδ-ινῶν B). κατεστεγανωμένων, in PVL omissum, add. B: κατεστεγνωμένων AD. κατεστεγνωμένα codex Romanus in libro Aegiano. „Si κατεστεγνωμένοι esset, posset ad κῆποι referri.“ Schweigh. Quod verum videtur. ἀμπέλων ὧν αἱ ῥίζαι L. ἀμπελώνων αἱ ῥίζαι APV. ἀμπέλων ῥίζαι BC.

τρίκλινον, δάπεδον ἔχον ἐκ λίθων ἀχατῶν τε καὶ ἄλλων χαριεστάτων, ὅσοι κατὰ τὴν νῆσον ἦσαν· τοὺς τοίχους δ' εἶχε καὶ τὴν ὀροφὴν κυπαρίττου, τὰς δὲ θύρας ἐλέφαντος καὶ θύου· γραφαῖς δὲ καὶ ἀγάλμασιν, ἔτι δὲ ποτηρίων κατασκευαῖς ὑπερβαλλόντως κατεσκεύαστο."

42. „Τούτου δ' ἐφεξῆς σχολαστήριον ὑπῆρχε πεντά-
κλινον, ἐκ πύξου τοὺς τοίχους καὶ τὰ θυρώματα κατε-
σκευασμένον, βιβλιοθήκην ἔχον ἐν αὐτῷ, κατὰ δὲ τὴν ὀρο-
f φὴν πόλον, ἐκ τοῦ κατὰ τὴν Ἀχραδίνην ἀπομεμιμημένον
ἡλιοτροπίου. ἦν δὲ καὶ βαλανεῖον τρίκλινον, πυρίας χαλ-
κᾶς ἔχον τρεῖς καὶ λουτῆρα πέντε μετρητὰς δεχόμενον ποι-
κίλον τοῦ Ταυρομενίτου λίθου. κατεσκεύαστο δὲ καὶ οἰκή-
ματα πλείω τοῖς ἐπιβάταις καὶ τοῖς τὰς ἀντλίας φυλάτ-
τουσι. χωρὶς δὲ τούτων ἱππῶνες ἦσαν ἑκατέρου τῶν τοί-
χων δέκα. κατὰ δὲ τούτους ἡ τροφὴ τοῖς ἵπποις ἔκειτο καὶ
τῶν ἀναβατῶν καὶ τῶν παίδων τὰ σκεύη. ἦν δὲ καὶ ὑδρο-
208 θήκη κατὰ τὴν πρῷραν κλειστὴ δισχιλίους μετρητὰς δε-
χομένη, ἐκ σανίδων καὶ πίττης καὶ ὀθονίων κατεσκευασ-
μένη. παρὰ δὲ ταύτην κατεσκεύαστο διὰ μολυβδώματος καὶ
σανίδων κλειστὸν ἰχθυοτροφεῖον· τοῦτο δ' ἦν πλῆρες θα-
λάττης, ἐν ᾧ πολλοὶ ἰχθύες εὖ ἐτρέφοντο. ὑπῆρχον δὲ καὶ
τῶν τοίχων ἑκατέρωθεν τρόποι προεωσμένοι διάστημα σύμ-
μετρον ἔχοντες· ἐφ' ὧν κατεσκευασμέναι ἦσαν ξυλοθῆκαι
καὶ κρίβανοι καὶ ὀπτάνια καὶ μύλοι καὶ πλείους ἕτεραι
b διακονίαι. ἄτλαντές τε περιέτρεχον τὴν ναῦν ἐκτὸς ἑξαπή-
χεις, οἳ τοὺς ὄγκους ὑπειλήφεσαν τοὺς ἀνωτάτω καὶ τὸ

---

207 e. τρίκλινον] τρίκλινην B. θύου BP. θυίου VL. γραφαῖς δὲ Schweigh. Aberat δὲ. κατεσκευασμένον] κατασκευασμένον B. αὐτῷ] αὑτῷ PVL.

207 f. ἀχραδίνην ACP. ἀχραδινὴν VL. ἑκατέρου] ἑκατέρωθεν C.

208 a. κατεσκευασμένη] κατασκευασμένη B. ταύτην] ταύτης B. μολυβδώματος P. Scribebatur μολιβδώματος. κλειστὸν Coraës. κλειστῶν PVL. εὖ ἐτρέφοντο] ἐνετρέφοντο Coraës. τρόποι] τόποι C et epitome Hoeschelii. τροποὶ Schweigh. κατεσκευασμέναι] κατασκευασμέναι BP. ὀπτάνια] Scribebatur ὀπτανεῖα.

208 b. ἐκτὸς] ἐντὸς Eustathius p. 1390, 31., non C.

τρίγλυφον, πάντες ἐν διαστήματι βεβῶτες. ἡ δὲ ναῦς πᾶσα οἰκείαις γραφαῖς ἐπεπόνητο.“

43. „Πύργοι τε ἦσαν ἐν αὐτῇ ὀκτὼ σύμμετροι τὸ μέγεθος τοῖς τῆς νεὼς ὄγκοις· δύο μὲν κατὰ πρύμναν, οἱ δ' ἴσοι κατὰ πρῷραν, οἱ λοιποὶ δὲ κατὰ μέσην ναῦν. τούτων δ' ἑκάστῳ παρεδέδεντο κεραῖαι δύο, ἐφ' ὧν κατεσκεύαστο φατνώματα, δι' ὧν ἠφίεντο λίθοι πρὸς τοὺς ὑπο-
c πλέοντας τῶν πολεμίων. ἐπὶ δὲ τῶν πύργων ἕκαστον ἀνέβαινον τέτταρες μὲν καθωπλισμένοι νεανίσκοι, δύο δὲ τοξόται. πᾶν δὲ τὸ ἐντὸς τῶν πύργων λίθων καὶ βελῶν πλῆρες ἦν. τεῖχος δὲ ἐπάλξεις ἔχον καὶ καταστρώματα διὰ νεὼς ἐπὶ κιλλιβάντων κατεσκεύαστο· ἐφ' οὗ λιθοβόλος ἐφειστήκει, τριτάλαντον λίθον ἀφ' αὑτοῦ ἀφιεὶς καὶ δωδεκάπηχυ βέλος. τοῦτο δὲ τὸ μηχάνημα κατεσκεύασεν Ἀρχιμήδης. ἑκάτερον δὲ τῶν βελῶν ἔβαλλεν ἐπὶ στάδιον. μετὰ δὲ ταῦτα παρατρήματα ἐκ τρόπων παχέων συγκείμενα διὰ
d ἁλίσεων χαλκῶν κρεμάμενα. τριῶν τε ἱστῶν ὑπαρχόντων ἐξ ἑκάστου κεραῖαι λιθοφόροι ἐξήρτηντο δύο, ἐξ ὧν ἅρπαγές τε καὶ πλίνθοι μολίβου πρὸς τοὺς ἐπιτιθεμένους ἠφίεντο. ἦν δὲ καὶ χάραξ κύκλῳ τῆς νεὼς σιδήρου πρὸς τοὺς ἐπιχειροῦντας ἀναβαίνειν, κόρακές τε σιδηροῖ κύκλῳ τῆς νεὼς, οἳ δι' ὀργάνων ἀφιέμενοι τὰ τῶν ἐναντίων ἐκράτουν σκάφη καὶ παρέβαλλον εἰς πληγήν. ἑκατέρῳ δὲ τῶν τοίχων ἑξήκοντα νεανίσκοι πανοπλίας ἔχοντες ἐφειστήκεσαν, καὶ τού-
e τοις ἴσοι περί τε τοὺς ἱστοὺς καὶ τὰς λιθοφόρους κεραίας. ἦσαν δὲ καὶ κατὰ τοὺς ἱστοὺς ἐν τοῖς καρχησίοις, οὖσι χαλκοῖς, ἐπὶ μὲν τοῦ πρώτου τρεῖς ἄνδρες, εἶθ' ἑξῆς καθ'

---

δύο μὲν] δύο δὲ B. παρεδέδεντο] παραδέδεντο P. ἐπὶ δὲ τῶν πύργων] ἐπὶ δὲ πύργον B.

208 c. ἀφ' αὑτοῦ] Scribebatur ἀπ' αὐτοῦ. ἔβαλλεν] ἔβαλεν BP. μετὰ δὲ — κρεμάμενα om. C. παρατρήματα] παραρτήματα Casaubonus. τρόπων] τροπῶν Casaubonus. κρεμάμενα] κεκραμένα B.

208 d. μολίβου AB. μολίβδου CPVL. ἠφίεντο AC. ἐφίεντο PVL. ἦν δὲ καὶ] καὶ om. P. σιδήρου] σιδήρεος C. ἐφειστήκεσαν PVL. ἐφειστήκεισαν Schweigh. editio nescio unde. ἐγεγόνεισαν legebatur p. 204 f. περί τε τοὺς] περὶ τοὺς B. καὶ τὰς — τοὺς ἱστοὺς om. B. τοὺς λιθοφόρους P.

208 e. ἐν τοῖς] ἦν τοῖς B. μὲν τοῦ AC. μὲν οὖν τοῦ PVL.

χιλίων εἰς τὰ θωράκια, λίθοι παρεβάλλοντο καὶ βέλη διὰ τῶν παίδων. ἄγκυραι δὲ ἦσαν ξύλιναι μὲν τέτταρες, σιδηραῖ δ' ὀκτώ. τῶν δὲ ἱστῶν ὁ μὲν δεύτερος καὶ τρίτος εὑρέθησαν· δυσχερῶς δὲ ὁ πρῶτος ἐν τοῖς ὄρεσι τῆς Βρεττίας
f εὑρέθη ὑπὸ συβώτου ἀνδρός· κατήγαγε δ' αὐτὸν ἐπὶ θάλατταν Φιλέας ὁ Ταυρομενίτης μηχανικός. ἡ δὲ ἀντλία, καίπερ βάθος ὑπερβάλλον ἔχουσα, δι' ἑνὸς ἀνδρὸς ἐξηντλεῖτο διὰ κοχλίου, Ἀρχιμήδους ἐξευρόντος. ὄνομα δ' ἦν τῇ νηὶ Συρακοσία· ὅτε δ' αὐτὴν ἐξέπεμπεν ὁ Ἱέρων, Ἀλεξάνδρειαν αὐτὴν μετωνόμασεν. ἐφόλκια δ' ἦσαν αὐτῇ τὸ μὲν πρῶτον κέρκουρος, τρισχίλια τάλαντα δέχεσθαι δυνάμενος· πᾶς δ' ἦν οὗτος ἐπίκωπος. μεθ' ὃν χίλια πεντακόσια βαστάζουσαι ἁλιάδες τε καὶ σκάφαι πλείους. ὄχλος δ' ἦν οὐκ ἐλάττων μετὰ τοὺς προειρημένους, ἄλλοι γ' ἑξακόσιοι παρὰ τὴν πρῷραν ἐπιτηροῦντες τὰ παραγγελλόμενα.
209 τῶν δὲ κατὰ ναῦν ἀδικημάτων δικαστήριον καθειστήκει ναύκληρος, κυβερνήτης καὶ πρῳρεύς, οἵπερ ἐδίκαζον κατὰ τοὺς Συρακοσίων νόμους."

44. „Σίτου δὲ ἐνεβάλλοντο εἰς τὴν ναῦν μυριάδες ἕξ, ταρίχων δὲ Σικελικῶν κεράμια μύρια, ἐρεῶν τάλαντα δισμύρια, καὶ ἕτερα δὲ φορτία δισμύρια. χωρὶς δὲ τούτων ὁ ἐπισιτισμὸς ἦν τῶν ἐμπλεόντων. ὁ δ' Ἱέρων, ἐπεὶ πάντας
b τοὺς λιμένας ἤκουε τοὺς μὲν ὡς οὐ δυνατοί εἰσι τὴν ναῦν

---

τούτοις δ' ἐν] δ' om. B. τροχιλίων BP et Schweigh. editio. τροχηλίων VL. ἐν τοῖς BL. ἐν om. PV. Βρεττίας Casaubonus. βρεττανίας PVL. βρετανίας B. εὑρέθη ὑπὸ] εὑρέθη post πρῶτος vulgo lectum huc transposui auctore B.

208 f. ἐξευρόντος ABC. εὑρόντος PVL. συρακοσία ABC. συρακουσία PVL. ὁ ἱέρων B. Aberat ὁ. Ἀλεξάνδρειαν] ἀλεξανδρείαν P. ἀλεξανδρίδα C: conf. p. 209 e. Ἱέρων εἰς Ἀλεξάνδρειαν, Ἀλεξανδρίδα αὐτὴν Schweigh. μεθ' — βαστάζουσαι om. C. μεθ' ὃν margo Q. μεθ' ὧν PVL. τε καὶ] δὲ καὶ B. ἐλάττων] ἐλάττω B. ἄλλοι γε PVL. ἀλλ' οἵ γ' B. Ineptum est γ'. Scribendum videtur ἄλλοι δ'.

209 a. Συρακοσίων] Scribebatur Συρακουσίων. σίτου L. σίτους BPV. μυριάδες] Legebatur μυριάδας. ἐρεῶν A. ἐρέ B. ἐρέων DPQV. κρεῶν L. κρέων margo Basil. ἐμπλεόντων B. ἐπιπλεόντων PVL. ὡς οὐ δυνατοί C et epitome Hoeschelii. ὡς δυνατοί PVL. ὡς ἀδύνατοι Schweigh.

δέχεσθαι, τοὺς δὲ καὶ ἐπικινδύνους ὑπάρχειν, διέγνω δῶρον αὐτὴν ἀποστεῖλαι Πτολεμαίῳ τῷ βασιλεῖ εἰς Ἀλεξάνδρειαν· καὶ γὰρ ἦν σπάνις σίτου κατὰ τὴν Αἴγυπτον. καὶ οὕτως ἐποίησε, καὶ ἡ ναῦς κατήχθη εἰς τὴν Ἀλεξάνδρειαν, ἔνθα καὶ ἐνεωλκήθη. ὁ δ' Ἱέρων καὶ Ἀρχίμηλον τὸν τῶν ἐπιγραμμάτων ποιητὴν γράψαντα εἰς τὴν ναῦν ἐπίγραμμα χιλίοις πυρῶν μεδίμνοις, οὓς καὶ παρέπεμψεν ἰδίοις δαπανήμασιν εἰς τὸν Πειραιᾶ, ἐτίμησεν. ἔχει δ' οὕτως τὸ ἐπίγραμμα

c Τίς τόδε σέλμα πέλωρον ἐπὶ χθονὸς εἵσατο; ποῖος
  κοίρανος ἀκαμάτοις πείσμασιν ἠγάγετο;
πῶς δὲ κατὰ δρυόχων ἐπάγη σανίς; ἢ τίνι γόμφοι
  τμηθέντες πελέκει τοῦτ' ἔκαμον τὸ κύτος,
ἢ κορυφαῖς Αἴτνας παρισούμενον, ἤ τινι νάσων,
  ἃς Αἰγαῖον ὕδωρ Κυκλάδας ἐνδέδεται,
τοίχοις ἀμφοτέρωθεν ἰσοπλατές. ἦ ῥα Γίγαντες
d   τοῦτο πρὸς οὐρανίας ἔξεσαν ἀτραπιτούς.
ἄστρων γὰρ ψαύει καρχήσια καὶ τριελίκτους
  θώρακας μεγάλων ἐντὸς ἔχει νεφέων.
πείσμασιν ἀγκύρας ἀπερείδεται, οἷσιν Ἀβύδου
  Ξέρξης καὶ Σηστοῦ δισσὸν ἔδησε πόρον.
μανύει στιβαρᾶς κατ' ἐπωμίδος ἀρτιχάρακτον
  γράμμα τίς ἐκ χέρσου τάνδ' ἐκύλισε τρόπιν·
φατὶ γὰρ ὡς Ἱέρων Ἱεροκλέος Ἑλλάδι πάσᾳ
e   καὶ νάσοις καρπῶν πίονα δωροφόρον,
Σικελίας σκαπτοῦχος ὁ Δωρικός. ἀλλὰ Πόσειδον
  σῶζε κατὰ γλαυκῶν σέλμα τόδε ῥοθίων.

---

209 b. *Πειραιᾶ*] πυρραιᾶ B. *ἐπίγραμμα*] Antholog. Palat. vol. II. p. 758.

209 c. V. 1. τόδε] τὸ P. πέλωρον] πελώριον C. εἵσατο C. εἴσατο PVL. V. 6. ἐνδέδεται ABCP. ἐνδέχεται VL. V. 7. τοίχοις] τάχοις B.

209 d. V. 8. οὐρανίας] οὐρανίους B. V. 13. ἐπωμίδος] ἐπωτίδος Casaubonus. ἐπωπίδος Hemsterhusius in Anecdotis vol. I. p. 164. V. 14. τίς δ' ἐκ χέρσου τήνδ' B. ἐκύλισε] Libri ἐκύλισσε. τάνδε κύλισσε P. V. 15. φατὶ Schweigh. φασὶ PVL. φησὶ BC. πάσᾳ] Scribebatur πάσῃ. πᾶσα BP.

209 e. V. 16. καρπῶν ACD et epitome Hoeschelii. καρπὸν PVL. δωρόφόρων C. V. 18. τόδε σέλμα B.

παρέλιπον δ᾿ ἑκὼν ἐγὼ τὴν Ἀντιγόνου ἱερὰν τριήρη, ἣ ἐνίκησε τοὺς Πτολεμαίου στρατηγοὺς περὶ Λεύκολλαν τῆς Κώας, ἐπειδὴ καὶ τῷ Ἀπόλλωνι αὐτὴν ἀνέθηκεν· ἥτις οὐδὲ τὸ τρίτον, τάχα δὲ οὐδὲ τὸ τέταρτον εἶχε τῆς Συρακοσίας ἢ Ἀλεξανδρίδος ταύτης νεώς."

45. Τοσαῦτ᾿ οὖν καὶ περὶ τοῦ τῶν νεῶν καταλόγου
f οὐκ ἀπὸ Βοιωτῶν ἀρξάμενοι κατελέξαμεν, ἀλλ᾿ ἀπὸ πανηγυρικῶν πομπῶν. καὶ ἐπεὶ τὸν καλὸν Οὐλπιανὸν οἶδα πάλιν προβαλοῦντα ἡμῖν, τίς αὕτη ἡ παρὰ τῷ Καλλιξένῳ ἐγγυθήκη, φαμὲν αὐτῷ ὅτι καὶ λόγος τις εἰς Λυσίαν ἀναφέρεται τὸν ῥήτορα περὶ ἐγγυθήκης ἐπιγραφόμενος, οὗ ἡ ἀρχὴ „Εἰ μὲν δίκαιον ἔλεγεν ἢ μέτριον, ἄνδρες δικασταί, Λυσιμένης." ἐν ᾧ προελθών φησιν „Οὐκ ἂν ἐσπούδαζον περὶ αὐτῆς τῆς ἐγγυθήκης δικαιολογεῖσθαι, ἣ οὐκ ἔστιν
210 ἀξία τριάκοντα δραχμῶν." ὅτι δὲ χαλκῆ ἦν ἡ ἐγγυθήκη ἑξῆς φησι „Πέρυσι δὲ ἐπισκευάσαι αὐτὴν βουλόμενος ἐξέδωκα εἴς τι χαλκεῖον· ἔστι γὰρ συνθετὴ καὶ Σατύρων ἔχει πρόσωπα καὶ βουκεφάλια. ἄλλο ἔτι μέγεθος τὸ αὐτό. ὁ γὰρ αὐτὸς τεχνίτης πολλὰ σκεύη ταὐτὰ καὶ ὅμοια ἐργάζεται." ἐν τούτοις ὁ Λυσίας εἰπὼν ὅτι καὶ χαλκῆ ἦν ἡ ἐγγυθήκη, σαφῶς παρίστησιν, ὡς καὶ ὁ Καλλίξενος εἴρηκε, λεβήτων αὐτὰς ὑποθήματα εἶναι. οὕτως γὰρ καὶ Πολέμων
b ὁ περιηγητὴς εἶπεν ἐν τρίτῳ τῶν πρὸς Ἀδαῖον καὶ Ἀντίγονον, ἐξηγούμενος διάθεσιν ἐν Φλιοῦντι κατὰ τὴν πολεμάρχειον στοὰν γεγραμμένην ὑπὸ Σίλλακος τοῦ Ῥηγίνου, οὗ μνημονεύουσιν Ἐπίχαρμος καὶ Σιμωνίδης, λέγων οὕτως „Ἐγγυθήκη καὶ ἐπ᾿ αὐτῆς κύπελλον." Ἡγήσανδρος δ᾿ ὁ

---

παρέλιπον PVL. παρέλειπον A. ἑκὼν ἐγὼ] ἐγὼ ἑκὼν B. Λεύκολλαν ACP. λεύκωλλαν VL. Κώας] Vide annotationem. ἐπειδὴ] ἔπειτα δὲ Casaubonus. ἣν δὲ τῷ ἀπόλλωνι ἀνέθηκεν C. Συρακοσίας] Scribebatur Συρακουσίας. συρακούσης C.

209 f. ἐπεὶ τὸν] ἐπὶ τὸν B. προβαλοῦντα Casaubonus. προσβαλοῦντα PVL. Καλλιξένῳ] καλλιξείνῳ BCP. ἐγγυθήκη] P. 199 c. e.

210 a. Πέρυσιν] ἐπέρυσιν B. ἐξέδωκα] ἐξέδωκεν B. βουκεφάλια ABPV. βουκεφάλεια L ex Basil. Καλλίξενος] Scribebatur Καλλίξεινος.

210 b. λέγων οὕτως] οὕτως λέγων B.

Δίλφος ἐν τῷ ἐπιγραφομένῳ ὑπομνήματι ἀνδριάντων καὶ ἀγαλμάτων Γλαύκου φησὶ τοῦ Χίου τὸ ἐν Δελφοῖς ὑπόστημα, οἷον ἐγγυθήκην τινὰ σιδηρᾶν, ἀνάθημα Ἀλυάττου· οὗ ὁ Ἡρόδοτος μνημονεύει ὑποκρητηρίδιον αὐτὰ καλῶν. c καὶ ὁ Ἡγήσανδρος ταῦτα λέγει. εἴδομεν δ' αὐτὰ καὶ ἡμεῖς ἀνακείμενον ἐν Δελφοῖς, ὡς ἀληθῶς θέας ἄξιον, διὰ τὰ ἐν αὐτῷ ἐκτετορευμένα ζωδάρια, καὶ ἄλλα τινὰ ζωΰφια καὶ φυτάρια ἐπιτίθεσθαι ἐπ' αὐτῷ δυνάμενα, καὶ κρατῆρας καὶ ἄλλα σκεύη. ἡ δ' ὑπ' Ἀλεξανδρέων καλουμένη ἀγγοθήκη τρίγωνός ἐστι, κατὰ μέσον κοίλη, δέχεσθαι δυναμένη ἐντιθέμενον κεράμιον. ἔχουσι δὲ ταύτην οἱ μὲν πένητες ξυλίνην, οἱ δὲ πλούσιοι χαλκῆν ἢ ἀργυρᾶν.

46. Εἰπόντες οὖν περὶ ἐγγυθήκης ἑξῆς πάλιν μνησθησόμεθα φιλοδείπνων βασιλέων. ὁ γὰρ τῷ προειρημένῳ Ἀν- d τιόχῳ ὁμώνυμος βασιλεὺς, Δημητρίου δ' υἱὸς, ὡς ἱστορεῖ Ποσειδώνιος, ὑποδοχὰς ποιούμενος καθ' ἡμέραν ὀχλικὰς, χωρὶς τῶν ἀναλισκομένων, σωρεύματα ἑκάστῳ ἀποφέρειν ἐδίδου τῶν ἑστιατόρων ὁλομελῆ κρέα χερσαίων τε καὶ πτηνῶν καὶ θαλαττίων ζώων ἀδιαίρετα ἐσκευασμένα, ἅμαξαν πληρῶσαι δυνάμενα· καὶ μετὰ ταῦτα μελιπήκτων καὶ στεφάνων ἐκ σμύρνης καὶ λιβανωτοῦ σὺν ἀνδρομήκεσι λημνίσκων πιλήμασι χρυσοῖς πλήθη. καὶ ἄλλος δ' Ἀντίοχος e βασιλεὺς ἐπιτελῶν τοὺς ἐν Δάφνῃ ἀγῶνας ἐποιήσατο καὶ αὐτὸς ὑποδοχὰς λαμπρὰς, ὡς ὁ αὐτός φησι Ποσειδώνιος.

---

ὁ Ἡρόδοτος] ὁ om. P. Ἡρόδοτος] I, 25. ὑποκρητηρίδιον C. ὑποκριτηρίδιον PVL. ὁ ἡγήσανδρος AB. Aberat ὁ. ταυτὰ L. ταῦτα PV.

210 c. ἐκτετορευμένα] ἐντετορνευμένα BP. Vid. ad p. 199 b. ἐπιτίθεσθαι — σκεύη add. L. om. PV. Habuit C, in quo sic scriptum, καὶ πολέμων, ἐγγυθήκη, καὶ ἐπ' αὐτῆς κύπελλον. ἣν καὶ ὑποκρητηρίδιόν τινες καλοῦσι· δύνανται γὰρ ἐπιτίθεσθαι ἐπ' αὐτὸ καὶ κρατῆρες καὶ ἄλλα σκεύη. ἡ δ' ὑπ' ἀλεξανδρέων cet. ἀγγοθήκη PVL. ἐγγυθήκη BC.

210 d. Ποσειδώνιος] Libro XIV.: vide Athen. XII. p. 540 b. ὁλομελῆ C et 540 c. ὁλομερῆ PVL. καὶ μετὰ — πλήθη om. C. σμύρνης τε καὶ B. σμύρνης καὶ PVL et 540. σὺν om. 540. λημνίσκων] λιμνίσκων B. χρυσοῖς] χρυσῶν 540.

210 e. ὡς ὁ αὐτὸς Schweigh. Aberat ὁ. Ποσειδώνιος] Libro XXVIII.: vide Athen. XII. p. 540 a.

τὸ μὲν γὰρ πρῶτον ἀναδόσεις ἐποιήσατο κατ᾽ ἄνδρα ὁλομελῶν βρωμάτων· μετὰ δὲ καὶ ζώντων χηνῶν, λαγωῶν καὶ δορκάδων. ἀνεδίδοντο δὲ καὶ χρυσοῖ στέφανοι τοῖς δειπνοῦσι καὶ ἀργυρωμάτων πλῆθος καὶ θεραπόντων καὶ ἵππων καὶ καμήλων. καὶ ἔδει ἀναβάντα ἐπὶ τὴν κάμηλον πιεῖν ἕκαστον καὶ λαβεῖν τὴν κάμηλον καὶ τὸν παρεστῶτα παῖδα. „Καὶ οἱ κατὰ τὴν Συρίαν δὲ πάντες (φησὶ) διὰ
f τὴν τῆς χώρας εὐβοσίαν ἀπὸ τῆς περὶ τἀναγκαῖα κακοπαθείας συνόδους ἔνεμον πλείους, ἵνα εὐωχοῖντο συνεχῶς, τοῖς μὲν γυμνασίοις ὡς βαλανείοις χρώμενοι, ἀλειφόμενοι δὲ ἐλαίῳ πολυτελεῖ καὶ μύροις· τοῖς δὲ γραμματείοις, οὕτως γὰρ ἐκάλουν τὰ κοινὰ τῶν συνδείπνων, ὡς οἰκητηρίοις ἐνδιαιτώμενοι, καὶ τὸ πλεῖον μέρος τῆς ἡμέρας γαστριζόμενοι ἐν αὐτοῖς οἴνοις καὶ βρώμασιν, ὥστε καὶ προσαποφέρειν πολλὰ, καὶ καταυλούμενοι πρὸς χελωνίδος πολυκρότου ψόφους, ὥστε τὰς πόλεις ὅλας τοῖς τοιούτοις κελάδοις συνηχεῖσθαι.“

211 47. Ἐπαινῶ δέ γε, ὦ ἄνδρες φίλοι, τὸ γενόμενον παρ᾽ Ἀλεξάνδρῳ τῷ βασιλεῖ τῆς Συρίας συμπόσιον. ὁ δ᾽ Ἀλέξανδρος οὗτος ὢν Ἀντιόχου τοῦ Ἐπιφανοῦς υἱὸς ὑποβληθεὶς, δι᾽ ὃ εἶχον μῖσος πάντες ἄνθρωποι εἰς Δημήτριον· περὶ οὗ ἱστόρησεν ὁ ἑταῖρος ἡμῶν Ἀθήναιος ἐν τοῖς περὶ τῶν ἐν Συρίᾳ βασιλευσάντων. τὸ οὖν συμπόσιον τοῦτο τοιόνδε τι ἐγένετο. Διογένης ὁ Ἐπικούρειος ἕξιν ἔχων ἱκανὴν ἐν οἷς μετεχειρίζετο λόγοις, τὸ μὲν γένος ἦν ἐκ Σε-
b λευκείας τῆς ἐν Βαβυλῶνι, ἀναδοχῆς δ᾽ ἐτύγχανε παρὰ τοῦ

---

καὶ ἔδει] καὶ ἤδη B. καὶ λαβεῖν τὴν κάμηλον] καὶ λαβεῖν τε τὴν κάμηλον καὶ τὰ ἐπὶ τὴν κάμηλον 540 b. καὶ οἱ κατὰ τὴν Συρίαν] Ex libro XVI. Posidonii: vid. Athen. XII. p. 527 e. ἀπὸ τῆς] ἀπούσης τῆς Bakius ad Posidon. p. 149.

210 f. πλεῖον μέρος τῆς] πλεῖστον τῆς 527. ὥστε καὶ AB et 527. καὶ om. PVL. καὶ καταυλουμένους 527. χελωνίδος ex 527. repositum. Libri χελιδόνος.

211 a. ὢν] ἦν Casaubonus. δι᾽ ὃ] διὸ PVL. Ἀθήναιος] ἀθηναῖος P. Ἐπικούρειος] ἐπικούριος B. ἀναδοχῆς] ἀποδοχῆς Schweigh

βασιλέως, καίτοι τοῖς ἀπὸ τῆς στοᾶς λόγοις χαίροντος.
ἐπολυώρει οὖν αὐτὸν ὁ Ἀλέξανδρος, καίπερ ὄντα τῷ βίῳ
φαῦλον, ἔτι δὲ βλάσφημον καὶ βάσκανον, ἕνεκά τε τοῦ
γελοίου μηδὲ τῶν βασιλέων ἀπεχόμενον· καὶ αἰτησαμένῳ
αὐτῷ φιλοσοφίας ἀλλοτρίαν αἴτησιν, ὅπως πορφυροῦν τε
χιτωνίσκον φορῇ καὶ χρυσοῦν στέφανον, ἔχοντα πρόσωπον
ἀρετῆς κατὰ μέσον, ἧς ἱερεὺς ἠξίου προσαγορεύεσθαι, συν-
εχώρησε καὶ τὸν στέφανον προσχαρισάμενος. ἅπερ ὁ Διο-
c γένης, ἐρασθεὶς τινὸς λυσιῳδοῦ γυναικός, ἐχαρίσατο αὐτῇ.
ἀκούσας δ' ὁ Ἀλέξανδρος καὶ συναγαγὼν φιλοσόφων καὶ
ἐπισήμων ἀνδρῶν συμπόσιον, ἐκάλεσε καὶ τὸν Διογένη· καὶ
παραγενόμενον ἠξίου κατακλίνεσθαι ἔχοντα τὸν στέφανον
καὶ τὴν ἐσθῆτα. ἄκαιρον δ' εἶναι εἰπόντος, νεύσας εἰσα-
γαγεῖν ἐκέλευσε τὰ ἀκούσματα, ἐν οἷς καὶ ἡ λυσιῳδὸς εἰσῆλ-
θεν ἐστεφανωμένη τὸν τῆς ἀρετῆς στέφανον, ἐνδῦσα καὶ
τὴν πορφυρᾶν ἐσθῆτα. γέλωτος οὖν πολλοῦ καταρραγέντος
ἔμενεν ὁ φιλόσοφος καὶ τὴν λυσιῳδὸν ἐπαινῶν οὐκ ἐπαύ-
d σατο. τοῦτον τὸν Διογένη ὁ μεταλαβὼν τὴν βασιλείαν Ἀν-
τίοχος, οὐκ ἐνέγκας αὐτοῦ τὴν κακολογίαν, ἀποσφαγῆναι
ἐκέλευσεν. ὁ δ' Ἀλέξανδρος προσηνὴς ἦν ἐν πᾶσι καὶ φι-
λόλογος ἐν ταῖς ὁμιλίαις, καὶ οὐχ ὅμοιος Ἀθηνίωνι τῷ
περιπατητικῷ φιλοσόφῳ, τῷ καὶ διατριβῆς προστάντι φι-
λοσόφου Ἀθήνησί τε καὶ ἐν Μεσσήνῃ, ἔτι δὲ καὶ ἐν Λα-
ρίσσῃ τῆς Θετταλίας, καὶ μετὰ ταῦτα τῆς Ἀθηναίων πό-
λεως τυραννήσαντι. περὶ οὗ καθ' ἕκαστα ἱστορεῖ Ποσει-
δώνιος ὁ Ἀπαμεύς. ἅπερ εἰ καὶ μακρότερά ἐστιν, ἐκθήσο-
e μαι, ἵν' ἐπιμελῶς πάντας ἐξετάζωμεν τοὺς φάσκοντας εἶναι
φιλοσόφους, καὶ μὴ τοῖς τριβωνίοις καὶ τοῖς ἀκάρτοις
πώγωσι πιστεύωμεν. κατὰ γὰρ τὸν Ἀγάθωνα

---

211 b. χαίροντος Villebrunius. Libri χαίροντι. Altera Villebrunii coniectura est παρὰ τῷ βασιλεῖ — χαίροντι. προσχαρισάμενος] προσχαριζόμενοι B.

211 c. ἐπισήμων] ἐπιστήμων B. ἠξίου ABP. ἠξίον V. ἠξίουν Basil. L. καταρραγέντος] καταραγέντος B.

211 d. προσηνὴς ἦν] προσῆν BP. φιλόλογος P. Scribebatur φιλολόγος. Ἀθηνίωνι] Alii scriptores Aristionem dicunt: vide annotationem. μεσήνη et λαρίσῃ B. ἕκαστα ABP. ἕκαστον VL.

Εἰ μὲν φράσω τἀληθὲς, οὐχί σ᾽ εὐφρανῶ·
εἰ δ᾽ εὐφρανῶ τί σ᾽, οὐχὶ τἀληθὲς φράσω.

ἀλλὰ, φίλη, φασὶν, ἡ ἀλήθεια· ἐκθήσομαι τὰ περὶ τὸν ἄνδρα ὡς ἐγένετο.

48. „Ἐν τῇ Ἐρυμνέως τοῦ περιπατητικοῦ σχολῇ διέτριβέ τις Ἀθηνίων, προσκαρτερῶν τοῖς λόγοις· ὅστις Αἰγυπτίαν ὠνησάμενος θεράπαιναν ἐπεπλέκετο αὐτῇ. ταύτης
f οὖν εἴτ᾽ ἐξ αὐτοῦ τεκούσης εἴτ᾽ ἐξ ἄλλου τινὸς, ὁμώνυμος Ἀθηνίωνι τῷ δεσπότῃ παρετρέφετο. γράμματα δὲ μαθὼν καὶ πρεσβύτην γενόμενον τὸν δεσπότην μετὰ τῆς μητρὸς ἐχειραγώγει, καὶ ἀποθανόντα κληρονομήσας παρέγγραφος Ἀθηναίων πολίτης ἐγένετο. γήμας τε παιδισκάριον εὔμορφον, μετὰ τούτου πρὸς τὸ σοφιστεύειν ὥρμησε μειράκια
212 σχολαστικὰ θηρεύων. καὶ σοφιστεύσας ἐν Μεσσήνῃ κἀν Λαρίσσῃ τῇ Θετταλικῇ καὶ πολλὰ ἐργασάμενος χρήματα ἐπανῆλθεν εἰς τὰς Ἀθήνας. καὶ χειροτονηθεὶς ὑπὸ τῶν Ἀθηναίων πρεσβευτὴς, ὅτε εἰς Μιθριδάτην τὰ πράγματα μετέρρει, ὑποδραμὼν τὸν βασιλέα τῶν φίλων εἷς ἐγένετο, μεγίστης τυχὼν προαγωγῆς. διόπερ μετεώριζε τοὺς Ἀθηναίους δι᾽ ἐπιστολῶν, ὡς τὰ μέγιστα παρὰ τῷ Καππαδόκῃ δυνάμενος, ὥστε μὴ μόνον τῶν ἐπιφερομένων ὀφλημάτων ἀπολυθέντας ἐν ὁμονοίᾳ ζῆν, ἀλλὰ καὶ τὴν δημοκρατίαν
b ἀνακτησαμένους καὶ δωρεῶν μεγάλων τυχεῖν ἰδίᾳ καὶ δημοσίᾳ. ταῦτα οἱ Ἀθηναῖοι διεκόμπουν τὴν Ῥωμαίων ἡγεμονίαν καταλελύσθαι πεπιστευκότες."

„Ἤδη οὖν τῆς Ἀσίας μεταβεβλημένης ὁ Ἀθηνίων ἐπανῆγεν εἰς τὰς Ἀθήνας, καὶ ὑπὸ χειμῶνος ἐνοχληθεὶς εἰς τὴν Καρυστίαν κατηνέχθη. τοῦτο μαθόντες οἱ Κεκροπίδαι ἔπεμψαν ἐπὶ τὴν ἀνακομιδὴν αὐτοῦ ναῦς μακρὰς καὶ φορεῖον ἀργυρόπουν. ἀλλ᾽ εἴσεισιν ἤδη, καὶ σχεδὸν τὸ

---

211 f. μετὰ τούτου om. C.

212 a. μεσήνη κἂν λαρίση B. τὰ πράγματα] τὰ om. B. προαγωγῆς AC: vid. Wyttenbach. apud Bakium p. 279. παραγωγῆς B. προσαγωγῆς PVL. μόνον P. Legebatur μόνων.

212 b. ἐπανῆγεν ABC. ἐπανῆκεν VL. μετανῆγεν P. ἀλλ᾽ εἴσεισιν L. ἀλλ᾽ εἴσασιν V. ἀλλήσεισιν BP.

c πλεῖστον μέρος τῆς πόλεως ἐπὶ τὴν ἐκδοχὴν αὐτοῦ ἐξεκέχυτο· συνέτρεχον δὲ πολλοὶ καὶ ἄλλοι θεαταὶ τὸ παράδοξον τῆς τύχης θαυμάζοντες, εἰ ὁ παρέγγραφος Ἀθηνίων εἰς Ἀθήνας ἐπ' ἀργυρόποδος κατακομίζεται φορείου καὶ πορφυρῶν στρωμάτων, ὁ μηδέποτε ἐπὶ τοῦ τρίβωνος ἑορακὼς πορφύραν πρότερον, οὐδενὸς οὐδὲ Ῥωμαίων ἐν τοσαύτῃ φαντασίᾳ καταχλιδῶντος τῆς Ἀττικῆς. συνέτρεχον οὖν πρὸς τὴν θέαν ταύτην ἄνδρες, γυναῖκες, παῖδες, τὰ κάλλιστα προσδοκῶντες παρὰ Μιθριδάτου, ὁπότε Ἀθηνίων ὁ πένης καὶ τὰς ἐρανικὰς ποιησάμενος ἀκροάσεις διὰ
d τὸν βασιλέα σιληπορδῶν διὰ τῆς χώρας καὶ πόλεως πομπεύει. συνήντησαν δ' αὐτῷ καὶ οἱ περὶ τὸν Διόνυσον τεχνῖται, τὸν ἄγγελον τοῦ νέου Διονύσου καλοῦντες ἐπὶ τὴν κοινὴν ἑστίαν καὶ τὰς περὶ ταύτην εὐχάς τε καὶ σπονδάς. ὁ δὲ πρότερον ἐκ μισθωτῆς οἰκίας ἐξιὼν εἰς τὴν Διευς οἰκίαν, τοῦ τότε πλουτοῦντος ἀνθρώπου ταῖς ἐκ Δήλου προσόδοις, εἰσηνέχθη κεκοσμημένην στρωμναῖς τε καὶ γραφαῖς καὶ ἀνδριᾶσι καὶ ἀργυρωμάτων ἐκθέσει. ἀφ' ἧς ἐξῄει χλαμύδα λαμπρὰν ἐκσύρων καὶ περικείμενος δακτύλιον χρυ-
e σίον, ἐγγεγλυμμένην ἔχοντα τὴν Μιθριδάτου εἰκόνα· προεπόμπευον δ' αὐτοῦ καὶ ἐφείποντο θεράποντες πολλοί. ἐν δὲ τῷ τεμένει τῶν τεχνιτῶν θυσίαι τ' ἐπετελοῦντο ἐπὶ τῇ Ἀθηνίωνος παρουσίᾳ καὶ μετὰ κήρυκος προαναφωνήσεως σπονδαί. καὶ τῇ ὑστεραίᾳ πολλοὶ μὲν ἐπὶ τὴν οἰκίαν ἐλθόντες ἀνέμενον αὐτοῦ τὴν πρόοδον, πλήρης δ' ἦν καὶ ὁ Κεραμεικὸς ἀστῶν καὶ ξένων καὶ αὐτόκλητος εἰς τὴν ἐκκλησίαν τῶν ὄχλων συνδρομή. ὁ δὲ μόλις προῆλθε δορυφο-

---

212 c. ἐξεκέχυτο CVL. ἐξεκέχυντο ABP. ἑορακὼς] Scribebatur ἑωρακώς.

212 d. σιληπορδῶν] σιληπόρδω P. καλοῦντες] λέγοντες καλοῦντες P, deleto λέγοντες. Διευς οἰκίαν] διευσοικίαν PVL. „*Scripta lectio* Δίευς οἰκίαν." Casaubonus. Ex litterarum ductibus coniecturam facienti non improbabile videatur Διεύχου οἰκίαν de quo nomine etiam Schweigh. cogitavit in indice. εἰσηνέχθη] Scribebatur εἰσενέχθη. ἀνδριᾶσι Casaubonus. ἀνδράσι PVL. ἐξῄει] ἐξείη B. χλαμύδα] χλαμίδα P.

212. e ἐγγεγλυμμένην BCP ἐγγεγλυμένην VL. ἐπιτελοῦντο B. πρόοδον C. πρόσοδον PVL. Κεραμεικὸς] κεραμικὸς B.

f ρούμενος ὑπὸ τῶν εὐδοκιμεῖν παρὰ τῷ δήμῳ θελόντων,
ἑκάστου σπεύδοντος κἂν προσάψασθαι τῆς ἐσθῆτος.“

50. „Ἀναβὰς οὖν ἐπὶ τὸ βῆμα τὸ πρὸ τῆς Ἀττάλου
στοᾶς ᾠκοδομημένον τοῖς Ῥωμαίων στρατηγοῖς, στὰς ἐπὶ
τούτου καὶ περιβλέψας κυκληδὸν τὸ πλῆθος, ἔπειτ' ἀνα-
βλέψας „Ἄνδρες Ἀθηναῖοι, ἔφη, τὰ πράγματά με βιάζε-
ται καὶ τὸ τῆς πατρίδος συμφέρον ἀπαγγέλλειν ἃ οἶδα.
τὸ δὲ μέγεθος τῶν μελλόντων λέγεσθαι διὰ τὸ παράδοξον
τῆς περιστάσεως ἐμποδίζει με.“ ἀθρόως δ' ἐπιβοησάντων
213 αὐτῷ τῶν περιεστώτων θαρρεῖν καὶ λέγειν „Λέγω τοίνυν,
ἔφη, τὰ μηδέποτε ἐλπισθέντα, μηδ' ἐν ὀνείρῳ φαντασθέν-
τα. βασιλεὺς Μιθριδάτης κρατεῖ μὲν Βιθυνίας καὶ τῆς
ἄνω Καππαδοκίας, κρατεῖ δὲ τῆς συνεχοῦς Ἀσίας ἁπάσης
ἄχρι Παμφυλίας καὶ Κιλικίας. καὶ βασιλεῖς μὲν αὐτὸν
Ἀρμενίων καὶ Περσῶν δορυφοροῦσι, δυναστεύει δὲ τῶν
περὶ τὴν Μαιῶτιν καὶ τὸν ὅλον Πόντον κατῳκισμένων
ἐθνῶν ἐν περιμέτρῳ τρισμυρίων σταδίων. Ῥωμαίων δὲ
στρατηγὸς μὲν Παμφυλίας Κόϊντος Ὄππιος παραδοθεὶς
b ἀκολουθεῖ δέσμιος, Μάνιος δὲ Ἀκύλλιος, ὁ ὑπατευκὼς, ὁ
τὸν ἀπὸ Σικελίας καταγαγὼν θρίαμβον, συνδέτην ἔχων
ἁλύσει μακρᾷ Βαστάρνην πεντάπηχυν πεζὸς ὑπὸ ἱππέως
ἕλκεται. τῶν δ' ἄλλων Ῥωμαίων οἱ μὲν θεῶν ἀγάλμασι
προσπεπτώκασιν, οἱ δὲ λοιποὶ μεταμφιεσάμενοι τετράγωνα
ἱμάτια τὰς ἐξ ἀρχῆς πατρίδας πάλιν ὀνομάζουσι. πᾶσα δὲ
πόλις ταῖς ὑπὲρ ἄνθρωπον τιμαῖς ὑπαντῶσα καλεῖται
τὸν θεὸν βασιλέα· χρησμοὶ δὲ πάντοθεν τὸ κράτος τῆς
c οἰκουμένης θεσπιῳδοῦσι. διὸ καὶ πρὸς τὴν Θρᾴκην καὶ
τὴν Μακεδονίαν μεγάλα πέμπεται στρατόπεδα, καὶ τὰ τῆς
Εὐρώπης ἅπαντα μέρη ἀθρόα εἰς αὐτὸν μεταβέβληται.
πάρεισι γὰρ πρὸς αὐτὸν πρέσβεις οὐ μόνον ἐκ τῶν Ἰταλι-

---

ὑπὸ τῶν] τῶν om. B.

212 f. αὐτῷ] αὐτῶν P. τῶν περιεστώτων om. P.

213 a. μὲν αὐτὸν AC. μὲν αὐτῶν BP. (in P littera ν in αὐτῶν deleta.) μὲν αὐτῷ VL. δυναστεύει Schweigh. δυνάσται PVL. στρατηγὸς μὲν] μὲν om. B. Κόϊντος ὁ Ὄππιος L. κόϊντος ὁ ὄπιος APV.

213 b. Μάνιος Casaubonus. μάλιος A μάλλιος BCP. μάνλιος VL. ἁλύσει C. ἀλύσει PVL. μεταμφιεσάμενοι] μεταμφιασάμενοι B.

*κῶν ἐθνῶν, ἀλλὰ καὶ παρὰ Καρχηδονίων, συμμαχεῖν ἀξι-
οῦντες ἐπὶ τὴν τῆς Ῥώμης ἀναίρεσιν.“*

51. *Μικρὸν δ᾽ ἐπισχὼν ἐπὶ τούτοις καὶ ἐάσας τοὺς
πολλοὺς συλλαλῆσαι περὶ τῶν παραδόξως προηγγελμένων,
τρίψας τὸ μέτωπον „Τί οὖν, εἶπε, συμβουλεύω; μὴ ἀνέ-*
d *χεσθαι τῆς ἀναρχίας, ἣν ἡ Ῥωμαίων σύγκλητος ἐπισχε-
θῆναι πεποίηκεν, ἕως αὐτὴ δοκιμάσῃ περὶ τοῦ πῶς ἡμᾶς
πολιτεύεσθαι δεῖ. καὶ μὴ περιίδωμεν τὰ ἱερὰ κεκλεισμένα,
αὐχμῶντα δὲ τὰ γυμνάσια, τὸ θέατρον ἀνεκκλησίαστον,
ἄφωνα δὲ τὰ δικαστήρια, καὶ τὴν θεῶν χρησμοῖς καθω-
σιωμένην πύκν᾽ ἀφῃρημένην τοῦ δήμου. μὴ περιίδωμεν δέ,
ἄνδρες Ἀθηναῖοι, τὴν ἱερὰν τοῦ Ἰάκχου φωνὴν κατασε-
σιγασμένην, καὶ τὸ σεμνὸν ἀνάκτορον τοῖν θεοῖν κεκλει-
σμένον, καὶ τῶν φιλοσόφων τὰς διατριβὰς ἀφώνους.“ πολ-
λῶν οὖν καὶ ἄλλων τοιούτων λεχθέντων ὑπὸ τοῦ οἰκότρι-*
e *βος συλλαλήσαντες αὐτοῖς οἱ ὄχλοι καὶ συνδραμόντες εἰς
τὸ θέατρον εἵλοντο τὸν Ἀθηνίωνα στρατηγὸν ἐπὶ τῶν
ὅπλων. καὶ παρελθὼν ὁ περιπατητικὸς εἰς τὴν ὀρχήστραν
ἴσα βαίνων Πυθοκλεῖ εὐχαρίστησέ τε τοῖς Ἀθηναίοις καὶ
ἔφη διότι „Νῦν ὑμεῖς ἑαυτῶν στρατηγεῖτε, προέστηκα δ᾽
ἐγώ. καὶ ἂν συνεπισχύσητε, τοσοῦτον δυνήσομαι ὅσον κοινῇ
πάντες ὑμεῖς.“ ταῦτ᾽ εἰπὼν συγκατέστησεν ἑαυτῷ τοὺς
ἄλλους ἄρχοντας ὧν ἠβούλετο ὑποβαλὼν τὰ ὀνόματα.*

f 52. *Καὶ μετ᾽ οὐ πολλὰς ἡμέρας τύραννον αὐτὸν ἀνα-
δείξας ὁ φιλόσοφος καὶ τὸ τῶν Πυθαγορικῶν ἀναδείξας
δόγμα περὶ τῆς ἐπιβουλῆς καὶ τί ἠβούλετο αὐτοῖς ἡ φιλο-*

---

**213 d.** *ἐπισχεθῆναι*] *ἐπιχυθῆναι* **Wyttenbach. apud Bakium p. 281. Poterat** *ἐπιχεθῆναι.* *ἡμᾶς* **BP. Legebatur** *ὑμᾶς.* *πῦκν᾽* **B.** *πύκνα* **AP. Legebatur** *πνύκα.* *κεκλεισμένον* **CPVL.** *κεκλιμένον* **A.** *κεκλημένον* **B.**

**213 e.** *αὐτοῖς*] **Scribebatur** *αὑτοῖς.* *αὖθις* **Q apud Villebrunium.** *διότι* **om. C et epitome Hoeschel.** *προέστηκα δ᾽ ἐγώ* **om. C.** *δ᾽ ἐγώ* **Casaubonus.** *λέγω* **AP.** *λέγων* **VL.** *συνεπισχύσητε*] *συνεπεσχύσηγε* **B.** *συνεπισχύσῃ γε* **P. Malim** *συνεπισχύητε.* *ὑποβαλὼν* **ABP.** *ὑποκαλῶν* **C.** *ὑποβαλλὼν* **V.** *ὑποβάλλων* **Basil. L.** *ὑπολαβὼν* **cum punctis D, qui in margine** *ὑποβαλών.*

**213 f.** *τύραννον ἑαυτὸν ἀναδείξας ὁ φιλόσοφος, τοὺς μὲν εὖ φρονοῦντας τῶν πολιτῶν* **— C.** *ὁ φιλόσοφος — ἀναδείξας* **add. ABDL.**

*σοφία ἣν ὁ καλὸς Πυθαγόρας εἰσηγήσατο, καθάπερ ἱστόρησε Θεόπομπος ἐν ὀγδόῃ Φιλιππικῶν καὶ Ἕρμιππος ὁ Καλλιμάχειος· εὐθέως καὶ οὗτος τοὺς μὲν εὖ φρονοῦντας*
214 *τῶν πολιτῶν — παρὰ τὰ Ἀριστοτέλους καὶ Θεοφράστου δόγματα· ὡς ἀληθῆ εἶναι τὴν παροιμίαν τὴν λέγουσαν, μὴ παιδὶ μάχαιραν — ἐκποδὼν εὐθὺς ἐποιήσατο, φύλακας δ' ἐπὶ τὰς πύλας κατέστησεν, ὡς νύκτωρ πολλοὺς τῶν Ἀθηναίων εὐλαβουμένους τὸ μέλλον διὰ τῶν τειχῶν αὐτοὺς καθιμήσαντας φεύγειν. καὶ ὁ Ἀθηνίων ἱππέας ἐπαποστείλας οὓς μὲν ἐφόνευσεν, οὓς δὲ καὶ δεδεμένους κατήγαγε, δορυφόρους ἔχων πολλοὺς τῶν φρακτικῶν καλουμένων. συνάγων δὲ καὶ ἐκκλησίας πολλάκις τὰ Ῥωμαίων*
b *φρονεῖν προσεποιεῖτο· καὶ πολλοῖς αἰτίας ἐπιφέρων ὡς διαπεμπομένοις πρὸς τοὺς φυγάδας καὶ νεωτερίζουσιν, ἐφόνευεν αὐτούς· καὶ τὰς πύλας, τριάκοντα καταστήσας ἐφ' ἑκάστης, οὔτ' εἰσιέναι τὸν βουλόμενον οὔτ' ἐξιέναι εἴα. ἀνελάμβανε δὲ καὶ τὰς οὐσίας πολλῶν καὶ τοσαῦτα χρήματα συνήθροισεν ὡς καὶ φρέατα πληρῶσαι πλείονα. ἐξαπέστειλε δὲ καὶ ἐπὶ τὴν χώραν ὥσπερ ὁδοιδόκους τῶν ἀποχωρούντων, οἵτινες αὐτοὺς ἀνῆγον ὡς αὐτόν· καὶ ἀκρίτους*
c *ἀπώλλυε, προσβασανίσας καὶ στρεβλώσας. πολλοῖς δὲ καὶ προδοσίας δίκας ἐπῆγεν, ὡς τοῖς φυγάσι περὶ καθόδου συνεργοῦσιν· ὧν οἱ μὲν διὰ τὸν φόβον πρὸ τῆς κρίσεως ἔφευγον, οἱ δ' ἐν τοῖς δικαστηρίοις κατεδικάζοντο, αὐτοῦ τὰς ψήφους φέροντος. ἐνειργάσατο δ' ἐν τῇ πόλει καὶ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων ἔνδειαν, κριθίδια καὶ πυροὺς ὀλίγους διαμετρῶν. ἐξέπεμπε δὲ καὶ ἐπὶ τῆς χώρας ὁπλί-*

---

om. PQV. φιλόσοφος καὶ τὸ ABD. φιλόσοφος τὸ L. δόγμα L. δόγματα PQV. Quod praecedit ἀναδείξας vitii suspectum est. καὶ ἕρμιππος ABD. ἀλλ' ἕρμιππος PQVL. ἀλλὰ καὶ Ἕρμιππος Villebrunius. Καλλιμάχειος Basil. L. καλλιμάχιος ABP. καλλιμάχος (sic) V. παρὰ] περὶ C et epitome Hoeschel. τὰ Ἀριστοτέλους] τ' ἀριστοτέλους B. Ex quo fac τἀριστοτέλους, si placet.

214 a. αὐτοὺς] Scribebatur αὐτοὺς. φρακτικῶν] ἀφρακτικῶν AP.

214 b. ἐφόνευεν ABCPV. ἐφόνευσεν Basil. L. προσβασανίσας] προβασανίσας Coraës.

214 c. τὰς ψήφους AC. τοὺς ψήφους B. καὶ ψήφους PVL. φέροντος] φέροντες B. ἀναγκαίων om. P.

τας τοὺς θηρεύσοντας εἴ τις τῶν ἀνακεχωρηκότων ἐντός
d ἐστι τῶν ὅρων, ἢ τῶν Ἀθηναίων τις εἰς τὴν ὑπερόριον
ἀποδημεῖ· καὶ τὸν ληφθέντ' ἀπετυμπάνιζεν, ὧν ἐνίους καὶ
προκατανάλισκε ταῖς βασάνοις. ἐκήρυσσέ τε δύντος τοῦ
ἡλίου πάντας οἰκουρεῖν καὶ μετὰ λυχνοφόρου μηδένα φοιτᾶν.

53. Καὶ οὐ μόνον τὰ τῶν πολιτῶν διήρπαζεν, ἀλλ'
ἤδη καὶ τὰ τῶν ξένων, ἐκτείνας τὰς χεῖρας καὶ ἐπὶ τὰ
εἰς Δῆλον τοῦ θεοῦ χρήματα. ἐκπέμψας γοῦν εἰς τὴν νῆ-
σον Ἀπελλικῶντα τὸν Τήιον, πολίτην δὲ Ἀθηναίων γενό-
μενον, ποικιλώτατόν τινα καὶ ἀψίκορον ζήσαντα βίον·
ὁτὲ μὲν γὰρ ἐφιλοσόφει καὶ τὰ περιπατητικὰ καὶ τὴν
e Ἀριστοτέλους βιβλιοθήκην καὶ ἄλλας συνηγόραζε συχνάς·
ἦν γὰρ πολυχρήματος· τά τ' ἐκ τοῦ Μητρῴου τῶν πα-
λαιῶν αὐτόγραφα ψηφίσματα ὑφαιρούμενος ἐκτᾶτο καὶ ἐκ
τῶν ἄλλων πόλεων εἴ τι παλαιὸν εἴη καὶ ἀπόθετον. ἐφ'
οἷς φωραθεὶς ἐν ταῖς Ἀθήναις ἐκινδύνευσεν ἄν, εἰ μὴ
ἔφυγεν. καὶ μετ' οὐ πολὺ πάλιν κατῆλθε, θεραπεύσας
πολλούς· καὶ συναπεγράφετο τῷ Ἀθηνίωνι, ὡς ἂν ἀπὸ
τῆς αὐτῆς δὴ αἱρέσεως ὄντι. Ἀθηνίων δ', ἐπιλαθόμενος
f τῶν δογμάτων τῶν τοῦ περιπάτου, χοίνικα κριθῶν εἰς τέσ-
σαρας ἡμέρας διεμέτρει τοῖς ἀνοήτοις Ἀθηναίοις, ἀλεκτο-
ρίδων τροφὴν καὶ οὐκ ἀνθρώπων αὐτοῖς διδούς. Ἀπελλι-
κῶν δὲ μετὰ δυνάμεως ἐξορμήσας εἰς Δῆλον καὶ πανηγυ-
ρικῶς μᾶλλον ἢ στρατιωτικῶς ἀναστρεφόμενος, καὶ προ-
φυλακὴν ἀμελεστέραν πρὸς τὴν Δῆλον μερίσας, μάλιστα
δὲ τὰ ἐξόπισθε τῆς νήσου ἐάσας ἀφύλακτα, καὶ οὐδὲ χά-
ρακα βαλλόμενος ἐκοιμᾶτο. τοῦτο δὲ ἐπιγνοὺς ὁ Ὀρόβιος,
a στρατηγὸς Ῥωμαίων φυλάσσων τὴν Δῆλον, φυλάξας ἀσέ-

---

εἴ τις τῶν] εἴ τι τῶν BP.

214 d. τὴν ὑπερόριον AB. τὴν om. PVL. ληφθέντ' B. ληφθέντα PVL. ὧν] ὡς B. προκατανάλισκε ταῖς] προκατ σκεταῖς B. δύντος] Legebatur δύνοντος. τοῦ ἡλίου B. Aberat τοῦ. γενόμενον] γινόμενον B. μὲν γὰρ] γὰρ om. B.

214 e. ἐκτᾶτο καὶ] ἐκτ καὶ B. δὴ αἱρέσεως VL. διαιρέσεως ABDPQ. In C hic locus omissus. ὄντι] ὄντα B. ἐπιλαθόμενος P. Legebatur ἐπιλαβόμενος.

214 f. ἐξόπισθε B. ἐξόπισθεν PVL. Ὀρόβιος] Romanis Orbius dicitur.

215 a. φυλάσσων Schweigh. Legebatur καὶ φυλάσσων.

λημον νύκτα καὶ ἐκβιβάσας τοὺς ἑαυτοῦ στρατιώτας, κοιμωμένοις καὶ μεθύουσιν ἐπιπεσὼν κατέκοψε τοὺς Ἀθηναίους καὶ τοὺς μετ' αὐτῶν συστρατευομένους ὡς βοσκήματα ἑξακοσίους τὸν ἀριθμόν, ἐζώγρησε δὲ καὶ περὶ τετρακοσίους. καὶ ὁ καλὸς στρατηγὸς Ἀπελλικῶν ἔλαθε φυγὼν ἐκ Δήλου. πολλοὺς δὲ καὶ συμφυγόντας κατιδὼν ὁ Ὀρόβιος εἰς ἐπαύλεις συγκατέφλεξεν αὐταῖς οἰκίαις, καὶ πάντ' αὐτῶν τὰ πολιορκητικὰ ὄργανα σὺν τῇ ἐλεπόλει, ἣν
b εἰς Δῆλον ἐλθὼν κατεσκευάκει. στήσας οὖν τρόπαιον ἐπὶ τῶν τόπων ὁ Ὀρόβιος καὶ βωμὸν ἐπέγραψε

Τούσδε θανόντας ἔχει ξείνους τάφος, οἳ περὶ Δῆλον
μαρνάμενοι ψυχὰς ὤλεσαν ἐν πελάγει,
τὴν ἱερὰν ὅτε νῆσον Ἀθηναῖοι κεράϊζον
κοινὸν Ἄρη βασιλεῖ Καππαδόκων θέμενοι.

54. Καὶ Ταρσοῦ δὲ Ἐπικούρειος φιλόσοφος ἐτυράννησε, Λυσίας ὄνομα. ὃς ὑπὸ τῆς πατρίδος στεφανηφόρος αἱρεθείς, τοῦτ' ἐστὶν ἱερεὺς Ἡρακλέους, οὐκ ἀπετίθετο τὴν ἀρχήν, ἀλλ' ἐξ ἱματίου τύραννος ἦν, πορφυροῦν μὲν
c μεσόλευκον χιτῶνα ἐνδεδυκώς, χλαμύδα δὲ ἐφεστρίδα περιβεβλημένος πολυτελῆ καὶ ὑποδούμενος λευκὰς Λακωνικάς, στέφανον δάφνης χρυσῆς ἐστεμμένος, καὶ διανέμων τὰ τῶν πλουσίων τοῖς πένησι, πολλοὺς φονεύων τῶν οὐ διδόντων.

55. Τοιοῦτοί εἰσιν οἱ ἀπὸ φιλοσοφίας στρατηγοί. περὶ ὧν Δημοχάρης ἔλεγεν „Ὥσπερ ἐκ θύμβρας οὐδεὶς ἂν δύναιτο κατασκευάσαι λόγχην, οὐδ' ἐκ Σωκράτους στρατιώτην ἄμεμπτον." ὁ γὰρ Πλάτων φησὶ τρεῖς στρατείας
d στρατεύσασθαι Σωκράτη, τὴν μὲν εἰς Ποτίδαιαν, τὴν δὲ

---

κατιδὼν] συνιδὼν B. πάντ' B. πάντα PVL.

215 b. ἐπέγραψε] ἔγραψε B. Epigramma in Antholog. Palat. receptum vol. II. p. 871. Καὶ Ταρσοῦ] κατάρσου BP. Ἐπικούρειος] ἐπικούριος B.

215 c. μεσόλευκον PVL. μέσον λευκὸν AB. ἀπὸ τῆς φιλοσοφίας B. Δημοχάρης ἔλεγεν Ruhnkenius in hist. orat. vol. VIII. p. 180. ed. Reisk. δημόχαριν ἔλεγεν C. δημοχάρης (δημοχάρεις B) κράτης ἔλεγεν BP. δημοχάρης ἢ κράτης ἔλεγεν VL. Democharis dictum commemoravit p. 187 d. δύναιτο] δύνετο B. Πλάτων] In Apologia p. 28 e. στρατεύσασθαι] στρατεύεσθαι B. Σωκράτη Schweigh. editio. σωκράτην PVL.

εἰς Ἀμφίπολιν, τὴν δὲ εἰς Βοιωτούς, ὅτε καὶ συνέβη τὴν ἐπὶ Δηλίῳ μάχην γενέσθαι. μηδενὸς δὲ τοῦθ' ἱστορηκότος αὐτὸς καὶ ἀριστείων φησὶν αὐτὸν τετυχηκέναι ἁπάντων τῶν Ἀθηναίων φυγόντων, πολλῶν δὲ καὶ ἀπολομένων. πάντα δὲ ταῦτα ἐψευδολόγηται. ἡ μὲν γὰρ ἐπ' Ἀμφίπολιν στρατεία γέγονεν ἐπὶ Ἀλκαίου ἄρχοντος Κλέωνος ἡγουμένου ἐξ ἐπιλέκτων ἀνδρῶν, ὥς φησι Θουκυδίδης. τούτων οὖν τῶν ἐπιλέκτων ἀνάγκη εἶναι καὶ Σωκράτην, ᾧ πλὴν
e τρίβωνος καὶ βακτηρίας οὐδὲν ἦν. τίς οὖν εἶπεν ἱστοριογράφος ἢ ποιητής; ἢ ποῦ Θουκυδίδης τὸν Σωκράτην παρενέχρωσε τὸν Πλάτωνος στρατιώτην; τί γὰρ ἀσπίδι ξύνθημα καὶ βακτηρίᾳ; πότε δὲ καὶ εἰς Ποτίδαιαν ἐστρατεύσατο, ὡς ἐν τῷ Χαρμίδῃ εἴρηκεν ὁ Πλάτων, φάσκων αὐτὸν καὶ τῶν ἀριστείων τότε Ἀλκιβιάδῃ παραχωρῆσαι; τοῦτο οὔτε Θουκυδίδου, ἀλλ' οὐδ' Ἰσοκράτους εἰρηκότος ἐν τῷ περὶ τοῦ ζεύγους. ποίας δὲ καὶ μάχης γενομένης ἔλαβε τὰ ἀριστεῖα Σωκράτης; καὶ τί πράξας ἐπιφανὲς καὶ διάσημον; καθόλου μάχης μηδεμιᾶς συμπεσούσης, ὡς
f ἱστόρηκε Θουκυδίδης. οὐκ ἀρκεσθεὶς δὲ ταύτῃ τῇ τερατολογίᾳ ὁ Πλάτων ἐπάγει καὶ τὴν ἐπὶ Δηλίῳ γενομένην, μᾶλλον δὲ πεπλασμένην ἀνδραγαθίαν. εἰ γὰρ καὶ τὸ Δήλιον ᾐρήκει Σωκράτης, ὡς ἱστορεῖ Ἡρόδικος ὁ Κρατήτειος ἐν τοῖς πρὸς τὸν Φιλοσωκράτην, ἅμα τοῖς πολλοῖς ἀσχημόνως ἂν ἔφευγε, Παγώνδου δύο τέλη περιπέμψαντος τῶν ἱππέων ἐκ τοῦ ἀφανοῦς περὶ τὸν λόφον. τότε γὰρ οἱ
16 μὲν πρὸς τὸ Δήλιον τῶν Ἀθηναίων ἔφυγον, οἱ δ' ἐπὶ θάλατταν, ἄλλοι δ' ἐπὶ Ὠρωπόν, οἱ δὲ Πάρνηθα τὸ ὄρος·

---

215 d. ἀπάντων τῶν ἀθηναίων B. Legebatur πάντων Ἀθηναίων. ἀπολομένων BP. ἀπολλομένων V. ἀπολλυμένων L. Θουκυδίδης] V, 2.

215 e. τί γὰρ ἀσπίδι ξύνθημα καὶ βακτηρίᾳ] Trimeter. ξύνθημα] σύνθημα B. Χαρμίδῃ] In ipso dialogi initio. Conf. Sympos. p. 220. ἀλλ' οὐδ'] Legebatur ἀλλ' οὔτ'. Vide p. 220 f. VI. p. 233 a. VIII. p. 354 c. συμπεσούσης] ἐμπεσούσης C.

215 f. ᾐρήκει Porsonus. ᾔρηκε Casaubonus. ἤρηκε A. εἴρηκε PVL. Κρατήτειος Schweigh. κρατήτιος BP. κρατήττιος VL. Παγώνδου — Λοκρῶν] Haec ex Thucydide IV, 96. sumpta quibusdam mutatis. ἔφευγε Παγώνδου] ἔφευγεν ἄγων δὲ (δ' BP.) οὐ ABP.

216 a. δὲ Πάρνηθα] δ' εἰς Πάρνηθα Schweigh. δὲ πρὸς Πάρνηθα

*Βοιωτοὶ δ' ἐφεπόμενοι ἔκτεινον, καὶ μάλιστα οἱ ἱππεῖς οἵ τε αὐτῶν καὶ Λοκρῶν. τοιούτου οὖν κυδοιμοῦ καὶ φόβου καταλαβόντος τοὺς Ἀθηναίους μόνος Σωκράτης, βρενθυόμενος καὶ τὠφθαλμὼ παραβάλλων, εἱστήκει ἀναστέλλων τὸ Βοιωτῶν καὶ Λοκρῶν ἱππικόν; καὶ ταύτης τῆς ἀνδρείας αὐτοῦ οὐ Θουκυδίδης μέμνηται, οὐκ ἄλλος οὐδεὶς ποιητής. πῶς δὲ καὶ τῶν ἀριστείων Ἀλκιβιάδῃ παραχωρεῖ,*
b *τῷ μηδ' ὅλως κεκοινωνηκότι ταύτης τῆς στρατείας; ἐν δὲ τῷ Κρίτωνι ὁ τῇ Μνημοσύνῃ φίλος Πλάτων οὐδὲ ποιήσασθαί ποτε ἀποδημίαν τὸν Σωκράτη ἔξω τῆς εἰς Ἰσθμὸν πορείας εἴρηκε. καὶ Ἀντισθένης δ' ὁ Σωκρατικὸς περὶ τῶν ἀριστείων τὰ αὐτὰ τῷ Πλάτωνι ἱστορεῖ. οὐκ ἔστι δ' ἔτυμος ὁ λόγος οὗτος. χαρίζεται γὰρ καὶ ὁ κύων οὗτος πολλὰ τῷ Σωκράτει· ὅθεν οὐδετέρῳ αὐτῶν δεῖ πιστεύειν, σκοπὸν ἔχοντας Θουκυδίδην. ὁ γὰρ Ἀντισθένης καὶ προσεπάγει τῇ*
c *ψευδογραφίᾳ λέγων οὕτως „Ἡμεῖς δὲ ἀκούομεν κἀν τῇ πρὸς Βοιωτοὺς μάχῃ τἀριστεῖά σε λαβεῖν. Εὐφήμει, ὦ ξένε· Ἀλκιβιάδου τὸ γέρας, οὐκ ἐμόν. Σοῦ γε δόντος, ὡς ἡμεῖς ἀκούομεν." ὁ δὲ Πλάτωνος Σωκράτης εἰς Ποτίδαιαν λέγει παρεῖναι καὶ τῶν ἀριστείων Ἀλκιβιάδῃ παρα-*

---

Thucydides. *οἵ τε αὐτῶν* dedi ex Thucydide. *ὅτι ἑαυτῶν* BPV. *οἵ τε ἑαυτῶν* L. *κυδοιμοῦ*] *κινδύνου* B. *βρενθυόμενος — παραβάλλων*] Aristophanis verba Nub. v. 362. *τὼ 'φθαλμὼ* B. Scribebatur *τὼ ὀφθαλμώ*. *ποιητής*] *οὐδὲ* (immo *οὔτε*) *ἱστοριογράφος οὐδὲ* (*οὔτε*) *ποιητής* Schweigh. comparata p. 215 e. *παραχωρεῖ* ABC. *παρεχώρει* PVL.

216 b. *Κρίτωνι*] P. 52 b. *οὐ γὰρ ἄν ποτε τῶν ἄλλων Ἀθηναίων ἁπάντων διαφερόντως ἐν αὐτῇ* (*τῇ πόλει*) *ἐπεδήμεις, εἰ μή σοι διαφερόντως ἤρεσκε, καὶ οὔτ' ἐπὶ θεωρίαν πώποτ' ἐκ τῆς πόλεως ἐξῆλθες, ὅ τι μὴ ἅπαξ εἰς Ἰσθμόν, οὔτε ἄλλοσε οὐδαμόσε, εἰ μή ποι στρατευσόμενος*: quae postrema aut non reperit in suo exemplo Athenaeus, quod non est verisimile, aut neglexit memoriae errore. *σωκράτη* BP et Schweigh. editio. *σωκράτην* VL. Vid. ad 215 c. *Σωκράτη* editum p. 217 e. 218 f. *οὐκ ἔστι δ' ἔτυμος λόγος οὗτος*] Ex Stesichori palinodia: vide ad XI. p. 505 b. *ἔστι* B. *ἔστιν* PVL. *ἔτυμος*] *ἕτοιμος* P. *ἔτυμος* V. *οὐδετέρῳ* B. Scribebatur *οὐδὲ ἑτέρῳ*.

216 c. *οὕτως* BP et Schweigh. editio. *οὕτω* VL. *μάχῃ* add. A. om. PVL. *τἀριστεῖα* P. Scribebatur *τὰ ἀριστεῖα*. *τ' ἀριστείᾳ* B.

κεχωρηκέναι. προτερεῖ δὲ κατὰ πάντας τοὺς ἱστορικοὺς τῆς ἐπὶ Δήλιον στρατείας ἡ περὶ Ποτίδαιαν, ἧς Φορμίων ἐστρατήγει.

56. Πάντ᾽ οὖν ψεύδονται οἱ φιλόσοφοι καὶ πολλὰ παρὰ τοὺς χρόνους γράφοντες οὐκ αἰσθάνονται, καθάπερ
d οὐδ᾽ ὁ καλὸς Ξενοφῶν, ὃς ἐν τῷ Συμποσίῳ ὑποτίθεται Καλλίαν τὸν Ἱππονίκου Αὐτολύκου τοῦ Λύκωνος ἐρῶντα καὶ νενικηκότος αὐτοῦ παγκράτιον ἑστίασιν ποιούμενον καὶ σὺν τοῖς ἄλλοις δαιτυμόσι παρόντα αὐτόν, τὸν ἴσως μηδὲ γεννηθέντα, ἢ περὶ τὴν παιδικὴν ἡλικίαν ὑπάρχοντα. ἔστι δ᾽ οὗτος ὁ καιρὸς καθ᾽ ὃν Ἀριστίων ἄρχων ἦν. ἐπὶ τούτου γὰρ Εὔπολις τὸν Αὐτόλυκον διδάξας διὰ Δημοστρά-
e του χλευάζει τὴν νίκην τοῦ Αὐτολύκου. πάλιν ὁ Ξενοφῶν ποιεῖ τὸν Σωκράτη λέγοντα ἐν τῷ Συμποσίῳ ταυτὶ „Καίτοι Παυσανίας γε, ὁ Ἀγάθωνος τοῦ ποιητοῦ ἐραστής, ἀπολογούμενος ὑπὲρ τῶν ἀκρασίᾳ συγκαλινδουμένων, εἴρηκεν ὡς καὶ στράτευμα ἀλκιμώτατον ἂν γένοιτο ἐκ παιδικῶν καὶ ἐραστῶν. τούτους γὰρ ἂν ἔφη οἴεσθαι μάλιστα ἂν αἰδεῖσθαι ἀλλήλους ἀπολιπεῖν· θαυμαστὰ λέγων, εἴ γε οἱ ψόγου τε ἀφροντιστεῖν καὶ ἀναισχυντεῖν πρὸς ἀλλήλους ἐθιζόμενοι, οὗτοι μάλιστ᾽ αἰσχύνονται αἰσχρόν τι
f ποιεῖν.“ ὅτι μὲν οὖν τούτων οὐδὲν εἴρηκε Παυσανίας ἔξεστι μαθεῖν ἐκ τοῦ Πλάτωνος Συμποσίου. Παυσανίου γὰρ οὐκ οἶδα σύγγραμμα, οὐδ᾽ εἰσῆκται παρ᾽ ἄλλῳ λαλῶν οὗτος περὶ χρήσεως ἐραστῶν καὶ παιδικῶν ἢ παρὰ Πλάτωνι· πλὴν εἴτε κατέψευσται τοῦτο Ξενοφῶν εἴτ᾽ ἄλλως γεγραμμένῳ τῷ Πλάτωνος ἐνέτυχε Συμποσίῳ, παρείσθω· τὸ δὲ κατὰ τοὺς χρόνους ἀστόχημα λεκτέον. Ἀριστίων, ἐφ᾽ οὗ τὸ συμπόσιον ὑπόκειται συνηγμένον, πρὸ τεσσάρων

---

216 d. παγκράτιον] παγκράτειον B. παρόντα αὐτὸν] αὐτὸν ab Casaubono additum. Ἀριστίων] Ἀρίστων dictus ab Diodoro XII, 75.

216 e. σωκράτη B. σωκράτην PVL. ταυτὶ] VIII, 32. Ἀγάθωνος τοῦ L. ἀγάθωνος ὁ τοῦ BPV. εἴγε PL. εἴτε V. ψόγου] ψόφου B. τε L. γε ABPV.

216 f. οὗτος] οὕτως P. γεγραμμένῳ] γεγραμμένα B. συνηγμένον ABD. ἀνηγμένον PQVL.

217 ἐτῶν Εὐφήμου πρότερος ἦρξε, καθ' ὃν Πλάτων τὰ Ἀγά-
θωνος νικητήρια γέγραφεν, ἐν οἷς Παυσανίας τὰ περὶ τῶν
ἐρωτικῶν διεξέρχεται. θαυμαστὸν οὖν καὶ τερατῶδες εἰ
τὰ μήπω ῥηθέντα, μετὰ δὲ τέτταρα ἔτη ἐπιχειρηθέντα
παρ' Ἀγάθωνι, Σωκράτης παρὰ Καλλίᾳ δειπνῶν εὐθύνει
οὐ δεόντως ῥηθέντα.

57. Ὅλως δὲ λῆρός ἐστι τῷ Πλάτωνι τὸ Συμπόσιον.
ὅτε γὰρ Ἀγάθων ἐνίκα, Πλάτων ἦν τεσσαρεσκαίδεκα ἐτῶν.
ὁ μὲν γὰρ ἐπὶ ἄρχοντος Εὐφήμου στεφανοῦται Ληναίοις,
Πλάτων δὲ γεννᾶται ἐπὶ Ἀπολλοδώρου τοῦ μετ' Εὐθύδη-
b μον ἄρξαντος· δύο δὲ καὶ ὀγδοήκοντα βιώσας ἔτη μετήλ-
λαξεν ἐπὶ Θεοφίλου τοῦ μετὰ Καλλίμαχον, ὅς ἐστιν ὀγδο-
ηκοστὸς καὶ δεύτερος. ἀπὸ δὲ Ἀπολλοδώρου καὶ τῆς Πλά-
τωνος γενέσεως τεσσαρεσκαιδέκατός ἐστιν ἄρχων Εὔφημος,
ἐφ' οὗ τὰ ἐπινίκια Ἀγάθωνος ἑστιῶνται. καὶ αὐτὸς δὲ ὁ
Πλάτων δηλοῖ τὴν συνουσίαν ταύτην πρὸ πολλοῦ γεγονέ-
ναι, λέγων οὕτως ἐν τῷ Συμποσίῳ „Εἰ νεωστὶ ἡγεῖ τὴν
συνουσίαν γεγονέναι, ὥστε κἀμὲ παραγενέσθαι. Ἐγὼ γάρ·
c ἔφη. Πόθεν, ἦν δ' ἐγώ, ὦ Γλαύκων; οὐκ οἶσθ' ὅτι πολ-
λῶν ἐτῶν Ἀγάθων οὐκ ἐπιδεδήμηκε;“ καὶ προελθών φησιν
„Ἀλλ' εἰπέ μοι, πότ' ἐγένετο ἡ συνουσία αὕτη; Κἀγὼ
εἶπον ὅτι παίδων ἔτι ὄντων ἡμῶν, ὅτε τῇ τραγῳδίᾳ ἐνίκη-
σεν ὁ Ἀγάθων.“ ὅτι δὲ πολλὰ ὁ Πλάτων παρὰ τοὺς χρό-
νους ἁμαρτάνει δῆλόν ἐστιν ἐκ πολλῶν. κατὰ γὰρ τὸν
εἰπόντα ποιητὴν „ὅττι κεν ἐπ' ἀκαιρίμαν γλῶτταν

---

217 a. καθ' ὃν] καθ' ἣν BP. διεξάρχεται B. τέτταρα] τέσσαρα B. παρ' Ἀγάθωνι — ῥηθέντα add. L. om. PV. τεσσαρεσκαίδεκα] Legebatur δεκατεσσάρων. ιδ' P.

217 b. ἀπὸ δὲ VL et margo P. ἐπὶ δὲ ABP. Εὔφημος] Ἔφημος B. αὐτὸς δὲ ὁ] δὲ om. B. λέγων — γεγονέναι add. L. om. BPV. Συμποσίῳ] P. 172 c. ἡγεῖ A. Scribebatur ἡγῆ. ἔφη VL. ἔφην ABP.

217 c. ὦ add. ABPV. om. Basil. L. Γλαύκων ex Platone repositum. λύκων ABPVL. ἀγάθων οὐκ ABPV. Ἀγάθων ἐνθάδε οὐκ Basil. et L ex Platone. προελθών] προσελθὼν BP. πότ'] πότε B. παίδων ἔτι om. B. ποιητὴν] Eadem ignoti poetae, quem Pindarum esse facilius credam quam, qui aliis visus est, Aeschylum, attulerunt Dionysius de compos. verb. cap. I. p. 12. ed. Schaefer. et Lucianus vol. II. p. 43. et III. p. 20. ab

ἔλθῃ" τοῦτο μὴ διακρίνας γράφει. οὐ γὰρ ἀγράφως τι ἔλεγεν, ἀλλὰ πάνυ ἐσκεμμένως·

d 58. ὡς ἐν τῷ Γοργίᾳ γράφων φησὶν „Ἄθλιος ἄρα οὗτος ὁ Ἀρχέλαός ἐστι κατὰ τὸν σὸν λόγον. Εἴπερ γε, ὦ φίλε, ἄδικος." εἶτα ῥητῶς εἰπὼν ὡς κατέχοντος τὴν Μακεδόνων ἀρχὴν Ἀρχελάου προβὰς γράφει τάδε „Καὶ Περικλέα τοῦτον νεωστὶ τετελευτηκότα." εἰ δὲ νεωστὶ τετελεύτηκε Περικλῆς, Ἀρχέλαος οὔπω κύριός ἐστι τῆς ἀρχῆς· εἰ δ' οὗτος βασιλεύει, πρὸ πολλοῦ πάνυ χρόνου ἀπέθανε Περικλῆς. Περδίκκας τοίνυν πρὸ Ἀρχελάου βασιλεύει, ὡς μὲν ὁ Ἀκάνθιός φησι Νικομήδης ἔτη τεσσαράκοντα ἕν·
e Θεόπομπος δὲ τριάκοντα πέντε, Ἀναξιμένης τεσσαράκοντα, Ἱερώνυμος εἴκοσιν ὀκτώ, Μαρσύας δὲ καὶ Φιλόχορος εἴκοσι τρία. τούτων οὖν διαφόρως ἱστορουμένων λάβωμεν τὸν ἐλάχιστον ἀριθμὸν τὰ εἴκοσι τρία ἔτη. Περικλῆς δ' ἀποθνήσκει κατὰ τὸ τρίτον ἔτος τοῦ Πελοποννησιακοῦ πολέμου, ἄρχοντος Ἐπαμείνονος, ἐφ' οὗ τελευτᾷ * * * Περδίκκας, καὶ τὴν βασιλείαν Ἀρχέλαος διαδέχεται. πῶς οὖν νεωστὶ κατὰ Πλάτωνα τελευτᾷ Περικλῆς; ἐν δὲ τῷ αὐτῷ Γοργίᾳ ὁ Πλάτων τὸν Σωκράτη ποιεῖ λέγοντα „Καὶ
f πέρυσι βουλεύειν λαχών, ἐπειδὴ ἡ φυλὴ ἐπρυτάνευε καὶ ἔδει με ἐπιψηφίζειν, γέλωτα παρεῖχον καὶ οὐκ ἠδυνάμην ἐπιψηφίσαι." τοῦτο ὁ Σωκράτης οὐ κατὰ ἀδυναμίαν ἐποίησεν, ἀλλὰ μᾶλλον κατὰ ἀνδραγαθίαν· οὐ γὰρ ἠβούλετο λύειν δημοκρατίας νόμους. παρίστησι δὲ τοῦτο σαφῶς ὁ

---

Valckenario emendatus Diatrib. Euripid. p. 288 c. ἔλθῃ] ἔλθοι B. Γοργίᾳ] P. 471 a.

217 d. τάδε] P. 503 c. εἰ δὲ νεωστὶ] εἰδέναι εἰ δὲ νεωστὶ ABP. Νικομήδης — Περικλῆς δ'] Qui in his leguntur numeri litteris expressi erant.

217 e. δὲ λέ B. δέ φησι λέ PVL. ἄρχοντος] ἐπ' ἄρχοντος Schweigh. Ἐπαμείνονος] ἐπαμίνωνος C et epitome Hoeschel. Lacunam post τελευτᾷ ab se indicatam his verbis explebat Casaubonus, Ἀλέξανδρος, καὶ τὴν βασιλείαν Περδίκκας διαδέχεται, ὃς ἐβασίλευεν ἕως Καλλίου, ἐφ' οὗ τελευτᾷ —. λέγοντα] P. 473 extr. πέρυσι] πέρυσιν B.

217 f. ἠδυνάμην ἐπιψηφίζειν P, scripto in margine σαι. ὁ σωκράτης ABD. οὐ σωκράτης PVL. κατὰ ἀδυναμίαν ἐποίησεν,

*Ξενοφῶν ἐν πρώτῳ Ἑλληνικῶν ἐκτιθεὶς οὕτως „Τῶν δὲ
πρυτάνεων τινῶν οὐ φασκόντων προθήσειν τὴν διαψήφι-
218 σιν παρὰ τοὺς νόμους, αὖθις Καλλίξενος ἀναβὰς κατη-
γόρει αὐτῶν. οἱ δ᾽ ἐβόων καλεῖν τοὺς οὐ φάσκοντας. οἱ
δὲ πρυτάνεις φοβηθέντες ὡμολόγουν ἅπαντες προθήσειν,
πλὴν Σωκράτους τοῦ Σωφρονίσκου. οὗτος δὲ οὐκ ἔφη,
ἀλλὰ κατὰ τοὺς νόμους πάντα ποιήσειν." οὗτός ἐστιν ὁ
διαψηφισμὸς ὁ γενόμενος κατὰ τῶν περὶ Ἐρασινίδην στρα-
τηγῶν, ὅτι τοὺς ἐν Ἀργινούσαις ἐν τῇ ναυμαχίᾳ ἀπολο-
μένους οὐκ ἀνείλοντο. ἐγένετο δὲ ἡ ναυμαχία ἐπὶ ἄρχον-
τος Καλλίου, τῆς Περικλέους τελευτῆς ὕστερον ἔτεσιν εἴ-
κοσι καὶ τέτταρσιν.*

b 59. *Ἀλλὰ μὴν καὶ ὁ ἐν τῷ Πρωταγόρᾳ διάλογος,
μετὰ τὴν Ἱππονίκου τελευτὴν γενόμενος, παρειληφότος ἤδη
τὴν οὐσίαν Καλλίου, τοῦ Πρωταγόρου * * παραγεγο-
νότος τὸ δεύτερον οὐ πολλαῖς πρότερον ἡμέραις. ὁ δ᾽ Ἱπ-
πόνικος ἐπὶ μὲν Εὐθυδήμου ἄρχοντος στρατηγῶν παρα-
τέτακται μετὰ Νικίου πρὸς Ταναγραίους καὶ τοὺς παρα-
βοηθοῦντας Βοιωτῶν, καὶ τῇ μάχῃ νενίκηκε. τέθνηκε δὲ
πρὸ τῆς ἐπ᾽ Ἀλκαίου διδασκαλίας τῶν Εὐπόλιδος Κολά-
c κων οὐ πολλῷ χρόνῳ κατὰ τὸ εἰκός. πρόσφατον γάρ τινα
τοῦ Καλλίου τὴν παράληψιν τῆς οὐσίας ἐμφαίνει τὸ δρᾶμα.
ἐν οὖν τούτῳ τῷ δράματι Εὔπολις τὸν Πρωταγόραν ὡς
ἐπιδημοῦντα εἰσάγει, Ἀμειψίας δ᾽ ἐν τῷ Κόννῳ, δύο πρό-
τερον ἔτεσι διδαχθέντι, οὐ καταριθμεῖ αὐτὸν ἐν τῷ τῶν
φροντιστῶν χορῷ. δῆλον οὖν ὡς μεταξὺ τούτων τῶν χρό-
νων παραγέγονεν. ὁ δὲ Πλάτων καὶ τὸν Ἠλεῖον Ἱππίαν*

---

ἀλλά ex A accesserunt. πρώτῳ] Cap. 7, 14. Καλλίξενος] Scribebatur Καλλίξεινος.

218 a. κατηγόρει] Scribebatur κατηγορεῖ. οὐ φάσκοντας] οἱ om. B ἀπολομένους] ἀπολουμένους B. εἴκοσι καὶ τέτταρσιν] κδʹ P.

218 b. καὶ ὁ ἐν A. καὶ ἐν PVL. διάλογος ABP. διαλόγῳ VL. γενόμενος AP. γινόμενος B. γενομένῳ VL. Ante τοῦ Πρωταγόρου indicavi lacunam. τοῦ Πρωταγόρου μέμνηται Casaubonus. Vide Protagoram p. 309 d.

218 c. Κόννῳ Casaubonus. Libri κοινῷ.

συμπαρόντα ποιεῖ ἐν τῷ Πρωταγόρᾳ μετά τινων ἰδίων πολιτῶν· οὓς οὐκ εἰκὸς ἐν Ἀθήναις ἀσφαλῶς διατρίβειν
d πρὸ τοῦ τὰς ἐνιαυσίας ἐπὶ Ἰσάρχου Ἐλαφηβολιῶνος συντελεσθῆναι σπονδάς. ὁ δὲ τὸν διάλογον ὑφίσταται γινόμενον περὶ τοὺς καιροὺς τούτους, καθ᾿ οὓς αἱ σπονδαὶ προσφάτως ἐγεγόνεσαν· λέγει γοῦν „Εἰ γὰρ εἶεν ἄνθρωποι ἄγριοι, οἵους πέρυσι Φερεκράτης ὁ ποιητὴς ἐδίδαξεν ἐπὶ Ληναίῳ.“ ἐδιδάχθησαν δὲ οἱ Ἄγριοι ἐπ᾿ Ἀριστίωνος ἄρχοντος, ἀφ᾿ οὗ ἐστιν ἄρχων Ἀστύφιλος, πέμπτος ὢν ἀπὸ Ἰσάρχου, καθ᾿ ὃν αἱ σπονδαὶ ἐγένοντο. Ἴσαρχος γάρ,
e εἶτ᾿ Ἀμεινίας, μεθ᾿ ὃν Ἀλκαῖος, εἶτ᾿ Ἀριστίων, εἶτ᾿ Ἀστύφιλος. παρὰ τὴν ἱστορίαν οὖν ὁ Πλάτων ἐν τῷ διαλόγῳ εἰς τὰς Ἀθήνας παράγει πολεμίους ὄντας τοὺς περὶ τὸν Ἱππίαν, μὴ τῆς ἐκεχειρίας αὐτῆς μενούσης.

60. Κἂν ἄλλοις δ᾿ ὁ Πλάτων φησὶ Χαιρεφῶντα ἐρωτῆσαι τὴν Πυθίαν εἴ τις εἴη Σωκράτους σοφώτερος· καὶ τὴν ἀνελεῖν, μηδένα. κἂν τούτοις δὲ μὴ συμφωνῶν Ξενοφῶν φησι „Χαιρεφῶντος γάρ ποτε ἐπερωτήσαντος ἐν Δελφοῖς ὑπὲρ ἐμοῦ ἀνεῖλεν ὁ Ἀπόλλων πολλῶν παρόντων,
f μηδένα εἶναι ἀνθρώπων ἐμοῦ μήτε δικαιότερον μήτε σωφρονέστερον.“ πῶς οὖν εὔλογον ἢ πιθανὸν Σωκράτη τὸν ὁμολογοῦντα μηδὲν ἐπίστασθαι σοφώτατον ἁπάντων ὑπὸ τοῦ πάντα ἐπισταμένου θεοῦ ἀναρρηθῆναι; εἰ γὰρ τοῦτό ἐστι σοφία, τὸ μηδὲν εἰδέναι, τὸ πάντα εἰδέναι φαυλότης ἂν εἴη. τίς δ᾿ ἦν χρεία τῷ Χαιρεφῶντι παρενοχλεῖν τὸν θεὸν περὶ Σωκράτους πυνθανόμενον; αὐτὸς γὰρ ἦν ἀξιόπιστος
a ὑπὲρ αὐτοῦ λέγων ὡς οὐκ ἔστι σοφός. βλὰξ γάρ τις ἦν

---

συμπαρόντα ποιεῖ] P. 314 b. οὓς] ὡς BP.

218 d. Ἐλαφηβολιῶνος] τοῦ ἐλαφηβολλίωνος B. αἱ σπονδαὶ add. AB. om. PVL. λέγει γοῦν] P. 327 d. Ληναίῳ ex Platone restitutum. λήναια PVL.

218 e. ἐκεχειρίας] ἐγκεχειρίας B. αὐτῆς] αὐτοῖς Schweigh. Κἂν L. καὶ PV. φησὶ] In Apologia p. 21 a. εἴ τις] εἴ τι B. συμφωνῶν AB. ξυμφωνῶν PVL. Ξενοφῶν] Legebatur Ξενοφῶντι. φησι] In Apologia sect. 14. πολλῶν ex Xenophonte additum. om. PVL.

219 a. βλὰξ γάρ τις ἦν τοιαῦτ᾿ ἐρωτῶν τὸν θεόν] Trimeter.

τοιαῦτ᾽ ἐρωτῶν τὸν θεὸν, ὡς ἂν εἰ καὶ τοιαῦτά τινα, τῶν Ἀττικῶν ἐρίων εἰ ἄλλ᾽ ἐστὶ μαλακώτερα, ἢ τῶν ἐν Βάκτροις καμήλων εἰ εἰσί τινες δυνατώτεροι, ἢ εἰ Σωκράτους ἐστί τις σιμότερος; τοὺς γὰρ τὰ τοιαῦτα πυνθανομένους εὐστόχως ἐπιρραπίζει ὁ θεός· ὡς καὶ τὸν πυθόμενον, εἴτ᾽ Αἴσωπός ἐστιν ὁ λογοποιὸς ἢ ἄλλος τις,

Πῶς ἂν πλουτήσαιμι, Διὸς καὶ Λητοῦς υἱέ;·

χλευάζων ἀπεκρίνατο

Εἰ τὸ μέσον κτήσαιο Κορίνθου καὶ Σικυῶνος.

61. Ἀλλὰ μὴν οὐδὲν ὧν ὁ Πλάτων εἴρηκε περὶ Σω-
b κράτους τῶν κωμικῶν τις εἴρηκεν, οὔθ᾽ ὅτι μαίας βλοσυρᾶς υἱὸς ἦν οὔθ᾽ ὅτι Ξανθίππη χαλεπὴ ἦν γυνὴ, ἥτις καὶ νιπτῆρας αὐτοῦ κατέχει τῆς κεφαλῆς, οὔθ᾽ ὡς Ἀλκιβιάδης συνεκοιμήθη ὑπὸ τὴν αὐτὴν γενόμενος χλαῖναν. καίτοι ἀναγκαῖον ἦν τοῦτο ἐκκωδωνισθῆναι ὑπὸ Ἀριστοφάνους τοῦ καὶ ἐν τῷ συμποσίῳ κατὰ Πλάτωνα· οὐ γὰρ ἂν ἐσίγησε τοῦτ᾽ Ἀριστοφάνης, ὡς τοὺς νέους διαφθείροντος. Ἀσπασία μέντοι, ἡ σοφὴ τοῦ Σωκράτους διδάσκαλος
c τῶν ῥητορικῶν λόγων, ἐν τοῖς φερομένοις ὡς αὐτῆς ἔπεσιν, ἅπερ Ἡρόδικος ὁ Κρατήτειος παρέθετο, φησὶν οὕτως

Σώκρατες; οὐκ ἔλαθές με πόθῳ δηχθεὶς φρένα τὴν σὴν
παιδὸς Δεινομάχης καὶ Κλεινίου. ἀλλ᾽ ὑπάκουσον,
εἰ βούλει σοι ἔχειν εὖ παιδικά· μηδ᾽ ἀπειθήσῃς

---

τὸν θεὸν om. B. εἰ ἄλλ᾽ Casaubonus. εἰ om. PVL. καμήλων Boissonadius. Legebatur καὶ μήδων. καὶ μήδοις C. εἰ εἰσί] εἰ om. P. σιμότερος] σιμώτερος ACP. εἴτ᾽ — ἢ Porsonus comparatis VII. p. 277 d. VIII. p. 334 b. XI. p. 503 d. εἴ τοι — ἢ P. ἤτοι — ἢ VL. εἴτ᾽ — εἴτ᾽ C. εἰς τὸ μέσον κτίσαι scholiastes Aristoph. Av. v. 969. Emendate scriptum apud Suidam in εἰ τὸ μέσον. οὐδὲν ὧν C, in quo scriptum, ὅτι οὐδὲν ὧν ὁ πλάτων εἶπε περὶ σωκράτους, οὐδὲ κωμικός τις εἴρηκε. οὐδ᾽ ὧν PVL.

219 b. μαίας βλοσυρᾶς] In Theaeteto p. 149 a. Ξανθίππη] Memoriae errore Platoni tribuisse videtur quae ab aliis narrata legerat. Vide Menagium ad Diogen. Laert. II, 37. Ἀλκιβιάδης] In Symposio p. 219 b.

219 c. Κρατήτειος] Scribebatur Κρατήτιος. φησὶν οὕτως Σώκρατες] φησὶ σωκράτης B. Aspasiae versus om. C. V. 2. Δεινομάχης] δὲ ἰνομάχης B. V. 3. σοι] σὺ B. ἀπειθήσῃς B. ἀπιθήσεις P.

*ἀγγέλῳ, ἀλλὰ πιθοῦ· καί σοι πολὺ βέλτιον ἔσται.*
*κἀγὼ ὅπως ἤκουσα, χαρᾶς ὕπο σῶμα λιπαίνω*
d *ἱδρῶτι, βλεφάρων δὲ γόος πέσεν οὐκ ἀθελήτως.*
*στέλλου, πλησάμενος θυμὸν Μούσης κατόχοιο,*
*ᾗ τόνδ᾽ αἱρήσεις ᾠδῶν δεινοῖσι πόθοισιν.*
*ἀμφοῖν γὰρ φιλίας ἥδ᾽ ἀρχή· τῇδε καθέξεις*
*αὐτὸν, προσβάλλων ἀκοαῖς ὀπτήρια θυμοῦ.*

*κυνηγεῖ οὖν ὁ καλὸς Σωκράτης, ἐρωτοδιδάσκαλον ἔχων τὴν Μιλησίαν, ἀλλ᾽ οὐκ αὐτὸς θηρεύεται, ὡς ὁ Πλάτων ἔφη, λινοστατούμενος ὑπὸ Ἀλκιβιάδου. καὶ μὴν οὐ διαλείπει γε*
e *κλαίων, ὡς ἂν οἶμαι δυσημερῶν. ἰδοῦσα γὰρ αὐτὸν ἐν οἵῳ ἦν καταστήματι Ἀσπασία φησὶν*

*Τίπτε δεδάκρυσαι, φίλε Σώκρατες; ἦ σ᾽ ἀνακινεῖ*
*στέρνοις ἐνναίων σκηπτὸς πόθος ὄμμασι θραυσθεὶς*
*παιδὸς ἀνικήτου; τὸν ἐγὼ τιθασόν σοι ὑπέστην*
*ποιῆσαι.*

*ὅτι δὲ ὄντως ἤρα τοῦ Ἀλκιβιάδου δῆλον ποιεῖ Πλάτων ἐν τῷ Πρωταγόρᾳ, καίτοι μικρὸν ἀπολείποντος τῶν τριάκοντα*
f *ἐτῶν. λέγει δ᾽ οὕτως „Πόθεν, ὦ Σώκρατες, φαίνει; ἢ δηλαδὴ ἀπὸ κυνηγεσίου τοῦ περὶ τὴν Ἀλκιβιάδου ὥραν; καὶ μήν μοι καὶ πρώην ἰδόντι καλὸς ἐφαίνετο ὁ ἀνὴρ ἔτι· ἀνὴρ μέντοι, ὦ Σώκρατες, ὥς γ᾽ ἐν ἡμῖν αὐτοῖς εἰρῆσθαι,*
220 *καὶ πώγωνος ἤδη ὑποπιμπλάμενος. Εἶτα τί δὴ τοῦτ᾽; οὐ σὺ μέντοι Ὁμήρου ἐπαινέτης εἶ, ὃς ἔφη χαριεστάτην ἥβην εἶναι τοῦ ὑπηνήτου, ἣν νῦν Ἀλκιβιάδης αὐτὸς ἔχει.“*

62. *Πεφύκασι δ᾽ οἱ πλεῖστοι τῶν φιλοσόφων τῶν κωμικῶν κακήγοροι μᾶλλον εἶναι, εἴ γε καὶ Αἰσχίνης ὁ*

---

V. 5. *ὅπως*] *πῶς* BP.

219 d. V. 7. *κατοχοιηιτον διρησεις ωσι δεινη πόθοισιν* A. *κατόχοιον, τόνδε ῥήσεις, ὡς δινὴ πόθοισιν* B. *κατάχοιο η τον δε ρησεις ὡς ιδεῖ νῃ πόθοισιν* P. *δεινοῖσι* Casauboni editio secunda. *δεῖν οἷσι* VL. *Πλάτων*] In Symposio p. 217 c. *λινοστατούμενος*] Eustathius p. 1164, 21. *κλαίων* Schweigh. *καλλίων* ABP. *δακρύων* VL.

219 e. V. 2. *πόθος*] *πόθου* Iacobsius. *τιθασόν*] *τιθάσω* B.

219 f. *λέγει δ᾽ οὕτως*] In ipso dialogi initio. *φαίνει* APV. *φαίνῃς* B. *φαίνῃ* L. *ἢ δηλαδὴ*] *εὔδηλα δὴ* B.

220 a. *δὴ*] *δεῖ* P. *τοῦτ᾽; οὐ σὺ*] *τούτου σὺ* BP. *τοῦτο σὺ* VL. *τοῦτο οὐ σὺ* Platonis libri. *ὃς ἔφη*] Odyss. κ, 279.

Σωκρατικὸς ἐν μὲν τῷ Τηλαύγει Κριτόβουλον τὸν Κρίτωνος ἐπ᾽ ἀμαθίᾳ καὶ ῥυπαρότητι βίου κωμῳδεῖ, τὸν δὲ Τηλαύγην αὐτὸν ἱματίου μὲν φορήσεως καθ᾽ ἡμέραν ἡμιωβόλιον κναφεῖ τελοῦντα μισθὸν, κῳδίῳ δὲ ἐζωσμένον καὶ
b τὰ ὑποδήματα σπαρτίοις ἐνημμένον σαπροῖς· καὶ Τελέσαντα τὸν ῥήτορα οὐ μετρίως διαγελᾷ. ἐν δὲ τῇ Ἀσπασίᾳ Ἱππόνικον μὲν τὸν Καλλίου κοάλεμον προσαγορεύει, τὰς δ᾽ ἐκ τῆς Ἰωνίας γυναῖκας συλλήβδην μοιχάδας καὶ κερδαλέας. ὁ δὲ Καλλίας αὐτοῦ περιέχει τὴν τοῦ Καλλίου πρὸς τὸν πατέρα διαφορὰν καὶ τὴν Προδίκου καὶ Ἀναξαγόρου τῶν σοφιστῶν διαμώκησιν. λέγει γὰρ ὡς ὁ μὲν Πρόδικος Θηραμένην μαθητὴν ἀπετέλεσεν, ὁ δ᾽ ἕτερος Φιλόξενον τὸν Ἐρύξιδος καὶ Ἀριφράδην τὸν ἀδελφὸν Ἀριγνώ-
c του τοῦ κιθαρῳδοῦ, θέλων ἀπὸ τῆς τῶν δηλωθέντων μοχθηρίας καὶ περὶ τὰ φαῦλα λιχνείας ἐμφανίσαι τὴν τῶν παιδευσάντων διδασκαλίαν. ἐν δὲ τῷ Ἀξιόχῳ πικρῶς Ἀλκιβιάδου κατατρέχει ὡς οἰνόφλυγος καὶ περὶ τὰς ἀλλοτρίας γυναῖκας σπουδάζοντος.

63. Ἀντισθένης δ᾽ ἐν θατέρῳ τῶν Κύρων κακολογῶν Ἀλκιβιάδην καὶ παράνομον εἶναι λέγει καὶ εἰς γυναῖκας καὶ εἰς τὴν ἄλλην δίαιταν. συνεῖναι γάρ φησιν αὐτὸν καὶ μητρὶ καὶ θυγατρὶ καὶ ἀδελφῇ, ὡς Πέρσας. ὁ δὲ πολιτι-
d κὸς αὐτοῦ διάλογος ἁπάντων καταδρομὴν περιέχει τῶν Ἀθήνησι δημαγωγῶν, ὁ δ᾽ Ἀρχέλαος Γοργίου τοῦ ῥήτορος, ἡ δ᾽ Ἀσπασία τῶν Περικλέους υἱῶν Ξανθίππου καὶ Παράλου διαβολήν. τούτων γὰρ τὸν μὲν Ἀρχεστράτου φησὶν εἶναι συμβιωτὴν, τοῦ παραπλήσια ταῖς ἐπὶ τῶν μικρῶν

---

ἡμιωβόλιον PL. ἡμιοβόλιον V. ἡμιωβέλιον B. κναφεῖ] γναφεῖ B. κῳδίῳ Casaubonus. κῳδίῳ V. κωδίῳ L. κωμῳδίᾳ ABP. In C verba κ. δὲ ἐζωσμένον omissa.

220 b. ἐνημμένον A. ἐννημένον PVL. ἐνῆφθαι aliâ orationis formâ C. Τελέσαντα littera maiuscula Casaubonus. τὸν Λυσίαν Toupius Emend. vol. II. p. 623. τὸν Λυσίαν δὲ Schweigh.

220 c. ἀντισθένης δὲ τὸν αὐτὸν ἀλκιβιάδην παράνομον εἶναι λέγει καὶ εἰς — C. Κύρων] κυρῶν P. λέγει C. λέγων PVL. Πέρσας] τοὺς πέρσας C.

220 d. τούτων L. τοῦτον PV. συμβιωτὴν] Scribebatur συμβιώτην. ἐπὶ τῶν μικρῶν AV. ἐπὶ μικρῶν P. ἐπὶ τῶν μιαρῶν L ex

οἰκημάτων ἐργαζομένου, τὸν δ' Εὐφήμου συνήθη καὶ γνώριμον τοῦ φορτικὰ σκώπτοντος καὶ ψυχρὰ τοὺς συναντῶντας. καὶ Πλάτωνα δὲ μετονομάσας Σάθωνα ἀσυρῶς καὶ φορτικῶς, τὸν ταύτην ἔχοντα τὴν ἐπιγραφὴν διάλογον ἐξέ-
e δωκε κατ' αὐτοῦ. τούτοις γὰρ τοῖς ἀνδράσιν οὐδεὶς ἀγαθὸς σύμβουλος εἶναι δοκεῖ, οὐ στρατηγὸς νόμιμος, οὐ σοφιστὴς ἀξιόλογος, οὐ ποιητὴς ὠφέλιμος, οὐ δῆμος εὐλόγιστος· ἀλλὰ Σωκράτης, ὁ μετὰ τῶν Ἀσπασίας αὐλητρίδων ἐπὶ τῶν ἐργαστηρίων συνδιατρίβων, καὶ Πίστωνι τῷ θωρακοποιῷ διαλεγόμενος, καὶ Θεοδότην διδάσκων τὴν ἑταίραν ὡς δεῖ τοὺς ἐραστὰς παλεύειν, ὡς Ξενοφῶν παρίστησιν ἐν δευτέρῳ Ἀπομνημονευμάτων. τοιαῦτα γὰρ ποιεῖ
f αὐτὸν παραγγέλματα τῇ Θεοδότῃ λέγοντα, ἃ οὔτε Νικὼ ἡ Σαμία ἢ Καλλιστράτη ἡ Λεσβία, ἢ Φιλαινὶς ἡ Λευκαδία, ἀλλ' οὐδὲ ὁ Ἀθηναῖος Πυθόνικος, συνεοράκασι πόθων θέλγητρα· οὗτοι γὰρ περὶ ταῦτα ἠσχόληντο περιττῶς. ἐπιλείποι δ' ἄν μ' ὁ πᾶς χρόνος, εἰ ἐκτίθεσθαι βουληθείην τὰς σεμνὰς τῶν φιλοσόφων μέμψεις. κατὰ γὰρ αὐτὸν δὴ τὸν Πλάτωνα ἐπιρρεῖ δή ὄχλος μοι τοιούτων Γορ-
1 γόνων καὶ Πηγάσων καὶ ἄλλων ἀμηχάνων πλήθει τε καὶ ἀτοπίᾳ τερατολόγων τινῶν φύσεων. διόπερ κατασιωπήσομαι.

64. Τοσαῦτα τοῦ Μασουρίου εἰπόντος καὶ ὑπὸ πάντων θαυμασθέντος διὰ σοφίαν ὁ Οὐλπιανὸς σιωπῆς γενομένης ἔφη, Δοκεῖτέ μοι, ἄνδρες δαιτυμόνες, σφοδροῖς κατηντλῆσθαι λόγοις παρὰ προσδοκίαν βεβαπτίσθαι τε τῷ ἀκράτῳ·

---

Casauboni coniectura. καὶ ψυχρὰ] καὶ ἡ ψυχρὰ B. ἀσύρως ABP. ἀσυρῶς Schweigh. ἀκύρως VL. τὸν ταύτην] καὶ ταύτην P.

220 e. νόμιμος Casaubonus. ὁ μῖμος AP. οὐ μῖμος CVL. Contrario modo peccatum p. 195 f. Πίστωνι] Πιστίας ab Xenophonte dictus Memorab. III. 10, 9. παλεύειν Iacobsius p. 123. Legebatur ἀπολαύειν. δευτέρῳ] β$^{ω}$ P. Immo III, 11.

220 f. συνεοράκασι] Scribebatur συνεωράκασι. ἠσχόληντο] ἠσχολοῦντο B. περιττῶς A. περισσῶς PVL. μ' ὁ πᾶς] Legebatur με πᾶς. Ascivi ὁ ex C, in quo με ὁ χρόνος scriptum. Πλάτωνα] In Phaedro p. 229 d.

221 a. τερατολόγων τινῶν φύσεων ex Platone repositum. Legebatur τερατολογιῶν τινῶν φύσεως. Μασουρίου] μανσουρίου B. γενομένης] γενόμενος B. σφοδροῖς κατηντλῆσθαι λόγοις] Fortasse

*Ἀνὴρ γὰρ ἕλκων οἶνον ὡς ὕδωρ ἵππος*
*Σκυθιστὶ φωνεῖ, οὐδὲ κόππα γιγνώσκων·*
*κεῖται δ' ἄναυδος ἐν πίθῳ κολυμβήσας,*
b *κάθυπνος, ὡς μήκωνα φάρμακον πίνων,*

φησὶν ὁ Βυζάντιος Παρμένων. ἢ ἀπολελίθωσθε ὑπὸ τῶν προειρημένων Γοργόνων; περὶ ὧν ὡς ὄντως γεγόνασί τινα ζῶα ἀπολιθώσεως ἀνθρώποις αἴτια ἱστορεῖ Ἀλέξανδρος ὁ Μύνδιος ἐν δευτέρῳ κτηνῶν ἱστορίας οὕτως „Τὴν Γοργόνα τὸ ζῶον καλοῦσιν οἱ ἐν Λιβύῃ νομάδες, ὅπου καὶ γίνεται, κατωβλέπον. ἔστι δέ, ὡς οἱ μὲν πλεῖστοι λέγουσιν, ἐκ τῆς δορᾶς σημειούμενοι, προβάτῳ ἀγρίῳ ὅμοιον· ὡς δ' ἔνιοί φασι, μόσχῳ. ἔχειν δὲ λέγουσιν αὐτὸ τοιαύτην ἀναπνοὴν
c ὥστε πάντα τὸν ἐντυχόντα τῷ ζῴῳ διαφθείρειν. φέρειν δὲ χαίτην ἀπὸ τοῦ μετώπου καθειμένην ἐπὶ τοὺς ὀφθαλμούς, ἣν ὁπόταν μόγις διασεισαμένη διὰ τὴν βαρύτητα ἐμβλέψῃ, κτείνει τὸν ὑπ' αὐτῆς θεωρηθέντα, οὐ τῷ πνεύματι, ἀλλὰ τῇ γιγνομένῃ ἀπὸ τῶν ὀμμάτων φύσεως φορᾷ, καὶ νεκρὸν ποιεῖ. ἐγνώσθη δὲ οὕτως. τῶν μετὰ Μαρίου τινὲς ἐπὶ Ἰογόρθαν στρατευσαμένων ἰδόντες τὴν Γοργόνα δόξαντές τε διὰ τὸ κάτω νενευκέναι βραδέως τε κινεῖσθαι ἄγριον εἶναι πρόβατον, ὥρμησαν ἐπ' αὐτὸ ὡς κατεργασόμενοι οἷς
d εἶχον ξίφεσι. τὸ δὲ πτοηθὲν διασεισάμενόν τε τὴν τοῖς ὀμ-

---

poetae verba. V. 2. οὐδὲ] κοὐδὲ Meinekius p. 23. μηδὲ Gaisfordus ad Hephaestion. p. 256. et prior Gaisfordo Scaliger ad Pedon. Albin. in Maecen. I, 67. κόππα] κάππα BC. Scribebatur γινώσκων. V. 3. ἄναυδος] ἄναυλος epitome Hoeschelii, non C. „ἄναυλος *n'est venu que de la queue du della, rabattue entière sur la ligne, comme je le vois dans le manuscrit D, où cependant il y a* ἄναυδος, *de même que dans le manuscrit Q.*“ Villebrunius.

221 b. φάρμακον Casaubonus. φαρμάκων PVL. ὢν ὡς VL. ὡς om. ABP. κατωβλέπον P. κάτω βλέπον VL. κατώβλεπον C. Eustathius p. 1704, 31. Ἀλέξανδρος ὁ Μύνδιος ἱστορεῖ, ὡς ἐν τοῖς τοῦ Ἀθηναίου φέρεται, ὅτι τὴν Γοργόνα τὸ ζῷον καλοῦσιν οἱ ἐν Λιβύῃ νομάδες, ὅπου καὶ γίνεται, κατώβλεπτα ἢ κατώβλεπτον. κατῶβλεψ ex Archelao Chersonesita affertur IX. p. 409 c. Vide annotationem. ἀγρίῳ] ἀγροίῳ B.

221 c. καθειμένην ABC. καθημένην PVL. ὁπόταν] ὅπη ἂν P. γιγνομένῃ] γινομένῃ B. Ἰογόρθαν] Ἰοργόθαν B.

221 d. διασησάμενον B.

μασιν ἐπικειμένην χαίτην παραχρῆμα ἐποίησε τοὺς ὁρμή-
σαντας ἐπ᾽ αὐτὸ νεκρούς. πάλιν δὲ καὶ πάλιν τὸ αὐτὸ
ποιησάντων ἑτέρων νεκρῶν τε γενηθέντων, ἀεὶ τῶν προσ-
φερομένων ἀπολλυμένων, ἱστορήσαντές τινες παρὰ τῶν ἐπι-
χωρίων τὴν τοῦ ζώου φύσιν μακρόθεν ἐνεδρεύσαντες αὐτὸ
ἱππεῖς τινες νομάδες Μαρίου κελεύσαντος κατηκόντισαν,
ἦκόν τε φέροντες πρὸς τὸν στρατηγὸν τὸ θηρίον.“ τοῦτο
e μὲν οὖν ὡς ἦν ἄρα τοιοῦτο ἡ δορὰ ἥ τε Μαρίου στρατεία
μηνύει· ἐκεῖνο μέντοι τὸ λεγόμενον ὑπὸ τοῦ ἱστοριογρά-
φου οὐκ ἔτι πιστὸν, ὡς εἰσί τινες κατὰ τὴν Λιβύην ὀπι-
σθονόμοι καλούμενοι βόες, διὰ τὸ μὴ ἔμπροσθεν αὐτοὺς
πορευομένους νέμεσθαι, ἀλλ᾽ εἰς τοὐπίσω ὑποχωροῦντας
τοῦτο ποιεῖν· εἶναι γὰρ αὐτοῖς ἐμπόδιον πρὸς τὴν τοῦ
κατὰ φύσιν νομὴν τὰ κέρατα οὐκ ἄνω ἀνακεκυφότα κα-
θάπερ τὰ τῶν λοιπῶν ζώων, ἀλλὰ κάτω νενευκότα καὶ
ἐπισκοτοῦντα τοῖς ὄμμασι. τοῦτο γὰρ ἄπιστόν ἐστιν, οὐ-
δενὸς ἑτέρου ἐπιμαρτυροῦντος ἱστορικοῦ.

f 65. Ταῦτα τοῦ Οὐλπιανοῦ εἰπόντος ἐπιμαρτυρῶν ὁ
Λαρήνσιος καὶ συγκατατιθέμενος τῷ λόγῳ ἔφη τὸν Μά-
ριον τῶν ζώων τούτων δορὰς εἰς τὴν Ῥώμην ἀναπεπόμ-
φέναι, ἃς μηδένα εἰκάσαι δεδυνῆσθαι τίνος εἰσὶ, διὰ τὸ
παράδοξον τῆς ὄψεως· ἀνατεθεῖσθαί τε τὰς δορὰς ταύ-
τας ἐν τῷ τοῦ Ἡρακλέους ἱερῷ, ἐν ᾧ οἱ τοὺς θριάμβους
κατάγοντες στρατηγοὶ ἑστιῶσι τοὺς πολίτας, καθάπερ πολ-
2 λοὶ τῶν ἡμεδαπῶν ποιηταὶ καὶ συγγραφεῖς εἰρήκασιν. ὑμεῖς
οὖν, ὦ γραμματικοὶ, κατὰ τὸν Βαβυλώνιον Ἡρόδικον,
μηδὲν τῶν τοιούτων ἱστοροῦντες

Φεύγετ᾽, Ἀριστάρχειοι, ἐπ᾽ εὐρέα νῶτα θαλάσσης

---

νεκρῶν τε B. Legebatur καὶ νεκρῶν. γεννηθέντων P. τῶν ἐπι-
χωρίων τὴν] τὴν τῶν ἐπιχωρίων τὴν B. αὐτὸ ἱππεῖς τινες νομάδες
om. C.

221 e. οὐκ ἔτι] οὐκ ἔστι BP. In C post Athenaei verba in bre-
vius contracta, ὅτι τὰ περὶ τῶν ὀπισθονόμων βοῶν ἱστορούμενα οὐκ
ἀληθῆ, sequitur τί δὲ περὶ τούτων ἱστόρηται ζήτει εἰς τὸ περὶ ζώων
ἰδιότητος Αἰλιανοῦ (XVI, 33.) βόες B. Scribebatur βοῦς.

221 f. ἀνατεθεῖσθαί τε A. ἀνατεθεῖσθαι δὲ PVL. ποιηταὶ]
ποιηταῖς B.

222 a. τῶν τοιούτων] τῶν τοιοῦτον B. Herodici epigramma
in Antholog. Palat. receptum vol. II. p. 766. V. 1. ex Ho-

Ἑλλάδα, τῆς ξουθῆς δειλότεροι κεμάδος,
γωνιοβόμβυκες, μονοσύλλαβοι, οἷσι μέμηλε
τὸ σφὶν καὶ σφῶιν καὶ τὸ μὶν ἠδὲ τὸ νίν.
τοῦθ' ὑμὶν εἴη δυσπέμφελον· Ἡροδίκῳ δὲ
Ἑλλὰς ἀεὶ μίμνοι καὶ θεόπαις Βαβυλών.

κατὰ γὰρ τὸν κωμῳδιοποιὸν Ἀναξανδρίδην

b Ἡδονὴν ἔχει,
ὅταν τις εὕρῃ καινὸν ἐνθύμημά τι,
δηλοῦν ἅπασιν· οἱ δ' ἑαυτοῖσιν σοφοὶ
πρῶτον μὲν οὐκ ἔχουσι τῆς τέχνης κριτήν·
εἶτα φθονοῦνται. χρὴ γὰρ εἰς ὄχλον φέρειν
ἅπανθ' ὅσ' ἂν τις καινότητ' ἔχειν δοκῇ.

ἐπὶ τούτοις τοῖς λόγοις ἀναχωροῦντες οἱ πολλοὶ λεληθότως διέλυσαν τὴν συνουσίαν.

---

mero ductus Iliad. β, 159. Θαλάσσης BP. Scribebatur θαλάττης.
V. 4. καὶ σφῶιν] καὶ τὸ σφὲν Pierson. ad Moerin p. 340.
V. 5. δυσπέμφελον ABDPQ. δυσπέμφελοι VL. δυσπέμφελος, superscripto a pr. m. δυσπέμφελον, C. κωμῳδιοποιὸν A. κωμῳδοποιὸν PVL. κωμικὸν C.
222 b. δ' ἑαυτοῖσιν Porsonus. δὲ αὐτοῖσιν P. δ' αὐτοῖσι ABC. δέ γ' αὐτοῖσι VL. ὅσ' ἂν PL. ὅτ' ὅσ' ἂν V.

ς

Ἐπειδὴ ἀπαιτεῖς συνεχῶς ἁπάντων, ἑταῖρε Τιμόκρατες, τὰ παρὰ τοῖς δειπνοσοφισταῖς λεγόμενα, καινά τινα νομίζων ἡμᾶς εὑρίσκειν, ὑπομνήσομέν σε τὰ παρ᾽ Ἀντιφάνει λεγόμενα ἐν Ποιήσει τόνδε τὸν τρόπον

Μακάριόν ἐστιν ἡ τραγῳδία
ποίημα κατὰ πάντ᾽· εἴ γε πρῶτον οἱ λόγοι
ὑπὸ τῶν θεατῶν εἰσιν ἐγνωρισμένοι,
πρὶν καί τιν᾽ εἰπεῖν· ὡς ὑπομνῆσαι μόνον
δεῖ τὸν ποιητήν. Οἰδίπουν γὰρ ἂν μόνον
φῶ, τἄλλα πάντ᾽ ἴσασιν· ὁ πατὴρ Λάϊος,
μήτηρ Ἰοκάστη, θυγατέρες, παῖδες τίνες,
τί πείσεθ᾽ οὗτος, τί πεποίηκεν. ἂν πάλιν
εἴπῃ τις Ἀλκμέωνα, καὶ τὰ παιδία
πάντ᾽ εὐθὺς εἴρηχ᾽, ὅτι μανεὶς ἀπέκτονε
τὴν μητέρ᾽, ἀγανακτῶν δ᾽ Ἄδραστος εὐθέως
ἥξει, πάλιν τ᾽ ἄπεισι.
ἔπειθ᾽, ὅταν μηδὲν δύνωντ᾽ εἰπεῖν ἔτι,
κομιδῇ δ᾽ ἀπειρήκωσιν ἐν τοῖς δράμασιν,
αἴρουσιν ὥσπερ δάκτυλον τὴν μηχανήν,

---

222 b. V. 5. γὰρ φῶ τὰ δ᾽ ἄλλα ABC. γὰρ ἄν γε φῶ τὰ δ᾽ ἄλλα VL. γὰρ ἂν φῶ τὰ δ᾽ ἄλλα P. Ego addidi μόνον. V. 9. εἴπῃ] εἴποι B. Ἀλκμέωνα] Scribebatur Ἀλκμαίωνα. τὰ παιδία πάντ᾽ εὐθὺς] τὰ πάντα εὐθὺς παιδία B. V. 10. εἴρηχ᾽] Libri εἴρηκεν.
V. 11. μητέρ᾽ — δ᾽] μητέρα — δὲ B. ἀγανακτῶν — ἀποχρώντως ἔχει om. C. V. 12. „*Versus 12. est hypermeter* ἥξει πάλιν τί πείσεθ᾽ ὅταν μηθὲν δύνωντ᾽ εἰπεῖν ἔτι. *duo nempe in unum conflati, sed quorum priorem etiam membranae exhibent imperfectum. sic illae:* ἥξει πάλιν τ᾽ ἄπεισι ....... | ἔπειθ᾽ ὅταν μηδὲν δύνωντ᾽ εἰπεῖν ἔτι.“ Casaubonus. ἥξει πάλιν ταπεισιθ᾽ ὅταν A. ἥξει πάλιν τ᾽ ἄπεισιθ᾽ ὅταν B. ἥξει τί πείσεθ᾽ ὅταν V. ἥξει πάλιν τί πείσεθ᾽ ὅταν PL et liber Regianus. V. 13. μηδὲν Schweigh. editio. μηθὲν PVL.
222 c. V. 14. ἀπειρήκωσιν] Legebatur ἀπειρήκασιν. ἀπειρηκόσιν ABP.

καὶ τοῖς θεωμένοισιν ἀποχρώντως ἔχει.
223 ἡμῖν δὲ ταῦτ᾽ οὐκ ἔστιν, ἀλλὰ πάντα δεῖ
εὑρεῖν, ὀνόματα καινά, τὰ διῳκημένα
πρότερον, τὰ νῦν παρόντα, τὴν καταστροφήν,
τὴν εἰσβολήν. ἂν ἕν τι τούτων παραλίπῃ
Χρέμης τις ἢ Φείδων τις, ἐκσυρίττεται·
Πηλεῖ δὲ ταῦτ᾽ ἔξεστι καὶ Τεύκρῳ ποιεῖν.

Δίφιλος δ᾽ ἐν Ἐλενηφοροῦσιν

Ὦ τόνδ᾽ ἐποπτεύουσα καὶ κεκτημένη
Βραυρῶνος ἱροῦ θεοφιλέστατον τόπον,
b Λητοῦς Διός τε τοξόδαμνε παρθένε,
ὡς οἱ τραγῳδοί φασιν, οἷς ἐξουσία
ἔστιν λέγειν ἅπαντα καὶ ποιεῖν μόνοις.

2. Τιμοκλῆς δ᾽ ὁ κωμῳδιοποιὸς κατὰ πολλὰ χρησίμην εἶναι λέγων τῷ βίῳ τὴν τραγῳδίαν φησὶν ἐν Διονυσιαζούσαις

Ὦ τᾶν, ἄκουσον ἤν τί σοι μέλλω λέγειν.
ἄνθρωπός ἐστι ζῶον ἐπίπονον φύσει
καὶ πολλὰ λυπήρ᾽ ὁ βίος ἐν ἑαυτῷ φέρει.
παραψυχὰς οὖν φροντίδων ἀνεύρετο
c ταύτας· ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβών,
πρὸς ἀλλοτρίῳ τε ψυχαγωγηθεὶς πάθει,
μεθ᾽ ἡδονῆς ἀπῆλθε παιδευθεὶς ἅμα.
τοὺς γὰρ τραγῳδοὺς πρῶτον, εἰ βούλει, σκόπει,

---

223 a. V. 18. καινὰ τὰ Casaubonus. καινὰ κἄπειτα τὰ PVL. V. 20. εἰσβολὴν B. ἐσβολὴν PVL. ἕν τι] ἔτι BP. παραλίπῃ] παραλείπῃ AB. V. 21. Φείδων] φίδων AB. ἐκσύρεται P. Ἐλενηφοροῦσιν Casaubonus. ἐλαιωνηφοροῦσιν A. ἐλαιωνηφοροῦσι B. ἐλεώνηφρουροῦσι codex Huraldinus. ἐλεωνηφοροῦσιν PVL. V. 1. ἐποπτεύουσα] ὑποπτεύουσα B. V. 2. Βραυρῶνος] βραύσωνος P. ἱροῦ] Scribebatur ἱεροῦ.

223 b. Τιμοκλῆς δ᾽] δ᾽ om. BP. κωμῳδιοποιὸς A. κωμῳδοποιὸς PVL. Timoclis locum attulit Stobaeus Floril. CXXIV, 19. vol. III. p. 495. V. 1. τᾶν] Scribebatur τάν. μέλλω] Recte Stobaeus δοκῶ. V. 3. λυπηρὰ ὁ ABCP. V. 4. ἀνεύρετο] Libri ἀνεύρατο.

223 c. V. 5. γὰρ νοῦς om. C cum lacuna. V. 6. ἀλλοτρίων B.

ὡς ὠφελοῦσι πάντας. ὁ μὲν οὖν γὰρ πένης
πτωχότερον αὑτοῦ καταμαθὼν τὸν Τήλεφον
γενόμενον ἤδη τὴν πενίαν ῥᾷον φέρει·
ὁ νοσῶν δὲ μανικῶς Ἀλκμέων' ἐσκέψατο·
ὀφθαλμιᾷ τις, εἰσὶ Φινεῖδαι τυφλοί.
d τέθνηκέ τῳ παῖς, ἡ Νιόβη κεκούφικε.
χωλός τίς ἐστι, τὸν Φιλοκτήτην ὁρᾷ.
γέρων τις ἀτυχεῖ, κατέμαθεν τὸν Οἰνέα.
ἅπαντα γὰρ τὰ μείζον' ἢ πέπονθέ τις
ἀτυχήματ' ἄλλοις γεγονότ' ἐννοούμενος
τὰς αὐτὸς αὑτοῦ συμφορὰς ῥᾷον φέρει.

3. Καὶ ἡμεῖς οὖν, ὦ Τιμόκρατες, ἀποδίδομέν σοι τὰ τῶν δειπνοσοφιστῶν λείψανα, καὶ οὐ δίδομεν, ὡς ὁ Κωθωκίδης φησὶ ῥήτωρ Δημοσθένην χλευάζων, ὅς Φιλίππου
e Ἀθηναίοις Ἁλόννησον διδόντος συνεβούλευε μὴ λαμβάνειν εἰ δίδωσιν, ἀλλὰ μὴ ἀποδίδωσιν. ὅπερ Ἀντιφάνης ἐν Νεοττίδι παιδιὰν θέμενος ἐρεσχήλει τόνδε τὸν τρόπον

Ὁ δεσπότης δὲ πάντα τὰ παρὰ τοῦ πατρὸς
ἀπέλαβεν, ὥσπερ ἔλαβεν. Β. ἠγάπησεν ἂν
τὸ ῥῆμα τοῦτο παραλαβὼν Δημοσθένης.

Ἄλεξις δ' ἐν Στρατιώτῃ

---

V. 9. ὁ μὲν οὖν γὰρ ABC. ὁ μὲν γὰρ οὖν PVL. ὃν μὲν γὰρ Stobaeus. V. 10. αὐτοῦ CVL. αὑτοῦ AP. V. 11. ἤδη] οὕτω Stobaeus. V. 12. δὲ μανικῶς] τι μανικὸν Stobaeus. Ἀλκμέων' Elmsleius ad Eurip. Bacch. 337. p. 58. Scribebatur Ἀλκμαίων'. V. 13. εἰσὶ φινεῖδαι τυφλοί (τυφλός B) ABCL, epitome Hoeschelii et codices Rosanus et Huraldinus. εἰσὶ φινεῖδαι τυφλοὶ P. εἶσι φινίδαι τυφλόν V, quam scripturam ex veteribus membranis memorat Casaubonus.

223 d. V. 18. ἄλλοις γε τ' ἐννοούμενος P. V. 19. αὐτοῦ VL. αὑτοῦ CP. ῥᾷον φέρει] ἧττον στένει Stobaeus. φησὶ] φασὶ B. Aeschinis locus est c. Ctesiphont. p. 65, 28. HSt. (475. R.), Demosthenis de Halonneso p. 77. 78. ἀλόννησον PVL. ἀλόννησον AC.

223 e. Νεοττίδι] Scribebatur Νεόττιδι. ἐρεσχήλει AP. ἐρεσχελεῖ CVL. Conf. ad XV. p. 685 f. πάντα τὰ] τὰ om. P. ἀπέλαβεν — Δημοσθένης attulit Plutarchus in vita Demosth. c. 9. p. 850 b. ἠγάπησεν ἂν] ἠγάπησε γὰρ Plutarchus. ἠγάπησέ γ' ἂν Dobraeus ad Aristoph. Nub. 1382. in appendice p. (50). Alexidis versus om. C.

Ἀπάλαβε. B. τοῦτο δ' ἐστὶ τί;
A. * * * ὃ παρ' ὑμῶν ἐγὼ
παιδάριον ἔλαβον ἀποφέρων ἥκω πάλιν.
f B. πῶς; οὐκ ἀρέσκει σοι τρέφειν; A. οὐκ ἔστι γὰρ
ἡμέτερον. B. οὐδ' ἡμέτερον. A. ἀλλ' ἐδώκατε
ὑμεῖς ἐμοὶ τοῦτ'. B. οὐ δεδώκαμεν. A. τί δαί;
B. ἀπεδώκαμεν. A. τὸ μὴ προσῆκον ἐμοὶ λαβεῖν;

καὶ ἐν Ἀδελφοῖς

Ἐγὼ δέδωκα γάρ τί ταύταις; εἰπέ μοι.
B. οὔκ, ἀλλ' ἀπέδωκας, ἐνέχυρον δήπου λαβών.

224 Ἀναξίλας δ' ἐν Εὐανδρίᾳ

Καὶ τὰς παλαίστρας σοι μὰ τὴν γῆν μὴ σύ γε
δῷς, ἀλλ' ἀπόδος. B. καὶ δὴ φέρουσ' ἐξέρχομαι.

Τιμοκλῆς δ' ἐν Ἥρωσιν

Οὐκοῦν κελεύεις νῦν με πάντα μᾶλλον ἢ
τὰ προσόντα φράζειν. πάνυ γε δράσω τοῦτό σοι.
B. καὶ πρῶτα μέν σοι παύσεται Δημοσθένης
ὀργιζόμενος. A. ὁ ποῖος; B. ὁ ποῖος; ὁ βριαρός,
ὁ τοὺς καταπέλτας τάς τε λόγχας ἐσθίων,
b μισῶν λόγους ἄνθρωπος, οὐδὲ πώποτε
ἀντίθετον εἰπὼν οὐδέν, ἀλλ' Ἄρη βλέπων.

κατὰ τοὺς οὖν προειρημένους ποιητὰς καὶ αὐτοὶ τὰ ἑπόμενα τοῖς προειρημένοις ἀποδιδόντες καὶ οὐ διδόντες τὰ ἀκόλουθα λέξομεν.

---

V. 1. ἀπάλαβε A. ἀπέλαβες PVL. τοῦτο δ'] Legebatur τουτὶ δ'. ταυτὶ τοῦτο δ' B. V. 2. Indicavi lacunam.

223 f. V. 5. οὐδ' ἡμέτερον] οὐδ' ὑμέτερον P. V. 6. δαί Hermannus apud Erfurdtium p. 434. Scribebatur δέ. V. 7. ἀπεδώκαμεν Casaubonus. ἀποδεδώκαμεν PVL. V. 2. ἀπέδωκας Casaubonus. ἀποδέδωκας PVL. δήπου ABCP. που VL.

224 a. Anaxilae versus om. C. εὐανδρίᾳ P. Scribebatur Εὐανδρείᾳ. παλαίστρας σοι] παλάθας ἐμοὶ Casaubonus. Timoclis v. 1. 2. om. C. V. 1. κελεύεις νῦν με τὰ πάντα AB. κελεύειν νῦν μετὰ πάντων P. κέλευε νῦν τὰ πάντα VL. κελεύεις νῦν με πάντα Elmsleius ad Acharn. v. 963. p. 91. V. 4. ὁ ποῖος; ὁ ποῖος; Meinekius p. 24. Libri ὁποῖος semel. ὁ βριαρὸς] Legebatur ὁ Βριάρεως. ὁ om. P.

224 b. V. 6. λόγους τ' Elmsleius. λέξομεν] λέγομεν B.

4. Ἐπεισῆλθον οὖν ἡμῖν παῖδες πλῆθος ὅσον ἰχθύων φέροντες θαλασσίων λιμναίων τε ἐπὶ πινάκων ἀργυρῶν, ὥστε θαυμάσαι μετὰ τοῦ πλούτου καὶ τὴν πολυτέλειαν. μονονουχὶ γὰρ καὶ τὰς Νηρηίδας ἀνεφωνήκει. καί τις τῶν
c παρασίτων καὶ κολάκων ἔφη τὸν Ποσειδῶ πέμπειν τῷ Νεπτουνίῳ ἡμῶν τοὺς ἰχθῦς, οὐ διὰ τῶν ἐν τῇ Ῥώμῃ ἴσον ἴσῳ τὸν ἰχθὺν πωλούντων, ἀλλὰ τοὺς μὲν ἐξ Ἀντίου κεκομίσθαι, ἑτέρους δ᾽ ἐκ Ταρρακίνων καὶ τῶν καταντικρὺ νήσων Ποντίων, ἄλλους δ᾽ ἐκ Πύργων· πόλις δ᾽ αὕτη Τυρρηνική. οἱ γὰρ ἐν τῇ Ῥώμῃ ἰχθυοπῶλαι οὐκ ὀλίγον ἀποδέουσι τῶν κατὰ τὴν Ἀττικήν ποτε κωμῳδηθέντων· περὶ ὧν Ἀντιφάνης μὲν ἐν Νεανίσκοις φησίν

Ἐγὼ τέως μὲν ᾠόμην τὰς Γοργόνας
εἶναί τι λογοποίημα· πρὸς ἀγορὰν δ᾽ ὅταν
d ἔλθω, πεπίστευκ᾽· ἐμβλέπων γὰρ αὐτόθι
τοῖς ἰχθυοπώλαις λίθινος εὐθὺς γίγνομαι·
ὥστ᾽ ἐξ ἀνάγκης ἔστ᾽ ἀποστραφέντι μοι
λαλεῖν πρὸς αὐτούς. ἂν ἴδω γὰρ ἡλίκον
ἰχθὺν ὅσου τιμῶσι, πήγνυμαι σαφῶς.

5. Ἄμφις δ᾽ ἐν Πλάνῳ

Πρὸς τοὺς στρατηγοὺς ῥᾷόν ἐστι μυρίαις
μοίραις προσελθόντ᾽ ἀξιωθῆναι λόγου,
λαβεῖν τ᾽ ἀπόκρισιν ὧν ἂν ἐπερωτᾷ τις, ἢ
πρὸς τοὺς καταράτους ἰχθυοπώλας ἐν ἀγορᾷ.

---

ὥστε θαυμάσαι B. ὡς θαυμάσαι VL. ὡς θαυμάσαι με P. τὰς Νηρηίδας] Eustathius p. 867, 59. ἀνεφωνήκει ex Eustathio dedi p. 1131, 27. Scribebatur ὀψωνήκει.

224 c. νεπτουνίῳ PVL. νιττουνίῳ AB. In C haec omissa. ἴσῳ τὸν ἰχθὺν] ἴσω τῶν τῶν ἰχθῦν (sic) B. ἴσω τῶν τὸν ἰχθῦν P. ταρρακίνων P. ταρρακείνων A. ταρακείνων B. ταρακίνων VL. Ταρρακινῶν Schweigh. V. 1. ᾠόμην Grotius in Excerptis p. 619. Libri ᾤμην. τὰς Γοργόνας] τάς . . γοργόνας. P.

224 d. V. 3. πεπίστευκ᾽· ἐμβλέπων γὰρ αὐτόθι τοῖς Porsonus ad Toupii Emend. vol. IV. p. 501. Legebatur πεπίστευκ᾽ εὐθύς· ἐμβλέπων γὰρ αὐτοῖς (γὰρ τοῖς C). V. 4. Scribebatur γίνομαι. V. 5. ἀποστρέφοντί μοι BC. V. 6. λαλεῖν] λαβεῖν P. ἂν] Scribebatur ἐάν. Amphidis v. 3. ὧν ἂν Porsonus in Miscellan. p. 237. Aberat ὧν.

e οὓς ἂν ἐπερωτήσῃ τις, ἢ λαβὼν τι τῶν
παρακειμένων ἔκνψεν ὥσπερ Τήλεφος
πρῶτον σιωπῇ — καὶ δικαίως τοῦτό γε·
ἅπαντες ἀνδροφόνοι γάρ εἰσιν ἐνὶ λόγῳ —
ὡσεὶ δὲ προσέχων οὐδὲν οὐδ᾽ ἀκηκοὼς
ἔκρουσε πόλυπόν τιν᾽· ὁ δ᾽ ἐπρήσθη, κοὗ λαλῶν
ὅλα ῥήματ᾽, ἀλλὰ συλλαβὴν ἀφελών, τάρων
βολῶν γένοιτ᾽ ἄν· ἡ δὲ κέστρα κτὼ βολῶν.
τοιαῦτ᾽ ἀκοῦσαι δεῖ τὸν ὀψωνοῦντά τι.

f *Ἄλεξις Ἀπεγλαυκωμένῳ*

Τοὺς μὲν στρατηγοὺς τὰς ὀφρῦς ἐπὰν ἴδω
ἀνεσπακότας, δεινὸν μὲν ἡγοῦμαι ποιεῖν,
οὐ πάνυ τι θαυμάζω δὲ προτετιμημένους
ὑπὸ τῆς πόλεως μεῖζόν τι τῶν ἄλλων φρονεῖν.
τοὺς δ᾽ ἰχθυοπώλας τοὺς κάκιστ᾽ ἀπολουμένους
ἐπὰν ἴδω κάτω βλέποντας, τὰς δ᾽ ὀφρῦς
ἔχοντας ἐπάνω τῆς κορυφῆς, ἀποπνίγομαι.
ἐὰν δ᾽ ἐρωτήσῃς, πόσου τοὺς κεστρέας
πωλεῖς δύ᾽ ὄντας; δέκ᾽ ὀβολῶν, φησίν. — βαρύ·

---

V. 5. — 13. om. C.

224 e. V. 5. οὖς ἂν VL. οὖς ἐὰν ABP. ἢ om. P. V. 8. εἰσιν ἐνὶ PL. εἰσιν ἐν ἐνὶ V. V. 9. δὲ προσέχων] προσέχων δ᾽ ABP. προσέχων ὅδ᾽ V. προσέχων· ὁ δ᾽ L. τε προσέχων Meinekius ad Menandr. p. 186. V. 10. πόλυπον PL. πώλυπον AV. πόλυπον sive πολύπουν Amphis dixisse videtur contra veterum Atticorum consuetudinem. τιν᾽] τινα P. ἐπρήσθη] ἐπρίσθη Meinekius ad Menandr. p. 278. κοὗ λαλῶν Casaubonus. καί του λαβὼν P. καὶ τ᾽ οὐ λαβὼν VL. καὶ τούτου λαβὼν B. V. 12. ὅλα Casaubonus. ὅλα τὰ ABPVL. ῥήματ᾽] ῥήματα ABP. ἀφελὼν] ἀφαρῶν B. τάρων VL. τεττάρων AP. δ᾽ B. V. 13. βολῶν γένοιτ᾽ Schweigh. ὀβολῶν γένοιτ᾽ PVL. κέστρα ABP. κέστρ᾽ VL. κτὼ βολῶν Meinekius ad Menandr. p. 186. ὀκτὼ βολῶν A. ὀκτὼ ὀβολῶν P. ὀκτ᾽ ὠβολῶν VL.

224 f. V. 2. ποιεῖν] ποιεῖν CP. V. 3. θαυμάζω — φρονεῖν om. C. V. 4. μεῖζόν τι Wakefield. Silv. crit. II. p. 71. μείζω τῶν ABPV. μείζω τι τῶν L. V. 8. ἐὰν δ᾽ B. Legebatur ἐάν τ᾽. ἐρωτήσῃς C. ἐρωτήσας BPV. ἐρωτήσαις L. Fortasse ἐρωτήσω scripsit.

225 ὀκτὼ λάβοις ἄν; — εἴπερ ὠνεῖ τὸν ἕτερον. —
ὦ τᾶν λαβὲ καὶ μὴ παῖζε. — τοσουδί. παράτρεχε. —
ταῦτ' οὐχὶ πικρότερ' ἐστὶν αὐτῆς τῆς χολῆς;

6. Δίφιλος Πολυπράγμονι

Ὤιμην ἐγὼ τοὺς ἰχθυοπώλας τὸ πρότερον
εἶναι πονηροὺς τοὺς Ἀθήνησιν μόνους.
τόδε δ', ὡς ἔοικε, τὸ γένος ὥσπερ θηρίον
ἐπίβουλόν ἐστι τῇ φύσει καὶ πανταχοῦ.
ἐνταῦθα γοῦν ἔστιν τις ὑπερηκοντικὼς,
κόμην τρέφων μὲν πρῶτον ἱερὰν τοῦ θεοῦ,
b ὡς φησίν· οὐ διὰ τοῦτό γ', ἀλλ' ἐστιγμένος
πρὸ τοῦ μετώπου παραπέτασμ' αὐτὴν ἔχει.
οὗτος ἀποκρίνετ', ἂν ἐρωτήσῃς, πόσου
ὁ λάβραξ; δέκ' ὀβολῶν· οὐχὶ προσθεὶς ὁποδαπῶν.
ἔπειτ' ἐὰν τἀργύριον αὐτῷ καταβάλῃς,
ἐπράξατ' Αἰγιναῖον· ἂν δ' αὐτὸν δέῃ
κέρματ' ἀποδοῦναι, προσαπέδωκεν Ἀττικά.
κατ' ἀμφότερα δὲ τὴν καταλλαγὴν ἔχει.

c Ξέναρχος Πορφύρᾳ

Οἱ μὲν ποιηταὶ (φησὶ) λῆρός εἰσιν· οὐδὲ ἓν
καινὸν γὰρ εὑρίσκουσιν, ἀλλὰ μεταφέρει
ἕκαστος αὐτῶν ταῦτ' ἄνω τε καὶ κάτω.
τῶν δ' ἰχθυοπωλῶν φιλοσοφώτερον γένος
οὐκ ἔστιν οὐδὲν οὐδὲ μᾶλλον ἀνόσιον.
ἐπεὶ γὰρ αὐτοῖς οὐκ ἔτ' ἔστ' ἐξουσία

---

225 a. V. 10. ὠνεῖ AC. ὠνῇ PVL. V. 11. τᾶν] Scribebatur τὰν. τοσουδὶ Dobraeus ad Aristoph. Plut. 361. p. 44. τοὺς οὐ δεῖ PVL. τοῦ σοι δεῖ C. τόσου δεῖ Coraës. Δίφιλος om. B. V. 3. τόδε δ' Schweigh. τὸ δ' PVL. θηρίον] θηρίων Wakefield. Silv. crit. II. p. 91.

225 b. V. 9. ἀποκρίνετ'] ἀπεκρίνετ' B. ἂν ἐρωτήσῃς] ἀνερωτήσῃς B. V. 10. προσθεὶς ὁποδαπῶν Schweigh. προσθήσοι ποδαπῶν AP. προσθεὶς σοι (προσθείσσοι V) ποταπῶν (ποδαπῶν B) BCVL. V. 11, ἔπειτ' ἐὰν Porsonus Adv. p. 50. ἔπειτ' ἂν ABCP. ἔπειτά γ' ἂν VL. V. 12. ἐπραξαται γινεὸν P. ἂν δ' — ἔχει om. C. V. 13. Ἀττικά] Legebatur Ἀττικάς.

225 c. V. 1. οἱ μὲν ποιηταὶ AB. οἱ ποιηταὶ C. οἱ δὲ ποιηταὶ PVL. οὐδὲ ἓν PL. οὐδὲν ἓν V. V. 3. ταῦτ'] Scribebatur ταῦτ'. ταυτὰ B. V. 6. ἔστ' om. B. in margine habet P.

ῥαίνειν, ἀπείρηται δὲ τοῦτο τῷ νόμῳ,
εἷς τις θεοῖσιν ἐχθρὸς ἄνθρωπος πάνυ
ξηραινομένους ὡς εἶδε τοὺς ἰχθῦς, μάχην
d ἐποίησ' ἐν αὐτοῖς ἐξεπίτηδες εὖ πάνυ.
ἦσαν δὲ πληγαὶ, καιρίαν δ' εἰληφέναι
δόξας καταπίπτει καὶ λιποψυχεῖν δοκῶν
ἔκειτο μετὰ τῶν ἰχθύων. βοᾷ δέ τις,
ὕδωρ ὕδωρ· ὁ δ' εὐθὺς ἐξάρας πρόχουν
τῶν ὁμοτέχνων τις τοῦ μὲν ἀκαρῆ παντελῶς
κατέχεε, κατὰ τῶν ἰχθύων δ' ἁπαξάπαν.
εἴποις γ' ἂν αὐτοὺς ἀρτίως ἡλωκέναι.

7. Ὅτι δὲ καὶ νεκροὺς πωλοῦσι τοὺς ἰχθῦς καὶ σεσηπότας ἐπισημαίνεται ὁ Ἀντιφάνης ἐν Μοιχοῖς διὰ τούτων

e Οὐκ ἔστιν οὐδὲν θηρίον τῶν ἰχθύων
ἀτυχέστερον. τῷ μὴ γὰρ ἀποχρῆν ἀποθανεῖν
αὐτοῖς ἁλοῦσιν, εἶτα κατεδηδεσμένοις
εὐθὺς ταφῆναι, παραδοθέντες ἄθλιοι
τοῖς ἰχθυοπώλαις τοῖς κακῶς ἀπολουμένοις
σήπονθ', ἕωλοι κείμενοι δύ' ἡμέρας
ἢ τρεῖς. μόλις δ' ἐάν ποτ' ὠνητὴν τυφλὸν
λάβωσ', ἔδωκαν τῶν νεκρῶν ἀναίρεσιν
τούτῳ. κομίσας δ' ἐξέβαλεν . . οἴκαδε,

---

V. 8. εἷς τις Hermannus apud Erfurdtium p. 445. εἶτ' εἷς A. εἶτ' τις PVL. εἷς τις θεοῖσιν] θεοῖς τις C. V. 9. ὡς εἶδε C. ὡς ἴδε ABP et codex Romanus Aegii. εἰσεῖδε VL.

225 d. V. 10. ἐποίησ' ἐν Schweigh. Libri ἐποίησεν. V. 13. ἔκειτο (ὤκειτο B) μετὰ ABCP. ἔκειτο νεκρὸς οἷα μετὰ VL. βοᾷ δέ τις ABC. βοᾷ τις PVL. V. 14. ὕδωρ ὕδωρ Porsonus in Miscellan. p. 237. Legebatur ὕδωρ. ἐξάρας L. ἐξαίρας A. ἐξαήρας BV. ἐξάηρας P. ἐξαράξας C. V. 15. ἀκαρῆ] ἀκαρεῖ B. ἀκαρεὶ C. V. 16. τῶν ἰχθύων δ'] Legebatur δὲ τῶν ἰχθύων. ἁπαξάπαν Casaubonus. Libri ἅπαξ ἐπάνω. V. 17. γ' C. τ' PVL. ἐπισημαίνεται] σημαίνεται P.

225 e. V. 2. τῷ μὴ γὰρ Erfurdtius p. 455. τῷ γὰρ μὴ VL et Eustathius p. 1179, 36. τὸ γὰρ μὴ P. V. 6. σήπονθ'] σήποντται B. V. 7. δ' ἐὰν Porsonus Advers. p. 50. δ' ἂν ABP. δέ γ' ἂν VL. V. 8. λάβωσ'] Scribebatur λάβωσιν. νεκρῶν] τυφλῶν νεκρῶν P deleto τυφλῶν. V. 9. κομίσας δ' ABC. κομίσας δ δὲ VL. οἴκαδε] εὐθὺς οἴκαδε Casaubonus.

τὴν πεῖραν ἐν τῇ ῥινὶ τῆς ὀδμῆς λαβών.

f ἐν δὲ Φιλοθηβαίῳ φησὶν

Οὐ δεινόν ἐστι προσφάτους μὲν ἂν τύχῃ
πωλῶν τις ἰχθῦς, συναγαγόντα τὰς ὀφρῦς
τοῦτον σκυθρωπάζοντά θ' ἡμῖν προσλαλεῖν,
ἐὰν σαπροὺς κομιδῇ δέ, παίζειν καὶ γελᾶν;
τοὐναντίον γὰρ πᾶν ἔδει τούτους ποιεῖν·
τὸν μὲν γελᾶν, τὸν δ' ἕτερον οἰμώζειν μακρά.

ὅτι δὲ καὶ παμπόλλου πιπράσκουσιν Ἄλεξις ἐν Πυλαίαις φησὶ

226. Νὴ τὴν Ἀθηνᾶν, ἀλλ' ἐγὼ τεθαύμακα
τοὺς ἰχθυοπώλας πῶς ποτ' οὐχὶ πλούσιοι
ἅπαντές εἰσι, λαμβάνοντες βασιλικοὺς
φόρους * * μονονουχὶ δεκατεύουσι γὰρ
τὰς οὐσίας ἐν ταῖς πόλεσι καθήμενοι,
ὅλας δ' ἀφαιροῦνται καθ' ἑκάστην ἡμέραν.

8. Κἀν τῷ Λέβητι δέ φησιν ὁ αὐτὸς ποιητής

Οὐ γέγονε κρείττων νομοθέτης τοῦ πλουσίου
Ἀριστονίκου. τίθησι γὰρ νυνὶ νόμον,
τῶν ἰχθυοπωλῶν ὅστις ἂν πωλῶν τινι
b ἰχθὺν ὑποτιμήσας ἀποδῶτ' ἐλάττονος
ἧς εἶπε τιμῆς, εἰς τὸ δεσμωτήριον
εὐθὺς ἀπάγεσθαι τοῦτον, ἵνα δεδοικότες
τῆς ἀξίας ἀγαπῶσιν, ἢ τῆς ἑσπέρας
σαπροὺς ἅπαντας ἀποφέρωσιν οἴκαδε.
κἀνταῦθα καὶ γραῦς καὶ γέρων καὶ παιδίον
πεμφθεὶς ἅπαντες ἀγοράσουσι κατὰ τρόπον.

καὶ προελθών δέ φησιν

---

225 f. V. 2. συναγαγόντα Grotius in Excerptis p. 631. συνάγοντα PVL. V. 4. κομιδῇ δὲ Schweigh. Legebatur δὲ κομιδῇ. V. 6. μακρά] μακράν C.

226 a. V. 3. Indicavi lacunam. ὁ αὐτὸς ποιητής om. C. V. 2. Post Ἀριστονίκου Athenaeus quaedam omisisse videtur. V. 3. ἂν] δ' ἂν B. πωλῶν τινὶ Porsonus Adversar. p. 50. πωλῶν τὸν ABCP. πωλῶν γε τὸν VL.

226 b. V. 4. ἐπιτιμήσας Coraës. V. 7. ἢ τῆς ἑσπέρας] εἶτ' εἰς (sive ἐς) ἑσπέραν C. V. 8. ἅπαντας Grotius in Excerptis p. 575. Libri ἅπαντες. V. 10. πεμφθεὶς ABCP et Casauboniani. πεμφεὶς V. πεμφεῖς Basil L. ἀγοράσωσι C.

Οὐ γέγονε μετὰ Σόλωνα κρείττων οὐδὲ εἷς
Ἀριστονίκου νομοθέτης· τά τ' ἄλλα γὰρ
c νενομοθέτηκε πολλὰ καὶ παντοῖα δή,
νυνί τε καινὸν εἰσφέρει νόμον τινὰ
χρυσοῦν, τὸ μὴ πωλεῖν καθημένους ἔτι
τοὺς ἰχθυοπώλας, διὰ τέλους δ' ἑστηκότας·
εἶτ' εἰς νέωτά φησι γράψειν κρεμαμένους·
καὶ θᾶττον ἀποπέμψουσι τοὺς ὠνουμένους
ἀπὸ μηχανῆς πωλοῦντες ὥσπερ οἱ θεοί.

9. Ἐμφανίζει δ' αὐτῶν καὶ τὸ σκαιὸν ἔτι δὲ μισάνθρωπον Ἀντιφάνης ἐν Μισοπονήρῳ πρὸς τοὺς ἐν τῷ βίῳ
d κακίστους τὴν σύγκρισιν αὐτῶν ποιούμενος διὰ τούτων

Εἶτ' οὐ σοφοὶ δῆτ' εἰσὶν οἱ Σκύθαι σφόδρα;
οἳ γενομένοισιν εὐθέως τοῖς παιδίοις
διδόασιν ἵππων καὶ βοῶν πίνειν γάλα,
οὐχὶ μὰ Δία τιτθὰς εἰσάγουσι βασκάνους,
καὶ παιδαγωγοὺς αὖθις, ὧν μεῖζω * *
* * * * γε μαίας νὴ Δία.
αὗται δ' ὑπερβάλλουσι, μετά γε νὴ Δία
τοὺς μητραγυρτοῦντάς γε· πολὺ γὰρ αὖ γένος
e μιαρώτατον τοῦτ' ἐστιν, εἰ μὴ νὴ Δία ....

---

226 c. V. 3. δὴ Grotius. Legebatur δέ. V. 4. νυνὶ δὲ B et Grotius. V. 5. καθημένους ἔτι Iacobsius p. 132. Libri ἔτι καθημένους. V. 7. εἶτ' εἰς] εἴ τις B. V. 8. ἀποπέμψουσι C. ἀποπέμπουσι PVL. Ἀντιφάνης] ἀριστοφάνης C.

226 d. V. 2. γενομένοισιν] γεννωμένοισιν BC. V. 3. διδόασιν Grotius in Excerptis p. 615. διαδιδόασιν PVL. πίνειν add. ABPL. om. V. γάλα] γάλ' P. V. 4. οὐχὶ] οὐ Hermannus Elem. doctr. metr. p. 135. μὰ Δία] μὰ τὸν δία B. V. 5. ὧν — μητραγυρτοῦντάς γε om. C. μεῖζω γε * μαίας VL et omisso asterisco P. Lacunam sic explevit Grotius ὧν μεῖζον κακὸν οὐκ ἔστιν οὐδὲν μετά γε μαίας —. Similiter Casaubonus. V. 6. δία PL. δί' V. V. 8. τοὺς μητραγυρτοῦντάς γε· πολὺ Schweigh. τοὺς μητραρπατῶντας γυργοῦντάς γε. πολὺ AP. τοὺς μηταρπάζοντας γυργοῦντάς γε. πολὺ B. τοὺς μετραπατῶντας τούς τ' ἀγυρτοῦντας. πολὺ VL. ἀπατῶντας interpretatio est verbi μητραγυρτοῦντας: vide Suidam in ἀγύρτης, ab Schweigh. memoratum. αὖ add. AC. om. PVL.

226 e. V. 9. τοῦτ' ABCP. τῶν τ' VL.

τοὺς ἰχθυοπώλας βούλεταί τις λέγειν,
* * μετά γε τοὺς τραπεζίτας ἔθνος
τούτου γὰρ οὐδὲν ἐστιν ἐξωλέστερον.

10. Οὐκ ἀπιθάνως δὲ καὶ Δίφιλος ἐν Ἐμπόρῳ περὶ τοῦ παμπόλλου πιπράσκεσθαι τοὺς ἰχθῦς λέγει ὧδε

Οὐ πώποτ' ἰχθῦς οἶδα τιμιωτέρους
ἰδών. Πόσειδον, εἰ δεκάτην ἐλάμβανες
αὐτῶν ἀπὸ τῆς τιμῆς ἑκάστης ἡμέρας,
πολὺ τῶν θεῶν ἂν ἦσθα πλουσιώτατος.
f ὅμως δὲ τούτων εἴ με προσγελάσειέ τις,
ἐδίδουν στενάξας ὁπόσον αἰτήσειέ με.
γόγγρον μὲν, ὥσπερ ὁ Πρίαμος τὸν Ἕκτορα,
ὅσον εἵλκυσεν, τοσοῦτο καταθεὶς ἐπριάμην.

Ἄλεξις δ' ἐν Ἑλληνίδι

Ἀεὶ δὲ καὶ ζῶντ' ἐστὶ καὶ τεθνηκότα
ἐν τῇ θαλάττῃ πολέμι' ἡμῖν θηρία.
ἂν ἀνατραπῇ γὰρ πλοῖον, εἶθ', ὡς γίγνεται,
ληφθῇ νέων τις, καταπεπώκασ' εὐθέως.
27 αὐτοί τ' ἐπὰν ληφθῶσιν ὑπὸ τῶν ἁλιέων,
τεθνεῶτες ἐπιτρίβουσι τοὺς ὠνουμένους.
τῆς οὐσίας γὰρ εἰσιν ἡμῶν ὤνιοι,
ὁ πριάμενός τε πτωχὸς εὐθὺς ἀποτρέχει.

ἐξ ὀνόματος δ' ἰχθυοπώλου μνημονεύει Ἑρμαίου Αἰγυπτίου Ἄρχιππος ἐν Ἰχθύσιν οὕτως

---

V. 10. βούλεταί τις B. τίς βούλεται P. Legebatur τίς γε βούλεται. Explendi versus non una via est, sed coniecturis eo magis abstinendum, quod proximi versus initium excidit. V. 11. Indicavi lacunam. Δίφιλος] φίλος B. Ἐμπόρῳ Casaubonus. Libri ἐμπορίῳ. παμπόλλου] παμπώλου B. πιπράσκεσθαι] πιμπράσκεσθαι B. V. 2. 3. ἐλάμβανες αὐτῶν Grotius in Excerptis p. 787. Libri αὐτῶν ἐλάμβανες. V. 4. πλουσιώτατος] Legebatur πλουσιώτερος.

226 f. V. 5. εἴ με Grotius. εἰ μὴ PVL. εἴ μοι C. V. 8. εἵλκυσεν ABP. εἵλκυσε CVL. τοσοῦτο] Libri τοσοῦτον. V. 1. Ἀεὶ] Scribebatur αἰεὶ. V. 2. θαλάσσῃ B. V. 3. ἂν ἀνατραπῇ ABC. ἀνατραπῇ omisso ἂν P. ἐὰν τραπῇ VL. γίγνεται] Scribebatur γίνεται. γένηται C. V. 4. ληφθῇ νέων BCL. ληφθῇ ναίων A. λήφθη ναίων P. ληφθένεων V. καταπεπώκασ' ABC. καταπεπτώκασ' PVL.

227 a. V. 5. αὐτοί (αὐτί B) τ' ABC. αὐτοί γ' PVL. Ἰχθύσιν] Libri ἱππεῦσιν. Correxit Casaubonus ex VII. p. 311 e.

Αἰγύπτιος μιαρώτατος τῶν ἰχθύων κάπηλος
Ἑρμαῖος, ὃς βίᾳ δέρων ῥίνας γαλεούς τε πωλεῖ
καὶ τοὺς λάβρακας ἐντερεύων, ὡς λέγουσιν ἡμῖν.

b καὶ Ἄλεξις δ' ἐν Ἐπικλήρῳ Μικίωνος ἰχθυοπώλου τινὸς μνημονεύει.

11. Εἰκότως οὖν καὶ οἱ ἁλιεῖς ἐπὶ τῇ τέχνῃ μέγα φρονοῦσι μᾶλλον ἢ οἱ ἄριστοι τῶν στρατηγῶν. παράγει γοῦν τινα τούτων Ἀναξανδρίδης ἐν Ὀδυσσεῖ περὶ τῆς ἁλιευτικῆς τέχνης τάδε λέγοντα·

Τῶν ζωγράφων μὲν ἡ καλὴ χειρουργία
ἐν τοῖς πίναξι κρεμαμένη θαυμάζεται,
αὕτη δὲ σεμνῶς ἐκ λοπάδος ἁρπάζεται,
ἀπὸ τοῦ ταγήνου τ' εὐθέως ἀφανίζεται.
c ἐπὶ τίνα δ' ὧδ' ἄλλην τέχνην, ὦ χρηστὲ σύ,
τὰ στόματα τῶν νεωτέρων κατακάετ', ἢ
ὠθισμός ἐστι δακτύλων τοιουτοσί,
ἢ πνιγμός, ἂν μὴ ταχὺ δύνηται καταπιεῖν;
ἀλλ' οὖν μόνη γὰρ τὰς συνουσίας ποιεῖ
εὔοψος ἀγορά. τίς δὲ συνδειπνεῖ βροτῶν
φρυκτοὺς καταλαβὼν ἢ κορακίνους ὠνίους
ἢ μαινίδ'; ὡραῖον δὲ μειρακύλλιον
d ποίαις ἐπῳδαῖς ἢ λόγοις ἁλίσκεται

---

V. 2. Ἑρμαῖος 311. Scribebatur Ἕρμαιος. Ἑρμαῖος ὃς 311. ἕρμαιος ὃς ABP. ἕρμαιός ἐστιν ὃς VL. ῥίνας] ῥείνας A. V. 3. Aberat τοὺς, additum ex 311. λάβρακας] λαύρακας B. ἐντερεύων restitutum ex 311. Libri ἐντέρων.

227 b. καὶ Ἄλεξις L. καὶ om. PV. V. 3. αὕτη Schweigh. αὐτὴ PVL.

227 c. Versus 5. 6. add. ABL. om. PV. V. 5. ὧδ' additum ex Erfurdtii (p. 431.) coniectura. V. 6. στόματα] πόματα C. κατακάετ' ἢ Dobraeus ad Aristoph. Plut. 301. p. 44. Libri κατακάεται ἤ. V. 7. ὠθισμός C. ἠθισμός PVL. τοιουτοσὶ Dobraeus. τοιοῦτος CL. τοιούτων APV. V. 8. ἂν] Scribebatur ἐάν. μὴ ταχὺ ABCP. ταχὺ μὴ VL. V. 9. — 18. om. C. V. 9. ἄλλον μόνονη γὰρ A. ἀλοὺς μόνον ἡ γὰρ V. ἄλλον μόνον ἡ γὰρ PL. Scribendum ἀλλ' οὖν μόνη γάρ. ἀλλ' οὐ μόνη γὰρ — ἀγορά; Casaubonus. V. 11. φρυκτοὺς] φρύκτ' οὐ Casaubonus. V. 12. μαινίδ' Casaubonus. Libri μηδὲν.

τίσιν, φράσον γάρ, ἄν τις ἀφέλῃ τὴν τέχνην
τὴν τῶν ἁλιέων; ἥδε γὰρ δαμάζεται
ἑφθοῖς προσώποις ἰχθύων χειρουμένη,
ἄγουσ' ὑπ' αὐτὰ τὰ σώματ' ἀρίστου πύλας,
ἀσύμβολον κλίνειν ἀναγκάζει φύσιν.

12. Πρὸς δὲ τοὺς περιέργως ὀψωνοῦντας τάδε φησὶν Ἄλεξις ἐν Ἐπικλήρῳ·

Ὅστις ἀγοράζει πτωχὸς ὢν ὄψον πολύ,
ἀπορούμενός τε τἄλλα πρὸς τοῦτ' εὐπορεῖ,
e τῆς νυκτὸς οὗτος τοὺς ἀπαντῶντας ποιεῖ
γυμνοὺς ἅπαντας. εἶτ' ἐπάν τις ἐκδυθῇ,
τηρεῖν ἕωθεν εὐθὺς ἐν τοῖς ἰχθύσιν·
ὃν ἂν δ' ἴδῃ πρῶτον πένητα καὶ νέον
παρὰ Μικίωνος ἐγχέλεις ὠνούμενον,
ἀπάγειν λαβόμενον εἰς τὸ δεσμωτήριον.

Δίφιλος δ' ἐν Ἐμπόρῳ καὶ νόμον εἶναί φησι παρὰ Κορινθίοις τινὰ τοιοῦτον·

Νόμιμον τοῦτ' ἐστὶ βέλτιστ' ἐνθάδε
Κορινθίοισιν, ἄν τιν' ὀψωνοῦντ' ἀεὶ
f λαμπρῶς ὁρῶμεν, τοῦτον ἀνακρίνειν πόθεν
ζῇ καὶ τί ποιῶν· κἂν μὲν οὐσίαν ἔχῃ
ἧς αἱ πρόσοδοι λύουσι τἀναλώματα,
ἐᾶν ἀπολαύειν τοῦτον ἤδη τὸν βίον·
ἐὰν δ' ὑπὲρ τὴν οὐσίαν δαπανῶν τύχῃ,
ἀπεῖπον αὐτῷ τοῦτο μὴ ποιεῖν ἔτι.
ὃς ἂν δὲ μὴ πείθητ', ἐπέβαλον ζημίαν.

---

227 d. V. 14. ἄν] Scribebatur ἐάν. V. 15. τὴν addidit Porsonus. V. 17. ἄγουσ'] εἴγουσ' Erfurdtius p. 456, ἀρίστου] Εὐρύτου Iacobsius p. 135. et Erfurdtius.

227 e. V. 3. ποεῖ C. V. 5. τηρεῖν] τηρεῖ C. V. 6. ὃν ἂν δ'] Legebatur ὃν δ' ἄν. V. 7. ἐγχέλεις AB. ἐγχέλυς CPVL. V. 8. ἀπάγειν] ἀπάγει C. τοιοῦτον ABP. τοιοῦτο, ad comici verba relatum, VL. V. 1. τοῦτ' add. ABP. om. VL. V. 2. Κορινθίοισιν Casaubonus. Libri κορινθίοις ἵν'. In C sic scriptum, ὅτι κορινθίοις νόμιμον ἦν, φασὶ δίφιλος, ἵν' ἐάν τιν' ὀψωνοῦντ' ἀεὶ λαμπρῶς ὁρῶμεν, τοῦτον ἀνακρίνωμεν πόθεν ζῇ —. ἄν] Scribebatur ἐάν. τιν'] τις τίν' B.

227 f. V. 6. τοῦτον ἤδη Casaubonus. ἤδη τοῦτον PVL. νὴ Δία τοῦτον Hemsterhusius. V. 9. ὃς ἂν δὲ L. ὃς δ' ἂν δὲ BPV.

ἐὰν δὲ μηδ' οἰκίδιον ἔχων ζῇ πολυτελῶς, τῷ δημίῳ παρέδωκαν αὐτόν. Β. Ἡράκλεις.
228 Α. οὐκ ἐνδέχεται γὰρ ζῆν ἄνευ κακοῦ τινος τοῦτον· συνίῃς; ἀλλ' ἀναγκαίως ἔχει ἢ λωποδυτεῖν τὰς νύκτας ἢ τοιχωρυχεῖν, ἢ τῶν ποιούντων ταῦτα κοινωνεῖν τισιν, ἢ συκοφαντεῖν κατ' ἀγοράν, ἢ μαρτυρεῖν ψευδῆ. τὸ τοιοῦτον ἐκκαθαίρομεν γένος. Β. ὀρθῶς γε νὴ Δί'. ἀλλὰ δὴ τί τοῦτ' ἐμοί; Α. ὁρῶμεν ὀψωνοῦνθ' ἑκάστης ἡμέρας οὐχὶ μετρίως, βέλτιστέ σ', ἀλλ' ὑπερηφάνως.
b οὐκ ἔστιν ἰχθυηρὸν ὑπὸ σοῦ μεταλαβεῖν. συνῆχας ἡμῶν εἰς τὰ λάχανα τὴν πόλιν· περὶ τῶν σελίνων μαχόμεθ' ὥσπερ Ἰσθμίοις. λαγώς τις εἰσελήλυθ', εὐθὺς ἥρπακας. πέρδικα δ' ἢ κίχλην γε νὴ Δί' οὐκ ἔτι ἔστιν δι' ὑμᾶς οὐδὲ πετομένην ἰδεῖν. τὸν ξενικὸν οἶνον ἐπιτετίμηκας πολύ.

τι δὲ ἔθος τοῦτο καὶ Ἀθήνησιν εἶναι ἄξιοι Σώφιλος ἐν Ἀνδροκλεῖ, ὀψονόμους ἀξιῶν αἱρεῖσθαι ὑπὸ τῆς βουλῆς δύ'
c ἢ καὶ τρεῖς. Λυγκεὺς δ' ὁ Σάμιος καὶ τέχνην ὀψωνητικὴν συνέγραψε πρός τινα δυσώνην, διδάσκων αὐτὸν τίνα δεῖ λέγοντα πρὸς τοὺς ἀνδροφόνους ἰχθυοπώλας λυσιτελῶς, ἔτι δὲ ἀλύπως ὠνεῖσθαι ἃ βούλεται.

12. Ἐκ τούτων πάλιν τῶν λεχθέντων τὰς ἀκάνθας ἀναλεξάμενος Οὐλπιανός, Εἰ ἔχομεν, ἔφη, δεῖξαι ἀργυροῦ;

---

πείθητ' L. πείθηται BCP. πείθηται τ' V. πίθηται A. ἐπέβαλον L. ἐπέβαλλον BPV.

228 a. V. 13. συνίῃς VL. συνιεῖς AP. συνιεὶς B. om. C. V. 14. τοιχωρυχεῖν B. V. 17. τὸ τοιοῦτον — τὴν πόλιν om. C. τὸ τοιοῦτον ABP. τοιοῦτον V. τοιούτων L.

228 b. V. 22. συνῆχα Schweigh. συνῆχας VL. συνῆχάς τι A. συνῆχας τί BP. V. 23. σελίνων B. V. 25. γε ABCP. καὶ VL. οὐκ ἔστι δι' BP. V. 26. πετομένης B. ἰδεῖν] ἴδοις B. ὀψονόμους C, membranae Casauboni et Eustathius p. 867, 60. ὀψωνόμους PVL. ἢ καὶ τρεῖς] καὶ om. B et Eustathius. δ' ὁ] δ' om. B.

228 c. ὠνεῖσθαι] ὠνῆσθαι B. βούλεται] βούλοιτο C.

σκεύεσιν ἐν τοῖς δείπνοις χρωμένους τοὺς ἀρχαίους, καὶ εἰ ὁ πίναξ Ἑλληνικὸν ὄνομα. Ὁμήρου γὰρ εἰπόντος ἐν Ὀδυσσείᾳ

Τοῖσιν δ' αὖ πίνακας κρειῶν παρέθηκε συβώτης·

d Ἀριστοφάνης ὁ Βυζάντιος νεώτερόν φησιν εἶναι τὸ ἐπὶ πινάκων παρατιθέναι τὰ ὄψα, ἀγνοῶν ὅτι κἂν ἄλλοις εἴρηκεν ὁ ποιητὴς

Δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας.

ζητῶ δὲ καὶ εἰ δούλων πλῆθος τινὲς ἐκέκτηντο ὥσπερ καὶ οἱ νῦν, καὶ εἰ τὸ τήγανον εἴρηται καὶ μὴ μόνως τάγηνον, μὴ πάντα πίνωμεν ἢ καὶ ἐσθίωμεν ὥσπερ οἱ διὰ τὴν γαστέρα παράσιτοι ὀνομαζόμενοι ἢ κόλακες.

e 14. Πρὸς ὃν Αἰμιλιανὸς ἀπεκρίνατο, Πίνακα μὲν ἔχεις τὸ σκεῦος ὠνομασμένον καὶ παρὰ Μεταγένει τῷ κωμικῷ ἐν Θουριοπέρσαις· τήγανον δ' ὦ βέλτιστε εἴρηκεν ἐν μὲν Λήροις Φερεκράτης οὕτως

Ἀπὸ τηγάνου τ' ἔφασκεν ἀφύας ἂν φαγεῖν.

καὶ ἐν Πέρσαις ὁ αὐτός.

Ἐπὶ τηγάνοις καθίσανθ' ὑφάπτειν τοῦ φλέως.

f Φιλωνίδης δ' ἐν Κοθόρνοις

Ὑποδέχεσθαι καὶ βατίσι καὶ τηγάνοις·

καὶ πάλιν „Ὀσφρομένην τῶν τηγάνων." Εὔβουλος δ' ἐν Ὀρθάνῃ

Ῥιπὶς δ' ἐγείρει φύλακας Ἡφαίστου κύνας,
θερμῇ παροξύνουσα τηγάνου πνοῇ.

καὶ πάλιν

---

Ὀδυσσείᾳ] π, 49. τοῖσιν B. τοῖσι PVL.

228 d. ὁ ποιητὴς] Odyss. α, 141. δ, 57. μόνως PVL. μόνος A. μόνον C. μὴ πάντα Schweigh. editio. καὶ μὴ πάντα PVL.

228 e. μὲν Λήροις Casaubonus. μανδήροις PVL. Pherecratis verba attulit Eustathius p. 1862, 18. ἂν φαγεῖν] Aberat ἂν. καθίσανθ' P. Scribebatur καθίσαντα. Hunc versum om. C.

228 f. Ὑποδέχεσθαι] καὶ (χὐθ' Iacobsius p. 139.) ὑποδέχεσθαι Schweigh. editio. βατίσι] βατίσιν PVL. βάτισι B. ὀσφρομένην AB. ὀσφραινομένην PVL. Ὀρθάνῃ Casaubonus. ὀρθίαχνῃ PVL. Eubuli versus attulit III. p. 108 b. φύλακας] φλόγας BC. θερμῇ — πνοῇ C et 108. θέρμη — πνοὴ PVL. καὶ πάλιν — συντρυφᾷ om. C.

*Πᾶσα δ' εὔμορφος γυνὴ*
*ἐρῶσα φοιτᾷ τηγάνῳ τε συντρυφᾷ.*

229 καὶ ἐν Τιτᾶσι

*Προσγελῶσά τε*
*λοπὰς παφλάζει βαρβάρῳ λαλήματι·*
*πηδῶσι δ' ἰχθῦς ἐν μέσοισι τηγάνοις.*

τοῦ δὲ ῥήματος μέμνηται Φρύνιχος ἐν Τραγῳδοῖς

*Ἡδὺ δ' ἀποτηγανίζειν ἄνευ συμβολῶν.*

καὶ Φερεκράτης ἐν Μυρμηκανθρώποις φησὶ „Σὺ δ' ἀποτηγανίζεις." Ἡγήσανδρος δ' ὁ Δελφὸς Συρακοσίους φησὶ τὴν μὲν λοπάδα τήγανον καλεῖν, τὸ δὲ τήγανον ξηροτήγανον.
b διὸ καὶ Θεοδωρίδαν φάναι ἔν τινι ποιηματίῳ

*Τηγάνῳ εὖ ἥψησεν ἐν ὀψητῆρι κολύμβῳ,*

τὴν λοπάδα τήγανον προσαγορεύων. χωρὶς δὲ τοῦ τ στοιχείου Ἴωνες ἤγανον λέγουσιν, ὡς Ἀνακρέων „Χεῖρά τ' ἐν ἠγάνῳ βαλεῖν."

15. Εἰς ἐπίστασιν δέ με ἄγει, καλὲ Οὐλπιανέ, περὶ τῆς τῶν ἀργυρωμάτων χρήσεως τὸ Ἀλέξιδος ἐν Φυγάδι εἰρημένον

*Ὅπου γάρ ἐστιν ὁ κέραμος μισθώσιμος*
c *ὁ τοῖς μαγείροις.*

μέχρι γὰρ τῶν Μακεδονικῶν χρόνων κεραμέοις σκεύεσιν οἱ δειπνοῦντες διηκονοῦντο, ὥς φησιν ὁ ἐμὸς Ἰόβας. μεταβαλόντων δ' ἐπὶ τὸ πολυτελέστερον Ῥωμαίων τὴν δίαιταν, κατὰ μίμησιν ἐκδιαιτηθεῖσα Κλεοπάτρα, ἡ τὴν Αἰγύπτου καταλύσασα βασιλείαν, τοὔνομα οὐ δυναμένη ἀλλάξαι, ἀρ-

---

ἐρῶσα — συντρυφᾷ] Vid. ad 108.

229 a. λοπὰς] λοιπὰς BP. πηδῶσι — τηγάνοις] Eustathius p. 1862, 17. Ἡδὺ] ἀδὺ C, non Eustathius. συμβολῶν] συμβόλων P. συρακουσίους BC. συρακουσίους PVL.

220 b. Θεοδωρίδαν P: Θεωδωρίδαν VL. Θεοδωρίδην B: conf. ad VII. p. 302 c. Theodoridae locum om. C. ποιηματίῳ Schweigh. ποιήματι VL. ποιήματι ῳ ABP. τηγάνῳ om. B. ὀψητῆρι] ἑψητῆρι Schneiderus in lexico. στοιχείου om. B. Ἴωνες] χρωες, ut videtur Schweighaeusero, C. Eustathius p. 1862, 11. ἤγανον Δωρικῶς dici perhibet, errore manifesto. ὑπ' B. ὑπὸ PVL. Alexidis verba attulit IV. p. 164 f.

229 c. μεταβαλόντων BC. μεταβαλλόντων PVL. βασιλείαν] βασίλειαν P.

γυροῦν καὶ χρυσοῦν ἀπεκάλει κέραμον αὐτὸ, κέραμά τ' ἀπεδίδοτο τὰ ἀποφόρητα τοῖς δειπνοῦσι· καὶ τοῦτ' ἦν τὸ πολυτελέστατον. εἴς τε τὸν Ῥωσσικὸν εὐανθέστατον ὄντα
d κέραμον πέντε μνᾶς ἡμερησίας ἀνήλισκεν ἡ Κλεοπάτρα. Πτολεμαῖος δ' ὁ βασιλεὺς ἐν ὀγδόῳ ὑπομνημάτων περὶ Μασσανάσσου τὸν λόγον ποιούμενος τοῦ Λιβύων βασιλέως φησὶ τάδε „Δεῖπνα Ῥωμαϊκῶς ἦν κατεσκευασμένα, κεράμῳ παντὶ χορηγούμενα ἀργυρῷ. τὰς δὲ τῶν δευτέρων τραπέζας ἐκόσμει τοῖς Ἰταλικοῖς ἐθισμοῖς· τὰ δὲ κανίσκια ἦν ἅπαντα χρυσᾶ, γεγονότα πρὸς τὰ πλεκόμενα ταῖς σχοίνοις· μουσικοῖς τε ἐχρῆτο Ἑλληνικοῖς."

e 16. Ἀριστοφάνης δ' ὁ κωμῳδιοποιὸς, ὅν φησιν Ἡλιόδωρος ὁ Ἀθηναῖος ἐν τοῖς περὶ ἀκροπόλεως, πεντεκαίδεκα δ' ἐστὶ ταῦτα βιβλία, Ναυκρατίτην εἶναι γένος, ἐν τῷ Πλούτῳ τῷ δράματι κατὰ τὴν τοῦ ὁμωνύμου θεοῦ ἐπιφάνειαν τοὺς ἰχθυηροὺς φησι πίνακας ἀργυροῦς ἀναφανῆναι, καθάπερ καὶ τἄλλ' ἅπαντα, λέγων ὡδὶ

Ὀξὶς δὲ πᾶσα καὶ λοπάδιον καὶ χύτρα
χαλκῆ γέγονε· τοὺς δὲ πινακίσκους τοὺς σαπροὺς
f τοὺς ἰχθυηροὺς ἀργυροῦς πάρεσθ' ὁρᾶν.
ὁ δ' ἰπνὸς γέγον' ἐξαπίνης ἐλεφάντινος.

Πλάτων δ' ἐν Πρέσβεσι

Κατέλαβον Ἐπικράτης τε καὶ Φορμίσιος
παρὰ τοῦ βασιλέως πλεῖστα δωροδοκήματα,
ὀξύβαφα χρυσᾶ καὶ πινακίσκους ἀργυροῦς.

---

κέραμον] κεράμειον C. κέραμα — πολυτελέστατον om. C. Ῥωσσικὸν] Scribebatur Ῥωσικόν.

229 d. Μασσανάσσου] μασανάσσου P. μανάσσου B. ταῖς σχοίνοις] τοῖς σχοίνοις C.

229 e. κωμῳδοποιὸς PVL. Recte A. πεντεκαίδεκα — βιβλία add. ABPL. om. V. δ' ἐστὶ A. δ' om. PL. ταῦτα A. ταῦτα τὰ PL. βυβλία P. ἰχθυροὺς hic et infra P. τἄλλ' B: τὰ ἄλλα PVL. λέγων ὡδί] V. 812.

229 f. ὁ δ' ἰπνὸς PVL. ὁ δεῖπνος AD. γέγον' P. γέγονεν VL. ἡμῖν Aristophanes in libris plerisque omnibus: γέγον' ἡμῖν recte Ravennas. ἐπικράτης PL. ἐπικράτη V. Φορμίσιος Schweigh. Φορμήσιος L. φόρμισος BP. φορμήσιον V.

Σώφρων δ' ἐν γυναικείοις μίμοις φησὶ „Τῶν δὲ χαλκωμάτων καὶ τῶν ἀργυρωμάτων ἐμάρμαιρε ἁ οἰκία."
230

17. Φιλιππίδης δ' ἐν Ἀργυρίου ἀφανισμῷ ὡς φορτικοῦ μέμνηται τοῦ τοιούτου καὶ σπανίου, ζηλουμένου δὲ ὑπό τινων νεοπλούτων μετοίκων

Ἀλλ' ἔλεός ἐμπέπτωκέ τις μοι τῶν ὅλων,
ὅταν ἀπορουμένους μὲν ἀνθρώπους ἴδω
ἐλευθέρους, μαστιγίας δ' ἐπ' ἀργυροῦ
πίνακος ἄγοντος μνᾶν τάριχος ἐνίοτε
δυοῖν ὀβολῶν ἔσθοντας ἢ τριωβόλου,
b καὶ κάππαριν χαλκῶν τριῶν ἐν τρυβλίῳ
ἄγοντι πεντήκοντα δραχμὰς ἀργυρῷ.
πρότερον δὲ φιάλην ἦν ἀνακειμένην ἰδεῖν
ἐργῶδες. Β. ἀμέλει τοῦτο μὲν καὶ νῦν ἔτι·
ἂν γάρ ἀναθῇ τις, εὐθὺς ἕτερος ἥρπασεν.

Ἄλεξις δ' ἐν Ἱππίσκῳ νεανίσκον παράγων ἐρῶντα καὶ ἐπιδεικνύμενον τὸν πλοῦτον τῇ ἐρωμένῃ ταῦτα ποιεῖ λέγοντα

Τοῖς παισί τ' εἶπα, δύο γὰρ ἦγον οἴκοθεν,
τἀκπώματ' εἰς τὸ φανερὸν ἐκνενιτρωμένα
c θεῖναι. κύαθος δ' ἦν ἀργυροῦς, τἀκπώματα
ἦγεν δύο δραχμάς, κυμβίον δὲ τέτταρας,
ψυκτηρίδιον δὲ δέκ' ὀβολούς, Φιλιππίδου
λεπτότερον.

ἀλλὰ ταῦθ' ὅλως πρὸς ἀλαζονείαν οὐ κακῶς νενοημένα ἦν.

---

230 a. ἐμάρμαιρε] ἐγάργαιρε scholiastes Aristophanis Acharn. v. 3. et Suidas in ψαμμοκοσιογάργαρα, qui vocis γάργαρα explicandae caussa ex Sophrone haec verba attulerunt, ἅδε οἰκία τῶν ἀργυρωμάτων γάργαιρε. ἁ οἰκία] Legebatur δοκία. V. 1. Ἴλεος ἐμπέπτωκέ μοι τίς, φησὶ φιλιππίδης, ὅταν — C. V. 3. μάστιγας P. V. 4. ἄγοντος] ἄγοντας B. τάριχος] τάριχον B. V. 5. δυοῖν] δυεῖν A. ὀβολῶν] Quidni ὀβολοῖν?

230 b. Alexidis versus repetit XI. p. 502 f. ubi de ψυκτηριδίῳ agit. Omisit C. V. 1. παισί I. et 502. πᾶσι ABPV.

230 c. V. 4. ἦγεν ABP et 502. ἦγε VL. V. 4. Post τέτταρας inferebantur ἴσως ἑτέρας, quae om. 502. V. 5. δὲ δέκ' Schweigh. δέκ' PVL, τε δύ' 502. ταῦθ'] ταῦτα B. πρὸς ἀλαζονείαν οὐ κακῶς νενοημένα ἦν] Trimeter, si νενοημέν' scribas.

οἶδα δὲ κἀγώ τινα πολίτην ἡμέτερον πτωχαλαζόνα, ὃς
δραχμῆς ἔχων τὰ πάντ' ἀργυρώματα ἐβόα καλῶν τὸν οἰ-
κέτην, ἕνα ὄντα καὶ μόνον, ὀνόματι δὲ χρώμενον ψαμμα-
d κοσίοις, παῖ Στρομβιχίδη, μὴ τῶν χειμερινῶν ἀργυρωμά-
των ἡμῖν παραθῇς, ἀλλὰ τῶν θερινῶν. τοιοῦτός ἐστι καὶ
ὁ παρὰ Νικοστράτῳ ἐν τῷ ἐπιγραφομένῳ δράματι Βασι-
λεῖς. ἀλαζὼν δ' ἐστὶ στρατιώτης, περὶ οὗ λέγει

Λοιπή τις ὀξίς ἐστι καὶ ψυκτήριον,
τῆς εὐπαρύφου λεπτότερον.

ἐξήλαυνον γάρ τινες τὸν ἄργυρον καὶ τότε εἰς ὑμένος ἰδέαν.

18. Καὶ Ἀντιφάνης δ' ἐν Λημνίαις φησὶ

e Παρετέθη τρίπους
πλακοῦντα χρηστόν, ὦ πολυτίμητοι θεοί,
ἔχων, ἐν ἀργυρῷ τε τρυβλίῳ μέλι.

καὶ Σώπατρος δ' ὁ παρῳδὸς ἐν Ὀρέστῃ

Σαπρὸν σίλουρον ἀργυροῦς πίναξ ἔχων.

ἐν δὲ τῷ ἐπιγραφομένῳ δράματι Φακῇ φησιν

Ἀλλ' ἀμφὶ δείπνοις ὀξίδ' ἀργυρᾶν ἔχει
δρακοντομίμοις ὀργάνων τορεύμασιν,
οἵαν ποτ' ἔσχε καὶ Θίβρων ὁ Ταντάλου
μαλακὸς ταλάντοις ἐκταλαντωθεὶς ἀνήρ.

f Θεόπομπος δ' ὁ Χῖος ἐν ταῖς πρὸς Ἀλέξανδρον συμβου-
λαῖς περὶ Θεοκρίτου τοῦ πολίτου τὸν λόγον ποιούμενός
φησιν „Ἐξ ἀργυρωμάτων δὲ καὶ χρυσῶν πίνει καὶ τοῖς
σκεύεσι χρῆται τοῖς ἐπὶ τῆς τραπέζης ἑτέροις τοιούτοις, ὁ

---

οἶδα δὲ cet.] Haec ad Alexidem retulit epitome, quae post ultima Philippidis verba εὐθὺς ἥρπασεν sic pergit, οἶδα τινὰ φησὶν ἄλεξις πολίτην ἡμέτερον —. πάντ' BPVL. πάντα AC. ἀργυρώματα ACP. ἀργυρώματ' VL. ἀργυρώνητα B. ἕνα] ἕν' P.

230 d. στρομβιχίδη CPVL: στρομβιχίδης A. στρομβιχίδας B. Λοιπή] λεπτή Piersonus ad Moerin p. 281. ἐξήλαυνον — ἰδέαν] Philemo lex. in ὑμέναιος. δ' ἐν AB. δὲ καὶ ἐν PVL. Λημνίαις Dalecampius. λήμναις ABPVL. φησὶ] ἔφη B.

230 e. Παρετέθη τρίπους] παρετεθητρίπους B. Φακῇ] καὶ φακῇ B. Θίβρων] „Scripti θιάρων." Casaubonus. μαλακὸς C, quod ex libris scriptis (Hoeschelii epitome opinor) affert Casaubonus. μαλακὸν PVL. ἐκταλαντωθεὶς] ἐκταντάλωθεὶς C et Eustathius p. 1701, 4.

230 f. πολίτου] συμπολίτου C.

πρότερον οὐχ ὅπως ἐξ ἀργυρωμάτων οὐκ ἔχων πίνειν, ἀλλ' οὐδὲ χαλκῶν, ἀλλ' ἐκ κεραμέων, καὶ τούτων ἐνίοτε κολοβῶν.“ Δίφιλος δ' ἐν Ζωγράφῳ

Ἄριστον ἐπεχόρευσεν ἐκλελεγμένον,
231 εἴ τι νέον ἢ ποθεινὸν, ὀστρέων γένη
παντοδαπὰ, λοπάδων παρατεταγμένη φάλαγξ,
ὀπτῶν ἐπῆγε σωρὸς ἀπὸ τοῦ τηγάνου,
τριμμάτια τούτοις ἐν θυείαις ἀργυραῖς.

Φιλήμων Ἰατρῷ „Καὶ γυλίαν τιν' ἀργυρωμάτων.“ Μένανδρος Ἑαυτὸν τιμωρουμένῳ „Λουτρὸν, θεραπαίνας, ἀργυρώματα.“ καὶ ἐν Ὑμνίδι

Ἀλλὰ τἀργυρώματα
ἥκω λαβεῖν βουλόμενος.

b Λυσίας δ' ἐν τῷ περὶ τοῦ χρυσοῦ τρίποδος, εἰ γνήσιος ὁ λόγος „Ἀργυρώματά τε ἢ χρυσώματα ἔτι ἦν διδόναι.“ οἱ δ' ἑλληνίζοντες λέγειν δεῖν φασιν ἀργυροῦν κόσμον καὶ χρυσοῦν κόσμον.

19. Τοσαῦτα εἰπόντος τοῦ Αἰμιλιανοῦ ὁ Ποντιανὸς ἔφη, Σπάνιος γὰρ ὄντως ἦν τὸ παλαιὸν παρὰ τοῖς Ἕλλησιν ὁ μὲν χρυσὸς καὶ πάνυ, ὁ δ' ἄργυρος ὀλίγος ἦν ὁ ἐν τοῖς μετάλλοις. διὸ καὶ Φίλιππον τὸν τοῦ μεγάλου βασιλέως Ἀλεξάνδρου πατέρα φησὶ Δοῦρις ὁ Σάμιος φιάc λιον χρυσοῦν κεκτημένον ἀεὶ τοῦτ' ἔχειν κείμενον ὑπὸ τοῦ προσκεφαλαίου. καὶ τὴν Ἀτρέως δὲ χρυσῆν ἄρνα, περὶ ἣν γεγόνασιν ἡλίου τε ἐκλείψεις καὶ βασιλέων μεταβολαὶ ἔτι

---

κεραμέων] κεραμνέων B. κεραμεῶν Eustathius p. 1776, 25. τούτων C et Eustathius. τοῦτο PVL. V. 1. ἐπιχόρευσεν L. ἐπεχώρευσεν PV.

231 a. V. 4. ἐπῆγε] ἐπῆξε Valckenarius ad Phoeniss. p. 66. ἐπῆξε Erfurdtius p. 457. V. 5. θυείαις] θυίαις ABP. Φιλήμων] P. 368. γυλίαν] γύλιον Casaubonus. Μένανδρος] P. 54. Ὑμνίδι] P. 164.

231 b. περὶ τοῦ L. τοῦ om. PV. οἱ δ' — χρυσοῦν κόσμον] Eustathius p. 1776, 27. ἀργυροῦν κόσμον] κόσμον om. Eustathius. χρυσοῦν κόσμον] κόσμον om. B. Αἰμιλιανοῦ] αἰμυλιανοῦ B. Δοῦρις] Conf. IV. p. 155 d.

231 c. ὑπὸ τοῦ προσκεφαλαίου L. ὑπὸ τὸ προσκεφάλαιον PV. εἰς τὸ προσκεφάλαιον Eustathius p. 868, 48. ἄρνα χρυσῆν] χρυσοῦν

τα τῆς τραγῳδίας ἡ πολλή, φιάλην ἀργυρᾶν φησι γεγονέναι Ἡρόδωρος ὁ Ἡρακλεώτης, ἔχουσαν ἐν μέσῳ ἄρνα χρυσῆν. Ἀναξιμένης δ' ὁ Λαμψακηνὸς ἐν ταῖς πρώταις ἐπιγραφομέναις ἱστορίαις τὸν Ἐριφύλης ὅρμον διαβόητον γενέσθαι διὰ τὸ σπάνιον εἶναι τότε χρυσίον παρὰ τοῖς Ἕλλησι. καὶ γὰρ ἀργυροῦν ποτήριον ἦν ἰδεῖν τότε παράδοξον. μετὰ δὲ τὴν Δελφῶν ὑπὸ Φωκέων κατάληψιν πάντα
d τὰ τοιαῦτα δαψίλειαν εἴληφεν. ἐκ ποτηρίων δὲ χαλκῶν ἔπινον οἱ σφόδρα δοκοῦντες πλουτεῖν καὶ τὰς θήκας τούτων ὠνόμαζον χαλκοθήκας. Ἡρόδοτός τέ φησι τοὺς Αἰγυπτίων ἱερεῖς χαλκοῖς ποτηρίοις πίνειν, τοῖς τε βασιλεῦσιν αὐτῶν θύουσί ποτε κοινῇ οὐχ εὑρεθῆναί φησι δοθῆναι φιάλας ἀργυρᾶς· Ψαμμήτιχον γοῦν, νεώτερον ὄντα τῶν ἄλλων βασιλέων, χαλκῇ φιάλῃ σπεῖσαι τῶν ἄλλων ἀργυραῖς σπενδόντων. συληθέντος γοῦν τοῦ Πυθικοῦ ἱεροῦ ὑπὸ τῶν Φωκικῶν τυράννων ἐπέλαμψε παρὰ τοῖς Ἕλλησιν ὁ
e χρυσός, εἰσεκώμασε δὲ καὶ ὁ ἄργυρος. ὕστερον δὲ τοῦ μεγίστου Ἀλεξάνδρου τοὺς ἐκ τῆς Ἀσίας θησαυροὺς ἀνελομένου ὄντως ἀνέτειλεν ὁ κατὰ Πίνδαρον εὐρυσθενὴς πλοῦτος.

20. Καὶ τὰ ἐν Δελφοῖς δὲ ἀναθήματα τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ ὑπὸ πρώτου Γύγου τοῦ Λυδῶν βασιλέως ἀνετέθη· καὶ πρὸ τῆς τούτου βασιλείας ἀνάργυρος ἔτι δὲ ἄχρυσος ἦν ὁ Πύθιος, ὡς Φανίας τέ φησιν ὁ Ἐρέσιος καὶ Θεόπομπος ἐν τῇ τεσσαρακοστῇ τῶν Φιλιππικῶν. ἱστο-
f ροῦσι γὰρ οὗτοι κοσμηθῆναι τὸ Πυθικὸν ἱερὸν ὑπό τε τοῦ Γύγου καὶ τοῦ μετὰ τοῦτον Κροίσου, μεθ' οὓς ὑπό τε Γέλωνος καὶ Ἱέρωνος τῶν Σικελιωτῶν, τοῦ μὲν τρίποδα καὶ Νίκην χρυσοῦ πεποιημένα ἀναθέντος καθ' οὓς χρό-

---

ἀρνίον dicit Eustathius p. 868, 49. Ἐριφύλης] ἀριφύλης B. χρυσίον] χρυσεῖον P.

231 d. δαψίλειαν] δαψιλείαν P. δοκοῦντες πλουτεῖν] ὄλβιοι Eustathius p. 868, 51., non C. τέ φησι] δέ φησι B. Herodoti locus II, 151. non de argenteis sed de aureis poculis agit. συληθέντος γοῦν] συληθέντος οὖν C.

231 e. Πίνδαρον] Pyth. V, 1. εὐρυσθενὴς CP. εὐρυσθένης VL. τοῦ πρώτου γύγου τοῦ C. ὑπὸ τοῦ πρώτου βασιλέως Λυδῶν Γύγου Eustathius p. 868, 55. Ἐρέσιος] ἱερέσιος B.

νους Ξέρξης ἐπεστράτευε τῇ Ἑλλάδι, τοῦ δ' Ἱέρωνος τὰ ὅμοια. λέγει δ' οὕτως ὁ Θεόπομπος· „Ἦν γὰρ τὸ παλαιὸν τὸ ἱερὸν κεκοσμημένον χαλκοῖς ἀναθήμασιν, οὐκ ἀνδριᾶσιν, ἀλλὰ λέβησι καὶ τρίποσι χαλκοῦ πεποιημένοις. Λακε-
232 δαιμόνιοι οὖν χρυσῶσαι βουλόμενοι τὸ πρόσωπον τοῦ ἐν Ἀμύκλαις Ἀπόλλωνος καὶ οὐχ εὑρίσκοντες ἐν τῇ Ἑλλάδι χρυσίον, πέμψαντες εἰς θεοῦ ἐπηρώτων τὸν θεὸν παρ' οὗ χρυσίον πρίαιντο. ὁ δ' αὐτοῖς ἀνεῖλε παρὰ Κροῖσον τὸν Λυδὸν πορευθέντας ὠνεῖσθαι παρ' ἐκείνου. καὶ οἱ πορευθέντες παρὰ Κροίσου ὠνήσαντο. Ἱέρων δ' ὁ Συρακόσιος βουλόμενος ἀναθεῖναι τῷ θεῷ τὸν τρίποδα καὶ τὴν Νίκην
b ἐξ ἀπέφθου χρυσοῦ ἐπὶ πολὺν χρόνον ἀπορῶν χρυσίου ὕστερον ἔπεμψε τοὺς ἀναζητήσοντας εἰς τὴν Ἑλλάδα· οἵτινες μόλις ποτὲ εἰς Κόρινθον ἀφικόμενοι καὶ ἐξιχνεύσαντες εὗρον παρὰ Ἀρχιτέλει τῷ Κορινθίῳ, ὃς πολλῷ χρόνῳ συνωνούμενος κατὰ μικρὸν θησαυροὺς εἶχεν οὐκ ὀλίγους. ἀπέδοτο γοῦν τοῖς παρὰ τοῦ Ἱέρωνος ὅσον ἠβούλοντο, καὶ μετὰ ταῦτα πληρώσας καὶ τὴν ἑαυτοῦ χεῖρα ὅσον ἠδύνατο χωρῆσαι ἐπέδωκεν αὐτοῖς. ἀνθ' ὧν Ἱέρων πλοῖον σίτου καὶ ἄλλα πολλὰ δῶρα ἔπεμψεν ἐκ Σικελίας."

c 21. Ἱστορεῖ τὰ αὐτὰ καὶ Φανίας ἐν τῷ περὶ τῶν ἐν Σικελίᾳ τυράννων, ὡς χαλκῶν ὄντων τῶν παλαιῶν ἀναθημάτων καὶ τριπόδων καὶ λεβήτων καὶ ἐγχειριδίων, ὧν ἐφ' ἑνὸς καὶ ἐπιγεγράφθαι φησίν·

Θάησαί μ'· ἐτεὸν γὰρ ἐν Ἰλίου εὐρέϊ πύργῳ
ἦν, ὅτε καλλικόμῳ μαρνάμεθ' ἀμφ' Ἑλένῃ·
καί μ' Ἀντηνορίδης ἐφόρει κρείων Ἑλικάων.
νῦν δέ με Λητοΐδου θεῖον ἔχει δάπεδον.

d ἐπὶ δὲ τρίποδος, ὃς ἦν εἷς τῶν ἐπὶ Πατρόκλῳ ἄθλων τεθέντων

---

231 f. ἐπεστράτευε] ἐπεστράτευσε C. ἀνδριᾶσιν P. ἀνδριάσιν VL.

232 a. οὖν add. AB. om. PVL. Κροῖσον τὸν Λυδὸν Schweigh. Libri κροίσου (κρίσου B) τοῦ λυδοῦ. παρ' ἐκείνου om. C. Κροίσου] κρίσου B. συρακόσιος ABC. συρακούσιος PVL.

232 b. ὅσον ἠβούλοντο Casaubonus. Libri ὃν ἠβούλοντο.

232 c. Epigramma in Anthol. Palat. receptum vol. II. p. 824.

232 d. Epigramma ex Athenaeo repetiit Eustathius p. 1313, 44. Exstat in Anthol. Palat. vol. I. p. 201.

Χάλκεός εἰμι τρίπους· Πυθοῖ δ' ἀνάκειμαι ἄγαλμα·
καί μ' ἐπὶ Πατρόκλῳ θῆκεν πόδας ὠκὺς Ἀχιλλεύς·
Τυδείδης δ' ἀνέθηκε βοὴν ἀγαθὸς Διομήδης,
νικήσας ἵπποισι παρὰ πλατὺν Ἑλλήσποντον.

22. Ἔφορος δὲ ἢ Δημόφιλος ὁ υἱὸς αὐτοῦ ἐν τῇ
e τριακοστῇ τῶν ἱστοριῶν περὶ τοῦ ἐν Δελφοῖς ἱεροῦ λέγων φησὶν „Ὀνόμαρχος δὲ καὶ Φάϋλλος καὶ Φάλαικος οὐ μόνον ἅπαντα τὰ τοῦ θεοῦ ἐξεκόμισαν, ἀλλὰ τὸ τελευταῖον αἱ γυναῖκες αὐτῶν τόν τε τῆς Ἐριφύλης κόσμον ἔλαβον, ὃν Ἀλκμαίων εἰς Δελφοὺς ἀνέθηκε κελεύσαντος τοῦ θεοῦ, καὶ τὸν τῆς Ἑλένης ὅρμον Μενελάου ἀναθέντος. ἑκατέρῳ γὰρ ὁ θεὸς ἔχρησεν· Ἀλκμαίωνι μὲν πυνθανομένῳ πῶς ἂν τῆς μανίας ἀπαλλαγείη,

Τιμῆέν μ' αἰτεῖς δῶρον, μανίαν ἀποπαῦσαι·
f καὶ σὺ φέρειν τιμῆεν ἐμοὶ γέρας, ᾧ ποτε μήτηρ
Ἀμφιάραον ἔκρυψ' ὑπὸ γῆν αὐτοῖσι σὺν ἵπποις·

Μενελάῳ δὲ πῶς ἂν τὸν Ἀλέξανδρον τιμωρήσαιτο,

Πάγχρυσον φέρε κόσμον ἑλὼν ἀπὸ σῆς ἀλόχοιο
δειρῆς, ὅν ποτε Κύπρις ἔδωχ' Ἑλένῃ μέγα χάρμα·
ὥς σοὶ Ἀλέξανδρος τίσιν ἐχθίστην ἀποδώσει.

33 συνέβη δὲ ταῖς γυναιξὶν ἔριν ἐμπεσεῖν περὶ τοῦ κόσμου τούτου ποτέρα πότερον λήψεται. καὶ διακληρουμένων ἡ μὲν σκυθρωπὴ οὖσα κατὰ τὸν βίον καὶ σεμνότητος πλήρης τὸν Ἐριφύλης ὅρμον, ἡ δὲ ὥρᾳ διαφέρουσα καὶ μάχλος οὖσα τὸν τῆς Ἑλένης εἴληφε. καὶ αὕτη μὲν ἐρασθεῖσα νεανίσκου τινὸς Ἠπειρώτου συνεξεδήμησεν, ἡ δὲ τῷ ἀνδρὶ θάνατον ἐβούλευσεν.“

23. Πλάτων δὲ ὁ θεῖος καὶ Λυκοῦργος ὁ Λάκων οὐδ' εἴων ἐνεπιδημεῖν ταῖς ἰδίαις πολιτείαις οὔτε τῶν ἄλλων πολυτελῶν οὐδέν, ἀλλ' οὐδὲ γὰρ ἄργυρον οὐδὲ τὸν χρυ-

---

εἰμι τρίπους] ἡμιτρίπους B. θῆκεν] θῆκε AC et Eustathius.

232 e. Φάϋλλος VL. φαῦλος AC. φάυλος B. φάϋλος P et Eustathius p. 868, 52. ἀπαλλαγείη] ἀπαλλαγῇ B. Oraculum Alcmeoni datum repetiit Eustathius p. 1697, 43.

232 f. γῆν] γαῖαν Eustathius. πάγχρυσον PL. πάνχρυσον V. ὥς σοὶ] ὥς σοι VL. ὡς σοὶ P. ἀποδώσει PL. ἀποδώσῃ V.

233 a. εἴληφε additum ex C. εἴληχε Marxius ad Ephorum p. 258. Ἠπειρώτου] ἠπηρώτου B.

b σόν, τῶν μεταλλευομένων τὸν σίδηρον καὶ τὸν χαλκὸν ἀρκεῖν νομίζοντες, ἐκεῖνα δ' ἐκβάλλοντες ὡς λυμαινόμενα τὰς ὑγιαινούσας τῶν πόλεων. Ζήνων δὲ ὁ ἀπὸ τῆς στοᾶς πάντα τὰ ἄλλα πλὴν τοῦ νομίμως αὐτοῖς καὶ καλῶς χρῆσθαι νομίσας ἀδιάφορα τὴν μὲν εὐχὴν αὐτῶν καὶ φυγὴν ἀπειπών, τὴν χρῆσιν δὲ τῶν λιτῶν καὶ ἀπερίττων προηγουμένως ποιεῖσθαι προστάσσων, ὅπως ἀδεῆ καὶ ἀθαύμαστον πρὸς τἄλλα τὴν διάθεσιν τῆς ψυχῆς ἔχοντες οἱ ἄνθρωποι,
c ὅσα μήτε καλά ἐστι μήτε αἰσχρά, τοῖς μὲν κατὰ φύσιν ὡς ἐπὶ πολὺ χρῶνται, τῶν δ' ἐναντίων μηδὲν ὅλως δεδοικότες λόγῳ καὶ μὴ φόβῳ τούτων ἀπέχωνται. οὐδὲν γὰρ ἡ φύσις ἐκβέβληκεν ἐκ τοῦ κόσμου τῶν εἰρημένων, ἀλλ' ἐποίησεν ὑπογείους αὐτῶν φλέβας πολύπονον καὶ χαλεπὴν ἐχούσας ἐργασίαν, ὅπως οἱ περὶ ταῦτα σπουδάζοντες ὀδυνώμενοι μετίωσι τὴν κτῆσιν καὶ οὐχ οἱ μεταλλεύοντες μόνοι, ἀλλὰ καὶ οἱ τὰ μεταλλευθέντα συναγείροντες μυρίοις μόχθοις θηρεύωσι τὴν περίβλεπτον ταύτην πολυκτησίαν. δεί-
d γματος μὲν οὖν χάριν * * * ἐπείπερ ἐπιπόλαιον αὐτῶν ἐστι τὸ γένος, εἴ γ' ἐν ταῖς ἐσχατιαῖς τῆς οἰκουμένης καὶ ποτάμια τὰ τυχόντα ψήγματα χρυσοῦ καταφέρει, καὶ ταῦτα γυναῖκες καὶ ἄνδρες ἀσθενεῖς τὰ σώματα σὺν ταῖς ἄμμοις ὑποψήχοντες διστᾶσι καὶ πλύναντες ἄγουσιν ἐπὶ τὴν χώνην, ὡς παρὰ τοῖς Ἐλουητίοις φησὶν ὁ ἐμὸς Ποσειδώνιος καὶ ἄλλοις τισὶ τῶν Κελτῶν. καὶ τά τε πάλαι μὲν Ῥίπαια καλούμενα ὄρη, εἶθ' ὕστερον Ὄλβια προσαγορευθέντα, νῦν δὲ Ἄλπια, ἔστι δὲ τῆς Γαλατίας, αὐτο-

---

233 b. ἀρκεῖν C. ἀρκεῖσθαι PVL. εὐχὴν Casaubonus. Libri ἀρχήν. ἀπερίττων προηγουμένως Casaubonus. Libri περιττῶν προηγορευμένως. ἀθαύμαστον] ἀθαύμαστοι P. ὅσα] ᾧ ὅσα B.

233 c. χαλεπὴν PL. χαλεπὸν V. καὶ οὐχ οἱ AC. καὶ οὐχὶ οἱ B. ἀλλ' οὐχ οἱ PVL.

233 d. Post χάριν lacunam indicavit Casaubonus. In C post πολυκτησίαν sic pergitur, ὅτι ἐν ταῖς ἐσχατιαῖς τῆς οἰκουμένης —. Plura ex hoc loco repetiit Eustathius p. 1485, 62. — 1486, 2. ὑποψήχοντες C et epitome Hoeschelii. ὑποψύχοντες PVL. ὡς παρὰ — Κελτῶν om. C. Ἐλουητίοις Schweigh. ἐπουητίοις AP. ἐπουκτίοις B. ἐπακτίοις VL. φησὶν om. B. Ῥίπαια] ῥιπαῖα P et Eustathius. Ὄλβια L et Eustathius. ὄβια PV. Ἄλπια] ἄλπια καὶ ἄλπεις Eustathius. Γαλατίας] γαλατείας P.

e μάτως ὕλης ἐμπρησθείσης ἀργύρῳ διερρύη. τὸ μέντοι γε πολὺ τούτου βαθείαις καὶ κακοπαθέσι μεταλλείαις εὑρίσκεται κατὰ τὸν Φαληρέα Δημήτριον, ἐλπιζούσης τῆς πλεονεξίας ἀνάξειν ἐκ τῶν μυχῶν τῆς γῆς αὐτὸν τὸν Πλούτωνα. χαριεντιζόμενος γοῦν φησιν ὅτι „Πολλάκις καταναλώσαντες τὰ φανερὰ τῶν ἀδήλων ἕνεκα, ἃ μὲν ἔμελλον οὐκ ἔλαβον, ἃ δ' εἶχον ἀπέβαλον, ὥσπερ αἰνίγματος τρόπον ἀτυχοῦντες."

24. Λακεδαιμόνιοι δ' ὑπὸ τῶν ἐθῶν κωλυόμενοι εἰσ-
f φέρειν εἰς τὴν Σπάρτην, ὡς ὁ αὐτὸς ἱστορεῖ Ποσειδώνιος, καὶ κτᾶσθαι ἄργυρον καὶ χρυσὸν ἐκτῶντο μὲν οὐδὲν ἧττον, παρακατετίθεντο δὲ τοῖς ὁμόροις Ἀρκάσιν· εἶτα πολεμίους αὐτοὺς ἔσχον ἀντὶ φίλων, ὅπως ἀνυπεύθυνον τὸ ἄπιστον διὰ τὴν ἔχθραν γένηται. τῷ μὲν οὖν ἐν Δελφοῖς Ἀπόλλωνι τὸν πρότερον ἐν τῇ Λακεδαίμονι χρυσὸν καὶ ἄργυρον ἱστοροῦσιν ἀνατεθῆναι, δημοσίᾳ δὲ εἰς τὴν πόλιν Λύσανδρον εἰσαγαγόντα πολλῶν κακῶν αἴτιον γενέσθαι. Γύ-
234 λιππον γοῦν τὸν Συρακοσίους ἐλευθερώσαντα ἀποθανεῖν ἀποκαρτερήσαντα λόγος, καταγνωσθέντα ὑπὸ τῶν ἐφόρων νοσφισάμενον ἐκ τοῦ Λυσανδρείου χρήματος. τοῦ δὲ ἀνατιθεμένου θεῷ καὶ συγχωρουμένου δήμῳ καθάπερ κοσμήματος καὶ κτήματος οὐ ῥᾴδιον ἦν τὸν θνητὸν ὀλίγωρον γενέσθαι.

25. Τῶν δὲ Γαλατῶν οἱ Κορδισταὶ καλούμενοι χρυσὸν μὲν οὐκ εἰσάγουσιν εἰς τὴν αὐτῶν χώραν, λῃζόμενοι δὲ τὴν ἀλλοτρίαν καὶ ἀδικοῦντες οὐ παραλείπουσι. τὸ δ' ἔθνος αὐτῶν ἐστι μὲν λείψανον τῶν μετὰ Βρέννου στρατευσαμένων ἐπὶ τὸ Δελφικὸν μαντεῖον Γαλατῶν, Βαθάνατος δέ τις ἡγεμὼν αὐτοὺς διῴκισεν ἐπὶ τοὺς περὶ τὸν Ἴστρον

---

233 e. μέντοι γε] γε om. P. τῶν μυχῶν τῆς γῆς] μυχῶν γῆς Eustathius p. 1486, 2.

233 f. παρακατετίθεντο ABC. παρακατετίθετο PVL. ἀνυπεύθυνον] ἂν (ἀν P) ὑπεύθυνον BP.

234 a. συρακοσίους ABC. συρακουσίους PVL. λυσανδρείου C. λυσανδρίου PVL. χρήματος] σχήματος P. τοῦ δὲ — γενέσθαι om. C. δήμῳ VL. δήμου ABP. αὐτῶν] αὐτῶν PVL.

234 b. μετὰ Βρέννου] μετὰ βρέννους A. μεταβρέννους B. Βαθάνατος] Legebatur Βαθανάτιος. „Ducis nomen varie scriptum

τόπους, ἀφ' οὗ καὶ τὴν ὁδὸν δι' ἧς ἐνόστησαν Βαθανατίαν καλοῦσι καὶ τοὺς ἀπογόνους τοὺς ἐκείνου Βαθανάτους ἔτι καὶ νῦν προσαγορεύουσιν. ἀφωσιώκασι δὲ οὗτοι τὸν χρυσὸν καὶ οὐκ εἰσφέρουσιν εἰς τὰς πατρίδας, δι' ὃν πολλὰ καὶ δεινὰ ἔπαθον· ἀργύρῳ δὲ χρῶνται, καὶ τούτου χάριν πολλὰ καὶ δεινὰ ποιοῦσι. καίτοι γε ἐχρῆν οὐχὶ τὸ γένος τοῦ συλη-
c θέντος, ἀλλὰ τὴν ἱεροσυλήσασαν ἀσέβειαν ἐξορίσαι· εἰ δὲ μηδὲ τὸν ἄργυρον εἰσέφερον εἰς τὴν χώραν, ἢ περὶ τὸν χαλκὸν ἂν καὶ σίδηρον ἐπλημμέλουν, ἢ καί, εἰ μηδὲ ταῦτ' ἦν παρ' αὐτοῖς, περὶ τῶν βρωτῶν καὶ ποτῶν καὶ τῶν ἄλλων ἀναγκαίων ὁπλομανοῦντες ἂν διετέλουν.

26. Τοσαῦτα καὶ τοῦ Ποντιανοῦ εἰπόντος — ἐφιλοτιμήσαντο γὰρ οἱ πολλοὶ τὰς τοῦ Οὐλπιανοῦ ἀπολύσασθαι προτάσεις· ὧν τὰς ὑπολειπομένας διελόμενοι ὁ μὲν Πλού-
d ταρχος ἔφη, Τὸ δὲ τοῦ παρασίτου ὄνομα πάλαι μὲν ἦν σεμνὸν καὶ ἱερόν. Πολέμων γοῦν — ὁ εἴτε Σάμιος ἢ Σικυώνιος εἴτ' Ἀθηναῖος ὀνομαζόμενος χαίρει, ὡς ὁ Μοψεάτης Ἡρακλείδης λέγει καταριθμούμενος αὐτὸν καὶ ἀπ' ἄλλων πόλεων· ἐπεκαλεῖτο δὲ καὶ στηλοκόπας, ὡς Ἡρόδικος ὁ Κρατήτειος εἴρηκε — γράψας περὶ παρασίτων φησὶν οὕτως „Τὸ τοῦ παρασίτου ὄνομα νῦν μὲν ἄδοξόν ἐστι, παρὰ δὲ τοῖς ἀρχαίοις εὑρίσκομεν τὸν παράσιτον ἱερόν τι
e χρῆμα καὶ τῷ συνθοίνῳ παρόμοιον. ἐν Κυνοσάργει μὲν οὖν ἐν τῷ Ἡρακλείῳ στήλη τίς ἐστιν, ἐν ᾗ ψήφισμα μὲν Ἀλκιβιάδου, γραμματεὺς δὲ Στέφανος Θουκυδίδου, λέγεται

---

in veteribus offendimus, ἀθανάτιος aut βατάνατος." Casaubonus. βαδηγαβα, ἀθανάτιος A. δηγαβα. ἀθανάτιος BP. δη γα βα ἀθανάτιος DQ, nisi quod in Q δη γα syllabae in litura sunt. ἀθανάτιος C, in quo sic scriptum, ἀθανάτιος δέ τις ἡγεμὼν διῴκισεν αὐτοὺς ἐπὶ — τόπους, οὓ καὶ τοὺς ἀπογόνους βαθανάτους καλοῦσιν. ἀφ' οὗ Schweigh. Legebatur ἀφ' ἧς. Βαθανατίαν — ἐκείνου add. ABPL. om. V. βαθανατίαν PL. βαθαναττίαν A. βαθανίαι in lectionibus Aegianis invenit Schweigh. ἀργύρῳ] ἀργυρίῳ C.

234 c. ἢ περὶ ABCP. ἢ om. VL. ἢ καὶ εἰ μηδὲ Schweigh. καὶ εἰ μηδὲ PVL. ἢ μηδὲ C. ταῦτ' ἦν Schweigh. ταύτην ABP. τοῦτ' ἦν CVL.

234 d. Κρατήτειος] κρατήσιος B.

234 e. Κυνοσάργει μὲν] κυνοσάργει. οἱ μὲν BP. λέγεται δ'

δ' ἐν αὐτῷ περὶ τῆς προσηγορίας οὕτως „Τὼ δὲ ἐπιμηνίω
θυέτω ὁ ἱερεὺς μετὰ τῶν παρασίτων· οἱ δὲ παράσιτοι
ἔστων ἐκ τῶν νόθων καὶ τῶν τούτων παίδων κατὰ τὰ
πάτρια. ὃς δ' ἂν μὴ θέλῃ παρασιτεῖν, εἰσαγέτω καὶ περὶ
τούτων εἰς τὸ δικαστήριον.“ ἐν δὲ τοῖς κύρβεσι τοῖς περὶ
τῶν Δηλιαστῶν οὕτως γέγραπται „Καὶ τὼ κήρυκε ἐκ τοῦ
f γένους τῶν κηρύκων τοῦ τῆς μυστηριώτιδος. τούτους δὲ
παρασιτεῖν ἐν τῷ Δηλίῳ ἐνιαυτόν.“ ἐν δὲ Παλληνίδι τοῖς
ἀναθήμασιν ἐπιγέγραπται τάδε „Ἄρχοντες καὶ παράσιτοι
ἀνέθεσαν οἱ ἐπὶ Πυθοδώρου ἄρχοντος στεφανωθέντες χρυ-
σῷ στεφάνῳ.“ ἐπὶ δὲ φυλῆς ἱερείας „Παράσιτοι ἐπὶ λυκο-
στράτου Γαργήττιος, Περικλῆς Περικλείτου Πιτθεύς, Χα-
ρῖνος Δημοχάρους Γαργήττιος.“ κἀν τοῖς τοῦ βασιλέως
δὲ νόμοις γέγραπται „Θύειν τῷ Ἀπόλλωνι τοὺς Ἀχαρ-
νέων παρασίτους.“ Κλέαρχος δ' ὁ Σολεύς, εἷς δ' οὗτος
τῶν Ἀριστοτέλους ἐστὶ μαθητῶν, ἐν τῷ πρώτῳ τῶν βίων
35 τάδε γράφει „Ἔτι δὲ παράσιτον νῦν μὲν τὸν ἕτοιμον, τότε
δὲ τὸν εἰς τὸ συμβιοῦν κατειλεγμένον. ἐν γοῦν τοῖς παλαιοῖς
νόμοις αἱ πλεῖσται τῶν πόλεων ἔτι καὶ τήμερον ταῖς ἐντι-
μοτάταις ἀρχαῖς συγκαταλέγουσι παρασίτους.“ Κλείδημος
δ' ἐν τῇ Ἀτθίδι φησὶ „Καὶ παράσιτοι δ' ᾑρέθησαν τῷ
Ἡρακλεῖ.“ καὶ Θεμίσων δ' ἐν Παλληνίδι „Ἐπιμελεῖσθαι
δὲ τὸν βασιλέα τὸν ἀεὶ βασιλεύοντα καὶ τοὺς παρασίτους
οὓς ἂν ἐκ τῶν δήμων προαιρῶνται καὶ τοὺς γέροντας καὶ
τὰς γυναῖκας τὰς πρωτοπόσεις.“

b 27. Ἔχεις δὲ κἀκ τούτων, καλέ μου Οὐλπιανέ, ζητεῖν
τίνες αἱ πρωτοπόσεις γυναῖκες. ἀλλὰ μήν, περὶ γὰρ τῶν
παρασίτων ὁ λόγος, κἀν τῷ Ἀνακείῳ ἐπί τινος στήλης

---

B. Legebatur λέγεται τ'. ἔστων Meierus de bonis damnatorum p. 75. Legebatur ἵνα τῶν. ἐκ τῶν om. B. κατὰ — τούτων add. ABPL: om. V. κατὰ τὰ πάτρια B et Casaubonus in annotatione. Aberat τά.

234 f. φυλῆς ἱερείας] φιάλης ἱερᾶς Petitus. ἐπὶ λυκοστράτου libri corrupte. Βίλλυκος Στρατίου Heringa Observatt. c. 32. Ἀχαρνέων] ἀχαρναίων B.

235 a. κατειλεγμένον C et epitome Hoeschelii. κατηλεγμένον A. κατηλλαγμένον PVL. ἔτι καὶ A. ἔτι δὲ καὶ PVL. συγκαταλέγουσι] ἐγκαταλέγουσι Schweigh. Ἀνακείῳ] Eustathius p. 1119, 9.

γέγραπται „Τοῖν δὲ βοοῖν τοῖν ἡγεμόνοιν τοῖν ἐξαιρουμένοιν τὸ μὲν τρίτον μέρος εἰς τὸν ἀγῶνα, τὰ δὲ δύο μέρη τὸ μὲν ἕτερον τῷ ἱερεῖ, τὸ δὲ τοῖς παρασίτοις.“ Κράτης δ' ἐν δευτέρῳ Ἀττικῆς διαλέκτου φησί. „Καὶ ὁ παράσιτος νῦν ἐπ' ἀδόξου μὲν κεῖται πράγματος, πρότερον δ' ἐκαλοῦντο παράσιτοι οἱ ἐπὶ τὴν τοῦ ἱεροῦ σίτου ἐκλογὴν αἱρούμενοι,
c καὶ ἦν ἀρχεῖόν τι παρασίτων. διὸ καὶ ἐν τῷ τοῦ βασιλέως νόμῳ γέγραπται ταυτὶ „Ἐπιμελεῖσθαι δὲ τὸν βασιλεύοντα τῶν τε ἀρχόντων, ὅπως ἂν καθιστῶνται, καὶ τοὺς παρασίτους ἐκ τῶν δήμων αἱρῶνται κατὰ τὰ γεγραμμένα. τοὺς δὲ παρασίτους ἐκ τῆς βουκολίας ἐκλέγειν ἐκ τοῦ μέρους τοῦ ἑαυτῶν ἕκαστον ἑκτέα κριθῶν, δαίνυσθαί τε τοὺς ὄντας Ἀθηναίους ἐν τῷ ἱερῷ κατὰ τὰ πάτρια. τὸν δ' ἑκτέα παρέχειν εἰς τὰ ἀρχεῖα τῷ Ἀπόλλωνι τοὺς Ἀχαρνέων παρασίτους ἀπὸ τῆς ἐκλογῆς τῶν κριθῶν.“ ὅτι δὲ καὶ ἀρ-
d χεῖον ἦν αὐτῶν ἐν τῷ αὐτῷ νόμῳ τάδε γέγραπται „Εἰς τὴν ἐπισκευὴν τοῦ νεὼ, τοῦ ἀρχείου τοῦ παρασιτείου καὶ τῆς οἰκίας τῆς ἱερᾶς διδόναι τὸ ἀργύριον, ὁπόσου ἂν οἱ τῶν ἱερέων ἐπισκευασταὶ μισθώσωσιν.“ ἐκ τούτου δῆλόν ἐστιν ὅτι ἐν ᾧ τὰς ἀπαρχὰς ἐτίθεσαν τοῦ ἱεροῦ σίτου οἱ παράσιτοι, τοῦτο παρασίτειον προσηγορεύετο.“ ταὐτὰ ἱστορεῖ καὶ Φιλόχορος ἐν τῇ ἐπιγραφομένῃ Τετραπόλει μνημονεύων τῶν καταλεγομένων τῷ Ἡρακλεῖ παρασίτων, καὶ
e Διόδωρος ὁ Σινωπεὺς κωμῳδιοποιὸς ἐν Ἐπικλήρῳ, οὗ τὸ μαρτύριον ὀλίγον ὕστερον παραθήσομαι. Ἀριστοτέλης δ' ἐν τῇ Μεθωναίων πολιτείᾳ „Παράσιτοι (φησὶ) τοῖς μὲν ἄρχουσι δύο καθ' ἕκαστον ἦσαν, τοῖς δὲ πολεμάρχοις εἷς. τεταγμένα δ' ἐλάμβανον παρ' ἄλλων τέ τινων καὶ τῶν ἁλιέων ὄψον.“

---

235 c. ταυτὶ] ταυτὰ B. δαίνυσθαι PL. δαίννυσθαι V. τε τοὺς B. Aberat τε. ἀθηναίων BP. ἀθηναίους VL. Ἀχαρνέων] ἀχαριναίων B.

235 d. τοῦ νεὼ (νέω P) τοῦ ἀρχείου ACP. τοῦ νεώτου ἀρχείου V. τοῦ νεώτου ἀρχείου L. ἀρχείου τοῦ Casaubonus. Legebatur ἀρχείου καὶ τοῦ. παρασιτείου BC. παρασιτίου PVL. παρασίτειον] Scribebatur παρασίτιον. ταὐτὰ L. ταῦτα BPV.

235 e. κωμῳδιοποιὸς A. κωμῳδοποιὸς PVL. ὀλίγον ὕστερον] P. 239 a. Μεθωναίων] μεθωνίων P.

28. Τὸν δὲ νῦν λεγόμενον παράσιτον Καρύστιος ὁ Περγαμηνὸς ἐν τῷ περὶ διδασκαλιῶν εὑρεθῆναί φησιν ὑπὸ πρώτου Ἀλέξιδος, ἐκλαθόμενος ὅτι Ἐπίχαρμος ἐν Ἐλπίδι
f ἢ Πλούτῳ παρὰ πότον αὐτὸν εἰσήγαγεν οὑτωσὶ λέγων

Ἀλλ' ἄλλος ὧδ' ἕστηχ' ὧδε τοῦδε κατὰ πόδας,
τὸν ῥαδίως λαψῇ τυ, καίτοι νῦν γα θὴν
εὔοινον, ἀείσιτον. ἀλλ' ἔμπας ὅδε
ἄμυστιν ὥσπερ κύλικα πίνει τὸν βίον.

δι' αὐτὸν ποιεῖ τὸν παράσιτον λέγοντα τοιάδε πρὸς τὸν πυνθανόμενον,

Συνδειπνέω τῷ λῶντι, καλέσαι δεῖ μόνον,
καὶ τῷ γα μὴ λιῶντι, κωὐδὲν δεῖ καλεῖν.
τηνεὶ δὲ χαρίεις τ' εἰμὶ καὶ ποιέω πολὺν
36 γέλωτα καὶ τὸν ἑστιῶντ' ἐπαινέω.
καἴ κά τις ἀντίον τι λῇ τήνῳ λέγειν,
τήνῳ κυδάζομαί τε κἀπωνηχθόμαν.
κἦπειτα πολλὰ καταφαγών, πόλλ' ἐμπιών,
ἄπειμι. λύχνον δ' οὐχ ὁ παῖς μοι συμφέρει·
ἕρπω δ' ὀλισθάζων τε καὶ κατάσκοτος

---

235 f. Epicharmi versus om. C. V. 1. ὧδε Schweigh. et alii. Libri ὅδε. V. 2. ῥαδίως censor Ien. ῥαδειν ῶς A. ῥαδινῶς PVL. λαψῇ] λάψη P. καίτοι νῦν censor Ien. Scribebatur καὶ τοίνυν γαθηνευωνον A. γαθηνεύωνον P. γα θ' ἠνεύωνον V. καθ' ἠνεύωνον L. γα θὴν εὔοινον censor Ien. V. 3. ἀείσιτον idem. Libri ἀεὶ σῖτον. V. 4. πίνει τὸν PL. πίνειτον * V. βίον] βίνον Adamus. βίνον qui prima syllaba correpta dixerit non novi. δι' αὐτὸν ABP. δ' αὐτὸν V. αὐτὸν δὲ L. V. 1. συνδειπνέω L. συνδειπνέων ABPV. δεῖ] δ' εἰ P. V. 2. γαμηλιῶντι τῷ γακωυδένδεν APV. γαμηλιῶντι τῶ γα κωυδεν δεν B. γαμηλιῶντι τῷ γα κ' οὐδὲν δεῖ L. In λιῶντι, quod λεῶντι potius scribendum, deprehendimus exemplum formae trisyllabae, quae longe rarissima est. Hesychius, Λεῷμι (codex λέωμι): θέλοιμι. V. 3. τηνεὶ δὲ Schweigh. τηνίδει AP. τηνιδε B. τηνιμάδε VL.

236 a. V. 4. ἑστιῶντ' P. V. 5. καἴ κά τις ἀντίον Casaubonus. καὶ κατισάντιον PVL. τι λῇ Grotius in Excerptis p. 471. Aberat τι. λῇ τήνῳ Casaubonus. λητίνω VL. λητύνω P. λέγειν] λέγει P. λέγεν Casaubonus. V. 6. κὠπωνηχθόμαν BP. κάπω νηχθόμαν A. κάπω νηχθόμεν VL. V. 7. κἤπειτα L. φήπτει τὰ BP. πίπτει τὰ V. V. 8. μοι] μου B. V. 9. ἕρπω δ' ὀλισθάζων Casaubonus. ἕρπω δ' ὀλισθράζων (ὀλ — V.) VL. ἑρπώδολις θράζων B. ἕρπω δολισθράζων P. κατάσκοτος] κατάσκότος (sic) B. κατὰ σκότος pri-

ἔραμος. αἴ κα δ' ἐντύχω τοῖς περιπόλοις,
τούτοις ἀγαθὸν ἐπιλέγω τοῖς θεοῖς ὅτι
οὐ λῶντι παίων, ἀλλὰ μαστιγῶντί με.
b ἐπεὶ δέ χ' ἥκω οἴκαδις καταφθαρείς,
ἄστρωτος εὕδω· καὶ τὰ μὲν πρῶτ' οὐ κοῶ,
ἄς κά μ' ἄκρατος οἶνος ἀμφέπῃ φρένας.

29. Καὶ ἄλλα δὲ τοιαῦτα ἐπιλέγει ὁ τοῦ Ἐπιχάρμου παράσιτος. ὁ δὲ παρὰ τῷ Διφίλῳ τάδε φησίν

Ὅταν με καλέσῃ πλούσιος δεῖπνον ποιῶν,
οὐ κατανοῶ τὰ τρίγλυφ' οὐδὲ τὰς στέγας,
οὐδὲ δοκιμάζω τοὺς Κορινθίους κάδους,
ἀτενὲς δὲ τηρῶ τοῦ μαγείρου τὸν καπνόν.
c κἂν μὲν σφοδρὸς φερόμενος εἰς ὀρθὸν τρέχῃ,
γέγηθα καὶ χαίρω τι καὶ πτερύττομαι·
ἂν δὲ πλάγιος καὶ λεπτὸς, εὐθέως νοῶ
ὅτι τοῦτό μοι τὸ δεῖπνον ἀλλ' οὐδ' αἷμ' ἔχει.

πρῶτος δ' Ὅμηρος, ὡς τινές φασιν, εἰσήγαγε παράσιτον, τὸν Ποδῆν εἶναι λέγων φίλον εἰλαπιναστὴν τοῦ Ἕκτορος·

Ἦν δέ τις ἐν Τρώεσσι Ποδῆς, υἱὸς Ἠετίωνος,
d ἀφνειός τ' ἀγαθός τε· μάλιστα δέ μιν τίεν Ἕκτωρ
δήμου, ἐπεί οἱ ἑταῖρος ἔην φίλος εἰλαπιναστής.

τὸν γὰρ ἐν εἰλαπίνῃ φίλον εἴρηκε τὸν ἐν τῷ δειπνεῖν. διὸ καὶ ποιεῖ αὐτὸν ὑπὸ Μενελάου τιτρωσκόμενον κατὰ τὴν

---

mum habuit P. V. 10. ἔραμος Casaubonus. ἔρμος A. ἔρμος BP. ἔραιον V. ἔραιον L. αἴ κα δ' ἐντύχω] εκκαδεν τύχω A. ἐκκαδεντύχω P. ἐκκαδ' ἐντύχω B. V. 11. τούτοις] τουτοῖον B. του τοιὸν P. Versus corruptus. V. 12. παίων] παῖεν Casaubonus. μαστιγῶντί Casaubonus. μαστιγῶν τί VL.

236 b. V. 13. ἐπεὶ δέ χ' ἥκω Schweigh. ἐπιδεχειικω AV. ἐπιδεχειικο L. μαστίγων τί μεπιδεχείκω P. οἴκαδις] οἴκαδ' εἰς PVL, quod in οἴκαδες mutabat Heringa Observatt. p. 300. οἴκαδις autem cum digammo dixit. καταφθαρεὶς Heringa. καταφθερεῖς VL. καταφερεῖς P. V. 14. ἄστρωτος A. ἄτρωτος PVL. πρῶτ'] πρῶτα ABP. V. 15. ἄς κά μ' Toupius ad Theocriti XXIX, 20. p. 406. Legebatur ὧς καμὼν.

236 c. V. 2. τα τρια γλύφου δὲ P. V. 5. σφοδρὸς] σφοδρῶς C. V. 6. πτερύττομαι] Scribebatur πτερίσσομαι. V. 7. ἂν Grotius p. 799. Scribebatur ἐὰν. Ποδῆν] πόδην P. Ἦν δέ τις ἐν] Iliad. ρ, 575. ubi ἔσκε δ' ἐνὶ. Ποδῆς] πόδης AP.

γαστέρα, φησὶν ὁ Σκήψιος Δημήτριος· ὡς καὶ Πάνδαρον,
e διὰ τὸ ἐπιωρκηκέναι κατὰ τῆς γλώττης. τιτρώσκει δ' αὐτὸν Σπαρτιάτης ἄνθρωπος τὴν αὐτάρκειαν ἐζηλωκώς.

30. Οἱ δ' ἀρχαῖοι ποιηταὶ τοὺς παρασίτους κόλακας ἐκάλουν, ἀφ' ὧν καὶ Εὔπολις τῷ δράματι τὴν ἐπιγραφὴν ἐποιήσατο, τὸν χορὸν τῶν Κολάκων ποιήσας τάδε λέγοντα

Ἀλλὰ δίαιταν ἣν ἔχουσ' οἱ κόλακες πρὸς ὑμᾶς
λέξομεν· ἀλλ' ἀκούσαθ' ὡς ἐσμὲν ἅπαντα κομψοὶ
ἄνδρες· ὅτοισι πρῶτα μὲν παῖς ἀκόλουθός ἐστιν
ἀλλότριος τὰ πολλά, μικρὸν δέ τι κᾀμὸν αὐτοῦ.
ἱματίω δέ μοι δύ' ἐστὸν χαρίεντε τούτω,
f οἷν μεταλαμβάνων ἀεὶ θάτερον ἐξελαύνω
εἰς ἀγοράν. ἐκεῖ δ' ἐπειδὰν κατίδω τιν' ἄνδρα
ἠλίθιον, πλουτοῦντα δ', εὐθὺς περὶ τοῦτον εἰμί.
κἄν τι τύχῃ λέγων ὁ πλούταξ, πάνυ τοῦτ' ἐπαινῶ
καὶ καταπλήττομαι δοκῶν τοῖσι λόγοισι χαίρειν.
εἶτ' ἐπὶ δεῖπνον ἐρχόμεσθ' ἄλλυδις ἄλλος ἡμῶν
μᾶζαν ἐπ' ἀλλόφυλον, οὗ δεῖ χαρίεντα πολλὰ
τὸν κόλακ' εὐθέως λέγειν, ἢ φέρεται θύραζε.
37 οἶδα δ' Ἀκέστορ' αὐτὸ τὸν στιγματίαν παθόντα·
σκῶμμα γὰρ εἴπ' ἀσελγές, εἶτ' αὐτὸν ὁ παῖς θύραζε

---

236 d. φησὶν ὁ Casaubonus. φησὶ δ' ὁ PVL. φησὶν δ' ὁ A. δ' ὁ etiam C, in quo φησὶ sive φησὶν compendio scriptum. Ad hunc locum respexit Eustathius p. 1119, 6. ἐπιορκηκέναι P.

236 e. τὴν αὐτάρκειαν] τὴν om. P et Eustathius p. 1119, 7. V. 1. ἔχουσ' AC. ἔχουσιν PVL. ὑμᾶς ABCPV. ἡμᾶς L. V. 2. ἅπαντα Hermannus de metris p. 389. (Elem. d. metr. p. 585.) Libri ἅπαντες. V. 3. ὅτοισι Porsonus. Libri τοῖσι. V. 4. μικρὸν — αὐτοῦ om. C et epitome Hoeschelii. κᾀμὸν Hermannus. Libri κάμον. V. 5. τούτω, οἷν Porsonus. Libri τούτοιν.

236 f. V. 7. τιν'] τι οὖν A. τί οὖν P. ἄνδρα AP. ἄνδρ' CVL. V. 8. εἰμί] εἶμι PVL. V. 9. πλούταξ] πλοῦταξ A. πλούταξ ex Eupolide attulit Pollux III, 109. V. 11. ἐρχόμεσθ' PVL. ἄλλος] ἄλλο C, qui relicua omisit. V. 12. ἀλλόφυλλον B. V. 13. εὐθέως Grotius in Excerpt. p. 501. εὐθὺς PVL.

237 a. V. 14. αὐτὸ] αὐτὸν B. V. 15. εἴπ' ἀσελγὲς Porsonus. εἶπας (εἴπας P) ἔλεγες ABP. εἶπας ἔλεγεν VL. θύραζ'

ἐξαγαγὼν ἔχοντα κλοιὸν παρέδωκεν Οἰνεῖ.

31. Τοῦ δὲ ὀνόματος τοῦ παρασίτου μνημονεύει Ἀραρὼς ἐν Ὑμεναίῳ διὰ τούτων

Οὐκ ἔσθ᾽ ὅπως οὐκ εἶ παράσιτος, φίλτατε·
ὁ δ᾽ Ἰσχόμαχός ὁ διατρέφων σὲ τυγχάνει.

πολὺ δ᾽ ἐστὶ τὸ ὄνομα παρὰ τοῖς νεωτέροις. τὸ δὲ ῥῆμα
b παρὰ Πλάτωνι τῷ φιλοσόφῳ ἐν Λάχητι. φησὶ γὰρ „Καὶ ἡμῖν τὰ μειράκια παρασιτεῖ.“ παρασίτων δ᾽ εἶναί φησι γένη δύο Ἄλεξις ἐν Κυβερνήτῃ διὰ τούτων

*Α*. Δύ᾽ ἐστί, Ναυσίνικε, παρασίτων γένη,
ἓν μὲν τὸ κοινὸν καὶ κεκωμῳδημένον,
οἱ μέλανες ἡμεῖς. *Β*. θάτερον ζητῶ γένος.
*Α*. σατράπας παρασίτους καὶ στρατηγοὺς ἐπιφανεῖς,
σεμνοπαράσιτον ἐκ μέσου καλούμενον,
c ὑποκρινόμενον εὖ τοῖς βίοις, ὀφρῦς ἔχον
χιλιοταλάντους, ἀνακυλιόν τ᾽ οὐσίας.
νοεῖς τό τε γένος καὶ τὸ πρᾶγμα; *Β*. καὶ μάλα.
*Α*. τούτων δ᾽ ἑκατέρου τῶν γενῶν ὁ μὲν τύπος
τῆς ἐργασίας εἷς ἐστι, κολακείας ἀγών.
ὥσπερ ἐπὶ τῶν βίων δὲ τοὺς μὲν ἡ τύχη
ἡμῶν μεγάλοις προσένειμε, τοὺς δ᾽ ἐλάττοσιν·
d εἶθ᾽ οἱ μὲν εὐποροῦμεν, οἱ δ᾽ ἀλύομεν.
ἆρά γε διδάσκω, Ναυσίνικ᾽, οὐκ ἀστόχως;
*Β*. ἀλλ᾽ ἄν σ᾽ ἐπαινῶ, μᾶλλον αἰτήσαις μ᾽ ἔτι.

---

PVL. V. 16. ἐξαγαγὼν A. ἀγαγὼν PVL. Ἀραρὼς] ἄραρως P. Ὑμεναίῳ Casaubonus. Libri μεναίῳ. πολὺ δ᾽ ἐστὶ] δ᾽ om. B. τὸ ὄνομα] τὄνομα P.

237 b. Λάχητι] P. 179 c. ἄλεξις δὲ δύο γένη εἶναι παρασίτων φησὶν, ἓν μὲν τὸ κοινὸν καὶ κεκωμῳδημένον· θάτερον δὲ σατράπας παρασίτους καὶ στρατηγοὺς ἐπιφανεῖς, οὓς καὶ σεμνοπαρασίτους φησὶ C.

237 c. V. 6. ἔχον Grotius in Excerptis p. 573. ἔχοντα ABP. ἔχοντά γε VL. V. 7. Libri ἀνακυλιοντουσίας. Correxit Porsonus. V. 8. τό τε γένος Porsonus praefat. ad Hecub. p. XVIII. ed. Schaefer. tert. Aberat τε. V. 9. τούτων δ᾽ L. τούτων B. τούτου δ᾽ V. τούτου P. V. 12. μεγάλοις VL. μεγάλαις ABP. ἐλάττοσιν] ἐλάττον (sic) B.

237 d. V. 13. οἱ δ᾽ ἀλύομεν BP. δ᾽ om. VL ἀλύομεν ABP. ἀλλύομεν VL. V. 14. διδάσκων BP.

32. Χαρακτηρίζει δ' οὐκ ἀρρύθμως τὸν παράσιτον ὁποῖός τίς ἐστι Τιμοκλῆς ἐν Δρακοντίῳ οὕτως

*Ἔπειτ' ἐγὼ παράσιτον ἐπιτρέψω τινὶ*
*κακῶς λέγειν; ἥκιστά γ'· οὐδὲν ἔστι γὰρ*
*ἐν τοῖς τοιούτοις χρησιμώτερον γένος.*
*εἰ δ' ἐστὶ τὸ φιλέταιρον ἕν τι τῶν καλῶν,*
e *ἀνὴρ παράσιτος τοῦτο ποιεῖ διὰ τέλους.*
*ἐρᾷς, συνεραστὴς ἀπροφάσιστος γίγνεται.*
*πράττεις τι, πράξει συμπαρὼν ὅ τι ἂν δέῃ,*
*δίκαια ταὐτὰ τῷ τρέφοντι νενομικώς.*
*ἐπαινέτης θαυμαστὸς οἷος τῶν φίλων.*
*χαίρουσι δείπνων ἡδοναῖς ἀσυμβόλοις·*
*τίς δ' οὐχὶ θνητῶν ἢ τίς ἥρως ἢ θεὸς*
*ἀποδοκιμάζει τὴν τοιαύτην διατριβήν;*
*ἵνα μὴ δὲ πολλὰ μακρολογῶ δι' ἡμέρας,*
f *τεκμήριόν τι παμμέγεθες οἶμαί γ' ἐρεῖν,*
*ὁ τῶν παρασίτων ὡς τετίμηται βίος.*
*γέρα γὰρ αὐτοῖς ταὐτὰ τοῖς τὠλύμπια*
*νικῶσι δίδοται, χρηστότητος οὕνεκα,*
*σίτησις. οὗ γὰρ μὴ τίθενται συμβολαί,*
*πρυτανεῖα ταῦτα πάντα προσαγορεύεται.*

33. Καὶ Ἀντιφάνης δ' ἐν Διδύμοις φησὶν

238 *Ὁ γὰρ παράσιτός ἐστιν, ἂν ὀρθῶς σκοπῇς,*
*κοινωνὸς ἀμφοῖν, τῆς τύχης καὶ τοῦ βίου.*
*οὐδεὶς παράσιτος εὔχετ' ἀτυχεῖν τοὺς φίλους,*
*τοὐναντίον δὲ πάντας εὐτυχεῖν ἀεί.*

---

ἀρρύθμως] ἀρίθμως B. Timoclis v. 1. — 5. om. C. V. 2. ἥκιστά γ' (γε B) οὐδὲν BP. Legebatur ἥκιστα. οὐδὲν. V. 4. τὸ ab Casaubono additum.

237 e. V. 6. Scribebatur γίνεται. V. 7. Scribebatur πράσσεις. Inverso ordine πράξει τι πράττει P. V. 8. ταυτὰ L. ταῦτα PV. V. 10. ἡδοναῖς ἀσυμβόλοις] ἡδοναῖς, ἢ συμβόλοις B. V. 13. ἵνα μὴ δὲ Grotius in Excerpt. p. 691. Libri ἵνα δὲ μὴ.

237 f. V. 16. τὠλύμπια] τὰ ὀλύμπια BPV. τ' ὀλύμπια L. V. 17. οὕνεκα] Scribebatur εἵνεκα. V. 18. τίθενται σύμβολον C. V. 19. πάντα om. P.

238 a. V. 1. Ὁ γὰρ Wakefieldus. Legebatur ὅρα γάρ.

*ἔστιν πολυτελὴς τῷ βίῳ τις, οὐ φθονεῖ·*
*μετέχειν δὲ τούτων εὔχετ᾽ αὐτῷ συμπαρών.*
*κἄστιν φίλος γενναῖος ἀσφαλής θ᾽ ἅμα,*
*οὐ μάχιμος, οὐ πάροξυς, οὐχὶ βάσκανος·*
*ὀργὴν ἐνεγκεῖν ἀγαθός· ἂν σκώπτῃς, γελᾷ·*
b *ἐρωτικός, γελοῖος, ἱλαρὸς τῷ τρόπῳ·*
*πάλιν στρατιώτης ἀγαθὸς εἰς ὑπερβολήν,*
*ἂν ᾖ τὸ σιτάρχημα δεῖπνον εὐτρεπές.*

34. *Καὶ Ἀριστοφῶν δ᾽ ἐν Ἰατρῷ φησι*

*Βούλομαι δ᾽ αὐτῷ προειπεῖν οἷός εἰμι τοὺς τρόπους.*
*ἄν τις ἑστιᾷ, πάρειμι πρῶτος· ὥστ᾽ ἤδη πάλαι*
* * * *ζωμὸς καλοῦμαι. δεῖ τιν᾽ ἄρασθαι μέσον*
c *τῶν παροινούντων, παλαιστὴν νόμισον Ἀργεῖόν μ᾽ ὁρᾶν.*
*προσβαλεῖν πρὸς οἰκίαν δεῖ, κριός· ἀναβῆναί τι πρὸς*
*κλιμάκιον* * * *Καπανεύς, ὑπομένειν πληγὰς ἄκμων,*
*κονδύλους πλάττειν δὲ Τελαμών· τοὺς καλοὺς πειρᾶν καπνός.*

*κἀν Πυθαγοριστῇ δέ φησι*

*Πρὸς μὲν τὸ πεινῆν ἐσθίειν τε μηδὲ ἓν*
*νόμιζ᾽ ὁρᾶν Τιθύμαλλον, ἢ Φιλιππίδην.*
d *ὕδωρ δὲ πίνειν βάτραχος, ἀπολαῦσαι θύμων*
*λαχάνων τε κάμπη, πρὸς τὸ μὴ λοῦσθαι ῥύπος,*
*ὑπαίθριος χειμῶνα διάγειν κόψιχος,*
*πνῖγος ὑπομεῖναι καὶ μεσημβρίας λαλεῖν*
*τέττιξ, ἐλαίῳ μήτε χρῆσθαι μήθ᾽ ὁρᾶν*

---

V. 5. *ἔστι* PVL. V. 7. *κἀστὶ* BP. V. 9. *ἐνεγκεῖν* ABC, *ἀνενεγκεῖν* PVL.

238 b. *Ἀριστοφῶν*] *ἀριστοφάνης* C. V. 1. *προειπεῖν*] *προσειπεῖν* B. V. 3. Indicavi lacunam. *παρὰ νέων* supplebat Grotius. *δεῖ*] *δή* P.

238 c. V. 4. „*αὐταργεῖον aut ἀνταργεῖον AC.*“ Schweigh. *αὐτάργειον* PVL. *αὐτάργειον* P. *Ἀργεῖον* Grotius p. 839. *Ἀνταῖον* Iacobsius ad Antholog. vol. VII. p. 163. V. 5. *προσβαλεῖν* Grotius. *προσβάδην* AP. *προσβαίνειν* CVL. *προσβάλλειν* Casaubonus. V. 6. Indicavi lacunam. V. 7. *κονδύλους* ABC. *καὶ κονδύλους* VL. *καὶ κονδύλων* P. *δὲ* om. C. V. 1. *πεινῆν*] *πίνειν* C. *μηδὲν* P.

238 d. V. 6. *λαλεῖν τε τέττιξ* B.

κονιορτός, ἀνυπόδητος ὄρθρου περιπατεῖν
γέρανος, καθεύδειν μηδὲ μικρὸν νυκτερίς.

35. Ἀντιφάνης δ' ἐν Προγόνοις

Τὸν τρόπον μέν οἶσθά μου,
e ὅτι τῦφος οὐκ ἔνεστιν, ἀλλὰ τοῖς φίλοις
τοιουτοσί τίς εἰμι, τύπτεσθαι μύδρος,
τύπτειν κεραυνός, ἐκτυφλοῦν τιν' ἀστραπή,
φέρειν τιν' ἄραντ' ἄνεμος, ἀποπνῖξαι βρόχος,
θύρας μοχλεύειν σεισμός, εἰσπηδᾶν ἀκρίς,
δειπνεῖν ἄκλητος μυῖα, μὴ 'ξελθεῖν φρέαρ,
ἄγχειν, φονεύειν, μαρτυρεῖν, ὅσ' ἂν μόνον
τύχῃ τις εἰπών, ταῦτ' ἀπροσκέπτως ποιεῖν
ἅπαντα. καὶ καλοῦσί μ' οἱ νεώτεροι
f διὰ ταῦτα πάντα σκηπτόν. ἀλλ' οὐδὲν μέλει
τῶν σκωμμάτων μοι· τῶν φίλων γὰρ ὢν φίλος
ἔργοισι χρηστός, οὐ λόγοις ἔφυν μόνον.

Δίφιλος δ' ἐν Παρασίτῳ μελλόντων γίνεσθαι γάμων τὸν παράσιτον ποιεῖ λέγοντα τάδε

Ἀγνοεῖς ἐν ταῖς ἀραῖς
ὅ τι ἔστιν, εἴ τις μὴ φράσει' ὀρθῶς ὁδόν,
239 ἢ πῦρ ἐναύσει', ἢ διαφθείρει' ὕδωρ,
ἢ δειπνεῖν μέλλοντα κωλῦσαι τινά.

Εὔβουλος δ' ἐν Οἰδίποδι

Ὁ πρῶτος εὑρὼν τἀλλότρια δειπνεῖν ἀνὴρ
δημοτικὸς ἦν τις, ὡς ἔοικε, τοὺς τρόπους.
ὅστις δ' ἐπὶ δεῖπνον ἢ φίλον τιν' ἢ ξένον

---

238 e. V. 3. τοιουτοσί τίς εἰμι Dobraeus ad Aristoph. Pluti v. 361. p. 44. Legebatur τοιοῦτός εἰμι δή τις. V. 5. αἴραντ' AP. V. 7. μὴ 'ξελθεῖν BP. Scribebatur μὴ ἐξελθεῖν. V. 8. ἄγχειν Casaubonus. Libri ἄρχειν. ὅσ' C. ὅς PVL. V. 9. τις] τι B.

238 f. V. 11. οὐδὲν] Scribebatur οὐθέν. V. 13. ἔφυν] ἔφην B. τάδε om. B. V. 2. φράσει' Porsonus. φράσει ἢ AB. φράσῃ ἢ CP φράσῃ VL.

239 a. V. 3. ἐναύσει' Porsonus. ἐναύσει PL. ἐναύσῃ V. διαφθείρει' Porsonus. διαφθείρει AB. διαφθείρῃ CP. διαφθερεῖ VL. V. 4. ἢ δειπνεῖν μέλλοντα Erfurdtius p. 459. ἢ δειπνεῖν μέλλοντα ABCP. μέλλοντα δειπνεῖν ἤ γε VL. κωλῦσαι Erfurdtius et Porsonus. κωλύσῃ APV. κωλύσει BCL. Post τινά B addit ὁ παρὰ Διφίλῳ φησὶ παράσιτος. Eubuli v. 1. — 3. ἀνὴρ — δεῖπνον om. P.

καλέσας ἔπειτα συμβολὰς ἐπράξατο,
φυγὰς γένοιτο μηδὲν οἴκοθεν λαβών.

36. Διόδωρος δ' ὁ Σινωπεὺς ἐν Ἐπικλήρῳ περὶ τοῦ παρασιτεῖν καὶ αὐτὸς οὐκ ἀγλαφύρως τάδε φησὶ

b Βούλομαι δεῖξαι σαφῶς
ὡς σεμνόν ἐστι τοῦτο καὶ νενομισμένον
καὶ τῶν θεῶν εὕρημα, τὰς δ' ἄλλας τέχνας
οὐδεὶς θεῶν κατέδειξεν, ἀλλ' ἄνδρες σοφοί.
τὸ γὰρ παρασιτεῖν εὗρεν ὁ Ζεὺς ὁ φίλιος,
ὁ τῶν θεῶν μέγιστος ὁμολογουμένως.
οὗτος γὰρ εἰς τὰς οἰκίας εἰσέρχεται
οὐχὶ διακρίνας τὴν πενιχρὰν ἢ πλουσίαν.
οὗ δ' ἂν καλῶς ἐστρωμένην κλίνην ἴδῃ,
παρακειμένην τε τὴν τράπεζαν πάνθ' ἃ δεῖ
c ἔχουσαν, ἤδη κατακλιθεὶς καὶ κοσμίως
ἀριστίσας ἑαυτὸν, ἐντραγὼν, πιὼν,
ἀπέρχετ' οἴκαδ', οὐ καταβαλὼν συμβολάς.
κἀγὼ ποιῶ νῦν τοῦτ'· ἐπὰν κλίνας ἴδω
ἐστρωμένας καὶ τὰς τραπέζας εὐτρεπεῖς
καὶ τὴν θύραν ἀνεῳγμένην, εἰσέρχομαι
ἐνθάδε σιωπῇ, καὶ ποιήσας εὐσταλῆ
ἐμαυτὸν, ὥστε μὴ 'νοχλεῖν τὸν συμπότην,
πάντων ἀπολαύσας τῶν παρατεθέντων, πιὼν,
d ἀπέρχομ' οἴκαδ', ὥσπερ ὁ Ζεὺς ὁ φίλιος.
ὅτι δ' ἦν τὸ πρᾶγμ' ἔνδοξον ἀεὶ καὶ καλὸν
ἐκεῖθεν ἂν γνοίη τις ἔτι σαφέστερον.

---

239 b. V. 5. φίλιος] φίλος P. V. 10. τὴν ab Casaubono additum.

239 c. V 11. καὶ κοσμίως Schweigh. Aberat καί. V. 12. ἀριστίσας V. ἀριστήσας P, Basil. L. πιὼν Grotius in Excerpt. p. 837. ἐμπιὼν PVL. V. 14. κἀγὼ ποιῶ νῦν ταῦθ' ὥσπερ ὁ Ζεὺς ὁ φίλιος. εἶτ' ἐπάγει, ἐπειδὰν τῶν εὐπόρων τις προσερύγοι, ῥαφανίδας καὶ σαπρὸν σίλουρον καταφαγὼν, ἴα καὶ ῥόδα με παράσιτοι ἔφασαν αὐτὸν ἠριστηκέναι. ἐπειδὰν δ' ἀποπάρδοι — C. V. 15. ἐστρωμμένας B, et v. 9. ἐστρωμμένην. V. 16. εἰσέρχομαι P. εἰσέρχομ' VL. V. 17. ἐνθάδε σιωπῇ ABP. ἐνθάδε ἤδη σιωπῇ VL. V. 18. μὴ 'νοχλεῖν P. Scribebatur μὴ ἐνοχλεῖν. V. 19. πάντων δ' Schweigh.

239 d. V. 21. καὶ om. ABP.

τὸν Ἡρακλέα τιμῶσα λαμπρῶς ἡ πόλις,
ἐν ἅπασι τοῖς δήμοις θυσίας ποιουμένη,
εἰς τὰς θυσίας ταύτας παρασίτους τῷ θεῷ
οὐπώποτ' ἀπεκλήρωσεν οὐδὲ παρέλαβεν
εἰς ταῦτα τοὺς τυχόντας, ἀλλὰ κατέλεγεν
ἐκ τῶν πολιτῶν δώδεκ' ἄνδρας ἐπιμελῶς
ἐκλεξαμένη τοὺς ἐκ δυναστῶν γεγονότας,
e ἔχοντας οὐσίας, καλῶς βεβιωκότας.
εἶθ' ὕστερον τὸν Ἡρακλέα μιμούμενοι
τῶν εὐπόρων τινὲς, παρασίτους ἑλόμενοι
τρέφειν, παρεκάλουν οὐχὶ τοὺς χαριεστάτους
ἐκλεγόμενοι, τοὺς δὲ κολακεύειν δυναμένους
καὶ πάντ' ἐπαινεῖν· οἷς ἐπειδὴ προσερύγοι,
ῥαφανῖδας ἢ σαπρὸν σίλουρον καταφαγὼν,
ἴα καὶ ῥόδ' ἔφασκεν αὐτὸν ἠριστηκέναι.
ἐπεὶ δ' ἀποπάρδοι μετά τινος κατακείμενος,
f τούτῳ προσάγων τὴν ῥῖν' ἔδειτ' αὐτῷ φράσαι,
πόθεν τὸ θυμίαμα τοῦτο λαμβάνεις;
διὰ τοὺς τοιούτους τοὺς ἀσελγῶς χρωμένους
τὸ τίμιον καὶ τὸ καλὸν αἰσχρόν ἐστι νῦν.

37. Καὶ Ἀξιόνικος δ' ἐν Χαλκιδικῷ φησιν
Ὅτε τοῦ παρασιτεῖν πρῶτον ἠράσθην μετὰ
Φιλοξένου τῆς Πτερνοκοπίδος νέος ἔτ' ὤν,

---

V. 24. δήμοις Casaubonus. δήμοισι PVL. ποιουμένη L. ποιουμένης ABPV. V. 26. ἀπεκλήρωσεν PL. ἀπεπλήρωσεν V. V. 27. κατέλεγεν ἐκ] κατέκληγε 'κ B. V. 29. δυναστῶν] δυαστῶν BP.

239 e. V. 30. οὐσίας Casaubonus: quam scripturam ex margine Q affert Villebrunius. θυσίας PVL. V. 32. εὐπόρων] εὐπόρως P. τινὲς Casaubonus. τινὰς PVL. Villebrunius in D utramque scripturam, τινὲς et τινὰς, reperiri ait. V. 36. ῥαφανίδας ABCP. ῥαφανῖδα VL. ἢ] Legebatur καί. V. 37. ἴα] ἵνα BP. V. 38. ἐπεὶ δ'] Legebatur ἐπειδὰν δ'. ἐπεὶ δ' ἂν δ' P. ἀποπάρδοι BC. Legebatur ἀποπάρδῃ.

239 f. V. 39. ῥῖν' ἔδειτ' αὐτῷ] ῥῖνα δεῖ ταυτῷ (ταὐτὰ V) ABPV. ῥῖνα δεῖτ' αὐτῷ C. ῥῖνα δεῖ αὐτῷ L. V. 41. τοὺς τοιούτους] τοὺς om. P. τοὺς ἀσελγῶς] τοὺς om. B. V. 42. νῦν L. τινί ABCP. Totum caput 37. om. C. Χαλκιδικῷ] χαλκιδίκῳ PVL. V. 2. τῆς ABPV. τοῦ L.

πληγὰς ὑπέμενον κονδυλίων καὶ τρυβλίων
ὀστῶν τε τὸ μέγεθος τοσαύτας, ὥστε με
240 ἐνίοτε τοὐλάχιστον ὀκτὼ τραύματα
ἔχειν. λυσιτελεῖ γάρ· ἥττων εἰμὶ γὰρ
τῆς ἡδονῆς. ἔπειτα καὶ τρόπον τινὰ
τὸ πρᾶγμά μοι λυσιτελὲς εἶναι νενόμικα.
οἷον, φίλερίς τίς ἐστι καὶ μάχεταί τί μοι,
μετεβαλόμην πρὸς τοῦτον, ὅσα τ' εἴρηκέ με
κακῶς ὁμολογῶν εὐθέως οὐ βλάπτομαι.
πονηρὸς ὤν τε χρηστὸς εἶναι φησί τις,
ἐγκωμιάζων τοῦτον ἀπέλαβον χάριν.
b γλαύκου βεβρωκὼς τέμαχος ἑφθὸν τήμερον,
αὔριον ἕωλον τοῦτ' ἔχων οὐκ ἄχθομαι.
τοιοῦτος ὁ τρόπος ἐστὶν ἡ φύσις τέ μου.

Ἀντίδοτος δ' ἐν τῷ ἐπιγραφομένῳ Πρωτοχόρῳ παράγει τινὰ παραπλήσιον τοῖς ἐν τῷ Κλαυδίῳ νῦν σοφιστεύουσιν, ὧν οὐδὲ μεμνῆσθαι καλὸν, τοιαῦτα περὶ παρασιτικῆς τέχνης λέγοντα

Κατὰ τὴν στάσιν δὴ στάντες ἀκροάσασθέ μου.
πρὶν ἐγγραφῆναι καὶ λαβεῖν τὸ χλαμύδιον,
c περὶ τοῦ παρασιτεῖν εἴ τις ἐμπέσοι λόγος,
τὸ τεχνίον ἀεὶ τοῦτό μοι κατεπίνετο,
καὶ παιδομαθὴς πρὸς αὐτὸ τὴν διάνοιαν ἦν.

38. Παράσιτοι δ' ἐπ' ὀνόματος ἐγένοντο Τιθύμαλλος μὲν, οὗ μνημονεύει Ἄλεξις ἐν Μιλησίᾳ καὶ ἐν Ὀδυσσεῖ ὑφαίνοντι· ἐν δὲ Ὀλυνθίοις φησὶν

Ὁ δὲ σὸς πένης ἔστ', ὦ γλυκεῖα· τοῦτο δὲ
δέδοιχ' ὁ θάνατος τὸ γένος, ὥς φασιν, μόνον.

---

V. 3. ὑπέμενον Grotius p. 821. ὑπομένων PVL. κονδύλων Schweigh. V. 4. τε om. B. ὥστε 'μ' B.

240 a. V. 5 τραύματ' B.

240 b. Κλαυδίῳ] Immo Κλαυδείῳ. V. 1. ἀκροάσασθε A. ἀκροῦσθε PVL.

240 c. V. 4. ἀεὶ] αἰεὶ A. κατεπίνετο Casaubonus praeeunte Dalecampio. καταπινέτω PVL. ἄλεξις ABP. καὶ ἄλεξις VL. Alexidis locum om. C. Μιλησίᾳ] Alexis ἐν Μιλησίοις citatur IX. p. 379 a. Ὀλυνθίοις Casaubonus. ὁμυθίοις PVL. V. 1. ἔστ' ὦ L. ἔστω PV. V. 2. φασὶν B. φασὶ AP. φησὶν VL.

d ὁ γοῦν Τιθύμαλλος ἀθάνατος περιέρχεται.

*Δρόμων δ᾽ ἐν Ψαλτρίᾳ*

Ὑπερησχυνόμην
μέλλων ἀσύμβολος πάλιν δειπνεῖν· πάνυ
αἰσχρὸν γάρ. Β. ἀμέλει· τὸν Τιθύμαλλον γοῦν ἀεὶ
ἐρυθρότερον κόκκου περιπατοῦντ᾽ ἔσθ᾽ ὁρᾶν·
οὕτως ἐρυθριᾷ συμβολὰς οὐ κατατιθείς.

*Τιμοκλῆς Κενταύρῳ ἢ Δεξαμενῷ*

Τιθύμαλλον αὐτὸν καὶ παράσιτον ἀποκαλῶν.

*ἐν δὲ Καυνίοις*

e Ἤδη προσενήνεκται. τί μέλλεις; σπεύδετε,
ὦ τᾶν. ὁ γὰρ Τιθύμαλλος οὕτως ἀνεβίω
κομιδῇ τεθνηκώς, τῶν ἀν᾽ ὀκτὼ τοὐβολοῦ
θέρμους μαλάξας. οὐκ ἀπεκαρτέρησε γὰρ
ἐκεῖνος, ἀλλ᾽ ἐκαρτέρησ᾽, ὦ φίλτατε,
πίνων.

*ἐν δ᾽ Ἐπιστολαῖς*

Οἴμοι κακοδαίμων, ὡς ἐρῶ. μὰ τοὺς θεούς,
Τιθύμαλλος οὐδεπώποτ᾽ ἠράσθη φαγεῖν
οὕτω σφόδρ᾽, οὐδὲ Κόρμος ἱμάτιον λαβεῖν,
f οὐ Νεῖλος ἄλφιτ᾽, οὐ Κόρυδος ἀσύμβολος
κινεῖν ὀδόντας.

*Ἀντιφάνης Τυρρηνῷ*

Ἀρετὴ τὸ προῖκα τοῖς φίλοις ὑπηρετεῖν.

---

V. 3. *ἀθάνατος* L. *θάνατος* BPV.

240 d. V. 3. *γὰρ* addidit Schweigh. V. 5. *ἐρυθριᾶν* P. *καταθεὶς* B. *Δεξαμενῷ* Casaubonus. Libri *δεξαμένῳ*.

240 e. V. 1. *μέλλεις* Iacobsius p. 147. Legebatur *μέλλει*. V. 2. *οὕτως*] *ὄντως* Iacobsius. V. 3. *ἀν᾽* Casaubonus. *ἂν* PVL. *τοῦ βολοῦ* B. *τοῦ βολοῦ* PV. *τοῦ ʽβολοῦ* L. V. 4. *θέρμους*] *θερμοὺς* P. Scribebatur *ἀποκαρτέρησε*. *ἐπεκαρτέρησε* B. V. 5. *ἀλλ᾽ ἐκαρτέρησ᾽* om. B. *ἐκαρτέρησ᾽* P. *ἐκαρτέρησεν* VL. Versus ex *Ἐπιστολαῖς* priores duo tantum apposuit C. V. 3. *οὕτω*] *οὕτως* B. *κόρμος* P. Scribebatur *Κορμός*.

240 f. V. 4. *Νεῖλος*] *νειλλος* A. *νεῖλλος* BP. Conf. ad VIII. p. 343 b. *ἄλφιτ᾽ οὐ*] Libri *ἀλφίτου*. Emendavit Casaubonus. Antiphanis versus om. C. *Τυρρηνῷ*] *τυρυνῷ* B. V. 1. *Ἀρετὴ τὸ* Erfurdtius p. 447. *γὰρ ἐστὶ τὸ* A. *γὰρ ἔτη τὸ* B. *γὰρ αἰτῆτο* P. *καὶ*

Β. λέγεις ἔσεσθαι τὸν Τιθύμαλλον πλούσιον.
εἰσπράξεται γὰρ μισθὸν ἐκ τοῦ σοῦ λόγου,
παρ' οἷς ἐδείπνει προῖκα συλλέξει συχνήν.

241 39. Ἦν δὲ καὶ ὁ Κόρυδος τῶν δι' ὀνόματος παρασίτων. μνημονεύει δ' αὐτοῦ Τιμοκλῆς ἐν Ἐπιχαιρεκάκῳ οὕτως

Ἀγορὰν ἰδεῖν εὔοψον εὐποροῦντι μὲν
ἥδιστον, ἂν δ' ἀπορῇ τις, ἀθλιώτατον.
ὁ γοῦν Κόρυδος ἄκλητος, ὡς ἐμοὶ δοκεῖ,
γενόμενος ὠψώνει παρ' αὐτὸν οἴκαδε.
ἦν δὲ τὸ πάθος γελοῖον, οἴμοι, τέτταρας
χαλκοῦς ἔχων ἄνθρωπος, ἐγχέλεις ὁρῶν,
θύννεια, νάρκας, καράβους· ἡμωδία.
b καὶ ταῦτα πάντα μὲν περιελθὼν ἤρετο
ὁπόσου, πυθόμενος δ' ἀπέτρεχ' εἰς τὰς μεμβράδας.

Ἄλεξις Δημητρίῳ ἢ Φιλεταίρῳ

Ἀλλ' αἰσχύνομαι
τὸν Κόρυδον, εἰ δόξω συναριστᾶν τισιν
οὕτω προχείρως· οὐκ ἀπαρνοῦμαι δ' ὅμως.
οὐδὲ γὰρ ἐκεῖνος, ἂν καλῇ τις.

ἐν δὲ Τιτθῇ

Ὁ Κόρυδος οὗτος, ὁ τὰ γελοῖ' εἰθισμένος
c λέγειν, Βλεπαῖος βούλετ' εἶναι, νοῦν γ' ἔχων·
πλουτεῖ γὰρ ὁ Βλεπαῖος.

Κρατῖνος δ' ὁ νεώτερος ἐν Τιτᾶσι

---

γὰρ αἰτεῖτο VL. V. 2. τὸν addidit Schweigh. V. 3. ἐσπράξεται Casaubonus. εὖ πράξεται VL. εὐπράξεται P. V. 4. ἐδείπνει] Corrigo τε δειπνεῖ. συλλέξει] συλλέξειν ABPV. σύλλεξιν Casaubonus, cuius in editione prima συλλέξιν excusum.

241 a. V. 4. ὠψώνει Schweigh. ὀψωνεῖ PVL. αὐτὸν] Scribebatur αὐτὸν. V. 5. τέσσαρας B. V. 7. θύννεια C. θυννεῖα VL. θυννία P. ἡμωδία Casaubonus. ἡμώδια PVL. om. C.

241 b. V. 8. πάντα μὲν] πάντα ημὲν P. Fortasse πάντη μὲν voluit. μὲν om. B. V. 9. ἀπέτρεχ' εἰς Casaubonus. ἀποτρέχεις ABP. ἀποτρέχει εἰς C. ἀποτρέχ' εἰς VL. μεμβάδας B, ut 244 c. V. 3. οὕτω] οὕτως B. V. 4. ἂν]. Scribebatur ἐάν. γελοῖ' Schweigh. editio. γέλοι' VL. γέλοια B γελοῖα P.

241 c. Βλεπαῖος] βλεπαῖον B. Libri εἶναι βούλεται. Transposuit Schweigh. Τιτᾶσι] „Nisi legendum Γίγασι." Meine-

Κόρυδον τὸν χαλκοτύπον πεφύλαξο,
ἣν μή σοι νομιεῖς αὐτὸν μηδὲν καταλείψειν,
μηδ᾽ ὄψον κοινῇ μετὰ τούτου πώποτε δαίσῃ·
τοῦ Κορύδου, προλέγω σοι· ἔχει γὰρ χεῖρα κραταιάν,
χαλκῆν, ἀκάματον· πολὺ κρείττω τοῦ πυρὸς αὐτοῦ.

d ὅτι δὲ γελοῖα ἔλεγεν ὁ Κόρυδος καὶ ἐπὶ τούτοις γελᾶσθαι ἤθελεν ὁ αὐτὸς Ἄλεξις ἐν Ποιηταῖς φησι

Πάνυ τι βούλομαι
οὕτω γελᾶσθαι καὶ γελοῖ᾽ ἀεὶ λέγειν
μετὰ τὸν Κόρυδον μάλιστ᾽ Ἀθηναίων πολύ.

ἀναγράφει δὲ αὐτοῦ τὰ ἀπομνημονεύματα Λυγκεὺς ὁ Σάμιος, Εὐκράτην αὐτὸν καλεῖσθαι κυρίως φάσκων. γράφει δ᾽ οὕτως „Εὐκράτης ὁ Κόρυδος πίνων παρά τινι σαπρᾶς
e οὔσης τῆς οἰκίας, ἐνταῦθα, φησί, δειπνεῖν δεῖ ὑποστήσαντα τὴν ἀριστερὰν χεῖρα ὥσπερ αἱ Καρυάτιδες."

40. Φιλόξενος δ᾽ ἡ Πτερνοκοπὶς ἐμπεσόντος λόγου ὅτι αἱ κίχλαι τίμιαί εἰσι, καὶ τοῦ Κορύδου παρόντος, ὃς ἐδόκει πεπορνεῦσθαι, Ἀλλ᾽ ἐγώ, ἔφη, μνημονεύω ὅτε ὁ κόρυδος ὀβολοῦ ἦν. — ἦν δὲ καὶ ὁ Φιλόξενος τῶν παρασίτων, ὡς Ἀξιόνικος εἴρηκεν ἐν τῷ Χαλκιδικῷ. πρόκειται δὲ τὸ μαρτύριον. μνημονεύει δ᾽ αὐτοῦ καὶ Μένανδρος

---

kius Quaestion. scenic. I. p. 24. V. 1. χαλκοτύπον C. χαλκότυπον PVL. V. 2. ἣν μή σοι — προλέγω σοι om. C. οὐ μὴ Lobeckius ad Phrynichum p. 458. ἣν μὴ PVL. εἰ μὴ Porsonus. σοὶ ABD. σὺ PVL. μηδὲν B et Schweigh. editio. μηθὲν PVL. V. 3. τοὐδ᾽ οὐπώποτε Lobeckius. δαίσῃ] δαὶς ἢ BP.

241 d. πάνυ τι C. πάνυ τοι PVL. οὔτω B. οὕτως VL. οὗτος C. οὗτος P.

241 e. Καρυάτιδες] καρυατίδες P. ἡ Πτερνοκοπὶς Schweigh. Scribebatur ἢ πτερνοκόπις. ἦν δὲ καὶ ὁ φιλόξενος τῶν παρασίτων, ὃν μένανδρος πτερνοκοπίδα καλεῖ. μάχων τε ὁ κωμικὸς μέμνηται κορύδου, λέγων, τὸν κόρυδον ἠρώτησεν εὐκράτης πῶς κέχρηται — οὐ δέδωκέ πω. σικυώνιος δὲ ἢ κορίνθιος ἦν ὁ μάχων ὁ κωμικός, ἐν ἀλεξανδρείᾳ δὲ κατεγήρα. οὗ καὶ τὸ μνήματι ἐπιγέγραπται ἄλλα τε καὶ ὅτι ἐρεῖ τις, κέκροπος πόλει καὶ παρὰ νείλῳ ἔστιν ὅτ᾽ ἐν μούσαις δριμὺ πέφυκεν φυτόν. λυγκεὺς δέ φησιν — C. εἴρηκεν om. P. Μένανδρος] P. 95.

ἐν Κεκρυφάλῳ, αὐτὸ μόνον Πτερνοκοπίδα αὐτὸν καλῶν. — μνημονεύει δ' αὐτοῦ καὶ Μάχων ὁ κωμῳδιοποιὸς ὁ Κο-
1 ρίνθιος μὲν ἢ Σικυώνιος γενόμενος, ἐν Ἀλεξανδρείᾳ δὲ τῇ ἐμῇ καταβιοὺς καὶ διδάσκαλος γενόμενος τῶν κατὰ κωμῳδίαν μερῶν Ἀριστοφάνους τοῦ γραμματικοῦ· ὃς καὶ ἀπέθανεν ἐν τῇ Ἀλεξανδρείᾳ, καὶ ἐπιγέγραπται αὐτοῦ τῷ μνήματι

Τῷ κωμῳδογράφῳ, κούφη κόνι, τὸν φιλάγωνα
κισσὸν ὑπὲρ τύμβου ζῶντα Μάχωνι φέροις.
242 οὐ γὰρ ἔχεις κηφῆνα παλίμπλυτον, ἀλλ' ἄρα τέχνης
ἄξιον ἀρχαίης λείψανον ἠμφίεσας.
τοῦτο δ' ὁ πρέσβυς ἐρεῖ· Κέκροπος πόλι, καὶ παρὰ Νείλῳ
ἔστιν ὅτ' ἐν Μούσαις δριμὺ πέφυκε φυτόν.

ἐν τούτοις δηλοῖ σαφῶς ὅτι Ἀλεξανδρεὺς ἦν γένος. ὁ δ' οὖν Μάχων τοῦ Κορύδου μνημονεύει ἐν τούτοις

Τὸν Κόρυδον ἠρώτησεν Εὐκράτη ποτὲ
b τῶν συμπαρόντων πῶς κέχρητ' αὐτῷ ποτε
Πτολεμαῖος. οὐκ οἶδ', εἶπεν, οὐδέπω σαφῶς.
πεπότικε μὲν γάρ ὥσπερ ἰατρός μ', ἔφη·
ἃ δεῖ φαγεῖν δὲ σιτί' οὐ δέδωκέ πω.

Λυγκεὺς δ' ἐν δευτέρῳ περὶ Μενάνδρου „Ἐπὶ γελοίοις (φησὶ) δόξαν εἰληφότες Εὐκλείδης ὁ Σμικρίνου καὶ Φιλόξενος ἡ Πτερνοκοπίς· ὧν ὁ μὲν Εὐκλείδης ἀποφθεγγό-

---

πτερνοκοπίδα αὐτὸν B. αὐτὸν πτερνοκοπίδα PVL. κωμῳδοποιὸς PVL. Recte A. Epigramma exstat in Anthol. Palat. vol. I. p. 522. ubi Dioscoridi tribuitur. V. 1. κωμῳδιογράφῳ B. φιλάγωνα AB et Anthologia. φιλαοιδὸν VL. φιλαγω . . P. V. 2. ζῶντα repositum ex Anthologia. Legebatur ζῶντι. Μάχωνι] μάχωνα Anthologiae codex Palatinus.

242 a. V. 3. ἀλλ' ἄρα τέχνης] ἀλλά τι τέχναι Anthologia. V. 4. ἠμφίεσας Anthologia. Legebatur ἀμφίεσαι. V. 5. δ' ὁ] δὲ Anthologia. πόλι VL. πόλει ABCP. καὶ παρὰ] ὡς παρὰ P. V. 6. φυτόν] θύμον Anthologia. (θυμός Anth. Pal.) μνημονεύει ἐν τούτοις] ἐν τούτοις om. B. V. 1. Κόρυδον] κόρυδον ἔφη B. Εὐκράτη Grotius in Excerptis p. 855. Libri εὐκράτης.

242 b. V. 2. ποτε om. P. V. 3. οὐκ excidit in L. V. 5. ἃ δεῖ φαίειν δὲ σιτίου δέδωκε BP. Εὐκλείδης om. BP. ἡ πτερνοκοπὶς C. ἢ πτερνοκόπις PVL.

μενος οὐκ ἀνάξια βιβλίου καὶ μνήμης ἐν τοῖς ἄλλοις ἦν ἀηδὴς καὶ ψυχρὸς, ὁ δὲ Φιλόξενος, οὐδὲν ἐπὶ κεφαλαίου
c περιττὸν λέγων, ὅ τι λαλήσειεν ἢ πικρανθείη πρός τινα τῶν συζώντων καὶ διηγήσαιτο, πᾶν ἐπαφροδισίας καὶ χάριτος ἦν μεστόν. καίτοι γε συνέβη τὸν μὲν Εὐκλείδην κατὰ τὸν βίον * * *, τὸν δὲ Φιλόξενον ὑπὸ πάντων φιλεῖσθαι καὶ τιμᾶσθαι.“

41. Μοσχίωνος δέ τινος παρασίτου μνημονεύων Ἄλεξις ἐν Τροφωνίῳ παραμασήτην αὐτὸν ἐν τούτοις καλεῖ·

Εἶθ᾽ ὁ Μοσχίων
ὁ παραμασήτης ἐν βροτοῖς αὐδώμενος.

ἐν δὲ τῷ Παγκρατιαστῇ Ἄλεξις τρεχεδείπνους καταλέγων
d φησὶ

Πρῶτον μὲν ἦν σοι Καλλιμέδων ὁ Κάραβος,
ἔπειτα Κόρυδος, Κωβίων, Κυρηβίων,
ὁ Σκόμβρος, ἡ Σεμίδαλις. Β. Ἡράκλεις φίλε·
ἀγοράσματ᾽, οὐ συμπόσιον εἴρηκας, γύναι.

Κυρηβίων δ᾽ ἐπεκαλεῖτο Ἐπικράτης ὁ Αἰσχίνου τοῦ ῥήτορος κηδεστὴς, ὥς φησι Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας. τῶν δὲ τοιούτων ἐπιθέτων, ἃ ἐπὶ χλεύῃ Ἀθηναῖοι παίζοντες ἔλεγον, μνημονεύει Ἀναξανδρίδης ἐν Ὀδυσσεῖ οὕτως

e Ὑμεῖς γὰρ ἀλλήλους ἀεὶ χλευάζετ᾽, οἶδ᾽ ἀκριβῶς·
ἂν μὲν γὰρ ᾖ τις εὐπρεπὴς, ἱερὸν γάμον καλεῖτε·
ἐὰν δὲ μικρὸν παντελῶς ἀνθρώπιον, σταλαγμόν·

---

ἀνάξια Casaubonus. Libri ἄξια. ἄλλοις] ὅλοις C et epitome Hoeschelii. κεφαλαίου] κεφάλου C.

242 c. ἢ πικρανθείη om. C. συζώντων C. οὐ ζώντων ABDPQ. οθεώντων V. οὐνώντων L. Post βίον indicavi lacunam. μοσχίονα δὲ τὸν παράσιτον, παραμάση τὴν (τὸν) ἄλεξις φησί. ἀλλαχοῦ δ᾽ ὁ αὐτὸς τρεχεδείπνους καταλέγων — C. παραμασήτην] παραμασητὴν A. τρυχεδείπνους B.

242 d. V. 1. Πρῶτον] πρῶτος C. V. 2. Κωβίων] κυβίων B. κωβιὸς C: vide IV. p. 134 b. κυρηβίων AC. κηρυβίων PVL. κηφυκίων B. V. 3. ὁ σκόμβρος, ἡ] θ᾽ ὁ σκόμβρος ἢ C. κυρηβίων VL. κηρυβίων BP. Δημοσθένης] P. 433. Ex Anaxandridis versibus plura attulit Eustathius p. 1642, 50. — 62.

242 e. V. 2. ἂν] ἐὰν BP. καλεῖτε BP. καλεῖτ᾽ VL. V. 3. ἀνθρώπιον P.

λαμπρός τις ἐξελήλυθ᾽, * * ὄλολυς οὗτός ἐστι·
λιπαρὸς περιπατεῖ Δημοκλῆς, ζωμὸς κατωνόμασται·
χαίρει τις αὐχμῶν ἢ ῥυπῶν, κονιορτὸς ἀναπέφηνεν·
f ὄπισθεν ἀκολουθεῖ κόλαξ τῳ, λέμβος ἐπικέκληται·
τὰ πόλλ᾽ ἄδειπνος περιπατεῖ, κεστρῖνός ἐστι νῆστις·
εἰς τοὺς καλοὺς δ᾽ ἄν τις βλέπῃ, καινὸς θεατροποιός·
ὑφείλετ᾽ ἄρνα ποιμένος παίζων, Ἀτρεὺς ἐκλήθη·
ἐὰν δὲ κριὸν, Φρίξος· ἂν δὲ κῳδάριον, Ἰάσων.

42. Χαιρεφῶντος δὲ τοῦ παρασίτου μέμνηται μὲν κἀν
243 τοῖς πρὸ τούτων· ἀτὰρ δὴ καὶ Μένανδρος αὐτοῦ μνημονεύει ἐν Κεκρυφάλῳ, κἀν τῇ Ὀργῇ δέ φησι

Διαφέρει Χαιρεφῶντος οὐδὲ γρῦ
ἄνθρωπος, ὅστις ἐστὶν, ὃς κληθείς ποτε
εἰς ἑστίασιν δωδεκάποδος, ὄρθριος
πρὸς τὴν σελήνην ἔτρεχε τὴν σκιὰν ἰδὼν,
ὡς ὑστερίζων, καὶ παρῆν ἅμ᾽ ἡμέρᾳ.

ἐν δὲ Μέθῃ

Ἐμὲ γὰρ διέτριψεν ὁ
κομψότατος ἀνδρῶν Χαιρεφῶν, ἱερὸν γάμον
b φάσκων ποιήσειν δευτέρᾳ μετ᾽ εἰκάδα
καθ᾽ αὑτὸν, ἵνα τῇ τετράδι δειπνῇ παρ᾽ ἑτέροις·
τὰ τῆς θεοῦ γὰρ πανταχῶς ἔχειν καλῶς.

---

V. 4. λαμπρός τις] λαμπρότης C. Indicavi lacunam. Fortasse εὐθὺς excidit, quod Porsonus Miscellan. p. 237. post οὗτος inserebat. ἐξελήλυθ᾽, ὄλολυς AC. ἐξελήλυθε, λόλυς B. ἐξελήλυθ᾽, ὀλολυγμὸς VL. ἐξελήλυθ᾽ ὀλολυσμὸς P. Omisit haec Eustathius. V. 5. Δημοκλῆς om. Eustathius.

242 f. V. 7. τῷ λέμβος ABC et Eustathius. τῷ λέμβρος P. τηλεμβρος VL. τῷ ex DQ, λέμβος ex D memorat Villebrunius. V. 8. attulit VII. p. 307 e. περιπατεῖ om. P. νῆστις] νήστης A. V. 9. ἄν τις] ὅταν C. καινὸς ABC et epitom. Hoeschel. κενὸς PVL. Καινεὺς Casaubonus. Hunc versum omisit Eustathius. V. 10. ποιμένος add. AC, epitome Hoeschelii et Eustathius. om. PVL. V. 11. ἂν] Scribebatur ἐάν.

243 a. Κεκρυφάλῳ] P. 95. Ὀργῇ] P. 128. V. 1. οὐδὲ γρῦ AB et epitome Hoeschelii. οὐδὲ τοῦ C. οὐδέ που PVL. V. 2. ἄνθρωπος] Scribebatur ἄνθρωπος. V. 3. ὄρθριος ABC. ὄρθιος PVL. V. 4. σκιὰν] σκιάν τ᾽ C. Μέθῃ] P. 109. Hunc locum om. C.

μνημονεύει δ' αὐτοῦ καὶ ἐν Ἀνδρογύνῳ ἢ Κρητί. Τιμοκλῆς δ' ἐν Ἐπιστολαῖς καὶ ὡς Δημοτίωνι τῷ ἀσώτῳ παρασιτοῦντος αὐτοῦ μνημονεύει

Ὁ Δημοτίων δὲ παραμενεῖν αὐτῷ δοκῶν
τἀργύριον οὐκ ἐφείδετ', ἀλλὰ παρέτρεφε
τὸν βουλόμενον. ὁ Χαιρεφῶν μὲν παντελῶς
c οἴκαδε βαδίζειν ᾤετ', ὦ ταλάντατος.
καὶ μὴν ἔτι τοῦτ' ἔστιν ἄξιον μόνον,
τὸν παραμασήτην λαμβάνει δίκρουν ξύλον·
οὔτ' εὔρυθμος γάρ ἐστιν οὔτ' ἀχρήματος.

Ἀντιφάνης δ' ἐν Σκύθῃ

Ἐπὶ κῶμον, εἰ δοκεῖ,
ἴωμεν ὥσπερ ἔχομεν. Β. οὐκοῦν δᾷδα καὶ
στεφάνους λαβόντες. Χαιρεφῶν οὕτως *
μεμάθηκε κωμάζειν ἄδειπνος.

Τιμόθεος Κυναρίῳ

d Πειρώμεθ' ἀποδόντες τὸ δεῖπνον ἀπιέναι.
εἰς ἑπτάκλινον δ' ἐστίν, ὡς ἔφραζέ μοι·
ἂν μὴ παράβυστός που γένηται Χαιρεφῶν.

43. Ἀπολλόδωρος δ' ὁ Καρύστιος ἐν Ἱερείᾳ

Καινόν γέ φασι Χαιρεφῶντ' ἐν τοῖς γάμοις

---

243 b. μνημονεύει δ'] δ' om. A. Timoclis locum om. C. V. 1. παραμενεῖν Schweigh. παραμένειν PVL. αὐτῷ] Scribebatur αὗτῷ.

243 c. V. 4. ᾤετ' V. ᾤετο BP. ᾤεθ' L. ὦ ταλάντατος BP. ὠταλάντατος V, „et simili quodam modo videtur scribi in A." Schweigh. ὁ ταλάντατος L. V. 5. ἔστιν ἄξιον] οὐκ ἔστ' ἀνάξιον Toupius ad schol. Theocrit. VIII, 51. p. 217. et Schweigh. V. 6. τὸ παραμασήτην λαμβάνειν δίκρουν ξύλον; Schweigh. λαμβάνει δίκρουν] λαμβανδίκρουν B. Antiphanis v. 1. εἰ om. ABP. V. 2. οὐκοῦν δᾷδα καὶ Meinekius Quaest. Menand. p. 34. Legebatur οὐκοῦν καὶ δᾷδα καί. V. 3. Indicavi lacunam. Meinekius οὕτως μὲν οὖν. V. 4. μεμάθηκε κωμάζειν Casaubonus. μεμάθηκ' ἐγκωμάζειν A. μεμάθηκ' ἐγκωμιάζειν PVL.

243 d. Timothei versum 1. om. C. V. 1. πειρώμεθ'] πειρώμεσθ' A. ἀποδόντες] ἀποδόντ' ἐς Schweigh. V. 2. δ' om. C. V. 3. ἂν Schweigh. Libri ἐάν. Apollodori versus om. C. δ' ὁ A. δὲ PVL. V. 1. Καινόν] καὶ νῦν Casaubo-

ὡς τὸν Ὀφέλαν ἄκλητον εἰσδεδυκέναι.
σπυρίδα λαβὼν γὰρ καὶ στέφανον, ὡς ἦν σκότος,
φάσκων παρὰ τῆς νύμφης ὁ τὰς ὄρνεις φέρων
e ἥκειν, δεδείπνηχ᾽, ὡς ἔοικεν, εἰσπεσών.

ἐν δὲ Σφαττομένῃ

Καλῶ δ᾽ Ἄρη Νίκην τ᾽ ἐπ᾽ ἐξόδοις ἐμαῖς,
καλῶ δὲ Χαιρεφῶντα· κἂν γὰρ μὴ καλῶ,
ἄκλητος ἥξει.

Μάχων δ᾽ ὁ κωμικός φησιν

Ὁδὸν μακρὰν ἐλθόντος ἐπὶ δεῖπνόν ποτε
τοῦ Χαιρεφῶντος εἰς γάμους ἐξ ἄστεος
εἰπεῖν λέγουσι τὸν ποιητὴν Δίφιλον,
εἰς τὰς ἑαυτοῦ, Χαιρεφῶν, σιαγόνας
f ἔγκοψον ἥλους ἑκατέρᾳ γε τέτταρας,
ἵνα μὴ παρασείων καὶ μακρὰν ἑκάστοτε
ὁδὸν βαδίζων τὰς γνάθους διαστρέφῃς.

καὶ πάλιν

Ὁ Χαιρεφῶν κρεάδι᾽ ὠψώνει ποτὲ,
καὶ τοῦ μαγείρου, φασὶν, ὀστῶδες σφόδρα
αὐτῷ τι προσκόπτοντος ἀπὸ τύχης κρέας,
εἶπεν, μάγειρε, μὴ προσίστα τοῦτό μοι
τοὐστοῦν. ὁ δ᾽ εἶπεν, ἀλλὰ μὴν ἐστι γλυκύ·
244 καὶ μὴν τὸ πρὸς ὀστοῦν φασι κρέας εἶναι γλυκύ.
ὁ Χαιρεφῶν δὲ, καὶ μάλ᾽, ὦ βέλτιστ᾽, ἔφη,
γλυκὺ μὲν, προσιστάμενον δὲ λυπεῖ πανταχῆ.

---

nus. φησὶ χαιρεφῶν B. V. 2. ὀφέλαν ἄκλητον P. ὅφελαν ἄκλητον B. ὀφελ᾽ ἄνακλητον A. ὀφέλλαν ἄκλητον VL. V. 4. νύμφης ὁ] νῦν φησο AB. ὁ τὰς] ο τας P.

243 e. V. 5. δεδείπνηχ᾽ ὡς Casaubonus. δεδειπνηκὼς PVL. Καλῶ] καλῶς BP. Ἄρη] Scribebatur Ἄρην. V. 4. Malim σεαυτοῦ.

243 f. V. 5. ἔγκαψον Brunckii margo, fortasse ex D. V. 6. παρασίων BP. V. 1. ὠψώνει Schweigh. ὄψων εἰ ABPV. ὀψωνεῖ L. V. 4. μάγειρε ABC. μάγειρος PVL. V. 5. τοὐστοῦν] Scribebatur τὸστοῦν.

244 a. V. 7. μάλ᾽ Schweigh. Legebatur μάλιστ᾽. V. 8. Parodia Euripidis Iphig. Aul. v. 23. γλυκὺ μὲν, λυπεῖ δὲ προσιστάμενον. Vidit etiam Porsonus. γλυκὺ μὲν] γλυκύ με B.

τοῦ Χαιρεφῶντος καὶ σύγγραμμα ἀναγράφει Καλλίμαχος ἐν τῷ τῶν παντοδαπῶν πίνακι γράφων οὕτως „Δεῖπνα ὅσοι ἔγραψαν. Χαιρεφῶν Κυρηβίωνι.“ εἶθ᾽ ἑξῆς τὴν ἀρχὴν ὑπέθηκεν „Ἐπειδή μοι πολλάκις ἐπέστειλας. στίχων τοέ.“ καὶ ὁ Κυρηβίων δ᾽ ὅτι παράσιτος προείρηται.

b 44. Καὶ Ἀρχεφῶντος δὲ τοῦ παρασίτου μνημονεύων ὁ Μάχων φησὶ

Κληθεὶς ἐπὶ δεῖπνον ὁ παράσιτος Ἀρχεφῶν
ὑπὸ Πτολεμαίου τοῦ βασιλέως, ἡνίκα
κατέπλευσεν εἰς Αἴγυπτον ἐκ τῆς Ἀττικῆς,
ὄψου πετραίου παρατεθέντος ποικίλου
ἐπὶ τῆς τραπέζης καράβων τ᾽ ἀληθινῶν,
ἐπὶ πᾶσι λοπάδος τ᾽ εἰσενεχθείσης ἁδρᾶς,
c ἐν ᾗ τεμαχιστοὶ τρεῖς ἐνῆσαν κωβιοί,
οὓς κατεπλάγησαν πάντες οἱ κεκλημένοι,
τῶν μὲν σκάρων ἀπέλαυε τῶν τριγλῶν θ᾽ ἅμα
καὶ φυκίδων ἐπὶ πλεῖον Ἀρχεφῶν πάνυ,
ἄνθρωπος ὑπὸ τῶν μαινίδων καὶ μεμβράδων
Φαληρικῆς ἀφύης τε διασεσαγμένος,
τῶν κωβιῶν δ᾽ ἀπέσχετ᾽ ἐγκρατέστατα.
πάνυ δὴ παραδόξου γενομένου τοῦ πράγματος,
d καὶ τοῦ βασιλέως πυθομένου τἀλκήνορος
μὴ παρεόρακεν Ἀρχεφῶν τοὺς κωβιούς;
ὁ κυρτὸς εἶπε, πάνυ μὲν οὖν τοὐναντίον,
Πτολεμαῖ᾽, ἑόρακε πρῶτος, ἀλλ᾽ οὐχ ἅπτεται,
τοὔψον δὲ σέβεται τοῦτο καὶ δέδοικέ πως·

---

Καλλίμαχος] P. 471. In C haec omissa. παντοδαπῶν] συγγραμμάτων add. Casaubonus. πίνακι Casaubonus. πινάκων PVL. Κυρηβίωνι Bentleius. κυρηβίων VL. κορηβιὼν B. τοέ Casaubonus. τὸ ε̄᾽ PVL. προείρηται] P. 242 d.

244 b. V. 4. παρατεθέντος CP et epitome Hoeschelii. παρατιθέντος VL.

244 c. V. 7. τεμαχιστοὶ Casaubonus. τεμαχίσκοι PVL. τεμμαχίσκοι C. κωβιοὶ C. κώβιοι PVL. κωβίοι A. V. 11. μεμβάδων B. V. 13. Scribebatur κωβίων et v. 16. κωβίους. ἀπέχετ᾽ B.

244 d. V. 16. 18. Libri παρεώρακεν et ἑώρακε V. 19. σεύεται C.

οὐδ' ἐστὶν αὐτῷ πάτριον ὄντ' ἀσύμβολον
ἰχθὺν ἔχοντ' ἄψηφον ἀδικεῖν οὐδένα.

45. Ἄλεξις δ' ἐν Πυραύνῳ Στράτιον τὸν παράσιτον εἰσάγει δυσχεραίνοντα τῷ τρέφοντι καὶ λέγοντα τάδε

e Ἐμοὶ παρασιτεῖν κρεῖττον ἦν τῷ Πηγάσῳ,
ἢ τοῖς Βορεάδαις ἢ εἴ τι θᾶττον ἔτι τρέχει,
ἢ Δημέᾳ Λάχητος Ἐτεοβουτάδῃ.
πέτεται γάρ, οὐχ οἷον βαδίζει τὰς ὁδούς.

καὶ μετ' ὀλίγα

Στράτιε, φιλεῖς δή πού με; Β. μᾶλλον τοῦ πατρός.
ὁ μὲν γὰρ οὐ τρέφει με, σὺ δὲ λαμπρῶς τρέφεις.
Α. εὔχει τ' ἀεί με ζῆν ἅπασι τοῖς θεοῖς;
Β. ἂν γάρ πάθῃς τι, πῶς ἐγὼ βιώσομαι;

f Ἀξιόνικος δ' ὁ κωμικὸς ἐν τῷ Τυρρηνῷ Γρυλλίωνος τοῦ παρασίτου ἐν τούτοις μνημονεύει

Οἶνος οὐκ ἔνεστιν *
αὐτοῖς πρὸς ἑταίρους πρόφασιν ἐπὶ κῶμον τινάς,
ὅπερ ποιεῖν εἴωθε Γρυλλίων ἀεί.

Ἀριστόδημος δ' ἐν δευτέρῳ γελοίων ἀπομνημονευμάτων παρασίτους ἀναγράφει, Ἀντιόχου μὲν τοῦ βασιλέως Σώστρατον· Δημητρίου δὲ τοῦ πολιορκητοῦ Εὐαγόραν τὸν κυρτόν· Σελεύκου δὲ Φορμίωνα. Λυγκεὺς δ' ὁ Σάμιος ἐν
245 τοῖς Ἀποφθέγμασι „Σιλανὸς (φησὶν) ὁ Ἀθηναῖος Γρυλλίωνος παρασιτοῦντος Μενάνδρῳ τῷ σατράπῃ, εὐπαρύφου

---

V. 20. 21. om. C. V. 21. ἔχοντα ψῆφον Casaubonus.
Πυραύνῳ] Legebatur Παροίνῳ ex Musuri, opinor, coniectura. παρύνῳ AP. παρύνῷ B. τάδε om. B.

244 e. V. 2. ἢ εἴ τι C. ἤ τι PVL. θᾶσσον C. ἔτι τρέχει Schweigh. ἔτι τούτων τρέχει AB. τούτων ἔτι τρέχει C. τούτων τρέχει PVL. V. 3. ἤδη μεαχάχητος P. V. 4. πέτεται] πατε P.
εὔχει] Scribebatur εὔχῃ.

244 f. Τυρρηνῷ] Legebatur Τυρρηνικῷ. Γρυλλίωνος L. γρυλλίωνος V. γραλλίωνος P. ἔνεστιν ABP. ἔνεστιν νῦν VL. Indicavi lacunam. σώστρατον ABC. σώπατρον PVL.

245 a. Ex epitome Hoeschel. haec attulit Casaubonus, λυγκεὺς δ' ὁ σάμιός φησιν ὅτι σιλιανὸς (σιλάνὸς C) ὁ ἀθηναῖος γρυλλίωνος παρασιτοῦντος μενάνδρῳ τῷ σατράπῃ παρ' εὐπαρύφου (sic etiam A: παρευπαρύφου una voce C) τε περιπατοῦντος μετὰ θεραπείας ἐρωτηθείς, τίς οὗτος; μενάνδρου ἔφησεν ἀξιάγναθος. μενάνδρῳ — περιπατοῦν-

δὲ καὶ μετὰ θεραπείας περιπατοῦντος, ἐρωτηθεὶς τίς ἐστιν οὗτος, Μενάνδρου, ἔφησεν, ἀξία γνάθος. Χαιρεφῶν δ' ἔφησεν ὁ παράσιτος εἰς γάμον ἄκλητος εἰσελθὼν καὶ κατακλιθεὶς ἔσχατος, τῶν γυναικονόμων ἀριθμούντων τοὺς κεκλημένους καὶ κελευόντων αὐτὸν ἀποτρέχειν ὡς παρὰ τὸν νόμον ἐπὶ τοῖς τριάκοντα ἐπόντος, Ἀριθμεῖτε δή, ἔφη, πάλιν, ἀπ' ἐμοῦ ἀρξάμενοι."

b 46. "Ὅτι δ' ἦν ἔθος τοὺς γυναικονόμους ἐφορᾶν τὰ συμπόσια καὶ ἐξετάζειν τῶν κεκλημένων τὸν ἀριθμόν, εἰ ὁ κατὰ νόμον ἐστί, Τιμοκλῆς ἐν Φιλοδικαστῇ φησιν οὕτως·

Ἀνοίγετ' ἤδη τὰς θύρας, ἵνα πρὸς τὸ φῶς
ὦμεν καταφανεῖς μᾶλλον, ἐφοδεύων ἐὰν
βούληθ' ὁ γυναικονόμος λαβεῖν ἀριθμὸν
κατὰ τὸν νόμον τὸν καινόν, ὅπερ εἴωθε δρᾶν,
τῶν ἑστιωμένων. ἔδει δὲ τοὔμπαλιν
τὰς τῶν ἀδείπνων ἐξετάζειν οἰκίας.

Μένανδρος δ' ἐν Κεκρυφάλῳ

c Παρὰ τοῖς γυναικονόμοις δὲ τοὺς ἐν τοῖς γάμοις
διακονοῦντας ἀπογεγράφθαι πυθόμενος
πάντας μαγείρους, κατὰ νόμον καινόν τινα,
ἵνα πυνθάνωνται τοὺς κεκλημένους, ἐὰν
πλείους τις ὧν ἔξεστιν ἑστιῶν τύχῃ,
ἐλθών.

καὶ Φιλόχορος δ' ἐν ἑβδόμῃ Ἀτθίδος „Οἱ γυναικονόμοι (φησὶ) μετὰ τῶν Ἀρεοπαγιτῶν ἐσκόπουν τὰς ἐν ταῖς οἰκίαις συνόδους ἔν τε τοῖς γάμοις καὶ ταῖς ἄλλαις θυσίαις."

d 47. Τοῦ δὲ Κορύδου ἀποφθέγματα τάδε ἀναγράφει ὁ Λυγκεύς· „Κορύδῳ συμπινούσης τινὸς ἑταίρας, ᾗ ὄνομα

---

τος add. AC. om. DPQVL. εὐπαρύφου Schweigh. Libri παρευπαρύφου vel παρ' εὐπαρύφου. ἀξία γνάθος AC. ἀξιάγναθος PVL. κατακλιθεὶς] κατακληθεὶς B. ἔσχατος, τῶν Schweigh. Legebatur ἔσχατος, καὶ τῶν.

245 b. Timoclis et Menandri versus om. C. V. 2. εὐοδεύων B. V. 3. λαβεῖν ἀριθμὸν] Fortasse scripsit ἀπολαβεῖν τὸν ἀριθμόν. Μένανδρος] P. 94.

245 c. V. 1. γυναικεικονόμοις B. τοὺς] τοῖς P, qui τοὺς in margine. V. 5. τύχῃ] τύχης ABP.

ἦν Γνώμη, καὶ τοῦ οἰναρίου ὑπολιπόντος, εἰσφέρειν ἐκέλευσεν ἕκαστον δύο ὀβολοὺς, Γνώμην δὲ συμβάλλεσθαι ὅ τι δοκεῖ τῷ δήμῳ. Πολύκτορος δὲ τοῦ κιθαρῳδοῦ φακῆν ῥοφοῦντος καὶ λίθον μασησαμένου, ὦ ταλαίπωρε, ἔφη, καὶ ἡ φακῆ σε βάλλει.“ μήποτε τούτου καὶ Μάχων μνημονεύει. φησὶ γὰρ

Κακός τις, ὡς ἔοικε, κιθαρῳδὸς σφόδρα
μέλλων οἰκοδομεῖν τὴν οἰκίαν φίλον
αὐτοῦ λίθους ᾔτησεν· ἀποδώσω δ' ἐγὼ
αὐτῶν πολὺ πλείους, φησὶν, ἐκ τῆς δείξεως.

λέγοντος δέ τινος τῷ Κορύδῳ ὡς τῆς αὐτοῦ γυναικὸς ἐνίοτε καὶ τράχηλον καὶ τοὺς τιτθοὺς καὶ τὸν ὀμφαλὸν φιλεῖ, πονηρὸν, ἔφη, τοῦτ' ἤδη. καὶ γὰρ ὁ Ἡρακλῆς ἀπὸ τῆς Ὀμφάλης ἐπὶ τὴν Ἥβην μεταβέβηκε. Φυρομάχου δ' ἐμβαψαμένου εἰς φακῆν καὶ τὸ τρυβλίον ἀνατρέψαντος, ζημιωθῆναι αὐτὸν, ἔφη, δίκαιον, ὅτι οὐκ ἐπιστάμενος δειπνεῖν ἀπεγράψατο. παρὰ Πτολεμαίῳ δὲ ματτύης περιφερο-
f μένης καὶ κατ' ἐκεῖνον ἀεὶ λειπούσης, Πτολεμαῖε, ἔφη, πότερον ἐγὼ μεθύω, ἢ δοκεῖ μοι ταῦτα περιφέρεσθαι; Χαιρεφῶντος δὲ τοῦ παρασίτου φήσαντος οὐ δύνασθαι τὸν οἶνον φέρειν, οὐδὲ γὰρ τὸ εἰς τὸν οἶνον, ἔφη. τοῦ δὲ Χαιρεφῶντος γυμνοῦ ἔν τινι δείπνῳ διαναστάντος, ὦ Χαιρεφῶν, εἶπεν, ὥσπερ τὰς ληκύθους ὁρῶ σε μέχρι πόσου μεστὸς εἶ. καθ' ὃν δὲ καιρὸν Δημοσθένης παρ' Ἁρπάλου
246 τὴν κύλικα εἰλήφει, οὗτος, ἔφη, τοὺς ἄλλους ἀκρατοκώθωνας καλῶν αὐτὸς τὴν μεγάλην ἔσπακεν. εἰωθότος δ' αὐτοῦ ῥυπαροὺς ἄρτους ἐπὶ τὰ δεῖπνα φέρεσθαι, ἐνεγκαμέ-

---

245 d. ὑπολιπόντος] ἐπιλιπόντος Schweigh. ἕκαστον AC et epit. Hoeschel. ἑκατὸν PVL. συμβάλλεσθαι] συμβαλέσθαι C. Machonis versus om. C. V. 2. ἀνοικοδομεῖν τὴν οἰκίαν μέλλων sive hoc sive alio verborum ordine Porsonus ad Aristoph. Vesp. 798. p. 138. ἀνοικοδομεῖν etiam Scaliger in Excerptis Grotii p. 997. Grotius scripserat τὴν οἰκίαν μέλλων ἂν οἰκοδομεῖν.

245 e. V. 3. αὑτοῦ Grotius p. 849. αὐτοῦ PVL. ἀποδώσω Grotius. ἀπολέσω PVL. τῆς αὑτοῦ] τῆς αὐτοῦ PVL. τρυβλίον] τρύβλιον VL. τρίβλιον P.

245 f. λειπούσης VL. λιπούσης BC. πότερον VL. ποτήριον ABP. τὸ εἰς τὸν] τὸ εἰς τὸ B. τοῦ δὲ ABC. τοῦ γὰρ PVL. διαναστάντος ABC. διαστάντος PVL. ὦ Χαιρεφῶν] ὦ om. P.

νου τινὸς ἔτι μελαντέρους, οὐκ ἄρτους ἔφη αὐτὸν ἐνηνοχέναι, ἀλλὰ τῶν ἄρτων σκιάς.“

48. Φιλόξενος δ' ὁ παράσιτος, Πτερνοκοπὶς δ' ἐπίκλην, παρὰ Πύθωνι ἀριστῶν, παρακειμένων ἐλαῶν καὶ μετὰ μικρὸν προσενεχθείσης λοπάδος ἰχθύων, πατάξας τὸ τρυβλίον ἔφη, Μάστιξεν δ' ἐλάαν. ἐν δείπνῳ δὲ τοῦ κα-
b λέσαντος αὐτὸν μέλανας ἄρτους παρατιθέντος, μὴ πολλούς, εἶπε, παρατίθει, μὴ σκότος ποιήσῃς. τὸν δ' ὑπὸ τῆς γραὸς τρεφόμενον παράσιτον Πανσίμαχος ἔλεγε τοὐναντίον πάσχειν τῇ γραΐ συνόντα· αὐτὸν γὰρ ἐν γαστρὶ λαμβάνειν ἀεί. περὶ τούτου καὶ Μάχων γράφει οὕτως

Τὸν ὑδροπότην * Μοσχίωνα λεγόμενον
ἰδόντα φασὶν ἐν Λυκείῳ μετά τινων
παράσιτον ὑπὸ γραὸς τρεφόμενον πλουσίας,
ὁ δεῖνα, παράδοξόν γε ποιεῖς πρᾶγμ', ὅτι
ἡ γραῦς ποιεῖ σ' ἐν γαστρὶ λαμβάνειν ἀεί.

c ὁ δ' αὐτὸς παράσιτον ἀκούσας ὑπὸ γραίας τρεφόμενον συγγινόμενόν τε αὐτῇ ἑκάστης ἡμέρας,

Νῦν πάντα (φησὶ) καινὰ γίγνεθ'· ἡ μὲν οὐ κύει,
ἐν γαστρὶ δ' οὗτος λαμβάνει καθ' ἡμέραν.

Πτολεμαῖος δ' ὁ τοῦ Ἀγησάρχου, Μεγαλοπολίτης γένος, ἐν τῇ δευτέρᾳ τῶν περὶ τὸν Φιλοπάτορα ἱστοριῶν συμπότας φησὶ τῷ βασιλεῖ συνάγεσθαι ἐξ ἁπάσης τῆς πόλεως, οὓς προσαγορεύεσθαι γελοιαστάς.

49. Ποσειδώνιος δ' ὁ Ἀπαμεὺς ἐν τῇ εἰκοστῇ καὶ τρίτῃ τῶν ἱστοριῶν „Κελτοὶ (φησὶ) περιάγονται μεθ' αὐ-

---

246 a. αὐτὸν] αὐτῶν P. ἀλλὰ τῶν ἄρτων] ἀλλ' ἄρτων P, qui τῶν in margine habet. πτερνοκόπις PL. πτερνοκόπης BV. ἡ πτερνοκοπὶς C. Πύθωνι] πύθων B. ἐλαῶν] ἐλκῶν B. Μάστιξεν] Iliad. ί, 366. et alibi.

246 b. τὸν δ' ὑπὸ C. Aberat δ'. γραΐ] γραίᾳ A. V. 1, ὑδροπότην CP. Vid. II. p. 44. d. Scribebatur ὑδροπώτην. Post ὑδροπότην Athenaeus particulam δὲ consulto omisisse videtur. V. 2. λυκίῳ B. V. 3. πλουσίας] εἰπεῖν add. C. V. 4. ποιεῖς BC. ποιεῖ PVL.

246 c. συγγινόμενον] συγγενόμενον B. φησὶ] φασὶ ABP. καινὰ addidi ex C. γίγνεθ'] Scribebatur γίνετ'. γίνεσθ' A. γήμεσθ' BP.

d τῶν καὶ πολεμοῦντες συμβιωτάς, οὓς καλοῦσι παρασίτους. οὗτοι δὲ ἐγκώμια αὐτῶν καὶ πρὸς ἀθρόους λέγουσιν ἀνθρώπους συνεστῶτας, καὶ πρὸς ἕκαστον τῶν κατὰ μέρος ἐκείνων ἀκροωμένων. τὰ δὲ ἀκούσματα αὐτῶν εἰσιν οἱ καλούμενοι Βάρδοι· ποιηταὶ δὲ οὗτοι τυγχάνουσι μετ᾽ ᾠδῆς ἐπαίνους λέγοντες.“ ἐν δὲ τῇ τετάρτῃ καὶ τριακοστῇ ὁ αὐτὸς συγγραφεὺς Ἀπολλώνιόν τινα ἀναγράφει, παράσιτον γεγονότα Ἀντιόχου τοῦ Γρυποῦ ἐπικαλουμένου, τοῦ τῆς Συρίας βασιλέως. Ἀριστόδημος δ᾽ ἱστορεῖ Βίθυν τὸν
e Λυσιμάχου τοῦ βασιλέως παράσιτον, ἐπεὶ αὐτοῦ εἰς τὸ ἱμάτιον ὁ Λυσίμαχος ἐνέβαλε ξύλινον σκορπίον, ἐκταραχθέντα ἀναπηδῆσαι, εἶτα γνόντα τὸ γεγενημένον, κἀγώ σε, φησίν, ἐκφοβήσω, βασιλεῦ· δός μοι τάλαντον. ἦν δ᾽ ὁ Λυσίμαχος μικρολογώτατος. Ἀγαθαρχίδης δ᾽ ὁ Κνίδιος ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν Εὐρωπιακῶν Ἀριστομάχου τοῦ Ἀργείων τυράννου παράσιτον γενέσθαι φησὶν Ἀνθεμόκριτον τὸν παγκρατιαστήν.

f 50. Κοινῇ δὲ περὶ παρασίτων εἰρήκασι Τιμοκλῆς μὲν ἐν Πύκτῃ, ἐπισιτίους καλῶν αὐτοὺς ἐν τοῖσδε

Εὑρήσεις δὲ τῶν ἐπισιτίων
τούτων τινάς, οἳ δειπνοῦσιν ἐσφυδωμένοι
τἀλλότρι᾽, ἑαυτοὺς ἀντὶ κωρύκων δέρειν
παρέχοντες ἀθληταῖσιν.

Φερεκράτης Γραυσὶ

Σὺ δ᾽ οὐδὲ θᾶττον Σμικυθίων ἐπισιτιεῖ;
Β. τίς δ᾽ οὗτος ὑμῖν ἐστι; Α. τοῦτον πανταχοῦ

---

246 d. αὐτῶν AP. ἑαυτῶν VL. συμβιώτας P. ὁ αὐτὸς συγγραφεὺς om. B.

246 e. ἀνεπηδῆσαι] ἀναποδῆσαι B. ἐκφοβήσω] ἐκβοήσω P.

246 f. V. 1. δὲ B. τε PVL. V. 2. ἐσφυδωμένοι ABDQ. ἐσφυδώμενοι PV. ἐσφειδωμένοι Basil. L. om. C. V. 3. τἀλλότρια PVL. δέρειν Porsonus. Legebatur λέγειν. Hoc verbum om. C. V. 4. ἀθληταῖσιν B et Schweigh. editio. ἀθληταῖσι PVL. Φερεκράτης δὲ Schweigh. Pherecratis locum om. C. θᾶττον Schweigh. editio. θᾶσσον PVL. ἐπισιτιεῖ] ἐπίσιτει L errore typothetae. τίς δ᾽ ABP. Aberat δ᾽. ἐστι Casaubonus. ἔτι PVL.

ἄγω λαρυγγικόν τιν᾽ ἐπὶ μισθῷ ξένον.

ἐπισίτιοι γὰρ καλοῦνται οἱ ἐπὶ τροφαῖς ὑπουργοῦντες.
247 Πλάτων ἐν τετάρτῳ Πολιτείας „Καὶ ταῦτ᾽ ἐπισίτιοι, καὶ οὐδὲ μισθὸν πρὸς τοῖς σιτίοις ὥσπερ οἱ ἄλλοι λαβόντες.“ Ἀριστοφάνης Πελαργοῖς

Ἢν γὰρ ἕν᾽ ἄνδρ᾽ ἄδικον σὺ διώκῃς,
ἀντιμαρτυροῦσι
δώδεκα τοῖς ἑτέροις ἐπισίτιοι.

Εὔβουλος δ᾽ ἐν Δαιδάλῳ

Ἐθέλει δ᾽ ἄνευ μισθοῦ παρ᾽ αὐτοῖς καταμένειν
ἐπισίτιος.

51. Δίφιλος δ᾽ ἐν Συνωρίδι, ἑταίρας δ᾽ ὄνομα ἡ Συνωρίς, Εὐριπίδου μνησθείς, κύβος δέ τις οὕτως καλεῖ-
b ται Εὐριπίδης, παίζων καὶ πρὸς τὸ τοῦ ποιητοῦ ὄνομα ἅμα καὶ περὶ παρασίτων τάδε λέγει

Ἄριστ᾽ ἀπαλλάττεις ἐπὶ τούτου τοῦ κύβου.
B. ἀστεῖος εἶ. δραχμὴν ὑπόθες. A. κεῖται πάλαι.
πῶς ἂν βάλοιμ᾽ Εὐριπίδην; B. οὐκ ἄν ποτε
Εὐριπίδης γυναῖκα σώσει᾽. οὐχ ὁρᾷς
ἐν ταῖς τραγῳδίαισιν αὐτὰς ὡς στυγεῖ;
τοὺς δὲ παρασίτους ἠγάπα. λέγει γέ τοι
c „Ἀνὴρ γὰρ ὅστις εὖ βίον κεκτημένος
„μὴ τοὐλάχιστον τρεῖς ἀσυμβόλους τρέφει,

---

λαρυγγικόν τιν᾽ Porsonus. λαρυγγικὸν τὴν BP. λαρυγγικὸν A. λαρυγγίκην VL. ἐπιμισθῷ B.

247 a. τετάρτῳ] P. 420 a. ταῦτ᾽ B. ταῦτα PVL. ταῦτά γε Plato. λαβόντες] λαμβάνοντες Plato. πελαργοῖς AB. πελασγοῖς PVL. ἕν᾽ ἄνδρ᾽ ἄδικον σὺ διώκῃς Porsonus. ἕνα (ἕν᾽ P) ἄνδρα ἄδικον συνδιώκῃς PVL. ἐπισίτιοι] Vereor ne ἐπίσιτοι scripserit. Quae perinde censere Athenaeum ex eo apertum est quod paullo post (247 e.) de ἐπίσιτος antea se dixisse ait. ἐπισίτιος L. ἐπισιτίοις BPV.

247 b. Diphili v. 2. πάλαι add. L. om. PV. V. 3. οὐκ ἄν ποτ᾽ ABCP. οὐκ ἂν πόποτε V. οὐκ ἂν πώποτε L. V. 4. σώσει᾽ Porsonus. σώσειεν ABCP. σώσει VL. V. 5. τραγῳδίαισιν L. τραγῳδίαις ἐν᾽ BPV. αὐτὰς ὡς] ὡς αὐτὰς Porsonus.

247 c. Versus 7. ex Antiope sumptus: vide Stobaeum Floril. XXX, 1. vol. II. p. 28. V. 9. Ex Iphigenia Taur. v. 535.

„ὄλοιτο, νόστου μή ποτ᾽ εἰς πάτραν τυχών.
Α. πόθεν ἐστὶ ταῦτα, πρὸς θεῶν; Β. τί δέ σοι μέλει;
οὐ γὰρ τὸ δρᾶμα, τὸν δὲ νοῦν σκοπούμεθα.

ἐν δὲ τῇ διασκευῇ τοῦ αὐτοῦ δράματος περὶ ὀργιζομένου παρασίτου λέγων φησὶν

Ὀργίζεται. παράσιτος ὢν ὀργίζεται;
οὐκ, ἀλλ᾽ ἀλείψας τὴν τράπεζαν τῇ χολῇ,
ὥσπερ τὰ παιδί᾽, αὐτὸν ἀπογαλακτιεῖ.

d καὶ ἑξῆς

Τότε φάγοις, παράσιθ᾽. Β. ὅρα
ὡς διασέσυρκε τὴν τέχνην. Α. οὐκ οἶσθ᾽ ὅτι
μετὰ τὸν κιθαρῳδὸν ὁ παράσιτος κρίνεται;

κἀν τῷ δὲ ἐπιγραφομένῳ Παρασίτῳ δράματί φησιν

Οὐ δεῖ παρασιτεῖν ὄντα δυσάρεστον σφόδρα.

52. Μένανδρος δ᾽ ἐν τῇ Ὀργῇ περὶ φίλου λέγων οὐχ ὑπακούοντος γάμων δείπνῳ φησὶν

e Τοῦθ᾽ ἑταῖρός ἐστιν ὄντως· οὐκ ἐρωτᾷ πηνίκα
δεῖπνόν ἐστιν, ὥσπερ ἕτεροι, καὶ τί δειπνεῖν κωλύει
τοὺς παρόντας. εἶτα δεῖπνον ἕτερον εἰς τρίτην βλέπει,
εἶτα περίδειπνον πάλιν.

καὶ Ἄλεξις ἐν Ὀρέστῃ, Νικόστρατός τ᾽ ἐν Πλούτῳ, Μένανδρός τ᾽ ἐν Μέθῃ καὶ Νομοθέτῃ, Φιλωνίδης τ᾽ ἐν Κοθόρνοις οὕτως

Ἐγὼ δ᾽ ἀπόσιτος ὢν τοιαῦτ᾽ οὐκ ἀνέχομαι.

---

(521. Matth.) ὄλοιτο] Huc usque C. τυχών dedi ex Euripide. μολεῖ AP. μολεῖν B. μόλοι VL. τοῦ αὐτοῦ Schweigh. Legebatur αὐτοῦ τοῦ. In C scriptum ὁ αὐτὸς δίφιλος ἀλλαχοῦ περὶ παρασίτου φησίν. λέγων φησὶν] λέγει B. ἀλλ᾽ ἀλείψας — ἀπογαλακτιεῖ] Eustathius p. 1829, 49.

247 d. καὶ ἑξῆς — κρίνεται om. C. παράσιθ᾽] παράσιτε B. διασέσυρκε B. Scribebatur διασεσύρηκε. δὲ ἐπιγραφομένῳ ABP. ἐπιγραφομένῳ δὲ VL. δυσάρεστον C in textu. δυσάρεστον ABP et inter versus C. δυσάρεσκον VL. Μένανδρος] P. 129.

247 e. V. 1. ἐστιν ὄντως Grotius in Excerpt. p. 739. ὄντως ἐστὶν PVL. ὄντος ἐστὶν B. Versum 4. sic explevit Porsonus, εἶτα δ᾽ ἕτερον εἰς τετάρτην, εἶτα περίδειπνον πάλιν. περίδειπνον Grotius. περὶ δεῖπνον PVL. Μένανδρος] P. 107. 124. τε ἐν μέθῃ PVL. δ᾽ ἐν μέθῃ B. Φιλωνίδης] Conf. II. p. 47 d. φιλωνίδης B. τε ἐν PVL. δ᾽ ἐν B.

τῷ δὲ παράσιτος ὅμοιά ἐστιν ὀνόματα ἐπίσιτος, περὶ οὗ προείρηται, καὶ οἰκόσιτος σιτόκουρός τε καὶ αὐτόσιτος, ἔτι δὲ κακόσιτος καὶ ὀλιγόσιτος. μνημονεύει δὲ τοῦ μὲν ἐπισίτου Κράτης Τόλμαις

Ποιμαίνει δ' ἐπίσιτον,
ῥιγῶντ' ἐν Μεγαβύζου,
δέξεταί τ' ἐπὶ μισθῷ
σῖτον.

οἰκοσίτου δ' Ἀναξανδρίδης ἐν Κυνηγέταις

f Υἱὸς γὰρ οἰκόσιτος ἡδὺ γίγνεται.

καλεῖται δ' οἰκόσιτος ὁ μὴ μισθοῦ, ἀλλὰ προῖκα τῇ πόλει ὑπηρετῶν. Ἀντιφάνης Σκύθῃ

Ταχὺ γὰρ γίγνεται
κἀκκλησιαστὴς οἰκόσιτος.

Μένανδρος Δακτυλίῳ

Οἰκόσιτον νυμφίον
οὐδὲν δεόμενον προικὸς ἐξευρήκαμεν.

καὶ ἐν Κιθαριστῇ

Οὐκ οἰκοσίτους τοὺς ἀκροατὰς λαμβάνεις.

248 ἰδίως δ' ἐν Συναριστώσαις ἔφη

Ἀστεῖον τὸ μὴ
συνάγειν γυναῖκας μηδὲ δειπνίζειν ὄχλον,
ἀλλ' οἰκοσίτους τοὺς γάμους πεποιηκέναι.

σιτοκούρου δ' Ἄλεξις μνημονεύει ἐν Παννυχίδι ἢ Ἐρίθοις

---

σιτόκουρος — κακόσιτος add. A. om. PVL. σιτόκουρος Schweigh. σιτόκουστος A. ἐπισίτου — μισθῷ σῖτον legebantur infra post ἀκροατὰς λαμβάνεις. Transposuit Porsonus. ἐπισίτου Porsonus. Libri ἐπισιτίου δὲ. Cratetis versus om. C. V. 1. ἐπίσιτον Porsonus. Legebatur ἐπισίτιον. V. 2. ῥιγῶντ' Porsonus. Legebatur ῥιγῶν δ'. Μεγαβύζου Casaubonus. μεταβύξου P, non μεταβύζου, quod ex eo attulit Casaubonus. μετὰ βύξου VL. μεταβύζου Q teste Villebrunio. V. 3. δέξεταί τ' Porsonus. Legebatur δέξετ'. V. 4. σῖτον Casaubonus. σῖτος PVL.

247 f. ἡδὺ] ἤδη P. Scribebatur bis γίνεται. κἀκκλησιαστὴς] Libri καὶ ἐκκλησιαστής. οἰκόσιτος] ὢν προτοῦ addebat Porsonus. Δακτυλίῳ] P. 40. Libri δακτύλῳ. Correxit Casaubonus. Κιθαριστῇ] P. 97.

248 a. Συναριστώσαις] P. 156. σιτοκούρου] σιτοκόρου BP. Ἐρίθοις] ἔρυθυς B.

„Ἔσει περιπατῶν σιτόκουρος.“ Μένανδρος δὲ τὸν ἄχρηστον καὶ μάτην τρεφόμενον σιτόκουρον ἐν Θρασυλέοντι οὕτως

b Ὀκνηρὸς, πάντα μέλλων, σιτόκουρος ὁμολογῶν
παρατρέφεσθαι.

καὶ ἐν Πωλουμένοις

Τάλας, ἕστηκας ἔτι πρὸς ταῖς θύραις
τὸ φορτίον θείς. σιτόκουρον, ἄθλιον,
ἄχρηστον εἰς τὴν οἰκίαν εἰλήφαμεν.

αὐτόσιτον δ' εἴρηκε Κρώβυλος ἐν Ἀπαγχομένῳ

Παράσιτον αὐτόσιτον. αὐτὸν γοῦν τρέφων
τὰ πλεῖστα συνερανιστὸς εἶ τῷ δεσπότῃ.

κακοσίτου δὲ μέμνηται Εὔβουλος ἐν Γανυμήδει

c Ὕπνος αὐτὸν ὄντα κακόσιτον τρέφει.

ὀλιγοσίτου δὲ μέμνηται Φρύνιχος ἐν Μονοτρόπῳ

Ὁ δ' ὀλιγόσιτος Ἡρακλῆς ἐκεῖ τί δρᾷ;

καὶ Φερεκράτης ἢ Στράττις ἐν Ἀγαθοῖς

Ὡς ὀλιγόσιτος ἦσθ' ἄρ', ὃς κατεσθίεις
τῆς ἡμέρας μακρᾶς τριήρους σιτία.

53. Τοσαῦτα τοῦ Πλουτάρχου εἰπόντος περὶ παρασίτων διαδεξάμενος τὸν λόγον ὁ Δημόκριτος, Ἀλλὰ μὴν καὶ αὐτὸς, ἔφη, τὸ ποτίκολλον ἅτε ξύλον παρὰ ξύλῳ, ὡς ὁ Θηβαῖος εἴρηκε ποιητὴς, περὶ κολάκων ἐρῶ τι. „Πράττει
d γὰρ πάντων ὁ κόλαξ ἄριστα“ ὁ καλὸς εἶπε Μένανδρος,

---

Ἔσει] Scribebatur ἔσῃ. Μένανδρος] P. 85.

248 b. Ὀκνηρὸς] ὀχνηρὸς P. ὡς ὀκνηρὸς Porsonus. ὀκνηρὸς — σιτόκουρος attulit Eustathius p. 1854, 7. Legebatur σιτόκουρος (σιτόκουρον BP) ἄθλιος (ἄθλιον ABP) ἄχρηστος (ἄχρηστον ABP) εἰς γῆν ὁμολογῶν. Delevit Porsonus quae ex sequentibus, τὴν in γῆν corrupto, illata sunt. Πωλουμένοις] P. 149. V. 1. Τάλας] τί δ' τάλας Porsonus. V. 3. ἄχρηστον ex loco superiore hic addidit Porsonus. αὐτόσιτον δ'] δ' om. B. Παράσιτον αὐτόσιτον] Haec verba attulit II. p. 47 e. αὐτόσιτον add. ABCPL. om. V. αὐτὸν] αὑτὸν PVL. συνερανιστὸς Porsonus. συνερανιστὴς PVL.

248 c. Ὕπνος] γὰρ add. Porsonus. Ὁ δ'] οὐδ' B. Pherecratis versus iterum apposuit X. p. 415 c. ἡμέρας μακρᾶς] ἡμετέρους μακρὰς B. ἡμετέρας μακρᾶς P. ποτίκολλον ABPV. ποτικολλῶν Basil. L. Vide ad I. p. 24 b. ἐρῶ τι] ἔρωτι B.

248 d. Μένανδρος] In fragmento ab Stobaeo servato: vide

οὐ μακρὰν δ' ἐστὶν ὁ κόλαξ τοῦ τῶν παρασίτων ὀνόματος. Κλείσοφον γοῦν τὸν ὑπὸ πάντων κόλακα Φιλίππου τοῦ τῶν Μακεδόνων βασιλέως ἀναγραφόμενον, Ἀθηναῖος δ' ἦν γένος, ὥς φησι Σάτυρος ὁ περιπατητικὸς ἐν τῷ Φιλίππου βίῳ, Λυγκεὺς ὁ Σάμιος ἐν τοῖς Ἀπομνημονεύμασι παράσιτον ὀνομάζει λέγων οὕτως „Κλείσοφος ὁ Φιλίππου παράσιτος, ἐπιτιμῶντος αὐτῷ τοῦ Φιλίππου διότι ἀεὶ αἰτεῖ, Ἵν', ἔφη, μὴ ἐπιλανθάνωμαι. τοῦ δὲ Φιλίππου δόντος
e αὐτῷ ἵππον τραυματίαν ἀπέδοτο. καὶ μετὰ χρόνον ἐπερωτηθεὶς ὑπὸ τοῦ βασιλέως ποῦ ἐστιν, Ἐκ τοῦ τραύματος, ἔφη, κείνου πέπραται. σκώπτοντος δ' αὐτὸν τοῦ Φιλίππου καὶ εὐημεροῦντος, Εἶτ' οὐκ ἐγώ σε, ἔφη, θρέψω;“ καὶ ὁ Δελφὸς δὲ Ἡγήσανδρος ἐν τοῖς ὑπομνήμασι περὶ τοῦ Κλεισόφου τάδε ἱστορεῖ „Φιλίππου τοῦ βασιλέως εἰπόντος διότι γράμματα αὐτῷ ἐκομίσθη παρὰ Κότυος τοῦ βασιλέως, Κλείσοφος παρὼν ἔφη, εὖ γε νὴ τοὺς θεούς. τοῦ δὲ Φιλίππου εἰπόντος, τί δὲ σὺ οἶδας ὑπὲρ ὧν γέγραπται; νὴ
f τὸν Δία τὸν μέγιστον, εἶπεν, ἄκρως γέ μοι ἐπετίμησας.“

54. Σάτυρος δ' ἐν τῷ τοῦ Φιλίππου βίῳ „Ὅτε (φησὶ) Φίλιππος τὸν ὀφθαλμὸν ἐξεκόπη, συμπροῆλθεν αὐτῷ καὶ ὁ Κλείσοφος τελαμωνισθεὶς τὸν αὐτὸν ὀφθαλμόν. καὶ πάλιν ὅτε τὸ σκέλος ἐπηρώθη, σκάζων συνεξώδευε τῷ βασιλεῖ, καὶ εἴ ποτε δριμὺ προσφέροιτο τῶν ἐδεσμάτων ὁ Φίλιππος, αὐτὸς συνέστρεφε τὴν ὄψιν ὡς συνδαινύμενος. ἐν δὲ
9 τῇ Ἀράβων χώρᾳ οὐχ ὡς ἐν κολακείᾳ τοῦτ' ἐποίουν, ἀλλὰ

---

Meinekium p. 79. Λυγκεὺς ὁ] λυγκεὺς δὲ ὁ P. διότι ἀεὶ] διότι δεῖ (δει P) AP. αἰτεῖ· ἵν' ἔφη μὴ ἐπιλανθάνωμαι Porsonus: αἰτεῖ (εἶναι add. A) ἔφησεν (φημὶ A. ἔφη BC) ἐπιλανθάνομαι VL. αι τει ειναι φημὶ ἐπιλανθάνομαι P. Comparavit Porsonus (Miscellan. p. 238.) ἵν', ἔφη, μὴ γνωσθῇς ex X. p. 427 f.

248 e. ὑπὸ AC. παρὰ VL. κείνου] Malim ἐκείνου vel 'κείνου. πέπραται C et epitome Hoeschelii, πέπρακται PVL. εἶτ' A. εἶτα PVL. ἐγώ σε] ἔγωγε B. εὖ γε C et epitome Hoeschelii. σύ γε PVL. τοῦ δὲ ABC. Aberat δὲ.

248 f. ἐπετίμησας] ἐπιτιμήσῃς B. ἐπιτιμήσας P. τῷ τοῦ φιλίππου B. Aberat τοῦ. ἐξεκόπη] οἰστῷ βληθεὶς ἐν πολέμῳ ὑπὸ Ἀστέρος addit Eustathius p. 995, 23. Κλείσοφος] Κλείδημος Aelian. H. A. IX, 7. δριμὺ] δριμύ τι Porsonus. τῶν ἐδεσμάτων] ἔδεσμα B. συνδαινύμενος PL. συνδαιννύμενος V.

κατά τι νόμιμον, βασιλέως παθόντος τι τῶν μελῶν συνυποκρίνεσθαι τὸ ὅμοιον πάθος, ἐπεὶ καὶ γελοῖον νομίζουσιν ἀποθανόντι μὲν αὐτῷ σπουδάζειν συγκατορύττεσθαι, πηρωθέντι δὲ μὴ χαρίζεσθαι τὴν ἴσην δόξαν τοῦ πάθους." Νικόλαος δ' ὁ Δαμασκηνός, εἷς δ' ἦν τῶν ἐκ τοῦ περιπάτου, ἐν τῇ πολυβίβλῳ ἱστορίᾳ, ἑκατὸν γὰρ καὶ τεσσαράκοντά εἰσι πρὸς ταῖς τέσσαρσι, τῇ ἑκκαιδεκάτῃ καὶ ἑκα-
b τοστῇ φησιν Ἀδιάτομον τὸν τῶν Σωτιανῶν βασιλέα, ἔθνος δὲ τοῦτο Κελτικόν, ἑξακοσίους ἔχειν λογάδας περὶ αὐτόν, οὓς καλεῖσθαι ὑπὸ Γαλατῶν τῇ πατρίῳ γλώττῃ σιλοδούρους, τοῦτο δ' ἐστὶν Ἑλληνιστὶ εὐχωλιμαῖοι. τούτους δ' οἱ βασιλεῖς ἔχουσι συζῶντας καὶ συναποθνήσκοντας, ταύτην ἐκείνων εὐχὴν ποιουμένων· ἀνθ' ἧς συνδυναστεύουσί τε αὐτῷ, τὴν αὐτὴν ἐσθῆτα καὶ δίαιταν ἔχοντες, καὶ συναποθνήσκουσι κατὰ πᾶσαν ἀνάγκην, εἴτ' ἐν νόσῳ τελευτήσειε βασιλεὺς εἴτε πολέμῳ εἴτ' ἄλλως πως. καὶ οὐδεὶς εἰπεῖν ἔχει τινὰ ἀποδειλιάσαντα τούτων τὸν θάνατον, ὅταν ἥκῃ βασιλεῖ, ἢ διεκδύντα.

c 55. Φίλιππον δέ φησι Θεόπομπος ἐν τῇ τετάρτῃ καὶ τεσσαρακοστῇ τῶν ἱστοριῶν Θρασυδαῖον τὸν Θετταλὸν καταστῆσαι τῶν ὁμοεθνῶν τύραννον, μικρὸν μὲν ὄντα τὴν γνώμην, κόλακα δὲ μέγιστον. ἀλλ' οὐκ Ἀρκαδίων ὁ Ἀχαιὸς κόλαξ ἦν, περὶ οὗ ὁ αὐτὸς ἱστορεῖ Θεόπομπος καὶ Δοῦρις ἐν πέμπτῃ Μακεδονικῶν. οὗτος δὲ ὁ Ἀρκαδίων μισῶν τὸν Φίλιππον ἑκούσιον ἐκ τῆς πατρίδος φυγὴν ἔφυγεν. ἦν δ' εὐφυέστατος καὶ πλείους ἀποφάσεις αὐτοῦ μνημονεύονται. ἔτυχε δ' οὖν ποτ' ἐν Δελφοῖς ἐπιδημοῦντος Φιλίππου
d παρεῖναι καὶ τὸν Ἀρκαδίωνα· ὃν θεασάμενος ὁ Μακεδὼν

---

249 a. πηρωθέντι δὲ] δὲ om. BP. εἷς δ' ἦν τῶν ἐκ τοῦ περιπάτου om. P.

249 b. αὐτὸν] αὑτὸν PVL. σιλοδούρους C et Eustathius p. 1278, 33. σιλοδούνους PVL. τελευτήσειε ABP. τελευτήσει CVL. βασιλεὺς ABCP. ὁ βασιλεὺς VL. εἴτε πολέμῳ om. P. ἥκῃ] ἥκει BP.

249 c. Θετταλὸν B. Θεσσαλὸν PVL. Θεόπομπος om. B. πέμπτῃ A. πέμπτῳ VL. εω P. ὁ Ἀρκαδίων] ὁ om. B. ἐπιδημοῦντος] ἀποδημοῦντος P.

*καὶ προσκαλεσάμενος, Μέχρι τίνος φεύξῃ; φησίν, Ἀρκαδίων; καὶ ὅς,*

*Ἔς τ' ἂν (φησί) τοὺς ἀφίκωμαι οἳ οὐκ ἴσασι Φίλιππον.*

*Φύλαρχος δ' ἐν τῇ πρώτῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν, γελάσαντα τὸν Φίλιππον ἐπὶ τούτῳ καλέσαι τε ἐπὶ δεῖπνον τὸν Ἀρκαδίωνα καὶ οὕτω τὴν ἔχθραν διαλύσασθαι. περὶ δὲ Νικησίου τοῦ Ἀλεξάνδρου κόλακος Ἡγήσανδρος τάδ' ἱστορεῖ „Ἀλεξάνδρου δάκνεσθαι φήσαντος ὑπὸ μυιῶν καὶ* e *προθύμως αὐτὰς ἀποσοβοῦντος, τῶν κολάκων τὶς Νικησίας παρών, Ἦπου τῶν ἄλλων μυιῶν, εἶπεν, αὗται πολὺ κρατήσουσι τοῦ σοῦ γευσάμεναι αἵματος.“ ὁ δ' αὐτός φησι καὶ Χειρίσοφον τὸν Διονυσίου κόλακα ἰδόντα Διονύσιον γελῶντα μετά τινων γνωρίμων, ἀπεῖχε δ' ἀπ' αὐτῶν πλείω τόπον, ὡς μὴ συνακούειν, συγγελᾶν. ἐπεὶ δ' ὁ Διονύσιος ἠρώτησεν αὐτὸν διὰ τίνα αἰτίαν οὐ συνακούων τῶν λεγομένων γελᾷ, Ὑμῖν, φησί, πιστεύω, διότι τὸ ῥηθὲν γελοῖόν ἐστιν.*

56. *Πλείστους δ' εἶχε καὶ ὁ υἱὸς αὐτοῦ Διονύσιος* f *τοὺς κολακεύοντας, οὓς καὶ προσηγόρευον οἱ πολλοὶ Διονυσοκόλακας. οὗτοι δὲ προσεποιοῦντο μήτε ὀξὺ ὁρᾶν παρὰ τὸ δεῖπνον, ἐπεὶ ὁ Διονύσιος οὐκ ἦν ὀξυώπης, ἔψαυόν τε τῶν παρακειμένων ὡς οὐχ ὁρῶντες, ἕως ὁ Διονύσιος αὐτῶν τὰς χεῖρας πρὸς τὰ λεκάρια προσῆγεν. ἀποπτύοντος δὲ τοῦ Διονυσίου πολλάκις παρεῖχον τὰ πρόσωπα καταπτύεσθαι· καὶ ἀπολείχοντες τὸν σίαλον ἔτι δὲ τὸν ἔμετον αὐτοῦ μέλιτος ἔλεγον εἶναι γλυκύτερον. Τίμαιος δ' ἐν τῇ*

---

249 d. *Ἔς τ' ἂν*] Homerus Odyss. λ, 122. *εἰσόκε τοὺς ἀφίκηαι οἳ οὐκ ἴσασι θάλασσαν.* (*φησι*) addidi ex B. *Φύλαρχος*] *φίλαρχος* B. *καλέσαι* L. *ἐκάλεσεν* PV. *ἐκάλεσε* B. *δεῖπνον*] *δείπνῳ* P. Legebatur *Ἡγησίου Νικησίου*. *Ἡγησίου* delevit Schweigh.

249 e. *πολυκρατήσουσι* P. *καὶ Χειρίσοφον*] *καὶ* om. P. *συνακούειν* PL. *συνακούει* V. *συγγελᾶν* accessit ex C. *ἐπεὶ δ'*, C. Aberat *δ'*.

249 f. *πολλοὶ*] *παλαιοὶ* B. *διονυσοκόλακας* AB. *διονυσιοκόλακας* CPVL. *αὐτῶν* add. ABC et epitome Hoeschelii. om. PVL. *λεκάρια* ADPQV et libri Casauboniani. *λευκάρια* B., *λεκάνια* C, Basil. L.

*δευτέρᾳ καὶ εἰκοστῇ τῶν ἱστοριῶν Δημοκλέα φησὶ τὸν Διο-
νυσίου τοῦ νεωτέρου κόλακα, ἔθους ὄντος κατὰ Σικελίαν
θυσίας ποιεῖσθαι κατὰ τὰς οἰκίας ταῖς Νύμφαις καὶ περὶ
τὰ ἀγάλματα παννυχίζειν μεθυσκομένους ὀρχεῖσθαί τε περὶ
τὰς θεάς, ὁ Δημοκλῆς ἐάσας τὰς Νύμφας καὶ εἰπὼν οὐ
δεῖν προσέχειν ἀψύχοις θεοῖς ἐλθὼν ὠρχεῖτο πρὸς τὸν
Διονύσιον. ἔπειτα πρεσβεύσας ποτὲ μεθ᾽ ἑτέρων [ὡς τὸν*
b *Διονύσιον] καὶ πάντων κομιζομένων ἐπὶ τριήρους, κατηγο-
ρούμενος ὑπὸ τῶν ἄλλων ὅτι στασιάζοι κατὰ τὴν ἀποδη-
μίαν καὶ βλάπτοι τοῦ Διονυσίου τὰς κοινὰς πράξεις, καὶ
σφόδρα τοῦ Διονυσίου ὀργισθέντος, ἔφησε τὴν διαφορὰν
γενέσθαι αὐτῷ πρὸς τοὺς συμπρέσβεις ὅτι μετὰ τὸ δεῖπνον
ἐκεῖνοι μὲν τὸν Φρυνίχου καὶ Στησιχόρου ἔτι δὲ Πινδά-
ρου παιᾶνα τῶν αὐτῶν τινες ἀνειληφότες ᾖδον, αὐτὸς δὲ
μετὰ τῶν βουλομένων τοὺς ὑπὸ τοῦ Διονυσίου πεποιημέ-*
c *νους διεπεραίνετο. καὶ τούτου σαφῆ τὸν ἔλεγχον παρέξειν
ἐπηγγείλατο· τοὺς μὲν γὰρ αὐτοῦ κατηγόρους οὐδὲ τὸν
ἀριθμὸν τῶν ᾀσμάτων κατέχειν, αὐτὸς δ᾽ ἕτοιμος εἶναι
πάντας ἐφεξῆς ᾄδειν. λήξαντος δὲ τῆς ὀργῆς τοῦ Διονυ-
σίου πάλιν ὁ Δημοκλῆς ἔφη „Χαρίσαιο δ᾽ ἄν μοί τι,
Διονύσιε, κελεύσας τινὶ τῶν ἐπισταμένων διδάξαι με τὸν
πεποιημένον εἰς τὸν Ἀσκληπιὸν παιᾶνα· ἀκούω γάρ σε
πεπραγματεῦσθαι περὶ τοῦτον. παρακεκλημένων δέ ποτε*
d *τῶν φίλων ὑπὸ τοῦ Διονυσίου ἐπὶ τὸ δεῖπνον εἰσιὼν ὁ
Διονύσιος εἰς τὸν οἶκον, Γράμματα ἡμῖν, ἔφη, ἄνδρες*

---

250 a. ὠρχεῖτο A. ὀρχεῖτο CPVL. ὡς τὸν Διονύσιον delet Schweigh., cui ita assentior ut quod praecedit πρὸς τὸν in ὡς τὸν mutari velim. κατηγορούμενος δὲ μετὰ πρεσβείαν τινὰ posuit C.

250 b. κομιζομένων] νομιζομένων P. στασιάζοι ABC. στασιάζει PVL. βλάπτοι B. βλάπτει PVL. τῶν αὐτῶν] τῶν ναυτῶν A. αὐτὸς] αὐτοὶ B. τοὺς ὑπὸ τοῦ] τοῦ συμπότου ABP. τοὺς αὐτοῦ VL. τοὺς ὑπ᾽ αὐτοῦ Schweigh. In C haec sic scripta, ὅτι μετὰ τὸ δεῖπνον τὸν φρυνίχου καὶ στησιχόρου καὶ πινδάρου παιᾶνα ἀνειληφότες ᾖδον — τοὺς αὐτοῦ διονυσίου, omisso πεποιημένους.

250 c. ἐπισταμένων] ἐπιστημένων B. ἀκούω] ἀκούων B. τοῦτον C. τούτων PVL.

250 d. ἡμῖν] ὑμῖν P. ἡμῖν ἔφη A. ἔφη om. PVL. C εἶπε

φίλοι, ἐπέμφθη παρὰ τῶν ἡγεμόνων τῶν εἰς Νέαν πόλιν ἀποσταλέντων. καὶ ὁ Δημοκλῆς ὑπολαβὼν ἔφη, Εὖ γε νὴ τοὺς θεοὺς ἐποίησαν, ἔφη, Διονύσιε. κἀκεῖνος προσβλέψας αὐτῷ, Τί δ' οἶδας, ἔφη, σὺ πότερα κατὰ γνώμην ἐστὶν ἢ τοὐναντίον ἃ γεγράφασιν; καὶ ὁ Δημοκλῆς, Εὖ γε νὴ τοὺς θεοὺς ἐπιτετίμηκας, ἔφη, Διονύσιε. καὶ Σάτυρον δέ τινα ἀναγράφει ὁ Τίμαιος κόλακα ἀμφοτέρων τῶν Διονυσίων.

57. Ἡγήσανδρος δ' ἱστορεῖ καὶ Ἱέρωνα τὸν τύραννον
e ἀμβλύτερον κατὰ τὰς ὄψεις γενέσθαι καὶ τοὺς συνδειπνοῦντας τῶν φίλων ἔχειν ἐπίτηδες διαμαρτάνοντας τῶν ἐδεσμάτων, ἵν' ὑπ' αὐτοῦ χειραγωγῶνται καὶ δοκῇ τῶν ἄλλων ὀξυδερκέστερος εἶναι. Εὐκλείδην δέ φησιν Ἡγήσανδρος τὸν Σεῦτλον ἐπικαλούμενον, παράσιτος δ' ἦν καὶ οὗτος, παραθέντος τινὸς αὐτῷ πλείους σόγκους ἐν δείπνῳ, Ὁ Καπανεύς, ἔφη, ὁ ὑπὸ τοῦ Εὐριπίδου εἰσαγόμενος ἐν ταῖς Ἱκέτισιν ὑπεράστειος ἦν

f Μισῶν τραπέζας ὅστις ἐξογκοῖτ' ἄγαν.

οἱ δὲ δημαγωγοῦντες, φησίν, Ἀθήνησι κατὰ τὸν Χρεμωνίδειον πόλεμον κολακεύοντες τοὺς Ἀθηναίους τἄλλα μὲν ἔφασκον πάντα εἶναι κοινὰ τῶν Ἑλλήνων, τὴν δ' ἐπὶ τὸν οὐρανὸν ἀνθρώπους φέρουσαν ὁδὸν Ἀθηναίους εἰδέναι μόνους. Σάτυρος δ' ἐν τοῖς βίοις Ἀνάξαρχόν φησι τὸν Εὐδαιμονικὸν φιλόσοφον ἕνα τῶν Ἀλεξάνδρου γενέσθαι κολάκων, καὶ συνοδεύοντα τῷ βασιλεῖ, ἐπεὶ ἐγένετό ποτε

---

posuit. εἰς Νέαν] εἰς τὴν νέαν P. ἔφη Διονύσιε] ἔφη om. C. τί δ' οἶδας C. τὸ δ' οἶδας A. τῷ δ' οἶδας PVL. Vid. p. 248 e. καὶ ὁ Δημοκλῆς addita ex AC. ἔφη Διονύσιε] ὦ διονύσιε C. Sequuntur in C quae de Clisopho narrata sunt p. 248 f.

250 e. ἵν' (ἵνα C) ὑπ' αὐτοῦ χειραγωγῶνται BCD et Casaubonus, ex libris suis ut videtur. ἵνα ὑπ' αὐχειραγωγῶνται A. ἵν' ἐπὰν χειραγωγῶνται PVL. δοκῇ ABCDV. δοκεῖ P, Basil. L. ὀξυδερκέστερον B. παραθέντος C. παρατεθέντος PVL. σόγκους] ὄγκους B. ἔφη] Immo φάναι. ὑπεραστεῖος] ὑπεράστιος BP.

250 f. Μισῶν] Euripides Suppl. v. 864. ubi libri φεύγων. ψέγων Athenaeus IV. p. 159 a. τραπέζας] τραπέζαις Euripides et Athenaeus altero loco. δ' ἐπὶ] δὲ εἰς P. Ἀνάξαρχον L. ἀνάξανδρον PV. Exscripsit haec Eustathius p. 1273, 3. ἐπεὶ ἐγένετο — γελάσαντα om. B.

βροντῇ ἰσχυρᾷ καὶ ἐξαισίως ὡς πάντας πτῆξαι, εἰπεῖν, Μή τι σὺ τοιοῦτον ἐποίησας, Ἀλέξανδρε, ὁ τοῦ Διός; τὸν δὲ
251 γελάσαντα εἰπεῖν, Οὐ γὰρ φοβερὸς βούλομαι εἶναι, καθάπερ σύ με διδάσκεις, ὁ τὰς τῶν σατραπῶν καὶ βασιλέων κελεύων με δειπνοῦντα προσφέρεσθαι κεφαλάς. Ἀριστόβουλος δέ φησιν ὁ Κασανδρεὺς Διώξιππον τὸν Ἀθηναῖον παγκρατιαστὴν τρωθέντος ποτὲ τοῦ Ἀλεξάνδρου καὶ αἵματος ῥέοντος εἰπεῖν

Ἰχὼρ οἷόσπερ τε ῥέει μακάρεσσι θεοῖσιν.

58. Ἐπικράτης δ' ὁ Ἀθηναῖος πρὸς βασιλέα πρεσβεύσας, ὥς φησιν Ἡγήσανδρος, καὶ πολλὰ δῶρα παρ'
b ἐκείνου λαβὼν, οὐκ ᾐσχύνετο κολακεύων οὕτως φανερῶς καὶ τολμηρῶς τὸν βασιλέα, ὡς καὶ εἰπεῖν δεῖν κατ' ἐνιαυτὸν οὐκ ἐννέα ἄρχοντας, ἀλλ' ἐννέα πρέσβεις αἱρεῖσθαι πρὸς βασιλέα. θαυμάζω δὲ ἔγωγε τῶν Ἀθηναίων πῶς τοῦτον μὲν ἄκριτον εἴασαν, Δημάδην δὲ δέκα ταλάντοις ἐζημίωσαν, ὅτι θεὸν εἰσηγήσατο Ἀλέξανδρον, καὶ Τιμαγόραν δ' ἀπέκτειναν, ὅτι πρεσβεύων ὡς βασιλέα προσεκύνησεν αὐτόν. Τίμων ὁ Φλιάσιος ἐν τῷ τρίτῳ τῶν σίλλων
c Ἀρίστωνά φησι τὸν Χῖον, Ζήνωνος δὲ τοῦ Κιτιέως γνώριμον, κόλακα γενέσθαι Περσαίου τοῦ φιλοσόφου, ὅτι ἦν ἑταῖρος Ἀντιγόνου τοῦ βασιλέως. Φύλαρχος δὲ ἐν ἕκτῳ ἱστοριῶν Νικησίαν φησὶ τὸν Ἀλεξάνδρου κόλακα θεασάμενον τὸν βασιλέα σπαρασσόμενον ὑφ' οὗ εἰλήφει φαρμάκου εἰπεῖν, Ὦ βασιλεῦ, τί δεῖ ποιεῖν ἡμᾶς, ὅτε καὶ ὑμεῖς οἱ θεοὶ τοιαῦτα πάσχετε; καὶ τὸν Ἀλέξανδρον μόλις ἀναβλέψαντα, Ποῖοι θεοί; φῆσαι· φοβοῦμαι μὴ τοῖς θεοῖσιν ἐχθροί. ἐν δὲ τῇ ὀγδόῃ καὶ εἰκοστῇ ὁ αὐτὸς Φύλαρ-

---

ἰσχυρὰ om. P. τοιοῦτον ACPV. τοιοῦτο Basil. L. τὸ τοιοῦτον Schweigh. Ἀλέξανδρε] ἀλέξανδρος P.

251 a. κασανδρεὺς C. Scribebatur Κασσανδρεύς. Ἰχὼρ] Iliad. ε, 340.

251 b. Τιμαγόραν Valesius. Libri εὐαγόραν. Vide II. p. 48 e. ἀπέκτειναν] ἐπέκτειναν B.

251 c. Κιτιέως] κιττιέως B. ὅτι ABCPV. ὅτε L. Φύλαρχος] φύλαρχος B. Νικησίαν] νικητὰν C. Vid. p. 249 d. φαρμάκου] φάρμακον B. μὴ τοῖς] μή τοι A. θεοῖσιν] θεοῖς C. Fortasse tragici verba sunt φοβοῦμαι μὴ τοῖς θεοῖσιν ἐχθροί. Φύλαρχος om. C.

d χος Ἀντιγόνου τοῦ κληθέντος Ἐπιτρόπου, τοῦ τοὺς Λακεδαιμονίους ἑλόντος, κόλακα γενέσθαι Ἀπολλοφάνη-τινὰ, τὸν εἰπόντα τὴν Ἀντιγόνου τύχην ἀλεξανδρίζειν.

59. Εὔφαντος δ' ἐν τετάρτῃ ἱστοριῶν Πτολεμαίου φησὶ τοῦ τρίτου βασιλεύσαντος Αἰγύπτου κόλακα γενέσθαι Καλλικράτην, ὃς οὕτω δεινὸς ἦν ὡς μὴ μόνον Ὀδυσσέως εἰκόνα ἐν τῇ σφραγῖδι περιφέρειν, ἀλλὰ καὶ τοῖς τέκνοις ὀνόματα θέσθαι Τηλέγονον καὶ Ἀντίκλειαν. Πολύβιος δ'
e ἐν τῇ τρισκαιδεκάτῃ τῶν ἱστοριῶν Φιλίππου τοῦ καταλυθέντος ὑπὸ Ῥωμαίων κόλακα γενέσθαι Ἡρακλείδην τὸν Ταραντῖνον, τὸν καὶ τὴν βασιλείαν αὐτοῦ πᾶσαν ἀνατρέψαντα· ἐν δὲ τῇ τεσσαρεσκαιδεκάτῃ Ἀγαθοκλέους, τοῦ Οἰνάνθης υἱοῦ, ἑταίρου δὲ τοῦ Φιλοπάτορος βασιλέως, Φίλωνα. Ἱερωνύμου δὲ τοῦ Συρακοσίων τυράννου Θράσωνα τὸν Κάρχαρον ἐπικαλούμενον Βάτων ὁ Σινωπεὺς ἱστορεῖ ἐν τῷ περὶ τῆς τοῦ Ἱερωνύμου τυραννίδος, προσφέρεσθαι φάσκων αὐτὸν ἑκάστοτε πολὺν ἄκρατον. τοῦτον δ' ἐποίησεν ἀναιρεθῆναι ὑπὸ τοῦ Ἱερωνύμου ἕτερος κόλαξ Ὦσις ὄνομα· καὶ αὐτὸν δὲ τὸν Ἱερώνυμον ἀνέπεισε διάδημά τε ἀναλαβεῖν καὶ τὴν πορφύραν καὶ τὴν ἄλλην πᾶσαν διασκευὴν ἣν ἐφόρει Διονύσιος ὁ τύραννος. Ἀγαθαρχίδης δ' ἐν τῇ τριακοστῇ τῶν ἱστοριῶν „Αἰρήσιππος (φησίν) ὁ Σπαρτιάτης ἄνθρωπος οὐ μετρίως φαῦλος, οὐδὲ

---

251 d. τοῦ τοὺς Schweigh. τοὺς ABCP. τοῦ VL. Ἀπολλοφάνη] ἀπολλοφάνην P. τινὰ ascivi ex B. τρίτου βασιλεύσαντος] γ' βασιλέως B. Τηλέγονον] τηλέμαχον P, qui in margine γονον. τρισκαιδεκάτῃ] Vol. III. p. 445. — 447.

251 e. Ἡρακλείδην Schweigh. ex Polybio. Legebatur Προκλείδην. βασιλείαν] βασίλειαν P. τεσσαρεσκαιδεκάτῃ] Vol. III. p. 486. Fortasse πεντεκαιδεκάτῃ scribendum. Vide Polybium XV, 33. vol. III. p. 560. 561. φασὶ δὲ καὶ τοῦ φιλοπάτορος βασιλέως κόλακα φίλωνα C et epit. Hoeschel. Οἰνάνθης L. οἰνὰν PV. οἰνάνθου codex Huraldinus. ἑταίρου Casaubonus. ἑτέρου PVL. Συρακοσίων] Scribebatur Συρακουσίων. βάτων AC et epitome Hoeschelii. κάτων PVL.

251 f. Ὦσις] Σῶσις I. F. Gronovius ad Livii XXIV. 5, 12. διάδημά τε L. διαδήματα BPV. ἀναλαβεῖν AB. λαβεῖν PVL. In C haec omissa. ἄνθρωπος om. B. οὐ] ἦν οὐ C. οὐδὲ δοκῶν Schweigh. Libri οὔτε δοκῶν.

δοκῶν χρηστὸς εἶναι, πιθανὸν δ᾽ ἔχων ἐν κολακείᾳ λόγον,
καὶ θεραπεῦσαι τοὺς εὐπόρους μέχρι τῆς τύχης δεινός.“
252 τοιοῦτος ἦν καὶ Ἡρακλείδης ὁ Μαρωνίτης ὁ Σεύθου τοῦ
Θρᾳκῶν βασιλέως κόλαξ, οὗ μνημονεύει Ξενοφῶν ἐν ἑβδόμῃ
Ἀναβάσεως.

60. Θεόπομπος δ᾽ ἐν ὀκτωκαιδεκάτῃ ἱστοριῶν περὶ
Νικοστράτου Ἀργείου λέγων ὡς ἐκολάκευε τὸν Περσῶν
βασιλέα γράφει καὶ ταῦτα „Νικόστρατον δὲ τὸν Ἀργεῖον
πῶς οὐ χρὴ φαῦλον νομίζειν; ὃς προστάτης γενόμενος τῆς
Ἀργείων πόλεως καὶ παραλαβὼν καὶ γένος καὶ χρήματα
καὶ πολλὴν οὐσίαν παρὰ τῶν προγόνων, ἅπαντας ὑπερε-
βάλετο τῇ κολακείᾳ καὶ ταῖς θεραπείαις οὐ μόνον τοὺς
b τότε στρατείας μετασχόντας, ἀλλὰ καὶ τοὺς ἔμπροσθεν
γενομένους. πρῶτον μὲν γὰρ οὕτως ἠγάπησε τὴν παρὰ
τοῦ βαρβάρου τιμὴν ὥστε βουλόμενος ἀρέσκειν καὶ πι-
στεύεσθαι μᾶλλον ἀνεκόμισε πρὸς βασιλέα τὸν υἱόν· ὃ
τῶν ἄλλων οὐδεὶς πώποτε φανήσεται ποιήσας. ἔπειτα καθ᾽
ἑκάστην ἡμέραν, ὁπότε μέλλοι δειπνεῖν, τράπεζαν παρετί-
θει χωρὶς ὀνομάζων τῷ δαίμονι τῷ βασιλέως, ἐμπλήσας
σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων, ἀκούων μὲν τοῦτο ποιεῖν
καὶ τῶν Περσῶν τοὺς περὶ τὰς θύρας διατρίβοντας, οἰό-
c μενος δὲ διὰ τῆς θεραπείας ταύτης χρηματιεῖσθαι μᾶλλον
παρὰ τοῦ βασιλέως. ἦν γὰρ αἰσχροκερδὴς καὶ χρημάτων
ὡς οὐκ οἶδ᾽ εἴ τις ἕτερος ἥττων. Ἀττάλου δὲ τοῦ βασι-
λέως ἐγένετο κόλαξ καὶ διδάσκαλος Λυσίμαχος, ὃν Καλ-
λίμαχος μὲν Θεοδώρειον ἀναγράφει, Ἕρμιππος δ᾽ ἐν τοῖς
Θεοφράστου μαθηταῖς καταλέγει. οὗτος δ᾽ ὁ ἀνὴρ καὶ
περὶ τῆς Ἀττάλου παιδείας συγγέγραφε βίβλους, πᾶσαν
κολακείαν ἐμφαινούσας. Πολύβιος δ᾽ ἐν ὀγδόῃ ἱστοριῶν
„Καύαρος (φησὶν) ὁ Γαλάτης, ὢν τἆλλα ἀνὴρ ἀγαθὸς,
d ὑπὸ Σωστράτου τοῦ κόλακος διεστρέφετο, ὃς ἦν Χαλκη-
δόνιος γένος.“

---

252 a. Ξενοφῶν] κύρος C. ὡς] πῶς P. ἐκαλάκευε B. Legebatur ἐκολάκευσε. τοὺς τότε] τοὺς τῆς τότε Schweigh.

252 b. μετασχόντας] μετέχοντας B. ποιήσας] πόησας P. ὀνομάζων om. B. τῷ βασιλέως A. τοῦ βασιλέως CPVL.

252 c. λυσίμαχος CD. σίμαχος PVL. Θεοδώρειον B et Schweigh. editio. Θεοδώριον PVL. βύβλους P. Πολύβιος] Vol. III. p. 60.

61. *Λικινίου δὲ Κράσσου τοῦ ἐπὶ Πάρθους στρατεύσαντος κόλακά φησι γενέσθαι Νικόλαος ἐν τῇ τεσσαρεσκαιδεκάτῃ πρὸς ταῖς ἑκατὸν Ἀνδρόμαχον τὸν Καρρηνὸν, ᾧ τὸν Κράσσον πάντα ἀνακοινούμενον προδοθῆναι Πάρθοις ὑπ' αὐτοῦ καὶ ἀπολέσθαι. οὐκ ἀτιμώρητος δ' ὑπὸ τοῦ δαιμονίου παρείθη ὁ Ἀνδρόμαχος. μισθὸν γὰρ λαβὼν τῆς πράξεως τὸ τυραννεῖν Καρρῶν τῆς πατρίδος, διὰ τὴν*
e *ὠμότητα καὶ βίαν ὑπὸ τῶν Καρρηνῶν πανοικίᾳ ἐνεπρήσθη. Ποσειδώνιος δ' ὁ Ἀπαμεὺς, ὕστερον δὲ Ῥόδιος χρηματίσας, ἐν τῇ τετάρτῃ τῶν ἱστοριῶν Ἱέρακά φησι τὸν Ἀντιοχέα πρότερον λυσιῳδοῖς ὑπαυλοῦντα ὕστερον γενέσθαι κόλακα δεινὸν Πτολεμαίου τοῦ ἑβδόμου βασιλέως, τοῦ καὶ Εὐεργέτου ἐπικληθέντος, καὶ τὰ μέγιστα δυνηθέντα παρ' αὐτῷ, καθάπερ καὶ παρὰ τῷ Φιλομήτορι, ὕστερον ὑπ' αὐτοῦ διαφθαρῆναι. Μιθριδάτου δ' ἀναγράφει κόλακα*
f *Σωσίπατρον ἄνθρωπον γόητα Νικόλαος ὁ περιπατητικός. Θεόπομπος δ' ἐν τῇ ἐνάτῃ τῶν Ἑλληνικῶν Σισύφου φησὶ τοῦ Φαρσαλίου κόλακα καὶ ὑπηρέτην γενέσθαι Ἀθήναιον τὸν Ἐρετριέα.*

62. *Διαβόητος δὲ ἐγένετο ἐπὶ κολακείᾳ καὶ ὁ τῶν Ἀθηναίων δῆμος. Δημοχάρης γοῦν ὁ Δημοσθένους τοῦ ῥήτορος ἀνεψιὸς ἐν τῇ εἰκοστῇ τῶν ἱστοριῶν διηγούμενος περὶ ἧς ἐποιοῦντο οἱ Ἀθηναῖοι κολακείας πρὸς τὸν Πολιορκητὴν Δημήτριον, καὶ ὅτι τοῦτ' οὐκ ἦν ἐκείνῳ βουλομένῳ,*

---

252 d. *λικινίου* PVL. *λικιννίου* ABC. *πάρθοις* P. *Καρρηνὸν*] *καρρῆνον* L. *καρπῆνον* AV. Correctum ex C, in quo *ἀνδρόμαχος ὁ καρρηνὸς* dicitur. *καῤῥῆνον* P in textu, *καρπῆνον ἢ καρνῆνον* in margine. „*Legebatur τὸν καρπῆνον. In Huraldino καρνῆνον et καρνῶν, constanti errore. Fecimus ut esset τὸν Καῤῥηνὸν, ex coniectura primo, deinde ex membranis, quibus adstipulatur Plutarchus in Crasso* [p. 562 a.]." Casaubonus. *ἀνακινούμενον* C. *καρρῶν* CL. *καρπῶν* APV. *ὑπὸ τῶν καρρηνῶν* om. C. *Καρρηνῶν* Schweigh. *καρρήνων* L. *καρπήνων* AV. *καρνήνων* P.

252 e. *ἐνεπρήσθη*] *ἐνεπρίσθη* P. *χρηματίσας*] *χρηματίω* P. *τῇ τετάρτῃ*] *δω'* B. *ἑβδόμου*] *ζου'* B. *βασιλέως* om. B. *ἐπικληθέντος* AB. *κληθέντος* PVL. om. C. *Σωσίπατρον*] *σώπατρον* P.

252 f. *ἐνάτῃ*] *ἐννάτῃ* P. Locum de Sisypho om. C. *Φαρσαλίου* ABD. *βαρσαλίου* PVL. *πρὸς τὸν* C. *πρός τε τὸν* PVL.

γράφει οὕτως „Ἐλύπει μὲν καὶ τούτων ἔνια αὐτόν, ὡς ἔοικεν, οὐ μὴν ἀλλὰ καὶ ἄλλα γε παντελῶς αἰσχρὰ καὶ ταπεινά· Λεαίνης μὲν καὶ Λαμίας Ἀφροδίτης ἱερά, καὶ Βουρίχου καὶ Ἀδειμάντου καὶ Ὀξυθέμιδος τῶν κολάκων αὐτοῦ καὶ βωμοὶ καὶ ἡρῷα καὶ σπονδαί. τούτων ἑκάστῳ καὶ παιᾶνες ᾔδοντο, ὥστε καὶ αὐτὸν τὸν Δημήτριον θαυμάζειν ἐπὶ τοῖς γινομένοις καὶ λέγειν ὅτι οὐδεὶς ἐπ᾽ αὐ-
b τοῦ Ἀθηναίων γέγονε μέγας καὶ ἁδρὸς τὴν ψυχήν.“ καὶ Θηβαῖοι δὲ κολακεύοντες τὸν Δημήτριον, ὥς φησι Πολέμων ἐν τῷ περὶ τῆς ποικίλης στοᾶς τῆς ἐν Σικυῶνι, ἱδρύσαντο ναὸν Ἀφροδίτης Λαμίας. ἐρωμένη δ᾽ ἦν αὕτη τοῦ Δημητρίου, καθάπερ καὶ ἡ Λέαινα. τί οὖν παράδοξον οἱ Ἀθηναῖοι οἱ τῶν κολάκων κόλακες ἐποίησαν εἰς αὐτὸν τὸν Δημήτριον παιᾶνας καὶ προσόδια ᾄδοντες; φησὶ γοῦν ὁ Δημοχάρης ἐν τῇ πρώτῃ καὶ εἰκοστῇ γράφων „Ἐπανελθόντα δὲ τὸν Δημήτριον ἀπὸ τῆς Λευκάδος καὶ Κερκύ-
c ρας εἰς τὰς Ἀθήνας οἱ Ἀθηναῖοι ἐδέχοντο οὐ μόνον θυμιῶντες καὶ στεφανοῦντες καὶ οἰνοχοοῦντες, ἀλλὰ καὶ προσόδια καὶ χοροὶ καὶ ἰθύφαλλοι μετ᾽ ὀρχήσεως καὶ ᾠδῆς ἀπήντων αὐτῷ, καὶ ἐφιστάμενοι κατὰ τοὺς ὄχλους ᾖδον ὀρχούμενοι, καὶ ἐπᾴδοντες ὡς εἴη μόνος θεὸς ἀληθινός, οἱ δ᾽ ἄλλοι καθεύδουσιν, ἢ ἀποδημοῦσιν, ἢ οὐκ εἰσί, γεγονὼς δ᾽ εἴη ἐκ Ποσειδῶνος καὶ Ἀφροδίτης, τῷ δὲ κάλλει διάφορος καὶ τῇ πρὸς πάντας φιλανθρωπίᾳ κοι-
d νός. δεόμενοι δ᾽ αὐτοῦ ἱκέτευον, φησί, καὶ προσηύχοντο.“

---

253 a. ἱερὰ] ἱρᾶ B. βωμοὶ — σπονδαί] βωμὸν — σπονδὰς epitome Hoescheliana, non C, in quo sic scriptum, ἐλύπει — οὐ μὴν καὶ ἄλλα γε παντελῶς — ἱερά· ἐρώμεναι δ᾽ ἦσαν αὗται δημητρίου· βουρίχου δὲ καὶ — ὀξυθέμιδος βωμοὶ — σπονδαὶ καὶ παιᾶνες. καὶ ἦσαν οὗτοι κόλακες κολάκων. ὥστε καὶ αὐτὸν τὸν δημήτριον θαυμάζειν — ἁδρὸς τὴν ψυχήν. ἐπανιόντα οὖν ἀπὸ λευκάδος —. οὐδεὶς ἐπ᾽ αὐτοῦ] ἐπ᾽ αὐτοῦ οὐδεὶς B. ἐπ᾽ αὐτοῦ PL. ἐπ᾽ ἀδοῦ V.

253 b. στοᾶς τῆς] τῆς om. B. τί οὖν ABPV. τὸ οὖν L. οἱ τῶν Coraës. Aberat οἱ. εἰς αὐτὸν Coraës. οἱ εἰς αὐτὸν PVL. ᾄδοντες om. P.

253 c. ἀπήντων] ἀπήντουν B. Post Ἀφροδίτης sic pergit C ἔλεγον δὲ καί, ὡς ὁ δοῦρις ὁ σάμιος φησίν, ὅτι ἱλαρός, ὥσπερ τὸν θεὸν δεῖ, καὶ καλὸς καὶ γελῶν πάρεῖ. καὶ οἱ φίλοι πάντες κύκλῳ, ἐν μέσοισι δ᾽ αὐτὸς —.

63. Ὁ μὲν οὖν Δημοχάρης τοσαῦτα εἴρηκε περὶ τῆς Ἀθηναίων κολακείας· Δοῦρις δ' ὁ Σάμιος ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν ἱστοριῶν καὶ αὐτὸν τὸν ἰθύφαλλον,

Ὡς οἱ μέγιστοι τῶν θεῶν καὶ φίλτατοι
τῇ πόλει πάρεισιν.
ἐνταῦθα γὰρ Δήμητρα καὶ Δημήτριον
ἅμα παρῆγ' ὁ καιρός.
χἠ μὲν τὰ σεμνὰ τῆς Κόρης μυστήρια
ἔρχεθ' ἵνα ποιήσῃ,
ὁ δ' ἱλαρός, ὥσπερ τὸν θεὸν δεῖ, καὶ καλὸς
καὶ γελῶν πάρεστι.
σεμνόν, ὅθι φαίνεθ', οἱ φίλοι πάντες κύκλῳ,
ἐν μέσοισι δ' αὐτός,
e ὅμοιος ὥσπερ οἱ φίλοι μὲν ἀστέρες,
ἥλιος δ' ἐκεῖνος.
ὦ τοῦ κρατίστου παῖ Ποσειδῶνος θεοῦ
χαῖρε κἀφροδίτης.
ἄλλοι μὲν ἢ μακρὰν γὰρ ἀπέχουσιν θεοί,
ἢ οὐκ ἔχουσιν ὦτα,
ἢ οὐκ εἰσίν, ἢ οὐ προσέχουσιν ἡμῖν οὐδὲ ἕν·
σὲ δὲ παρόνθ' ὁρῶμεν,
οὐ ξύλινον οὐδὲ λίθινον, ἀλλ' ἀληθινόν.
εὐχόμεσθα δή σοι·
πρῶτον μὲν εἰρήνην ποίησον φίλτατε·
κύριος γὰρ εἶ σύ.
τὴν δ' οὐχὶ Θηβῶν, ἀλλ' ὅλης τῆς Ἑλλάδος

---

253 d. καὶ αὐτὸν BP et Casaubonus. κατ' αὐτὸν VL. V. 3. γὰρ Δήμητρα καὶ accesserunt ex Toupii coniectura Emend. vol. II. p. 617. cui Δήμητρα nominativus est. γὰρ Δήμητραν ἰδὲ addebat Casaubonus. In V post ἐνταῦθα asteriscus defectus index est. Δημήτριον Casaubonus. δημήτριος PVL. V. 4. ἅμα PL. ἅμος V. παρῆγ' Porsonus. παρῆν PVL. V. 7. καλὸς καὶ γελῶν ABC. καλῶς γελῶν PVL. V. 9. σεμνὸν ABDPQ. σεμνὸς VL. φαίνεθ' ABP. φαίνονθ' VL. V. 10. αὐτὸς C. αὐτοῖς PVL.

253 e. V. 11. οἱ] εἰ Toupius. V. 12. ἐκεῖνοι B. V. 14. καὶ ἀφροδίτης PVL. V. 17. οὐδὲν P. V. 18. παρόντα ABCP. V. 20. εὐχόμεθα PVL. V. 21. πρῶτον μὲν] πρῶτόν με A.

Σφίγγα περικρατοῦσαν,
Αἰτωλὸς ὅστις ἐπὶ πέτρας καθήμενος,
ὥσπερ ἡ παλαιά,
τὰ σώμαθ᾽ ἡμῶν πάντ᾽ ἀναρπάσας φέρει,
f κοὐκ ἔχω μάχεσθαι·
Αἰτωλικὸν γὰρ ἁρπάσαι τὰ τῶν πέλας,
νῦν δὲ καὶ τὰ πόρρω·
μάλιστα μὲν δὴ κόλασον αὐτός· εἰ δὲ μή,
Οἰδίπουν τιν᾽ εὑρέ,
τὴν Σφίγγα ταύτην ὅστις ἢ καταχρημνιεῖ,
ἢ σπίνον ποιήσει.

64. Ταῦτ᾽ ᾖδον οἱ Μαραθωνομάχαι οὐ δημοσίᾳ μόνον, ἀλλὰ καὶ κατ᾽ οἰκίαν, οἱ τὸν προσκυνήσαντα τὸν Περσῶν βασιλέα ἀποκτείναντες, οἱ τὰς ἀναρίθμους μυριάδας τῶν βαρβάρων φονεύσαντες. Ἄλεξις γοῦν ἐν Φαρμα-
254 κοπώλῃ ἢ Κρατεύᾳ προπίνοντά τινα εἰσαγαγὼν ἑνὶ τῶν συμποτῶν καὶ λέγοντα ποιεῖ τάδε

Παῖ τὴν μεγάλην δός, ἐπιχέας
φιλίας κυάθους * τῶν παρόντων τέτταρας·
τοὺς τρεῖς δ᾽ ἔρωτος προσαποδώσεις ὕστερον·
ἕν᾽ Ἀντιγόνου τοῦ βασιλέως νίκης καλῶς,
καὶ τοῦ νεανίσκου κύαθον Δημητρίου·
φέρε τὸν τρίτον
Φίλας Ἀφροδίτης. χαίρετ᾽ ἄνδρες συμπόται·
b ὅσων ἀγαθῶν τὴν κύλικα μεστὴν πίομαι.

65. Τοιοῦτοι τότ᾽ ἐγένοντο οἱ Ἀθηναῖοι, κολακείας,

---

V. 24. περικρατοῦσαν Casaubonus. Libri περιπατοῦσαν. V. 25. αἰτωλὸς ABP. αἰτωλὸν DQ. αἰτωλίδ᾽ CVL. V. 26. ἡ παλαιὰ Casaubonus. ἡ πάλαι VL. οἱ πάλαι P.

253 f. V. 31. κόλασον Toupius p. 618. σχόλασον PVL. V. 34. σπίνον Schweigh. σπεῖνον A. σπεινὸν P. πεινῆν CVL. μαραθωνομάχαι AC. μαραθωνομάχοι PVL. τὸν περσῶν AC. τῶν περσῶν PVL. ἀποκτείνοντες B. ἀναρίθμους B. ἀνηρίθμους PVL.

254 a. Κρατεύᾳ L. κρατείᾳ ABPV. Alexidis versus om. C. V. 1. ἐπιχέας Valesius. ὑποχέας PVL. V. 2. Libri κυάθους τῶν. κυάθους τοὺς τῶν Schweigh. V. 3. ἔρωτος Dalecampius. ἔρωτας PVL. V. 4. ἕν᾽ additum ab Casaubono. καλῶς] καλῆς Casaubonus. V. 7. ἀφροδίτης ABP. ἀφροδίτας VL. Vide p. 255 c.

254 b. V. 8. ὅσων AP et Casaubonus. ὅσην VL.

θηρίου χαλεπωτάτου, λύσσαν ἐμβαλούσης αὐτῶν τῇ πόλει· ἣν ὁ μὲν Πύθιος ἑστίαν τῆς Ἑλλάδος ἀνεκήρυξε, πρυτανεῖον δὲ Ἑλλάδος ὁ δυσμενέστατος Θεόπομπος, ὁ φήσας ἐν ἄλλοις πλήρεις εἶναι τὰς Ἀθήνας Διονυσοκολάκων καὶ ναυτῶν καὶ λωποδυτῶν, ἔτι δὲ ψευδομαρτύρων καὶ συκο-
c φαντῶν καὶ ψευδοκλητήρων. οὓς ἐγὼ πείθομαι ὡς ἐπομβρίαν ἤ τι δεινὸν ἐκ θεοῦ τὴν προειρημένην πᾶσαν εἰσηγήσασθαι κολακείαν. περὶ ἧς καλῶς ὁ Διογένης ἔλεγε πολὺ κρεῖττον εἶναι ἐς κόρακας ἀπελθεῖν ἢ ἐς κόλακας, οἳ ζῶντας ἔτι τοὺς ἀγαθοὺς τῶν ἀνδρῶν κατεσθίουσι. φησὶ γοῦν καὶ Ἀναξίλας

Οἱ κόλακές εἰσι τῶν ἐχόντων οὐσίας
σκώληκες. εἰς οὖν ἄκακον ἀνθρώπου τρόπον
εἰσδὺς ἕκαστος ἐσθίει καθήμενος,
ἕως ἂν ὥσπερ πυρὸν ἀποδείξῃ κενόν.
d ἔπειθ᾽ ὁ μὲν λέμμ᾽ ἐστίν, ὁ δ᾽ ἕτερον δάκνει.

Πλάτων δ᾽ ἐν Φαίδρῳ φησὶ „Κόλακι, δεινῷ θηρίῳ καὶ βλάβῃ μεγάλῃ, ὅμως ἐπέμιξεν ἡ φύσις ἡδονήν τινα οὐκ ἄμουσον.“ Θεόφραστος δ᾽ ἐν τῷ περὶ κολακείας φησὶν ὡς Μύρτις [μύστης] ὁ Ἀργεῖος Κλεώνυμον τὸν χορευτὴν ἅμα καὶ κόλακα, προσκαθίζοντα πολλάκις αὐτῷ καὶ τοῖς συνδικάζουσι, βουλόμενον δὲ καὶ μετὰ τῶν κατὰ τὴν πόλιν ἐνδόξων ὁρᾶσθαι, λαβόμενος τοῦ ὠτὸς καὶ ἕλκων αὐτὸν
e ἐκ τοῦ συνεδρίου πολλῶν παρόντων εἶπεν, Οὐ χορεύσεις ἐνθάδε οὐδ᾽ ἁμῶν ἀκούσει. Δίφιλος δ᾽ ἐν Γάμῳ φησὶν

---

ὁ μὲν Πύθιος] Conf. V. p. 187 d.

254 c. εἰσηγήσασθαι ABC. εἰσαγαγέσθαι VL. εἰσηγάγεσθαι P. Διογένης] Alii Antistheni hoc dictum tribuunt: vide annotationem.

V. 1. Οἱ] ἔνιοι PVL. οἱ repositum ex C, in quo sic scriptum, καὶ ἀναξίλας δὲ φησὶν, οἱ κόλακες —, et Eustathio p. 952, 51. In litteris ενι fortasse latet nomen fabulae, veluti ἐν Νηρεῖ. V. 2. οὖν] οὓς B. V. 3. εἰσδὺς] δὺς P.

254 d. V. 5. ἕτερον δάκνει Casaubonus. ἑτεροδακνεῖ libri et Eustathius. πλάτων δὲ ἐν B. πλάτων τ᾽ ἐν PVL. Φαίδρῳ] P. 240 b. ὅμως] ὅπως ABP. om. C. Θεόφραστος] Vol. V. p. 197. μύστης om. C. βουλόμενον — ὁρᾶσθαι om. C.

254 e. χορεύσεις C. χορεύεις B. χορεύσει PVL. ἀκούσει] ἀκούσῃ C.

Ὁ γὰρ κόλαξ
καὶ στρατηγὸν καὶ δυνάστην καὶ φίλους καὶ τὰς πόλεις
ἀνατρέπει λόγῳ κακούργῳ μικρὸν ἡδύνας χρόνον.
νῦν δὲ καὶ καχεξία τις ὑποδέδυκε τοὺς ὄχλους,
αἱ κρίσεις θ' ἡμῶν νοσοῦσι, καὶ τὸ πρὸς χάριν πολύ.

διὸ καὶ Θετταλοὶ καλῶς ποιήσαντες κατέσκαψαν τὴν κα-
f λουμένην πόλιν Κολακείαν, ἣν Μηλιεῖς ἐνέμοντο, ὥς φησι Θεόπομπος ἐν τῇ τριακοστῇ.

66. Κόλακας δ' εἶναί φησι Φύλαρχος καὶ τοὺς ἐν Λήμνῳ κατοικοῦντας Ἀθηναίων ἐν τῇ τρισκαιδεκάτῃ τῶν ἱστοριῶν. χάριν γὰρ ἀποδιδόντας τοῖς Σελεύκου καὶ Ἀντιόχου ἀπογόνοις, ἐπεὶ αὐτοὺς ὁ Σέλευκος πικρῶς ἐπιστα-
255 τουμένους ὑπὸ Λυσιμάχου οὐ μόνον ἐξείλετο, ἀλλὰ καὶ τὰς πόλεις αὐτοῖς ἀπέδωκεν ἀμφοτέρας, οἱ Λημνόθεν Ἀθηναῖοι οὐ μόνον ναοὺς κατεσκεύασαν τοῦ Σελεύκου, ἀλλὰ καὶ τοῦ υἱοῦ Ἀντιόχου. καὶ τὸν ἐπιχεόμενον κύαθον ἐν ταῖς συνουσίαις Σελεύκου σωτῆρος καλοῦσι.

Ταύτην δὲ τὴν κολακείαν τινὲς ἐκτρεπόμενοι τοὔνομα ἀρέσκειαν προσαγορεύουσιν, ὡς καὶ Ἀναξανδρίδης ἐν Σαμίᾳ

Τὸ γὰρ κολακεύειν νῦν ἀρέσκειν ὄνομ' ἔχει.

b οὐκ ἐπίστανται δὲ οἱ τὴν κολακείαν μεταχειριζόμενοι ὡς ἔστιν αὕτη ἡ τέχνη ὀλιγοχρόνιος. Ἄλεξις γοῦν φησιν ἐν Ψευδομένῳ

Κόλακος δὲ βίος μικρὸν χρόνον ἀνθεῖ·
οὐδεὶς γὰρ χαίρει πολιοκροτάφῳ παρασίτῳ.

Κλέαρχος δ' ὁ Σολεὺς ἐν τῷ πρώτῳ τῶν Ἐρωτικῶν „Κό-

---

V. 2. καὶ στρατηγὸν ABCP.' καὶ om. VL. καὶ φίλους] καὶ τοὺς φίλους C. V. 4. 5. infra p. 262 a. post δραπέτην posuit C. V. 4. ὑποδέδυκε L. ὑποδέδρικε V. ὑποδέδωκε C. ὑποδέδοικε P. V. 5. θ'] δ' C. Θετταλοὶ] θετταλὸς B.

254 f. φύλαρχος BCP. φίλαρχος VL. τῶν ἱστοριῶν] τῶν om. B. αὐτοὺς B et Schweigh. editio. αὐτὸς PVL.

255 a. ναοὺς om. P. τοὔνομα ἀρέσκειαν] τοὔνομα ἀρέσκειν B. ἀρέσκειν ὄνομ' Canterus Nov. Lect. IV, 5. et Casaubonus. ἀρέσκειαν ὄνομ' PVL.

255 b. Κόλακος] κολάκων C. μικρὸν] μακρὸν B. πολιοκροτάφῳ C. Σολεὺς] σέλευκος B.

λαξ μὲν οὐδεὶς (φησὶ) διαρκεῖ πρὸς φιλίαν· καταναλίσκει γὰρ ὁ χρόνος τὸ τοῦ προσποιήματος αὐτῶν ψεῦδος. ὁ δ' c ἐραστὴς κόλαξ ἐστὶ φιλίας δι' ὥραν ἢ κάλλος.“ τῶν δὲ Δημητρίου τοῦ βασιλέως κολάκων οἱ περὶ Ἀδείμαντον τὸν Λαμψακηνὸν νεὼν κατασκευασάμενοι καὶ ἀγάλματα ἱδρυσάμενοι Θριῆσιν, ὠνόμασαν Φίλας Ἀφροδίτης καὶ τὸν τόπον Φιλαῖον ἐκάλεσαν ἀπὸ τῆς Δημητρίου μητρὸς Φίλας, ὥς φησι Διονύσιος ὁ τοῦ Τρύφωνος ἐν τῷ δεκάτῳ περὶ ὀνομάτων.

67. Κλέαρχος δ' ὁ Σολεὺς ἐν τῷ ἐπιγραφομένῳ Γεργιθίῳ καὶ πόθεν ἡ ἀρχὴ τοῦ ὀνόματος τῶν κολάκων παρῆλθε διηγεῖται) καὶ αὐτὸν τὸν Γεργίθιον ὑποτιθέμενος, ἀφ' οὗ τὸ βιβλίον ἔχει τὴν ἐπιγραφήν, ἕνα γεγονότα τῶν d Ἀλεξάνδρου κολάκων. διηγεῖται δὲ οὕτως „Τὴν κολακείαν ταπεινὰ ποιεῖν τὰ ἤθη τῶν κολάκων, καταφρονητικῶν ὄντων τῶν περὶ αὐτούς. σημεῖον δὲ τὸ πᾶν ὑπομένειν εἰδότας οἷα τολμῶσι. τὰ δὲ τῶν κολακευομένων ἐμφυσωμένων τῇ κολακείᾳ, χαύνους καὶ κενοὺς ποιοῦντα, πάντων ἐν ὑπεροχῇ παρ' αὐτοῖς ὑπολαμβάνεσθαι κατασκευάζεσθαι.“ ἑξῆς τε διηγούμενος περί τινος μειρακίου Παφίου μὲν τὸ γένος, βασιλέως δὲ τὴν τύχην, „Τοῦτο (φησὶ) τὸ μειράe κιον (οὐ λέγων αὐτοῦ τοὔνομα) κατέκειτο δι' ὑπερβάλλουσαν τρυφὴν ἐπὶ ἀργυρόποδος κλίνης, ὑπεστρωμένης Σαρδιανῇ ψιλοτάπιδι τῶν πάνυ πολυτελῶν. ἐπεβέβλητο δ' αὐτῷ πορφυροῦν ἀμφίταπον ἀμοργίνῳ καλύμματι περιειλημμένον. προσκεφάλαια δ' εἶχε τρία μὲν ὑπὸ τῇ κεφαλῇ βύσσινα παραλουργῆ, δι' ὧν ἠμύνετο τὸ καῦμα, δύο δ' ὑπὸ τοῖς ποσὶν ὑσγινοβαφῆ τῶν Δωρικῶν καλουμένων· ἐφ' ὧν κατέκειτο λευκῇ χλαμύδι.“

f 68. „Παραδεδεγμένοι δ' εἰσὶ πάντες οἱ κατὰ τὴν Κύπρον μόναρχοι τὸ τῶν εὐγενῶν κολάκων γένος ὡς χρήσιμον. πάνυ γὰρ τὸ κτῆμα τυραννικόν ἐστι. καὶ τούτων οἷον Ἀρεοπαγιτῶν τινων οὔτε τὸ πλῆθος οὔτε τὰς ὄψεις

---

255 c. αὐτὸν τὸν ABP. Aberat τὸν. βυβλίον P.
255 e. ψιλοτάπιδι] πητι margo P. περιειλημμένον] περιειλημένον Schweigh. καῦμα Casaubonus. κάλυμμα PVL. λευκῇ χλαμύδι] ἐν λευκῇ χλανίδι Casaubonus.
255 f. Ἀρεοπαγιτῶν] ἀριοπαγιτῶν B.

ἔξω τῶν ἐπιφανεστάτων οἶδεν οὐδείς. διῃρημένων δὲ διχῆ
κατὰ συγγένειαν τῶν ἐν τῇ Σαλαμῖνι κολάκων, ἀφ᾽ ὧν
εἰσιν οἱ κατὰ τὴν ἄλλην Κύπρον κόλακες, τοὺς μὲν Γερ-
γίνους, τοὺς δὲ Προμάλαγγας προσαγορεύουσιν. ὧν οἱ μὲν
256 Γεργῖνοι συναναμιγνύμενοι τοῖς κατὰ τὴν πόλιν ἔν τε τοῖς
ἐργαστηρίοις καὶ ταῖς ἀγοραῖς ὠτακουστοῦσι, κατασκόπων
ἔχοντες τάξιν, ὅ τι δ᾽ ἂν ἀκούσωσιν ἀναφέρουσιν ἑκάστης
ἡμέρας πρὸς τοὺς καλουμένους ἄνακτας. οἱ δὲ Προμάλαγ-
γες ζητοῦσιν ἀντὶ τῶν ὑπὸ τῶν Γεργίνων προσαγγελθέντων
ὅ τι ἂν ἄξιον εἶναι ζητήσεως δόξῃ, ὄντες τινὲς ἐρευνηταί.
καὶ τούτων οὕτως ἔντεχνος καὶ πιθανὴ πρὸς ἅπαντας ἡ
ἔντευξις ὥστ᾽ ἔμοιγε δοκεῖ, καθάπερ καὶ αὐτοί φασι, παρ᾽
b ἐκείνων εἰς τοὺς ἔξω τόπους διαδεδόσθαι τὸ σπέρμα τῶν
ἐλλογίμων κολάκων. καὶ γὰρ οὐχ οἷον μετρίως ἐπὶ τῷ
πράγματι σεμνύνονται διὰ τὸ τετιμῆσθαι παρὰ τοῖς βασι-
λεῦσιν, ἀλλὰ καὶ λέγουσιν ὅτι τῶν Γεργίνων τις, ἀπόγο-
νος ὢν τῶν Τρώων ἐκείνων οὓς Τεῦκρος ἀπὸ τῶν αἰχμα-
λώτων κατακτησάμενος εἰς Κύπρον ἔχων ἀπῴκισεν, οὗτος
διὰ τῆς παραλίας μετ᾽ ὀλίγων στείλας ἐπὶ τῆς Αἰολίδος
κατὰ πύστιν ἅμα καὶ οἰκισμὸν τῆς τῶν προγόνων χώρας
c πόλιν οἰκίσειε περὶ τὴν Τρωικὴν Ἴδην, συμπαραλαβών τινας
τῶν Μυσῶν· ἣ πάλαι μὲν ἀπὸ τοῦ γένους Γέργινα, νῦν
δὲ Γέργιθα κέκληται. τούτου γάρ, ὡς ἔοικε, τοῦ στόλου
τινὲς ἀποσπασθέντες ἐν τῇ Κυμαίᾳ κατέσχον, ἐκ Κύπρου
τὸ γένος ὄντες, ἀλλ᾽ οὐκ ἐκ τῆς Θετταλικῆς Τρίκκης, κα-
θάπερ τινὲς εἰρήκασιν, ὧν ἰατρεῦσαι τὴν ἄγνοιαν οὐδ᾽
Ἀσκληπιάδαις τοῦτό γε νομίζω δεδόσθαι."

69. „Γεγόνασι δὲ παρ᾽ ἡμῖν καὶ ἐπὶ Γλοῦ τοῦ Καρὸς

---

τοὺς δὲ om. B. Προμάλαγγας] προμαλάγγους AB. προμαλάγους P.

256 a. γεργῖνοι C. γεργίνοι PVL. τῶν γεργίνων ABC et lectiones Aegianae. τῶν om. PVL. προσαγγελθέντων] προσαχθέντες C. Voluit -ἐ ων. ὅτι ἂν — καὶ τούτων add. ABCL, epitome Hoeschel. et lectiones Aegianae. om. PV.

256 b. διαδεδόσθαι AC. διαδίδοσθαι PVL. Γεργίνων] γεοργίνων B. ἀπῴκισεν PVL. ἀπῴκησεν ABC. ὀλίγων AC. ὀλίγοι PVL. οἰκίσειε] οἰκήσειε B.

256 c. δεδόσθαι] διδόσθαι (sic) B. Γλοῦ τοῦ Casaubonus. γλούτου PVL.

καὶ γυναῖκες ὑπὸ τὰς ἀνάσσας αἱ προσαγορευθεῖσαι κολα-
d κίδες. ἀφ' ὧν ὑπολιπεῖς τινες εἰς τὸ πέραν ἀφικόμεναι μετάπεμπτοι πρός τε τὰς Ἀρταβάζου καὶ τὰς Μέντορος γυναῖκας κλιμακίδες μετωνομάσθησαν ἀπὸ τοιαύτης πράξεως· ταῖς μεταπεμψαμέναις ἀρεσκευόμεναι κλίμακα κατεσκεύαζον ἐξ ἑαυτῶν οὕτως ὥστ' ἐπὶ τοῖς νώτοις αὐτῶν τὴν ἀνάβασιν γίγνεσθαι καὶ τὴν κατάβασιν ταῖς ἐπὶ τῶν ἁμαξῶν ὀχουμέναις. εἰς τοῦτο τρυφῆς, ἵνα μὴ ἀθλιότητος εἴπω, προηγάγοντο τεχνώμεναι τὰς ἀφρονεστάτας. τοιγαροῦν αὗται μὲν ἐκ τῶν λίαν μαλακῶν ὑπὸ τῆς τύχης με-
e ταβιβασθεῖσαι σκληρῶς ἐβίωσαν ἐπὶ γήρως, αἱ δὲ τῶν παρ' ἡμῖν ταῦτα διαδεξάμεναι ἐκπεσοῦσαι τῆς ἐξουσίας κατῆραν εἰς Μακεδονίαν, καὶ τὰς τῶν ἐκεῖ κυρίας τε καὶ βασιλίδας ὃν τρόπον ταῖς ὁμιλίαις διέθεσαν οὐδὲ λέγειν καλόν, πλὴν ὅτι μαγευόμεναι καὶ μαγεύουσαι ταυροπόλοι καὶ τριοδοί τινες αὗται πρὸς ἀλήθειαν ἐγένοντο, πλήρεις πάντων ἀποκαθαρμάτων. τοσούτων ἔοικε καὶ τοιούτων ἡ κολακεία κα-
f κῶν αἰτία γενέσθαι τοῖς διὰ τοῦ κολακεύεσθαι προσδεξαμένοις αὐτήν."

70. Προελθὼν δὲ πάλιν ὁ Κλέαρχος καὶ τάδε φησὶν „Ἀλλ' ἤδη καὶ τῇ τούτων χρείᾳ μέμψαιτ' ἄν τις τὸ μειράκιον, ὥσπερ εἶπον. οἱ μὲν γὰρ παῖδες μικρὸν ἄπωθεν τῆς κλίνης ἐν χιτωνίσκοις ἕστασαν, τριῶν δ' ὄντων ἀνδρῶν δι' οὓς δὴ νῦν ὁ πᾶς λόγος ἐνέστηκε, καὶ τούτων ὄντων ἐπωνύμων παρ' ἡμῖν, ὁ μὲν εἷς ἐπὶ τῆς κλίνης πρὸς ποδῶν καθῆστο, τοὺς τοῦ μειρακίου πόδας ἐπὶ τοῖς αὑτοῦ γόνασι λεπτῷ ληδίῳ συνημφιακώς. ὃ δὲ ἐποίει δή-

---

256 d. ὑπολιπεῖς] ὑπολιπεῖν B. κλιμακίδες] κεμακίδες B. Attulit hunc locum Eustathius p. 1669, 34. τεχνώμεναι] τεχνωμένας B.

256 e. τύχης ABP. τέχνης CVL. παρ' ἡμῖν] παρ' ἡμῶν P. διαδεξάμεναι Schweigh. διαδεξαμένων PVL. om. C. διέθεσαν C et epitome Hoeschelii. ὑπέθεσαν PVL. ταυροπόλοι καὶ BC et epitome Hoeschel. ταυροπολικὰ PVL. τοσούτων — αὐτήν om. C. κακῶν om. P.

256 f. ἤδη καὶ τῇ B. Aberat καὶ. ἄπωθεν] ἄποθεν C. τριῶν δ'] δ' om. B. οὓς δὴ νῦν AC. οὓς νῦν PVL. ἡμῖν] ὑμῖν B. αὑτοῦ A. αὐτοῦ PVL. γόνασιν ἑαυτοῦ C. ἐποίει] ἐπόει AC.

257 πού καὶ μὴ λέγοντος οὐκ ἄδηλον. καλεῖται δ' οὗτος ὑπὸ τῶν ἐγχωρίων Παράθυστος, διὰ τὸ καὶ τῶν μὴ παραδεχομένων ὅμως τεχνικώτατα κολακεύων παρεμπίπτειν ἐς τὰς ὁμιλίας. ἅτερος δ' ἦν ἐπί τινος δίφρου κειμένου παρ' αὐτὴν τὴν κλίνην, καὶ τοῦ νεανίσκου τὴν χεῖρα παρεικότος ἐκκρεμάμενος, ταύτῃ καὶ προσπεπτωκὼς κατέψηχέ τε καὶ τῶν δακτύλων ἕκαστον ἐν μέρει διαλαμβάνων εἷλκέ τε καὶ ἐξέτεινεν· ὥστε τὸν πρῶτον αὐτὸν ἐπονομάσαντα Σικύαν
b εὐστόχως εἰρηκέναι δοκεῖν. ὁ δὲ τρίτος ὁ Θὴρ ὁ γενναιότατος, ὅσπερ ἦν τῆς ὑπηρεσίας πρωταγωνιστής, προσεστηκὼς αὐτῷ κατὰ κεφαλὴν μετεῖχε τῶν βυσσίνων προσκεφαλαίων, ἀποκεκλιμένος εἰς αὐτὰ πάνυ φιλικῶς. καὶ τῇ μὲν ἀριστερᾷ τὸ τοῦ μειρακίου τριχωμάτιον ἐπικοσμῶν, τῇ δεξιᾷ δὲ Φωκαϊκὸν ψῦγμά τι διακινῶν ὡς αἰωρῶν ἡδὺς ἦν, ἀλλ' οὐκ ἀποσοβῶν. διό μοι δοκεῖ ἄν αὐτῷ δαίμων τις ἐλευθέριος νεμεσήσας ἐφεῖναι τῷ μειρακίῳ μυῖαν, οὐκ
c ἄλλην ἢ 'κείνην, ἧς καὶ τὴν Ἀθηνᾶν φησιν Ὅμηρος ἐνεῖναι τῷ Μενελάῳ τὸ θάρσος, οὕτως ἦν ἐρρωμένη καὶ ἄφοβος τὴν ψυχήν. δηχθέντος δὲ τοῦ μειρακίου τηλικοῦτον ἀνέκραγεν ἅνθρωπος ὑπὲρ ἐκείνου καὶ οὕτως ἠγανάκτησεν ὥστε διὰ τὴν πρὸς μίαν ἔχθραν ἁπάσας ἐκ τῆς οἰκίας ἤλαυνεν. ὅθεν καὶ φανερὸς ἐγένετο πρὸς τούτῳ τεταχὼς ἑαυτόν."

71. Ἀλλ' οὐ Λεύκων τοιοῦτος ἦν ὁ Ποντικὸς τύραννος, ὃς ἐπεὶ συχνοὺς τῶν φίλων ᾔσθετο σεσυλημένους ὑπὸ τῶν τινος περὶ αὐτὸν κολάκων, συνιδὼν τὸν ἄνθρωπον
d διαβάλλοντά τινα τῶν λοιπῶν φίλων, Ἀπέκτεινα ἄν, εἶπε, σὲ νὴ τοὺς θεούς, εἰ μὴ πονηρῶν ἀνδρῶν ἡ τυραννὶς

257 a. κατέψηχε C et epitome Hoeschelii. κατέψυχε PVL.

257 b. ψῦγμα L. ψῆγμα ABCPV. αἰωρῶν] αἰδρῶν P. αἰώραν Casaubonus. ἐφεῖναι BC. Legebatur ἐφίησι. μυῖαν] μᾶλλον P. ἢ 'κείνην C. ἢ κείνην PVL.

257 c. ἧς Casaubonus. ὡς PVL. Ὅμηρος] Iliad. ρ, 570. ἅνθρωπος] Scribebatur ἄνθρωπος. ἑαυτόν BC. αὐτόν V. αὐτόν PL. ὃς add. CL. om. APV. τῶν τινος περὶ] Legebatur τῶν περὶ. τινος τῶν περὶ Schweigh. αὐτὸν AC. ἑαυτὸν P. ἑαυτῶν VL. συνιδὼν τὸν ABP. Aberat τόν.

257 d. νὴ τοὺς θεοὺς om. P.

ἐδεῖτο. Ἀντιφάνης δ' ὁ κωμῳδιοποιὸς ἐν Στρατιώτῃ τὰ ὅμοια λέγει περὶ τῆς τῶν ἐν Κύπρῳ βασιλέων τρυφῆς. ποιεῖ δέ τινα ἀναπυνθανόμενον στρατιώτου τάδε

Ἐν Κύπρῳ φῄς, εἰπέ μοι, διήγετε
πολὺν χρόνον; B. τὸν πάνθ', ἕως ἦν ὁ πόλεμος.
A. ἐν τίνι τόπῳ μάλιστα; λέγε γάρ. B. ἐν Πάφῳ·
e οὗ πρᾶγμα τρυφερὸν διαφερόντως ἦν ἰδεῖν
ἄλλως τ' ἄπιστον. A. ποῖον; B. ἐρριπίζετο
ὑπὸ τῶν περιστερῶν, ὑπ' ἄλλου δ' οὐδενός,
δειπνῶν ὁ βασιλεύς. A. πῶς; ἐάσας τἆλλα γὰρ
ἐρήσομαί σε τοῦτο, πῶς; B. ἠλείφετο
ἐκ τῆς Συρίας ἥκοντι τοιούτῳ μύρῳ
καρποῦ σύχν' οἷόν φασι τὰς περιστερὰς
τρώγειν. διὰ τὴν ὀσμὴν δὲ τούτου πετόμεναι
f παρῆσαν, οἷαί τ' ἦσαν ἐπικαθιζάνειν
ἐπὶ τὴν κεφαλήν· παῖδες δὲ παρακαθήμενοι
ἐσόβουν. ἐπαίρουσαι δὲ μικρόν, οὐ πολὺ
τοῦ μήτ' ἐκεῖσε μήτε δεῦρο παντελῶς,
οὕτως ἀνερρίπιζον, ὥστε σύμμετρον
αὐτῷ τὸ πνεῦμα, μὴ περίσκληρον, ποιεῖν.

258 72. Εἴη οὖν ἂν ὁ τοῦ προειρημένου μειρακίου κόλαξ μαλακοκόλαξ, ὥς φησιν ὁ Κλέαρχος. πρὸς γὰρ τῷ τοιούτῳ κολακεύειν καὶ τὸ σχῆμα τῶν κολακευομένων ἐπακολουθοῦν ἀποπλάττεται, παραγκωνίζων καὶ σπαργανῶν ἑαυτὸν τοῖς τριβωναρίοις· ὅθεν αὐτὸν οἱ μὲν παραγκωνιστήν, οἱ δὲ σχηματοθήκην καλοῦσι. κατ' ἀλήθειαν γὰρ ὁ κόλαξ ἔοικεν εἶναι τῷ Πρωτεῖ ὁ αὐτός. γίγνεται γοῦν παντοδαπὸς οὐ μόνον κατὰ τὴν μορφήν, ἀλλὰ καὶ κατὰ τοὺς λόγους·

---

κωμῳδιοποιὸς VL. κωμῳδοποιὸς BP. V. 1. ἐν κύπρῳ ABCP. ἐν δὴ κύπρῳ VL. Fortasse ἐν τῇ Κύπρῳ scribendum. διήγετο B.

257 e. V. 5. ἄλλως τ'] Legebatur ἄλλως γ'. V. 7. τἄλλα B. Legebatur τἀμά. V. 10. σύχν' οἷον Porsonus. συχνοῦ ὂν ABCP. συχνοῦ γ' ὂν VL.

258 a. μαλακοκόλαξ om. P. γὰρ τῷ τοιούτῳ] γὰρ τὸ οὕτω ex epitome Hoeschelii restituebat Casaubonus. γὰρ τῷ οὕτω C: ut Casaubonus τὸ calami lapsu scripsisse videatur. σχῆμα τῶν] σχῆμα τῷ τῶν Schweigh. ἐπακολουθοῦν] ἐπακολουθῶν C et epit. Hoeschelii. τριβωναρίοις AC. τριβωνίοις PVL. ὁ αὐτός. γίγνεται γοῦν] ὁ αὐτὸς γοῦν γίνεται B.

οὕτω ποικιλόφωνός τις ἐστίν. Ἀνδροκύδης δ' ὁ ἰατρὸς ἔλεγε b τὴν κολακείαν ἔχειν τὴν ἐπωνυμίαν ἀπὸ τοῦ προσκολλᾶσθαι ταῖς ὁμιλίαις. ἐμοὶ δὲ δοκεῖ διὰ τὴν εὐχέρειαν, ὅτι πάντα ὑποδύεται, ὡς δή τις ὑποστατικὸς νωταγωγῶν τῷ τῆς ψυχῆς ἤθει, καὶ οὐ βαρυνόμενος οὐδενὶ τῶν αἰσχρῶν.

Οὐκ ἂν διαμάρτοι δέ τις τὸν τοῦ μειρακίου τούτου τοῦ Κυπρίου βίον ὑγρὸν ὀνομάζων. οὗ πολλοὺς καὶ διδασκάλους φησὶν εἶναι Ἀθήνησιν Ἄλεξις ἐν Πυραύνῳ λέγων οὕτως

c Πεῖραν ἐπιθυμοῦν θατέρου βίου λαβεῖν,
ὃν πάντες εἰώθασιν ὀνομάζειν ὑγρόν.
τρεῖς ἐν Κεραμεικῷ περιπατήσας ἡμέρας
διδασκάλους ἐξεῦρον οὗ λέγω βίου
ἴσως τριάκοντ' ἀφ' ἑνὸς ἐργαστηρίου.

καὶ Κρώβυλος ἐν Ἀπολιπούσῃ

Πάλιν ἡ τοῦ βίου
ὑγρότης με τοῦ σοῦ τέθαφε. τὴν ἀσωτίαν
ὑγρότητα γὰρ νῦν προσαγορεύουσιν τινές.

73. Ἀντιφάνης δ' ἐν Λημνίαις τέχνην τινὰ ὑποτίθεται d τὴν κολακείαν εἶναι ἐν οἷς λέγει

Εἴτ' ἔστιν ἢ γένοιτ' ἂν ἡδίων τέχνη
ἢ πρόσοδος ἄλλη τοῦ κολακεύειν εὐφυῶς;
ὁ ζωγράφος πονεῖ τι καὶ πικραίνεται,
ὁ γεωργὸς ἐν ὅσοις ἐστὶ κινδύνοις πάλιν·
πρόσεστι πᾶσιν ἐπιμέλεια καὶ πόνος·
ἡμῖν δὲ μετὰ γέλωτος ὁ βίος καὶ τρυφῆς.
οὗ γὰρ τὸ μέγιστον ἔργον ἐστὶ παιδιά,
e ἁδρὸν γελάσαι, σκῶψαί τιν', ἐκπιεῖν πολύν,

---

ποικιλόφωνος AC. ποικιλόφρων PVL. τις om. C.

258 b. κολακείαν — βαρυνόμενος] Eustathius p. 952, 55. ὑποδύεται] ὑποδύεσθαι P.

258 c. Crobyli versus om. C. με τοῦ σοῦ τ. AB. με τ. τοῦ σοῦ VL. τέθαφε Casaubonus. τέθαιφε DPQVL. τε . ι φε membranae Casauboni. τέθ φε B. τέθρεφε codex Huraldinus. Legebatur τέχνην τινὰ εἶναι. εἶναι post κολακείαν transposui auctoribus AC.

258 d. Post λέγει PVL repetunt verba ἐν ταῖς Λημνίαις, quae delevit Schweigh. et om. B. V. 3. τί] τε Grotius Excerpt. p. 613. V. 7. οὗ] οὐ P. ἐστὶ] ἐστὶν B.

οὐχ ἡδύ; ἐμοὶ μὲν μετὰ τὸ πλουτεῖν δεύτερον.

κεχαρακτήρικε δὲ ὡς ἔνι μάλιστα ἐπιμελῶς τὸν κόλακα Μένανδρος ἐν τῷ ὁμωνύμῳ δράματι, ὡς καὶ τὸν παράσιτον Δίφιλος ἐν Τελεσίᾳ. Ἄλεξις δ' ἐν Καταψευδομένῳ λέγοντά τινα κόλακα τοιαῦτα παρεισάγων φησὶν

Εὐδαίμων ἐγώ, μὰ τὸν Δία
f τὸν Ὀλύμπιον καὶ τὴν Ἀθηνᾶν, οὐχ ὅτι
ἐν τοῖς γάμοισιν, ἄνδρες, εὐωχήσομαι,
ἀλλ' ὅτι διαρραγήσομ', ἂν θεὸς θέλῃ.
τούτου δέ μοι γένοιτο τοῦ θανάτου τυχεῖν.

δοκεῖ δέ μοι οὗτος, ἄνδρες φίλοι, ὁ καλὸς γάστρις οὐκ ἂν ὀκνηκέναι εἰπεῖν καὶ τὰ ἐξ Ὀμφάλης Ἴωνος τοῦ τραγῳδιοποιοῦ

Ἐνιαυσίαν γὰρ δεῖ με τὴν ὀρτὴν ἄγειν.

[οἷον καθημερινήν.]

74. Ἱππίας δ' ὁ Ἐρυθραῖος ἐν τῇ δευτέρᾳ τῶν περὶ τῆς πατρίδος ἱστοριῶν διηγούμενος ὡς ἡ Κνωποῦ βασιλεία ὑπὸ τῶν ἐκείνου κολάκων κατελύθη, φησὶ καὶ ταῦτα
9 „Κνωπῷ μαντευομένῳ περὶ σωτηρίας ὁ θεὸς ἔχρησε θύειν Ἑρμῇ δολίῳ. καὶ μετὰ ταῦθ' ὁρμήσαντος αὐτοῦ εἰς Δελφοὺς οἱ τὴν βασιλείαν αὐτοῦ καταλῦσαι βουλόμενοι, ἵν' ὀλιγαρχίαν καταστήσωνται· ἦσαν δ' οὗτοι Ὀρτύγης καὶ Ἶρος καὶ Ἔχαρος, οἳ ἐκαλοῦντο διὰ τὸ περὶ τὰς θεραπείας εἶναι τῶν ἐπιφανῶν πρόσκυνες καὶ κόλακες. συμπλέοντες οὖν τῷ Κνωπῷ, ὡς ἤδη πόρρω τῆς γῆς ἦσαν, δήσαντες τὸν Κνωπὸν ἔρριψαν εἰς τὸ πέλαγος, καὶ καταχθέντες εἰς Χίον καὶ δύναμιν παρὰ τῶν ἐκεῖ τυράννων λαβόντες Ἀμφίκλου καὶ Πολυτέκνου νυκτὸς κατέπλευσαν

---

258 e. V. 9. ἡδύ PL. ἡδύ γ' V.

258 f. V. 3. εὐωχήσομαι ABCP. εὐωχήσωμαι VL. τραγῳδιοποιοῦ] τραγῳδοποιοῦ BP. ἐνιαυσίαν BC. ἐναυσίαν PVL. ὀρτὴν] Scribebatur ἑορτήν. ἄγειν Porsonus. Legebatur λέγειν. οἷον καθημερινήν ab librario adscripta Κνωποῦ L. κνώπου PV.

259 a. μετὰ ταῦτ' B. μετὰ ταῦτα VL. ὀλιγαρχίαν καταστήσωνται] ὀλιγαρχία γένηται C. ὀρτύγης CVL. ὀρύττης ABP. περὶ τὰς θεραπείας] περὶ τοὺς θεράποντας C. πρόσκυνες AC. πρόσκυνοι epitome Hoeschelii. πρόσηνες PVL. πρόκυνες Schneiderus in Lexico. οὖν] γοῦν B. Ἀμφίκλου] ἀμφιέλου B.

εἰς τὰς Ἐρυθράς. κατὰ τὸ αὐτὸ καὶ τὸ τοῦ Κνωποῦ σῶμα ἐξεβράσθη ταῖς Ἐρυθραῖς κατὰ τὴν ἀκτήν, ἣ νῦν Λεόποδον καλεῖται. τῆς δὲ γυναικὸς τοῦ Κνωποῦ Κλεονίκης περὶ τὴν τοῦ σώματος κηδείαν γινομένης, ἣν δ' ἑορτὴ καὶ πανήγυρις ἀγομένη Ἀρτέμιδι στροφαίᾳ, ἐξαίφνης ἀκούεται σάλπιγγος βοή· καὶ καταληφθέντος τοῦ ἄστεος ὑπὸ τῶν περὶ τὸν Ὀρτύγην, πολλοὶ μὲν ἀναιροῦνται τῶν τοῦ Κνωποῦ φίλων, καὶ ἡ Κλεονίκη μαθοῦσα φεύγει εἰς Κολοφῶνα."

c 75. „Οἱ δὲ περὶ τὸν Ὀρτύγην τύραννοι ἔχοντες τὴν ἐκ Χίου δύναμιν τοὺς ἐνισταμένους αὐτῶν τοῖς πράγμασι διέφθειρον, καὶ τοὺς νόμους καταλύσαντες αὐτοὶ διεῖπον τὰ κατὰ τὴν πόλιν, ἐντὸς τείχους οὐδένα δεχόμενοι τῶν δημοτῶν. ἔξω δὲ πρὸ τῶν πυλῶν δικαστήριον κατασκευάσαντες τὰς κρίσεις ἐποιοῦντο, ἁλουργὰ μὲν ἀμπεχόμενοι περιβόλαια καὶ χιτῶνας ἐνδεδυκότες περιπορφύρους. ὑπεδέδεντο δὲ καὶ πολυσχιδῆ σανδάλια τοῦ θέρους, τοῦ δὲ χει-
d μῶνος ἐν γυναικείοις ὑποδήμασι διετέλουν περιπατοῦντες, κόμας τε ἔτρεφον καὶ πλοκαμῖδας ἔχειν ἤσκουν, διειλημμένοι τὰς κεφαλὰς διαδήμασι μηλίνοις καὶ πορφυροῖς. εἶχον δὲ καὶ κόσμον ὁλόχρυσον ὁμοίως ταῖς γυναιξίν. ἠνάγκαζόν τε τῶν πολιτῶν τοὺς μὲν διφροφορεῖν, τοὺς δὲ ῥαβδουχεῖν, τοὺς δὲ τὰς ὁδοὺς ἀνακαθαίρειν. καὶ τῶν μὲν τοὺς υἱεῖς εἰς τὰς κοινὰς συνουσίας μετεπέμποντο, τοῖς δὲ τὰς ἰδίας γυναῖκας καὶ τὰς θυγατέρας ἄγειν παρήγγελλον· τοὺς δ' ἀπειθοῦντας ταῖς ἐσχάταις τιμωρίαις περιέβαλλον. εἰ δέ
e τις τῶν ἐκ τῆς ἑταιρίας αὐτῶν ἀποθάνοι, συνάγοντες τοὺς πολίτας μετὰ γυναικῶν καὶ τέκνων ἠνάγκαζον θρηνεῖν τοὺς

---

259 b. Ἐρυθράς] ἐρυθύρας B. αὐτὸ] αὐτὸ δὲ Schweigh. γινομένης] ἀσχολουμένης C. στροφαίᾳ Spanhemius ad Aristoph. Plut. v. 1154. στροφέᾳ epitome Hoeschelii. στοφέᾳ CPVL. ὑπὸ τῶν περὶ] ὑπὸ τοῦ περὶ B.

259 c. τύραννοι ABC. τύραννον PVL. δημοτῶν] πολιτῶν C.

259 d. κοινὰς] κοι[π] epitome Hoeschelii. In C perspicue κοινάς. παρήγγελλον] παρήγγελον BP. περιέβαλλον] περιέβαλον B. ἑταιρίας] ἑταιρείας P.

259 e. συνάγοντες] συναγαγόντες C.

ἀποθανόντας καὶ στερνοτυπεῖσθαι μετὰ βίας καὶ βοᾶν ὀξὺ καὶ μέγα ταῖς φωναῖς, ἐφεστηκότος μαστιγοφόρου τοῦ ταῦτα ποιεῖν ἀναγκάζοντος, ἕως Ἱππότης ὁ Κνωποῦ ἀδελφὸς μετὰ δυνάμεως ἐπελθὼν ταῖς Ἐρυθραῖς ἑορτῆς οὔσης τῶν Ἐρυθραίων προσβοηθούντων ἐπῆλθε τοῖς τυράννοις καὶ πολλοὺς αἰκισάμενος τῶν περὶ αὐτοὺς Ὀρτύγην μὲν
f φεύγοντα συνεκέντησε καὶ τοὺς μετὰ τούτου, τὰς δὲ γυναῖκας αὐτῶν καὶ τὰ τέκνα δεινῶς αἰκισάμενος τὴν πατρίδα ἠλευθέρωσεν."

76. Ἐκ τούτων οὖν ἁπάντων ἔστι συνιδεῖν, ἄνδρες φίλοι, ὅσων κακῶν αἰτία γίνεται κολακεία τῷ βίῳ. καὶ Θεόπομπος γὰρ ἐν τῇ ἐννεακαιδεκάτῃ τῶν Φιλιππικῶν φησιν Ἀγαθοκλέα δοῦλον γενόμενον καὶ τῶν ἐκ Θετταλίας
0 πενεστῶν Φίλιππος, μέγα παρ' αὐτῷ δυνάμενον διὰ τὴν κολακείαν, καὶ ὅτι ἐν τοῖς συμποσίοις συνὼν αὐτῷ ὠρχεῖτο καὶ γέλωτα παρεσκεύαζεν, ἀπέστειλε διαφθεροῦντα Περραιβοὺς καὶ τῶν ἐκεῖ πραγμάτων ἐπιμελησόμενον. τοιούτους δ' εἶχεν ἀεὶ περὶ αὐτὸν ἀνθρώπους ὁ Μακεδών, οἷς διὰ φιλοποσίαν καὶ βωμολοχίαν πλείω χρόνον ὡς τὰ πολλὰ συνδιέτριβε καὶ συνήδρευε περὶ τῶν μεγίστων βουλευόμενος. ἱστορεῖ δὲ περὶ αὐτοῦ καὶ τάδε Ἡγήσανδρος ὁ Δελφὸς, ὡς τοῖς Ἀθήνησιν εἰς τὸ Διομέων Ἡράκλειον ἀθροιζομένοις τοῖς τὰ γέλοια λέγουσιν ἀπέστελλεν ἱκανὸν κερμάτιον καὶ προσέτασσέ τισιν ἀναγράφοντας τὰ λεγόμενα ὑπ' αὐτῶν ἀποστέλλειν πρὸς αὐτόν. Θεόπομπος δ' ἐν ἕκτῃ καὶ εἰκοστῇ ἱστοριῶν „Τοὺς Θεσσαλοὺς (φησὶν) εἰδὼς ὁ Φίλιππος ἀκολάστους ὄντας καὶ περὶ τὸν βίον ἀσελγεῖς, συνουσίας αὐτῶν κατεσκεύαζε καὶ πάντα τρόπον

---

259 f. τῇ ἐννεακαιδεκάτῃ] τῇ θ epitome Hoeschelii. „Quod C habet ἐν τῇ θ', id ex τῇ ιθ' corruptum; nam in illo codice iota subscriptum nunquam alias nec subscribi nec ad latus poni solet." Schweigh.

260 a. αὐτὸν] αὐτὸν PVL. βουλευόμενος PL. βουλόμενος V. ὡς τοῖς Ἀθήνησιν om. P. διομέων C. διόμεων PVL. In margine P est, ἑρμηνεία. διόμεια δῆμος τῆς αἰγηΐδος φυλῆς ἀπὸ διόμου τοῦ ἡρακλέους. ἀριστοφάνης, ἐφρόντισα ὁπόθ' ἡράκλεια τὰν διομείοις γίνεται. τὸ δὲ ἡράκλειον ἱερὸν ἡρακλέους. καὶ διομειαλαζόνος λέγει ἀπὸ διομείων τοῦ δήμου. Quae ex Suida sumta sunt.

260 b. ἀπέστελλεν AC. ἀπέστελεν B. ἀπέστειλεν PVL. κατεσκεύαζε] κατεσκεύασε P.

ἀρέσκειν αὐτοῖς ἐπειρᾶτο· καὶ γὰρ ὀρχούμενος καὶ κωμάζων καὶ πᾶσαν ἀκολασίαν ὑπομένων. ἦν δὲ καὶ φύσει βωμολόχος καὶ καθ' ἑκάστην ἡμέραν μεθυσκόμενος καὶ χαί-
c ρων τῶν ἐπιτηδευμάτων τοῖς πρὸς ταῦτα συντείνουσι καὶ τῶν ἀνθρώπων τοῖς εὐφυέσι καλουμένοις καὶ τοῖς τὰ γέλοια λέγουσι καὶ ποιοῦσι, πλείους τε τῶν Θετταλῶν τῶν αὐτῷ πλησιασάντων ᾕρει μᾶλλον ἐν ταῖς συνουσίαις ἢ ταῖς δωρεαῖς.“ τὰ παραπλήσια ἐποίει καὶ ὁ Σικελιώτης Διονύσιος, ὡς Εὔβουλος ὁ κωμῳδιοποιὸς παρίστησιν ἐν τῷ τοῦ τυράννου ὁμωνύμῳ δράματι

'Αλλ' ἔστι τοῖς σεμνοῖς μὲν αὐθαδέστερος
d καὶ τοῖς κόλαξι πᾶσι τοῖς σκώπτουσί τε
ἑαυτὸν εὐόργητος· ἡγεῖται δὲ δὴ
τούτους μόνους ἐλευθέρους, κἂν δοῦλος ᾖ.

77. 'Αλλὰ μὴν καὶ τοὺς ἀποβάλλοντας τὰς οὐσίας εἰς μέθας καὶ κύβους καὶ τὴν τοιαύτην ἀκολασίαν οὐ μόνον ὁ Διονύσιος ἀνελάμβανεν, ἀλλὰ καὶ ὁ Φίλιππος. ἱστορεῖ δὲ περὶ ἑκατέρου Θεόπομπος ἐν μὲν τῇ ἐνάτῃ καὶ τεσσαρακοστῇ γράφων οὕτως „Φίλιππος τοὺς μὲν κοσμίους τὰ ἤθη καὶ τοὺς τῶν ἰδίων ἐπιμελουμένους ἀπεδοκίμαζε, τοὺς
e δὲ πολυτελεῖς καὶ ζῶντας ἐν κύβοις καὶ πότοις ἐπαινῶν ἐτίμα. τοιγαροῦν οὐ μόνον αὐτοὺς τοιαῦτ' ἔχειν παρεσκεύαζεν, ἀλλὰ καὶ τῆς ἄλλης ἀδικίας καὶ βδελυρίας ἀθλητὰς

---

260 c. καὶ τοῖς τὰ γέλοια B. Aberat τοῖς. πλείους τε τῶν AC. πλείους τῶν B. καὶ πλείους τῶν PVL. „καὶ *indiqué comme surabondant et transposé dans D,*“ Villebrunius. ᾕρει C. Legebatur ᾑρεῖτο. κωμῳδιοποιὸς B et Schweigh. editio. κωμῳδοποιὸς PVL. τοῦ τυράννου A. Aberat τοῦ. σεμνοῖς μὲν ABC. σεμνοῖς P. σεμνοῖσιν VL.

260 d. „*Praeeunte Huraldino codice ita restitue* ἑαυτὸν εὐόργητος· ἡγεῖται δὲ καὶ —.“ Casaubonus. ἑαυτὸν Casaubonus. αὐτὸν BPVL. εὐόργητος ABP. εὐόργητος CVL. ἡγεῖται δὲ δὴ sive ἡγεῖταί τε δὴ Schweigh. ἡγεῖται δὴ AC. ἡγεῖται δὲ PVL. ἐνάτῃ] Scribebatur ἐννάτῃ. Theopompi locum ex eodem libro XLIX. excitavit Polybius VIII. 11, 7. vol. III. p. 28. τὰ ἤθη] τοῖς ἤθεσι Polybius. καὶ τοὺς τῶν ἰδίων] καὶ τῶν ἰδίων βίων Polybius.

260 e. ἐν κύβοις — ἐτίμα] ἐν μέθαις καὶ κύβοις ἐτίμα καὶ προῆγε Polybius. πότοις] ποτοῖς P. τοιαῦτ' ABCP. τοιαῦτα VL.

ἐποίησε. τί γὰρ τῶν αἰσχρῶν ἢ δεινῶν αὐτοῖς οὐ προσῆν ἢ τί τῶν καλῶν καὶ σπουδαίων οὐκ ἀπῆν; οὐχ οἱ μὲν ξυρούμενοι καὶ λεαινόμενοι διετέλουν ἄνδρες ὄντες, οἱ δ' ἀλλήλοις ἐτόλμων ἐπανίστασθαι πώγωνας ἔχουσι; καὶ περιήγοντο μὲν δύο καὶ τρεῖς ἑταιρουμένους, αὐτοὶ δὲ τὰς αὐ-
f τὰς ἐκείνοις χρήσεις ἑτέροις παρεῖχον. ὅθεν δικαίως ἄν τις αὐτοὺς οὐχ ἑταίρους, ἀλλ' ἑταίρας ὑπέλαβεν, οὐδὲ στρατιώτας, ἀλλὰ χαμαιτύπας προσηγόρευσεν. ἀνδροφόνοι γὰρ τὴν φύσιν ὄντες ἀνδρόπορνοι τὸν τρόπον ἦσαν. πρὸς δὲ τούτοις ἀντὶ μὲν τοῦ νήφειν τὸ μεθύειν ἠγάπων, ἀντὶ δὲ τοῦ κοσμίως ζῆν ἁρπάζειν καὶ φονεύειν ἐζήτουν. καὶ τὸ μὲν ἀληθεύειν καὶ ταῖς ὁμολογίαις ἐμμένειν οὐκ οἰκεῖον αὐτῶν ἐνόμιζον, τὸ δ' ἐπιορκεῖν καὶ φενακίζειν ἐν τῷ
61 σεμνοτάτῳ ὑπελάμβανον. καὶ τῶν μὲν ὑπαρχόντων ἠμέλουν, τῶν δὲ ἀπόντων ἐπεθύμουν. καὶ ταῦτα μέρος τι τῆς Εὐρώπης ἔχοντες; οἴομαι γὰρ τοὺς ἑταίρους οὐ πλείονας ὄντας κατ' ἐκεῖνον τὸν χρόνον ὀκτακοσίων οὐκ ἐλάττω καρπίζεσθαι γῆν ἢ μυρίους τῶν Ἑλλήνων τοὺς τὴν ἀρίστην καὶ πλείστην χώραν κεκτημένους." καὶ περὶ Διονυσίου δὲ τὰ παραπλήσια ἱστορεῖ ἐν τῇ πρώτῃ πρὸς ταῖς εἴκοσι „Διονύσιος ὁ Σικελίας τύραννος τοὺς ἀποβάλλοντας τὰς οὐσίας εἰς μέθας καὶ κύβους καὶ τὴν τοιαύτην ἀκολασίαν·
b ἠβούλετο γὰρ ἅπαντας εἶναι διεφθαρμένους καὶ φαύλους· οὓς καὶ εὖ περιεῖπε."

78. Καὶ Δημήτριος ὁ Πολιορκητὴς φιλόγελως ἦν, ὡς ἱστορεῖ Φύλαρχος ἐν τῇ δεκάτῃ τῶν ἱστοριῶν. ἐν δὲ τῇ

---

ταῦτ' Polybius et Suidas in ἀθλητάς. τί γάρ] τίς γὰρ B. οὐχ οἱ] ὧν οἱ Polybius. ξυρώμενοι Polybius. λειαινόμενοι Polybius. ἑταιρευομένους Polybius. ἑτέροις] ἑτέρας C inter versus. παρεῖχον] παρείχοντο Polybius.

260 f. ἀλλ' ἑταίρας om. Polybius. Vide Demetrium de elocutione s. 27. ὑπέλαβεν] ὑπελάμβανεν εἶναι Polybius. ἀνδροφόνοι — ἦσαν] Demetrius de elocutione sect. 27. ἦσαν] Huc usque Polybius. αὐτῶν VL. αὑτῶν CP.

261 a. τὸν χρόνον] τὸν χρόνων P. ὀκτακοσίων] ω C.

261 b. ἠβούλετο — οὓς καὶ om. C et epit. Hoeschelii. οὓς καὶ delet Royaards in Diatribe academica (Traiecti 1775.) p. 38. Πολιορκητὴς] πολυορκητὴς B. φύλαρχος Pl. φίλαρ-

τεσσαρεσκαιδεκάτῃ γράφει οὕτως „Περιεώρα Δημήτριος τοὺς
κολακεύοντας αὐτὸν ἐν τοῖς συμποσίοις καὶ ἐπιχέομένους
Δημητρίου μὲν μόνου βασιλέως, Πτολεμαίου δὲ ναυάρχου,
Λυσιμάχου δὲ γαζοφύλακος, Σελεύκου δ᾽ ἐλεφαντάρχου.
καὶ ταῦτ᾽ αὐτῷ οὐ τὸ τυχὸν συνῆγε μῖσος.“ Ἡρόδοτος δέ
c φησιν Ἄμασιν Αἰγυπτίων βασιλέα παιγνιήμονα ἐόντα σκώ-
πτειν τοὺς συμπότας, καὶ ὅτε δὲ ἰδιώτης, φησὶν, ἦν, φιλο-
πότης ὑπῆρχε καὶ φιλοσκώμμων καὶ οὐ κατεσπουδασμένος
ἀνήρ. Νικόλαος δ᾽ ἐν τῇ ἑβδόμῃ καὶ ἑκατοστῇ τῶν ἱστο-
ριῶν Σύλλαν φησὶ τὸν Ῥωμαίων στρατηγὸν οὕτω χαίρειν
μίμοις καὶ γελωτοποιοῖς, φιλόγελων γενόμενον, ὡς καὶ πολλὰ
γῆς μέτρα αὐτοῖς χαρίζεσθαι τῆς δημοσίας. ἐμφανίζουσι δ᾽
αὐτοῦ τὸ περὶ ταῦτα ἱλαρὸν αἱ ὑπ᾽ αὐτοῦ γραφεῖσαι σα-
τυρικαὶ κωμῳδίαι τῇ πατρίῳ φωνῇ.
d 79. Τιρυνθίους δέ φησι Θεόφραστος ἐν τῷ περὶ κω-
μῳδίας φιλόγελως ὄντας, ἀχρείους δὲ πρὸς τὰ σπουδαιό-
τερα τῶν πραγμάτων, καταφυγεῖν ἐπὶ τὸ ἐν Δελφοῖς μαν-
τεῖον, ἀπαλλαγῆναι βουλομένους τοῦ πάθους, καὶ τὸν
θεὸν ἀνελεῖν αὐτοῖς, ἢν θύοντες τῷ Ποσειδῶνι ταῦρον
ἀγελαστὶ τοῦτον ἐμβάλωσιν εἰς τὴν θάλατταν, παύσεσθαι.
οἱ δὲ δεδιότες μὴ διαμάρτωσι τοῦ λογίου τοὺς παῖδας ἐκώ-
λυσαν παρεῖναι τῇ θυσίᾳ. μαθὼν οὖν εἷς καὶ συγκατα-

---

χος V. δεκάτῃ] ι᾽ BP. ἕκτῃ XIV. p. 614 e. καὶ δημήτριος δὲ ὁ πολιορκητὴς φιλόγελως ἦν, ὡς ἱστορεῖ φύλαρχος. περὶ οὗ καὶ ταῦτα γράφει, ἑώρα δημήτριος — C. γράφει οὕτως περιεώρα Schweigh. γράφει οὕτως ὥσπερ ἑώρα PVL. γράφει ὥσπερ ἑώρα B. μὲν μόνου] δὲ μόνου B. δὲ ναυάρχου] Legebatur δὲ μόνου ναυάρχου. ταῦτα αὐτῷ Casaubonus. Legebatur ταῦτα οὕτως. Ἡρόδοτος] II, 173.

261 c. παιγνιήμονα] παιγνίμονα BC. καὶ ὅτε δὲ C. Aberat δὲ. ἑκατοστῇ] Legebatur εἰκοστῇ. ἑκτοστῇ margo P, quod ἑκατοστῇ est. Et hoc ipsum tacito posuit Valesius in Excerptis p. 498. Idem in eodem numero error admissus fuit XII. p. 543 a. τῶν ἱστοριῶν] τῶν om. B. οὕτω] οὕτως B. πατρίῳ ABC. πατρῴῳ PVL.

261 d. Θεόφραστος] Vol. V. p. 197. φιλόγελως] φιλογέλωτας C. θύοντες] θύωσιν P. ἀγελαστὶ CP et Eustathius p. 1839, 50. ἀγελαστεὶ VL. ἐμβάλωσιν] ἐμβάλλωσιν BP. θάλατταν] θάλασσαν B. θάλασσαν Eustathius. παύσεσθαι AC et Eustathius. παύεσθαι PVL. εἷς om. P.

e μιχθεὶς, ἐπείπερ ἑβδόμην ἀπελαύνοντες αὐτὸν, Τί δῆτ᾽; ἔφη· δεδοίκατε μὴ τὸ σφάγιον ὑμῶν ἀνατρέψω; γελασάντων δὲ ἔμαθον ἔργῳ τὸν θεὸν δείξαντα ὡς ἄρα τὸ πολυχρόνιον ἦθος ἀμήχανόν ἐστι θεραπευθῆναι. Σωσικράτης δ᾽ ἐν πρώτῳ Κρητικῶν ἴδιόν τί φησι περὶ τοὺς Φαιστίους ὑπάρχειν. δοκοῦσι γὰρ ἀσκεῖν ἐκ παιδαρίων εὐθὺς τὸ γέλοια λέγειν· διὸ καὶ συμβέβηκεν αὐτοὺς ἀποφθέγγεσθαι πολλάκις εὐκαίρως, διὰ τὴν ἐξ ἀρχῆς συνήθειαν. ὥστε πάντας τοὺς κατὰ Κρήτην τούτοις ἀνατιθέναι τὸ γέλοιον.

f 80. Τῇ δ᾽ ἀλαζονείᾳ μετὰ τὴν κολακείαν χώραν δίδωσιν Ἀναξανδρίδης ὁ κωμῳδιοποιὸς ἐν Φαρμακομάντει λέγων οὕτως

Ὅτι εἴμ᾽ ἀλαζὼν, τοῦτ᾽ ἐπιτιμᾷς; ἀλλὰ τί;
νικᾷ γὰρ αὕτη τὰς τέχνας πάσας πολὺ
μετὰ τὴν κολακείαν. ἥδε μὲν γὰρ διαφέρει.

ψωμοκόλακος δὲ μνημονεύει Ἀριστοφάνης ἐν Γηρυτάδῃ οὕτως

Ψίθυρός τε καλοῦ καὶ ψωμοκόλαξ.

καὶ Σαννυρίων Ἰοῖ

Φθείρεσθ᾽ ἐπίτριπτοι ψωμοκόλακες.

262 Φιλήμων Ἀνανεουμένῃ „Ψωμοκόλαξ δ᾽ ἔσθ᾽ οὗτος.“ Φιλιππίδης δ᾽ ἐν Ἀνανεώσει

Ψωμοκολακεύων καὶ παρεισιὼν ἀεί.

κυρίως δ᾽ ὁ κόλαξ ἐπὶ τούτου κεῖται. κόλον γὰρ ἡ τροφὴ, ὅθεν καὶ ὁ βουκόλος καὶ ὁ δύσκολος, ὅς ἐστι δυσάρεστος

---

261 e. φαιστίους BC. φαιστείους PVL. εὐθὺς om. P. γέλοια] γελοῖα P. Κρήτην] κράτην B. γέλοιον] γελοῖον P.

261 f. ἀναξανδρίδης ABCP et epitome Hoeschelii. ἀλεξανδρίδης VL. ὁ] δ᾽ ὁ P. κωμῳδιοποιὸς VL. κωμῳδοποιὸς BP. V. 1. εἰμὶ VL. εἰ μὴ P. ἀλλὰ τί; νικᾷ Casaubonus. ἀλλὰ τίνι (τινὶ P) καὶ VL. ὑπερτείνει dedit epitomes auctor. V. 3. οὐδὲ μὲν γὰρ διαφέρειν P. Ἀριστοφάνης Casaubonus. Libri ἀντιφάνης. ψωμοκόλαξ] Legebatur κόλαξ. Correctum ex C, in quo sic scriptum, ὅτι ψωμοκόλαξ κεῖται παρ᾽ ἀντιφάνῃ. ψίθυρός τε καλοῦ καὶ ψωμοκόλαξ: καὶ σαννυρίων. ποῖ —. Ἰοῖ Porsonus. Legebatur ποῖ.

262 a. Φιλήμων] P. 359. Ἀνανεώσει L. ἀνεώσει BV. ἀνεώσι P. Antiatticista Bekkeri p. 116, 23. ψωμοκόλακες: Φιλιππίδης Ἀνανευούσῃ. Corr. Ἀνανεώσει. παρεισιὼν] παρρησιῶν P.

καὶ σικχὸς, κοιλία τε. ἡ τὴν τροφὴν δεχομένη. ψωμοκόλαφον δ' εἴρηκε Δίφιλος ἐν Θησεῖ οὕτως·

Σὲ μὲν καλοῦσι ψωμοκόλαφον δραπέτην.

81. Τοσαῦτα τοῦ Δημοκρίτου εἰπόντος καὶ πιεῖν αἰ-
b τήσαντος ἐν τῷ σαβρίῳ βομβυλιῷ, ὁ Οὐλπιανὸς ἔφη, καὶ τίς ὁ σαβρίας οὗτος; καὶ μέλλοντος ἀπεραντολογίας πολλὰς διεξιέναι παρεφάνη πλῆθος οἰκετῶν τὰ πρὸς τὴν ἐδωδὴν εἰσκομίζοντες. περὶ ὧν πάλιν ὁ Δημόκριτος κατὰ τὸ ἀκόλουθον ἔφη, Ἀεί ποτε ἐγὼ, ἄνδρες φίλοι, τεθαύμακα τὸ τῶν δούλων γένος ὡς ἔστιν ἐγκρατὲς τοσαύταις ἐγκαλινδούμενον λιχνείαις. ταύτας γὰρ ὑπερορῶσιν οὐ μόνον διὰ φόβον, ἀλλὰ καὶ κατὰ διδασκαλίαν, οὐ τὴν ἐν Δου-
c λοδιδασκάλῳ Φερεκράτους, ἀλλὰ ἐθισθέντες· οὐχ ὡς ἀπειρημένου τοῦ τοιούτου, καθάπερ ἐν Κῷ τῇ νήσῳ, ὅταν τῇ Ἥρᾳ θύωσιν. φησὶ γὰρ Μακαρεὺς ἐν τῇ τρίτῃ Κωακῶν ὅτι ὁπόταν τῇ Ἥρᾳ θύωσιν οἱ Κῷοι, οὔτε ἄσεισιν εἰς τὸ ἱερὸν δοῦλος οὔτε γεύεταί τινος τῶν παρεσκευασμένων. καὶ Ἀντιφάνης δ' ἐν Δυσπράτῳ φησὶν

Ὁρᾶν τε κείμενα
ἄμητας ἡμιβρῶτας ὀρνίθειά τε,
ὧν οὐδὲ λειφθέντων θέμις δούλῳ φαγεῖν,
ὥς φασιν αἱ γυναῖκες.

d Ἐπικράτης δ' ἐν Δυσπράτῳ ἀγανακτοῦντα ποιεῖ τινα τῶν οἰκετῶν καὶ λέγοντα

Τί γὰρ
ἔχθιον ἢ παῖ παῖ καλεῖσθαι παρὰ πότον,
καὶ ταῦτ' ἀγενείῳ μειρακυλλίῳ τινὶ,
ἢ τὴν ἀμίδα φέρειν, ὁρᾶν τε κείμενα

ἢ τὴν] καὶ τὴν B. Τοσαῦτα — ἀκόλουθον ἔφη om. C.

262 b. σαβρίῳ A. σαυρίῳ B. σαμβρίῳ PVL. σαβρίας A. σαυρίας BP. σαμβρίας VL. οὗτος PL. οὕτως V. Ἀεὶ — οἱ Κῷοι] Ὅρα τὸ ἀεί ποτε ἄνδρες τεθαύμακα· ὅμοιον τῷ ἀεὶ παῖ Λαρτίου δέδορκά σε: φησὶ μακαρεύς. ὅταν ἥρᾳ θύωσιν οἱ ἐν κῷ — C. ταύτας] ταύταις P.

262 c. Κωακῶν Casaubonus. κωϊκῶν VL et margo P. καλάκων ABP. ἄσεισιν] εἴσισιν ABP. ἡμιβρῶτας L. ἡμιβρώτους ABPV. ὀρνίθεια] ὀρνίθια B. λειφθέντων] ληφθέντων B.

262 d. V. 2. πότον] ποτὸν P. V. 3. ἢ ab Porsono additum. κείμενα] κειμένους C, qui se ipse convellit. nam omissis qui praecedunt Antiphanis versibus, μετήνεγκε δὲ, inquit, τὰ ἰαμβεῖα

ἄμητας ἡμιβρῶτας ὀρνίθειά τε,
ὧν οὐδὲ λειφθέντων θέμις δούλῳ φαγεῖν,
ὥς φασιν αἱ γυναῖκες. ὁ δὲ χολᾶν ποιεῖ,
γάστριν καλοῦσι καὶ λάμυρον ὃς ἂν φάγῃ
ἡμῶν τι τούτων.

e ἐκ τῆς παραθέσεως τῶν ἰαμβείων δῆλός ἐστιν ὁ Ἐπικράτης τὰ τοῦ Ἀντιφάνους μετενεγκών.

82. Διευχίδας δ' ἐν τοῖς Μεγαρικοῖς „* * τὰς καλουμένας (φησὶν) Ἀραιάς, μεταξὺ δὲ τῆς Κνίδου καὶ τῆς Σύμης εἰσί, γενομένης διαφορᾶς τοῖς συνεξορμήσασι τῷ Τριόπᾳ μετὰ τὸν ἐκείνου θάνατον, καὶ τῶν μὲν εἰς τὸ Δώτιον ἀναχωρησάντων, οἱ μὲν μετὰ Φόρβαντος μείναντες εἰς Ἰηλυσὸν ἦλθον, οἱ δὲ μετὰ Περιέργου τὴν Καμειρίδα κατέσχον. τότε λέγεται καταράσασθαι τὸν Περίεργον τῷ
f Φόρβαντι, καὶ διὰ τοῦτο τὰς νήσους Ἀραιὰς κληθῆναι. ναυαγήσας δ' ὁ Φόρβας καὶ Παρθενία ἡ τοῦ Φόρβαντος καὶ τοῦ Περιέργου ἀδελφὴ διενήξαντο εἰς Ἰηλυσὸν περὶ τὸν καλούμενον τόπον Σχεδίαν. καὶ αὐτοῖς περιτυχὼν Θαμνεύς, ὃς ἐτύγχανε κατὰ τὴν Σχεδίαν κυνηγετῶν, ἦγεν ὡς ξενίσων εἰς οἶκον καὶ τὸν οἰκέτην ἀπέστειλεν ἀπαγγελοῦντα τῇ γυναικὶ τἀπιτήδεια παρασκευάζειν ὡς ἄγοντος
263 αὐτοῦ ξένους. ἐλθὼν δ' εἰς οἶκον, ὡς οὐδὲν εὗρε παρεσκευασμένον, αὐτὸς ἐπιβαλὼν τὸν σῖτον ἐπὶ τὸν ἀλετῶνα καὶ τἄλλα τἀκόλουθα, ἔπειτα ἀλέσας ἐξένισεν αὐτούς. καὶ ὁ

---

ταῦτα ἐξ Ἀντιφάνους, ἀπὸ τοῦ ὁρᾶν τε κείμενα καὶ ἑξῆς. V. 4. ἡμιβρῶτας — αἱ γυναῖκες] ἡμιβρώτους καὶ τὰ λοιπὰ ὡς προείρηται B. V. 6. ὁ δὲ χολᾶν ποιεῖ Porsonus. ὃ δὲ, χόανον, ποιεῖ B. ὁ δὲ χοαπιν (χοίαιν P) ποιεῖ MS. Musei Britannici apud Gaisford. ad Eurip. Supplic. p. 208. et in Porsoni Miscellan. p. 238. ὁ δὲ χοαπίη V. ὃς δὲ χοᾶ πίῃ L et Schweigh. editio. De A, quem incredibile est cum L consentire, nihil annotavit Schweigh. V. 7. ὃς ἂν φάγῃ ἡμῶν] ἡμῶν ὃς ἂν φάγῃ dubitanter scribebat Porsonus.

262 e. ἰαμβείων] ἰαμβίων B. * * τὰς] Indicavi lacunam. περὶ τὰς Schweigh. κνίδου C. κνίδης B. κνίδας PVL. Σύμης L. συμῆς PV. σάμου C. Δώτιον Schweigh. Legebatur δωμίτιον. Ἰηλυσὸν] ἰηλυσσὸν P hic et infra. Καμειρίδα] καμιρίδα BCP. καταράσεσθαι BP. διὰ τοῦτο BP. Legebatur διὰ γὰρ τοῦτο.

262 f. διενήξαντο Schweigh. Legebatur διενήξατο.

263 a, παρασκευασμένον B. διαμένει B. Legebatur διαμένειν.

Φόρβας οὕτως ἐπὶ τῷ ξενισμῷ ἥσθη ὡς καὶ τὸν βίον τελευτῶν ἐπέσκηψε τοῖς φίλοις δι' ἐλευθέρων τοὺς ἐναγισμοὺς ἐπιτελεῖν αὐτῷ, καὶ τὸ ἔθος διαμένει ἐν τῇ θυσίᾳ τοῦ Φόρβαντος. ἐλεύθεροι γάρ εἰσιν οἱ διακονοῦντες, δούλῳ δὲ προσελθεῖν οὐκ ἔστιν ὅσιον."

83. Ἐπεὶ δὲ καὶ τοῦτ' ἐστὶ τῶν ὑπὸ τοῦ Οὐλπιανοῦ
b προβεβλημένων, καὶ τὸ περὶ τοὺς οἰκέτας, φέρ' εἴπωμέν τι καὶ ἡμεῖς ἀναπεμπασάμενοι περὶ αὐτῶν ἐξ ὧν πάλαι τυγχάνομεν ἀνεγνωκότες. Φερεκράτης μὲν γὰρ ἐν Ἀγρίοις φησὶν

Οὐ γὰρ ἦν τότ' οὔτε Μάνης οὔτε σηκὶς οὐδενὶ
δοῦλος, ἀλλ' αὐτὰς ἔδει μοχθεῖν ἅπαντ' ἐν οἰκίᾳ.
εἶτα πρὸς τούτοισιν ἤλουν ὄρθριαι τὰ σιτία,
ὥστε τὴν κώμην ὑπηχεῖν θιγγανουσῶν τὰς μύλας.

καὶ Ἀναξανδρίδης ἐν Ἀγχίσῃ φησὶν

c Οὐκ ἔστι δούλων, ὦ 'γαθ', οὐδαμοῦ πόλις·
τύχη δὲ πάντα μεταφέρει τὰ σώματα.
πολλοὶ δὲ νῦν μέν εἰσιν οὐκ ἐλεύθεροι,
εἰς αὔριον δὲ Σουνιεῖς, εἶτ' εἰς τρίτην
ἀγορᾷ κέχρηνται. τὸν γὰρ οἴακα στρέφει
δαίμων ἑκάστῳ.

84. Ποσειδώνιος δέ φησιν ὁ ἀπὸ τῆς στοᾶς ἐν τῇ τῶν ἱστοριῶν ἑνδεκάτῃ „Πολλούς τινας ἑαυτῶν οὐ δυναμένους προΐστασθαι διὰ τὸ τῆς διανοίας ἀσθενὲς ἐπιδοῦναι ἑαυτοὺς εἰς τὴν τῶν συνετωτέρων ὑπηρεσίαν, ὅπως παρ'
d ἐκείνων τυγχάνοντες τῆς εἰς τὰ ἀναγκαῖα ἐπιμελείας αὐτοὶ πάλιν ἀποδιδῶσιν ἐκείνοις δι' αὑτῶν ἅπερ ἂν ὦσιν ὑπηρετεῖν δυνατοί. καὶ τούτῳ τῷ τρόπῳ Μαριανδυνοὶ μὲν Ἡρα-

---

Ἐπεὶ δὲ — καὶ ἡμεῖς om. C.

263 b. τι καὶ] τε καὶ BP. ἀναπεμπασάμενοι AC. ἀναπεμπασμένοι PVL. Pherecratis v. 1. 2. et tertii dimidium om. C. V. 1. σηκὶς A. σίκις B. σάκις PV. Σάκης L. οὐδενὶ] οὐδ' ἓν B. V. 2. αὐτὰς] αὐτοὺς B. ἅπαντ' ἐν οἰκίᾳ Canterus Novar. Lect. IV, 5. ἅπαντα ταὐτῇ οἰκίᾳ V. ἅπαντα τὰν τῇ οἰκίᾳ PL. V. 3. τούτοισιν] τούτοις P. ἤλουν Piersonus ad Moerin p. 81. ἤλουν C. ἤλων AB. εἶλον VL. ἦλον P.

263 c. εἰς αὔριον] Legebatur εἰς ταὔριον. εἰς δ' αὔριον B.

263 d. αὑτῶν] Scribebatur αὐτῶν. μαριανδυνοὶ PL. μαριαν-

κλεώταις ὑπετάγησαν, διὰ τέλους ὑποσχόμενοι θητεύσειν παρέχουσιν αὐτοῖς τὰ δέοντα, προσδιαστειλάμενοι μηδενὸς αὐτῶν ἔσεσθαι πρᾶσιν ἔξω τῆς Ἡρακλεωτῶν χώρας, ἀλλ' ἐν αὐτῇ μόνον τῇ ἰδίᾳ χώρᾳ.“ τάχ' οὖν διὰ τοῦτο καὶ Εὐφορίων ὁ ἐποποιὸς τοὺς Μαριανδυνοὺς δωροφόρους κέκληκεν·

e *Δωροφόροι καλεοίαθ' ὑποφρίσσοντες ἄνακτας.*

λέγει δὲ καὶ Καλλίστρατος ὁ Ἀριστοφάνειος ὅτι τοὺς Μαριανδυνοὺς ὠνόμαζον μὲν δωροφόρους, ἀφαιροῦντες τὸ πικρὸν τῆς ἀπὸ τῶν οἰκετῶν προσηγορίας, καθάπερ Σπαρτιᾶται μὲν ἐποίησαν ἐπὶ τῶν Εἱλώτων, Θετταλοὶ δ' ἐπὶ τῶν πενεστῶν, Κρῆτες δ' ἐπὶ τῶν κλαρωτῶν. καλοῦσι δὲ οἱ Κρῆτες τοὺς μὲν κατὰ πόλιν οἰκέτας χρυσωνήτους, ἀμ-
f φαμιώτας δὲ τοὺς κατ' ἀγρὸν, ἐγχωρίους μὲν ὄντας, δουλωθέντας δὲ κατὰ πόλεμον· διὰ τὸ κληρωθῆναι δὲ κλαρώτας. ὁ Ἔφορος δ' ἐν τρίτῃ ἱστοριῶν „Κλαρώτας (φησὶ) Κρῆτες καλοῦσι τοὺς δούλους ἀπὸ τοῦ γενομένου περὶ αὐτῶν κλήρου. τούτοις δ' εἰσὶ νενομισμέναι τινὲς ἑορταὶ ἐν Κυδωνίᾳ, ἐν αἷς οὐκ εἰσίασιν εἰς τὴν πόλιν ἐλεύθεροι, ἀλλ' οἱ δοῦλοι πάντων κρατοῦσι καὶ κύριοι μαστιγοῦν εἰσι τοὺς ἐλευθέρους.“ Σωσικράτης δ' ἐν δευτέρῳ Κρητικῶν „Τὴν μὲν κοινὴν (φησὶ) δουλείαν οἱ Κρῆτες καλοῦσι μνοίαν, τὴν δὲ ἰδίαν ἀφαμιώτας, τοὺς δὲ περιοίκους ὑπη-
264 κόους.“ τὰ παραπλήσια ἱστορεῖ καὶ Δωσιάδας ἐν τετάρτῳ Κρητικῶν.

---

δυνοὶ A. μαρυανδηνοὶ C. μαριανδηνοὶ V. θητεύσειν] θητεύειν P. αὐτοῖς τὰ] αὐτοὺς, τὰ B. προδιαστειλάμενοι B. Εὐφορίων] P. 141. μαριανδυνοὺς PL. μαρυανδυνοὺς A. μαρυανδηνοὺς V.

263 e. καλεοίαθ' Schweigh. καλὲ οἴαθ' AP. καὶ οἴαθ' B. καλέονται VL. Breviter C, εὐφορίων ὁ ἐποποιὸς τοὺς μαριανδηνοὺς δωροφόρους ὑποφρίσσοντας ἄνακτας καλεῖ. Plura de Mariandynis ex hoc loco petiit Eustathius p. 1090, 55. ἀπὸ om. epitome Hoeschelii. οἰκετῶν] εἱλώτων epitome Hoeschelii et C, qui nihilominus sequentia quoque habent καθάπερ — εἱλώτων. Εἱλώτων] Leni spiritu et hic et infra aliquot in locis notatum in VL. ἀμφαμιώτας] Sic etiam Eustathius p. 1024, 35. 1090, 50. sed scribendum ἀφαμιώτας ut paullo post in libris omnibus scriptum.

263 f. ὁ Ἔφορος] ὁ om. B. αὐτῶν] αὐτοὺς P.

85. Θετταλῶν δὲ λεγόντων πενέστας τοὺς μὴ γόνῳ δούλους, διὰ πολέμου δ' ἡλωκότας, Θεόπομπος ὁ κωμικὸς ἀποχρησάμενος τῇ φωνῇ φησι „Δεσπότου πενέστου ῥυσὰ βουλευτήρια." Φιλοκράτης δ' ἐν δευτέρῳ Θετταλικῶν, εἰ γνήσια τὰ συγγράμματα, καλεῖσθαί φησι τοὺς πενέστας καὶ Θετταλοικέτας. Ἀρχέμαχος δ' ἐν τῇ τρίτῃ Εὐβοϊκῶν „Βοιωτῶν (φησὶ) τῶν τὴν Ἀρναίαν κατοικισάντων οἱ μὴ
b ἀπάραντες εἰς τὴν Βοιωτίαν, ἀλλ' ἐμφιλοχωρήσαντες παρέδωκαν ἑαυτοὺς τοῖς Θετταλοῖς δουλεύειν καθ' ὁμολογίας, ἐφ' ᾧ οὔτε ἐξάξουσιν αὐτοὺς ἐκ τῆς χώρας οὔτε ἀποκτενοῦσιν, αὐτοὶ δὲ τὴν χώραν αὐτοῖς ἐργαζόμενοι τὰς συντάξεις ἀποδώσουσιν. οὗτοι οὖν οἱ κατὰ τὰς ὁμολογίας καταμείναντες καὶ παραδόντες ἑαυτοὺς ἐκλήθησαν τότε μὲν μενέσται, νῦν δὲ πενέσται. καὶ πολλοὶ τῶν κυρίων ἑαυτῶν εἰσιν εὐπορώτεροι." καὶ Εὐριπίδης δ' ἐν Φρίξῳ λάτριας
c αὐτοὺς ὀνομάζει διὰ τούτων

Λάτρις πενέστης ἁμὸς ἀρχαίων δόμων.

86. Τίμαιος δ' ὁ Ταυρομενίτης ἐν τῇ ἐνάτῃ τῶν ἱστοριῶν „Οὐκ ἦν (φησὶ) πάτριον τοῖς Ἕλλησιν ὑπὸ ἀργυρωνήτων τὸ παλαιὸν διακονεῖσθαι," γράφων οὕτως „Καθόλου δὲ ᾐτιῶντο τὸν Ἀριστοτέλη διημαρτηκέναι τῶν Λοκρικῶν ἐθῶν. οὐδὲ γὰρ κεκτῆσθαι νόμον εἶναι τοῖς Λοκροῖς, ὁμοίως δὲ οὐδὲ Φωκεῦσιν, οὔτε θεραπαίνας οὔτε οἰκέτας, πλὴν ἐγγὺς τῶν χρόνων. ἀλλὰ πρώτῃ τῇ Φιλομήλου γυναικὶ τοῦ καταλαβόντος Δελφοὺς δύο θεραπαίνας

---

264 a. πενέστας] πενεστὰς A, qui constanter hac prosodia utitur. πενεστὰς hic etiam C, quem infra vulgarem accentum tenere ait Schweigh. διὰ πολέμου C. Legebatur διὰ πόλεμον. πολέμῳ Eustathius p. 1090, 51. ἀποχρησάμενος — φησι] ἐπὶ τοῦ ἁπλῶς δούλου τέθηκε C. πενέστου] πενεστοῦ B. ῥυσὰ BP. Scribebatur ῥυσσά. κατοικισάντων Schweigh. κατοικησάντων libri et Eustathius p. 954, 39.

264 b. Θετταλοῖς] Θεσσαλοῖς B. ὁμολογίας] ὁμολογίαν C et Eustathius. μὲν μενέσται Eustathius. Aberat μέν. ἑαυτῶν] αὑτῶν P et Eustathius.

264 c. ἁμὸς AC et Eustathius p. 1090, 60. ἀμὸς PVL.

ἐνάτῃ] θ' B. ἐννάτῃ P. τῶν om. B.

d ἀκολουθῆσαι. παραπλησίως δὲ καὶ Μνάσωνα τὸν τοῦ Ἀριστοτέλους ἑταῖρον χιλίους οἰκέτας κτησάμενον διαβληθῆναι παρὰ τοῖς Φωκεῦσιν, ὡς τοσούτους τῶν πολιτῶν τὴν ἀναγκαίαν τροφὴν ἀφῃρημένον. εἰθίσθαι γὰρ ἐν ταῖς οἰκίαις διακονεῖν τοὺς νεωτέρους τοῖς πρεσβυτέροις."

87. Πλάτων δ' ἐν ἕκτῳ Νόμων φησὶ „Τὰ τῶν οἰκετῶν χαλεπὰ πάντῃ. σχεδὸν γὰρ πάντων Ἑλλήνων ἡ Λακεδαιμονίων εἱλωτεία πλείστην ἀπορίαν παράσχοιτ' ἂν καὶ
e ἔριν, τοῖς μὲν ὡς εὖ, τοῖς δ' ὡς οὐκ εὖ γεγονυῖα ἐστίν. ἐλάττω δὲ ἡ Ἡρακλεωτῶν δουλεία τῆς τῶν Μαριανδυνῶν καταδουλώσεως ἔριν ἂν ἔχοι, τὸ Θετταλῶν δ' αὖ πενεστικὸν ἔθνος. εἰς ἃ καὶ πάντας ἀποβλέψαντας ἡμᾶς τί χρὴ ποιεῖν περὶ κτήσεως οἰκετῶν; οὐ γὰρ ὑγιὲς οὐδὲν ψυχῆς δούλης. οὐ δεῖ γὰρ οὐδὲν ὑγιὲς πιστεύειν αὐτοῖς τὸν νοῦν κεκτημένον. ὁ δὲ σοφώτατος τῶν ποιητῶν φησιν

Ἥμισυ γάρ τε νόου ἀπαμείρεται εὐρύοπα Ζεὺς
f ἀνδρῶν οὓς ἂν δὴ κατὰ δούλιον ἦμαρ ἕλῃσι.

χαλεπὸν οὖν τὸ κτῆμα ἔργῳ πολλάκις ἐπιδέδεικται περί τε τὰς Μεσσηνίων συχνὰς ἀποστάσεις καὶ περὶ τὰς τῶν ἐκ μιᾶς φωνῆς πολλοὺς οἰκέτας κτωμένων πόλεις, ὅσα κακὰ συμβαίνει. καὶ ἔτι τὰ τῶν λεγομένων περιδείνων περὶ τὴν Ἰταλίαν παντοδαπῶν κλοπῶν ἔργα καὶ παθήματα. πρὸς ἅ τις ἅπαντα βλέψας διαπορήσειε τί χρὴ δρᾶν περὶ ἁπάν-

---

264 d. τὸν τοῦ Ἀρ.] τοῦ om. BC. τοσούτους] τοσούτου P. εἰθίσθαι AC et Casaubonus. εἴθισται PVL. οἰκίαις BC. οἰκειακαῖς A. οἰκιακαῖς PVL. οἰκιακαῖς χρείαις Hemsterhusius. ἐν ἕκτῳ] P. 776 c. σχεδὸν γὰρ — κτήσεως οἰκετῶν om. C. ἡ L. ἢ PV. εἱλωτεία A. εἱλωτίαν BPV. εἱλωτία L. ἔριν τοῖς L. ἐρεινίοις ABPV.

264 e. τοῖς δ' ὡς οὐκ] ὡς om. BP. ἐλάττω] ἐλάττων BP. ἡ om. BP. μαριανδυνῶν PVL. μαριανδηνῶν V. μυριαδυνῶν B. ἔριν ἂν L. ἔριναν BPV. ἔχοι τὸ L. ἔχοιτο B. ἔχοιντο PV. πάντας ABPV. πάντα τὰ τοιαῦτα ex Platone Basil. et L. ἀποβλέψαντας] βλέψαντας Plato. Ἥμισυ] Odyss. ρ, 322. γάρ τε] γὰρ τοῦ P. ἀπαμείρεται] ἀπείρηται B.

264 f. ἂν δὴ κατὰ δούλιον] ἂν ἴδη καταδούλειον (κατὰ δούλειον P) BP. κτῆμα ἔργῳ] κτῆμα· ἔργῳ γὰρ Plato. καὶ ἔτι τὰ — παθήματα om. C. περιδείνων A. περὶ δεινῶν B. περὶ δούλων PV. περιδίνων ex Platone L. ἅπαντα] ἅπαν B.

265 των τῶν τοιούτων. δύο δὴ λείπεσθον μηχαναί, μὴ πατριώτας ἀλλήλων εἶναι τοὺς μέλλοντας δουλεύσειν, ἀσυμφώνους τε ὅτι μάλιστα εἰς δύναμιν, τρέφειν δ' αὐτοὺς ὀρθῶς μὴ μόνον ἐκείνων ἕνεκα, πλέον δ' ἑαυτῶν προτιμῶντας, ὑβρίζειν τε ἥκιστα εἰς αὐτούς. κολάζειν δ' ἐν δίκῃ δούλους δεῖ, καὶ μὴ νουθετοῦντας ὡς ἐλευθέρους θρύπτεσθαι ποιεῖν. τὴν δὲ οἰκέτου πρόσρησιν χρὴ σχεδὸν ἐπίταξιν πᾶσαν γίγνεσθαι, μὴ προσπαίζοντας μηδαμῇ μηδαμῶς οἰκέταις μήτ' οὖν θηλείαις μήτε ἄρρεσιν· ἃ δὴ πρὸς δού-
b λους φιλοῦσι πολλοὶ σφόδρα ἀνοήτως θρύπτοντες χαλεπώτερον ἀπεργάζεσθαι τὸν βίον ἐκείνοις τε ἄρχεσθαι καὶ ἑαυτοῖς ἄρχειν."

88. Πρώτους δ' ἐγὼ τῶν Ἑλλήνων οἶδα ἀργυρωνήτοις δούλοις χρησαμένους Χίους, ὡς ἱστορεῖ Θεόπομπος ἐν τῇ ἑβδόμῃ καὶ δεκάτῃ τῶν ἱστοριῶν· „Χῖοι πρῶτοι τῶν Ἑλλήνων μετὰ Θετταλοὺς καὶ Λακεδαιμονίους ἐχρήσαντο δούλοις, τὴν μέντοι κτῆσιν αὐτῶν οὐ τὸν αὐτὸν τρόπον ἐκείνοις. Λακεδαιμόνιοι μὲν γὰρ καὶ Θετταλοὶ φανήσονται κα-
c τασκευασάμενοι τὴν δουλείαν ἐκ τῶν Ἑλλήνων τῶν οἰκούντων πρότερον τὴν χώραν ἣν ἐκεῖνοι νῦν ἔχουσιν, οἱ μὲν Ἀχαιῶν, Θετταλοὶ δὲ Περραιβῶν καὶ Μαγνήτων. καὶ προσηγόρευσαν τοὺς καταδουλωθέντας οἱ μὲν εἵλωτας, οἱ δὲ πενέστας. Χῖοι δὲ βαρβάρους κέκτηνται τοὺς οἰκέτας, καὶ τιμὴν αὐτῶν καταβάλλοντες." ὁ μὲν οὖν Θεόπομπος ταῦθ' ἱστόρησεν. ἐγὼ δὲ τοῖς Χίοις ἡγοῦμαι διὰ τοῦτο νεμεσῆσαι τὸ δαιμόνιον· χρόνοις γὰρ ὕστερον ἐξεπολεμήθησαν διὰ δούλους. Νυμφόδωρος γοῦν ὁ Συρακόσιος ἐν τῷ τῆς Ἀσίας Περίπλῳ τάδ' ἱστορεῖ περὶ αὐτῶν „Τῶν Χίων οἱ δοῦλοι

---



265 a. μηχαναὶ ABV. μηχ C. μόνω μηχανὰ ex Platone Basil. et L. δουλεύσειν] ῥᾷον δουλεύσειν Plato. δουλεύσειν BCV. δουλεύμεν PL. μόνον AC. μόνων PVL. ἑαυτῶν] αὐτῶν P. πρόσρησιν C. πρόῤῥησιν PVL. γίγνεσθαι, μὴ B cum Platone. Legebatur γίγνεσθαι καὶ μή. ἄρρεσιν] αἵρεσιν B.

265 b. τῶν ἱστοριῶν om. B. Ad Theopompi locum spectat schol. Theocrit. XVI, 35.

265 c. οἱ μὲν Ἀχαιῶν L. οἱ μὲν om. PV. τιμὴν αὐτῶν] τιμὴν αὐτοῖς C. συρακόσιος A. συρακούσιος PVL. Περίπλῳ Schweigh. Libri παράπλῳ. Conf. ad III. p. 93 b. Libri indicem om. C.

d ἀποδιδράσκουσιν αὐτοὺς καὶ εἰς τὰ ὄρη ὁρμώμενοι τὰς
ἀγροικίας αὐτῶν κακοποιοῦσι πολλοὶ συναθροισθέντες. ἡ
γὰρ νῆσός ἐστι τραχεῖα καὶ κατάδενδρος. μικρὸν δὲ πρὸ
ἡμῶν οἰκέτην τινὰ μυθολογοῦσιν αὐτοὶ οἱ Χῖοι ἀποδράντα
ἐν τοῖς ὄρεσι τὰς διατριβὰς ποιεῖσθαι, ἀνδρεῖον δέ τινα
ὄντα καὶ τὰ πολέμια ἐπιτυχῆ τῶν δραπετῶν ἀφηγεῖσθαι
ὡς ἂν βασιλέα στρατεύματος. καὶ πολλάκις τῶν Χίων ἐπι-
στρατευσάντων ἐπ' αὐτὸν καὶ οὐδὲν ἀνύσαι δυναμένων,
ἐπεὶ αὐτοὺς ἑώρα μάτην ἀπολλυμένους ὁ Δρίμακος, τοῦτο
e γὰρ ἦν ὄνομα τῷ δραπέτῃ, λέγει πρὸς αὐτοὺς τάδε, 'Υμῖν,
ὦ Χῖοί τε καὶ κύριοι, τὸ μὲν γινόμενον πρᾶγμα παρὰ
τῶν οἰκετῶν οὐδέποτε μὴ παύσηται. πῶς γάρ, ὁπότε κατὰ
χρησμὸν γίνεται θεοῦ δόντος; ἀλλ' ἐὰν ἐμοὶ πείθησθε
καὶ ἐᾶτε ἡμᾶς ἡσυχίαν ἄγειν, ἐγὼ ὑμῖν ἔσομαι πολλῶν
ἀγαθῶν ἀρχηγός."

89. „Σπεισαμένων οὖν τῶν Χίων πρὸς αὐτὸν καὶ
ἀνοχὰς ποιησαμένων χρόνον τινὰ κατασκευάζεται μέτρα
καὶ σταθμὰ καὶ σφραγῖδα ἰδίαν. καὶ δείξας τοῖς Χίοις
f εἶπε διότι λήψομαι ὅ τι ἂν παρά τινος ὑμῶν λαμβάνω
τούτοις τοῖς μέτροις καὶ σταθμοῖς, καὶ λαβὼν τὰ ἱκανὰ
ταύτῃ τῇ σφραγῖδι τὰ ταμιεῖα σφραγισάμενος καταλείψω.
τοὺς δ' ἀποδιδράσκοντας ὑμῶν δούλους ἀνακρίνας τὴν αἰ-
τίαν, ἐὰν μέν μοι δοκῶσιν ἀνήκεστόν τι παθόντες ἀποδε-
δρακέναι, ἕξω μετ' ἐμαυτοῦ, ἐὰν δὲ μηδὲν λέγωσι δίκαιον,
66 ἀποπέμψω πρὸς τοὺς δεσπότας. ὁρῶντες οὖν οἱ λοιποὶ οἰ-
κέται τοὺς Χίους ἡδέως τὸ πρᾶγμα προσδεξαμένους πολλῷ
ἔλαττον ἀπεδίδρασκον, φοβούμενοι τὴν ἐκείνου κρίσιν.

---

265 d. εἰς τὸ ὄρος ὁρμώμενοι τὰς ἀγροικίας κακοποιοῦσι πολλοὶ συναθροισθέντες Eustathius p. 1409, 53. αὐτῶν L. ἑαυτῶν ABCP. νῆσός ἐστι] νῆσος αὐτοῖς ἐστι C. τινὰ ὃν μυθολογοῦσιν PVL. ὃν delevit Casaubonus. ἐπιτυχῆ Schweigh. Libri τῇ ψυχῇ. om. C.

265 e. Δρίμακος L. δριμακὸς PV. ὄνομα τῷ C, Basil. et L. ὀνόμα αὐτῷ BPV. ὄνομα αὖ τῷ A. παρὰ τῶν] περὶ τῶν C. παύσηται] παύσεται Schweigh. πείθησθε Lobeckius ad Phrynich. p. 720. Legebatur πεισθήσεσθε. εἶπε ABC. ἔφη PVL. ὅ τι ἂν Schweigh. ὅταν PVL. ὑμῶν om. P.

265 f. ταμιεῖα Schweigh. ταμεῖα C et epitome Hoeschelii. τι-μιεῖα ABD. τίμια PVL.

καὶ οἱ ὄντες δὲ μετ᾽ αὐτοῦ δραπέται πολὺ μᾶλλον ἐφοβοῦντο
ἐκεῖνον ἢ τοὺς ἰδίους αὐτῶν δεσπότας καὶ πάντ᾽ αὐτῷ τὰ
δέοντ᾽ ἐποίουν πειθαρχοῦντες ὡς ἂν στρατηγῷ. ἐτιμωρεῖτό
τε γὰρ τοὺς ἀτακτοῦντας καὶ οὐδενὶ ἐπέτρεπε συλᾶν ἀγρὸν
b οὐδ᾽ ἄλλο ἀδικεῖν οὐδὲ ἓν ἄνευ τῆς αὐτοῦ γνώμης. ἐλάμβανε
δὲ ταῖς ἑορταῖς ἐπιπορευόμενος ἐκ τῶν ἀγρῶν οἶνον καὶ
ἱερεῖα τὰ καλῶς ἔχοντα, ὅσα δ᾽ ἂν αὐτοῖς δοίησαν οἱ κύ-
ριοι· καὶ εἴ τινα αἴσθοιτο ἐπιβουλεύοντα αὐτῷ ἢ ἐνέδρας
κατασκευάζοντα, ἐτιμωρεῖτο.“

90. Εἶτ᾽, ἐκήρυξε γὰρ ἡ πόλις χρήματα δώσειν πολλὰ
τῷ αὐτὸν λαβόντι ἢ τὴν κεφαλὴν κομίσαντι, οὗτος ὁ Δρί-
μακος πρεσβύτερος γενόμενος, καλέσας τὸν ἐρώμενον τὸν
ἑαυτοῦ εἴς τινα τόπον λέγει αὐτῷ ὅτι, Ἐγώ σε πάντων
ἀνθρώπων ἠγάπησα μάλιστα, καὶ σύ μοι εἶ καὶ παῖς καὶ
c υἱὸς καὶ τὰ ἄλλα πάντα. ἐμοὶ μὲν οὖν χρόνος ἱκανὸς βε-
βίωται, σὺ δὲ νέος εἶ καὶ ἀκμὴν ἔχεις τοῦ ζῆν. τί οὖν
ἐστίν; ἄνδρα σε δεῖ γενέσθαι καλὸν κἀγαθόν. ἐπεὶ γὰρ ἡ
πόλις τῶν Χίων δίδωσι τῷ ἐμὲ ἀποκτείναντι χρήματα
πολλὰ καὶ ἐλευθερίαν ὑπισχνεῖται, δεῖ σε ἀφελόντα μου
τὴν κεφαλὴν εἰς Χίον ἀπενεγκεῖν καὶ λαβόντα παρὰ τῆς
πόλεως τὰ χρήματα εὐδαιμονεῖν. ἀντιλέγοντος δὲ τοῦ νεα-
νίσκου πείθει αὐτὸν τοῦτο ποιῆσαι. καὶ ὃς ἀφελόμενος
d αὐτοῦ τὴν κεφαλὴν λαμβάνει παρὰ τῶν Χίων τὰ ἐπικη-
ρυχθέντα χρήματα, καὶ θάψας τὸ σῶμα τοῦ δραπέτου
εἰς τὴν ἰδίαν ἐχώρησεν. καὶ οἱ Χῖοι πάλιν ὑπὸ τῶν οἰκε-
τῶν ἀδικούμενοι καὶ διαρπαζόμενοι μνησθέντες τῆς τοῦ τε-
τελευτηκότος ἐπιεικείας ἡρῷον ἱδρύσαντο κατὰ τὴν χώραν
καὶ ἐπωνόμασαν ἥρωος εὐμενοῦς. καὶ αὐτῷ ἔτι καὶ νῦν
οἱ δραπέται ἀποφέρουσιν ἀπαρχὰς πάντων ὧν ἀφέλωνται.

---

266 a. καὶ οἱ ὄντες C. καὶ ὄντες PVL. αὐτῶν] αὑτῶν PVL. δέοντ᾽ B. Scribebatur δέοντα. τε γὰρ AC. τε om. PVL. ἀτακτοῦντας] ἀπακτοῦντας B. οὐδενὶ] Scribebatur οὐθενί. αὐτοῦ] αὑτοῦ PVL.

266 b. ὅσα δ᾽ ἂν] Fortasse ὅσα τ᾽ ἄλλ᾽. αὐτοῖς] Malim αὐτῷ. αὐτῷ] αὑτῷ PVL. ἑαυτῷ C. Δρίμακος Schweigh. editio. δριμακὸς PVL. τὸν] τῶν margo P.

266 c. κἀγαθὸν] καὶ ἀγαθὸν B. ἀποκτείναντι] ἀποκτείνοντι B.

266 d. πάντων ὧν] πάντων ὧν ἂν Schweigh. ἀφέλωνται] ἀφέ-

φασὶ δὲ καὶ καθ' ὕπνους ἐπιφαινόμενον πολλοῖς τῶν Χίων προσημαίνειν οἰκετῶν ἐπιβουλάς. καὶ οἷς ἂν ἐπιφανῇ, οὗτοι
e θύουσιν αὐτῷ ἐλθόντες ἐπὶ τὸν τόπον οὗ τὸ ἡρῷόν ἐστιν αὐτοῦ."

91. Ὁ μὲν οὖν Νυμφόδωρος ταῦτα ἱστόρησεν. ἐν πολλοῖς δὲ ἀντιγράφοις ἐξ ὀνόματος αὐτὸν καλούμενον οὐχ εὗρον. οὐδένα δὲ ὑμῶν ἀγνοεῖν οἶμαι οὐδὲ ἃ ὁ καλὸς Ἡρόδοτος ἱστόρησε περὶ Πανιωνίου τοῦ Χίου καὶ ὧν ἐκεῖνος ἔπαθε δικαίως, ἐλευθέρων παίδων ἐκτομὰς ποιησάμενος καὶ τούτους ἀποδόμενος. Νικόλαος δ' ὁ περιπατητικὸς καὶ Ποσειδώνιος ὁ στωικὸς ἐν ταῖς ἱστορίαις ἑκάτερος τοὺς Χίους φησὶν ἐξανδραποδισθέντας ὑπὸ Μιθριδάτου τοῦ
f Καππάδοκος παραδοθῆναι τοῖς ἰδίοις δούλοις δεδεμένους, ἵν' εἰς τὴν Κόλχων γῆν κατοικισθῶσιν. οὕτως αὐτοῖς ἀληθῶς τὸ δαιμόνιον ἐμήνισε πρώτοις χρησαμένοις ὠνητοῖς ἀνδραπόδοις τῶν πολλῶν αὐτουργῶν ὄντων κατὰ τὰς διακονίας. μήποτ' οὖν διὰ ταῦτα καὶ ἡ παροιμία, Χῖος δεσπότην ὠνήσατο, ᾗ κέχρηται Εὔπολις ἐν Φίλοις.

92. Ἀθηναῖοι δὲ καὶ τῆς τῶν δούλων προνοοῦντες τύχης ἐνομοθέτησαν καὶ ὑπὲρ δούλων γραφὰς ὕβρεως εἶναι. Ὑπερίδης γοῦν ὁ ῥήτωρ ἐν τῷ κατὰ Μαντιθέου αἰκίας
7 φησὶν „Ἔθεσαν οὐ μόνον ὑπὲρ τῶν ἐλευθέρων, ἀλλὰ καὶ ἐάν τις εἰς δούλου σῶμα ὑβρίσῃ, γραφὰς εἶναι κατὰ τοῦ ὑβρίσαντος." τὰ ὅμοια εἴρηκε καὶ Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος πρώτῳ καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. Μαλακὸς δ' ἐν τοῖς Σιφνίων Ὥροις ἱστορεῖ ὡς τὴν Ἔφεσον δοῦλοι τῶν Σαμίων ᾤκισαν χίλιοι τὸν ἀριθμὸν ὄντες,

---

λονται B. ὑφέλωνται C. ἐπιφαινόμενον] ἐπιφερόμενον B. ἐπιφανῇ Schweigh. Libri ἐπιφάνῃ.

266 e. ἱστόρησεν om. B. εὗρον] εὗρεν B. οὐδὲ ἃ ὁ καλὸς A. οὐδὲ ὁ ὁ καλὸς VL. οὐδὲ ὁ καλὸς BP. Ἡρόδοτος] VIII, 105. Herodoti locum om. C. ἀποδόμενος] ἀποδύμενος B. φησὶν] φασὶν B.

266 f. τῶν πολλῶν] τῶν πολιτῶν Erfurdtius p. 460. πολιτῶν πολλῶν Schweigh. οὖν διὰ] οὖν καὶ διὰ B. καὶ τῆς τῶν] καὶ τοῖς τῶν B. Ὑπερίδης] ὑπερείδης BP.

267 a. ὑπὲρ] περὶ B. κατὰ Μειδίου] P. 529. ωροις sine accentu A. ὅροις VL. ὅροις P. Indicem libri om. C. ᾤκισαν Schweigh. Legebatur ᾤκησαν. τὸν ἀριθμὸν] τῶν ἀριθμὸν B.

οἳ καὶ τὸ πρῶτον ἀποστάντες εἰς τὸ ἐν τῇ νήσῳ ὄρος κακὰ πολλὰ ἐποίουν τοὺς Σαμίους. ἔτει δὲ ἕκτῳ μετὰ ταῦτα
b ἐκ μαντείας οἱ Σάμιοι ἐσπείσαντο τοῖς οἰκέταις ἐπὶ συνθήκαις, καὶ ἀθῷοι ἐξελθόντες τῆς νήσου ἐκπλεύσαντες κατέσχον τὴν Ἔφεσον καὶ οἱ Ἐφέσιοι ἐκ τούτων ἐγένοντο.

93. Διαφέρειν δέ φησι Χρύσιππος δοῦλον οἰκέτου, γράφων ἐν δευτέρῳ περὶ ὁμονοίας, διὰ τὸ τοὺς ἀπελευθέρους μὲν δούλους ἔτι εἶναι, οἰκέτας δὲ τοὺς μὴ τῆς κτήσεως ἀφειμένους. „ὁ γὰρ οἰκέτης (φησὶ) δοῦλός ἐστι κτήσει κα-
c τατεταγμένος." καλοῦνται δ' οἱ δοῦλοι, ὡς μὲν Κλείταρχός φησιν ἐν ταῖς Γλώσσαις, ἄζοι καὶ θεράποντες καὶ ἀκόλουθοι καὶ διάκονοι καὶ ὑπηρέται, ἔτι δ' ἐπάμονες καὶ λάτρεις. Ἀμερίας δὲ ἑρκίτας φησὶ καλεῖσθαι τοὺς κατὰ τοὺς ἀγροὺς οἰκέτας. Ἕρμων δὲ ἐν Κρητικαῖς Γλώσσαις μνῴτας τοὺς εὐγενεῖς οἰκέτας, Σέλευκος δ' ἄζους τὰς θεραπαίνας καὶ τοὺς θεράποντας, ἀποφράσιν δὲ τὴν δούλην καὶ βολίζην, σίνδρωνα δὲ τὸν δουλέκδουλον, ἀμφίπολον δὲ τὴν περὶ τὴν δέσποιναν θεράπαιναν, πρόπολον δὲ τὴν
d προπορευομένην. Πρόξενος δ' ἐν δευτέρῳ Λακωνικῆς πολιτείας ἐπικαλεῖσθαί φησι χαλκίδας παρὰ Λακεδαιμονίοις τὰς θεραπαίνας. Ἴων δ' ὁ Χῖος ἐν Λαέρτῃ τὸν οἰκέτην ἐπὶ δούλου τέθεικεν εἰπὼν „Οἴμοι, δόμον, οἰκέτα, κλεῖσον ὑπόπτερος, μή τις ἔλθῃ βροτῶν." Ἀχαιὸς δ' ἐν Ὀμφάλῃ περὶ τοῦ Σατύρου λέγων φησὶν „Ὡς εὔδουλος, ὡς εὔοικος ἦν." ἰδίως λέγων ὡς χρηστὸς ἐς τοὺς δούλους ἐστὶ καὶ τοὺς οἰκέτας. ὅτι δὲ οἰκέτης

---

267 b. ἀθῷοι] ἀθρόοι C. κτήσει] ἐν κτήσει Schweigh. κτήσει κατατ.] κατατ. κτήσει C.

267 c. Nomina servilia hinc sumpsit Eustathius p. 954, 42. 1024, 39. 1090, 50. δ' ἐπάμονες Hemsterhusius in schedis et Valckenar. Animadv. ad Ammon. p. 100. Legebatur δὲ κάλμονες. λάτρεις] λάτρις C et Eustathius. γλώσσαις B. Scribebatur γλώτταις. μνῴτας] Scribebatur μνῶτας. μνώτας C et Eustathius p. 1024, 37. εὐγενεῖς] ἐγγενεῖς Eustathius. ἀποφράσιν] ἀποφράτην Eustathius p. 1090, 57., non C. σίνδρωνα AC et Eustathius. σίνδρονα PVL.

267 d. Λακωνικῆς] τῆς λακωνικῆς B. τέθεικεν] τέθηκεν B. Οἴμοι] Ἴοι μοι ABP, qui fortasse ἰώ μοι voluere. om. C. δόμον ABCP. δόμων VL. ἐς τοὺς δούλους] ἐς δούλους B.

e ἐστὶν ὁ κατὰ τὴν οἰκίαν διατρίβων, κἂν ἐλεύθερος ᾖ, κορίον.

94. Οἱ δὲ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ περὶ τοῦ ἀρχαίου βίου διαλεγόμενοι, ὅτι οὐκ ἦν τότε δούλων χρεία, τοιάδ' ἐπιτίθενται. Κρατῖνος μὲν ἐν Πλούτοις

Οἷς δὴ βασιλεὺς Κρόνος ἦν τὸ παλαιόν,
ὅτε τοῖς ἄρτοις ἠστραγάλιζον· μᾶζαι δ' ἐν ταῖσι παλαίστραις
Αἰγιναῖαι κατεβέβληντο δρυπεπεῖς βώλοις τε κομῶσαι.

Κράτης δ' ἐν Θηρίοις

Ἔπειτα δοῦλον οὐδὲ εἷς κεκτήσετ' οὐδὲ δούλην.
Β. ἀλλ' αὐτὸς αὑτῷ δῆτ' ἀνὴρ γέρων διακονήσει;
f Α. οὐ δῆθ'· ὁδοιποροῦντα γὰρ τὰ πάντ' ἐγὼ ποιήσω.
Β. τί δῆτα τοῦτ' αὐτοῖς πλέον; Α. πρόσεισιν αὔθ' ἕκαστον
τῶν σκευαρίων, ὅταν καλῇ τις. παρατιθοῦ τράπεζα.
αὕτη, παρασκεύαζε σαυτήν. μάττε θυλακίσκε.
ἔγχει κύαθε. ποῦσθ' ἡ κύλιξ; διάνιζ' ἰοῦσα σαυτήν.
ἀνάβαινε μᾶζα. τὴν χύτραν χρῆν ἐξερᾶν τὰ τεῦτλα.
ἰχθὺ βάδιζ'. ἀλλ' οὐδέπω 'πὶ θάτερ' ὀπτός εἰμι.

---

267 e. ὅτε οὐκ ἦν δούλων χρεία C. τοιάδ' B. Scribebatur τοιάδε. V. 3. δρυπεπεῖς ACDV. δρυπεπεῖς PL. βώλοις] κώλοις epitome Hoeschelii, non C. Cratetis v. 1. Scribebatur κεκτήσεται. V. 2. αὑτῷ] αὐτῷ PVL.

267 f. V. 3. οὐ — παρατιθοῦ om. epitome. V. 3. δῆθ'] Scribebatur δῆτα. ὁδοιποροῦντα Casaubonus. Libri ὁδοιπόρου τὰ, τὰ πάντ' Elmsleius in Edinburgh Review vol. XIX. p. 88. Legebatur ταῦτα πάντ'. V. 4. πλέον Schweigh. πλεῖον PVL. αὔθ' ἕκαστον B. αὐθέκαστον VL. V. 5. τις, παρατιθοῦ Elmsleius. Libri τε παρατιθῶ. V. 6. αὕτη PVL. αὐτὴ C. σαυτήν] σαυτόν AP. V. 7. ἰοῦσα νίζε Elmsleius. λιανίζουσα A. λίαν ἵζουσα P. νίζε BC. λίαν νίζουσα VL. διάνιζε σύ γε σαυτήν Pierson. ad Moerin p. 423. quem mirum est non maluisse διάνιζ' ἰοῦσα σαυτήν. σαυτήν Elmsleius. Libri σεαυτήν. V. 8. χύτραν] χεῖρα B. χρῆν Emsleius. Libri χρή. ἐξερᾶν τὰ Schweigh. ἐξαίροντα A. ἐξάροντα PV. ἐξ ἄρας τὰ C. ἐξᾶραι τὰ L. V. 9. ἰχθὺ PL. ἰχθῦ V. οὐδέπω 'πὶ Erfurdtius p. 461. οὐδέποτ' ἐπὶ PV. οὐδέπω τἀπὶ L. οὐδὲ τἀπὶ Elmsleius.

*οὔκουν μεταστρέψας σεαυτὸν ἀλσὶ πάσεις ἀλείφων;*

268 *ἑξῆς δὲ μετὰ ταῦτα ὁ τὸν ἐναντίον τούτῳ παραλαμβάνων λόγον φησὶν*

*Ἀλλ' ἀντίθες τοι· ἐγὼ γὰρ αὐτὰ πάμπαλιν*
*τὰ θερμὰ λουτρὰ πρῶτον ἄξω τοῖς ἐμοῖς*
*ἐπὶ κιόνων ὥσπερ διὰ τοῦ παιωνίου*
*ἐπὶ τῆς θαλάττης, ὥσθ' ἑκάστῳ ῥεύσεται*
*εἰς τὴν πύελον. ἐρεῖ δὲ θὔδωρ ἀνέχετε.*
*ἔπειτ' ἀλάβαστος εὐθέως ἥξει μύρου*
*αὐτόματος ὁ σπόγγος τε καὶ τὰ σάνδαλα.*

95. *Βέλτιον δὲ τούτων Τηλεκλείδης Ἀμφικτύοσι*

b *Λέξω τοίνυν βίον ἐξ ἀρχῆς ὃν ἐγὼ θνητοῖσι παρεῖχον.*
*εἰρήνη μὲν πρῶτον ἁπάντων ἦν ὥσπερ ὕδωρ κατὰ χειρός.*
*ἡ γῆ δ' ἔφερ' οὐ δέος οὐδὲ νόσους, ἀλλ' αὐτόματ' ἦν τὰ δέοντα.*
*οἴνῳ γὰρ ἅπασ' ἔρρει χαράδρα, μᾶζαι δ' ἄρτοις ἐμάχοντο*
*περὶ τοῖς στόμασιν τῶν ἀνθρώπων, ἱκετεύουσαι καταπίνειν,*
*εἴ τι φιλοῖεν τὰς λευκοτάτας. οἱ δ' ἰχθύες οἴκαδ' ἰόντες*
c *ἐξοπτῶντες σφᾶς αὐτοὺς ἂν παρέκειντ' ἐπὶ ταῖσι τραπέζαις.*

---

V. 10. *οὔκουν*] Scribebatur *οὐκοῦν*. *ἀλσὶ πάσεις ἀλείφων* Elmsleius. *ἄλειπας εἰσαλείφων* A (hic sine accentibus) B. *ἀλείψας εἰσαλείφων* P. *ἀλείψαιζ' εἰσαλείφων* VL. In epitome est *μεταστρέψας σεαυτὸν ἄλειφε.*

268 a. *εἶτα ἐπάγει ὅτι τὰ θερμὰ λουτρὰ ἑκάστῳ ῥεύσει' εἰς τὴν πύελον* — C. V. 1. *ἀντίθες τοι* A. *ἀντίθεσθαι* BP. *ἀντίθες τοί* VL. *πάμπαλιν* ABPV. *τάμπαλιν* L. Versum 3. add. ABPL. om. V. V. 4. *ῥεύσεται* VL. *ῥεύσετ'* ABCP. V. 5. *δὲ θὔδωρ*] Scribebatur *δέ* (*δὲ* V) *θ' ὕδωρ*. *ἀνέχετε*] *ἀνέχεται* A. *ἀναχέεται* P. *ἀναχεῖται* B. *ἀναχεῖται* epitome Hoeschelii. *ἀναχεῖτε* vel *ἀναχεῖται* C. *ἀνεχχέετε* VL. V. 6. *ἀλάβαστος* ABCP. *ἀλάβαστρος* VL. V. 7. *τε*] *δὲ* B.

268 b. V. 1. *ὃν ἐξ ἀρχῆς* Sextus Empiricus VI. 15. p. 359. qui hunc versum cum Aristophanis Nubium v. 961. confudit. V. 5. *στόμασιν*] *σώμασιν* C.

ζωμοῦ δ' ἔρρει παρὰ τὰς κλίνας ποταμὸς, κρέα θερμὰ κυλίνδων·
ὑποτριμματίων δ' ὀχετοὶ τούτων τοῖς βουλομένοισι παρῆσαν·
ὥστ' ἀφθονία τὴν ἔνθεσιν ἦν ἄρδονθ' ἁπαλὴν καταπίνειν.
λεκανίσκαισιν δ' ἀνάπαιστα παρῆν ἡδυσματίοις καταπαστα.
ὀπταὶ δὲ κίχλαι μετ' ἀμητίσκων εἰς τὸν φάρυγ' εἰσεπέτοντο·
d τῶν δὲ πλακούντων ὠστιζομένων περὶ τὴν γνάθον ἦν ἀλαλητός.
μήτρας δὲ τόμοις καὶ χναυματίοις οἱ παῖδες ἂν ἠστραγάλιζον.
οἱ δ' ἄνθρωποι πίονες ἦσαν τότε καὶ μέγα χρῆμα γιγάντων.

96. Πρὸς τῆς Δήμητρος ὑμῖν, ὦ ἑταῖροι, εἰ ταῦτα οὕτως ἐγίνετο, χρεία τίς ἡμῖν ἦν οἰκετῶν; ἀλλὰ γὰρ αὐτουργοὺς εἶναι ἐθίζοντες ἡμᾶς οἱ ἀρχαῖοι διὰ τῶν ποιημάτων ἐπαίδευον εὐωχοῦντες λόγοις. ἐγὼ δ', ἐπειδὴ ὥσπερ λαμπάδιον κατασείσαντος τοῦ θαυμασιωτάτου Κρατίνου
e τὰ προκείμενα ἔπη καὶ ὅσοι μετ' αὐτὸν γενόμενοι μιμησάμενοι ἐπεξειργάσαντο, ἐχρησάμην τῇ τάξει τῶν δραμάτων ὡς ἐδιδάχθη· καὶ εἰ μὴ ἐνοχλῶ τι ὑμῖν, τῶν γὰρ κυνικῶν φροντὶς οὐδὲ ἡ σμικροτάτη, ἀπομνημονεύσω κατὰ τὴν τάξιν καὶ τὰ τοῖς ἄλλοις εἰρημένα ποιηταῖς. ὧν εἷς ἐστιν ὁ Ἀττικώτατος Φερεκράτης, ὃς ἐν μὲν τοῖς Μεταλλεῦσί φησιν

---

268 c. V. 9. βουλομένοις ABCP. V. 10. ἦν ἄρδονθ' BC et epitome Hoeschelii. ἢ νάρδον PVL. ἁπαλὴν] ἁπαλὸν epitome Hoeschelii. ἀπὰ C. V. 11. λεκανίσκαισιν δ' Porsonus. Legebatur λεκανίσι (λαικανίσι A) καὶ σὶδ'. Totum versum om. C. ἀνάπαιστα] ἄλπαστα Casaubonus. Fortasse ἀνάβραστα. V. 12. ὀπταὶ δὲ PVL et II. p. 64 f. ὀπταί τε Schweigh. editio. αὐτόμαται δὲ XIV. p. 644 f. φάρυγ'] Libri φάρυγγ'. εἰσέπονται B.

268 d. V. 14. ἂν ἠστραγάλιζον Schweigh. ἂν ἐστραγάλιζον epitome. ἀνεστραγάλιζον PVL. χρεία] χονάς B.

268 e. καὶ ὅσοι Porsonus. Legebatur καὶ ὡς οἱ. ἐπεξειργάσαντο B.

*Πλούτῳ δ' ἐκεῖν' ἦν πάντα συμπεφυρμένα,*
*ἐν πᾶσιν ἀγαθοῖς πάντα τρόπον εἰργασμένα.*
*ποταμοὶ μὲν ἀθάρης καὶ μέλανος ζωμοῦ πλέῳ*
f *διὰ τῶν στενωπῶν τονθολυγοῦντες ἔρρεον*
*αὐταῖσι μυστίλαισι, καὶ ναστῶν τρύφη,*
*ὥστ' εὐμαρῆ γε καὐτομάτην τὴν ἔνθεσιν*
*χωρεῖν λιπαρὰν κατὰ τοῦ λάρυγγος τοῖς νεκροῖς.*
*φῦσκαι δὲ καὶ ζέοντες ἀλλάντων τόμοι*
*παρὰ τοῖς ποταμοῖς σίζοντ' ἐκέχυντ' ἀντ' ὀστράκων.*
*καὶ μὴν παρῆν τεμάχη μὲν ἐξωπτημένα,*
*καταχυσματίοισι παντοδαποῖσιν εὐτρεπῆ·*
269 *σχελίδες δ' ὁλόκνημοι πλησίον τακερώταται*
*ἐπὶ πινακίσκοις καὶ δίεφθ' ἀκροκώλια*
*ἥδιστον ἀτμίζοντα, καὶ χόλικες βοός,*
*καὶ πλευρὰ δελφάκει' ἐπεξανθισμένα*
*χναυρότατα παρέκειτ' ἐπ' ἀμύλοις καθήμενα.*
*παρῆν δὲ χόνδρος γάλακτι κατανενιμμένος*
*ἐκ καταχύτλοις λεκάναισι καὶ πύου τόμοι.*

---

V. 3. 4. 8. — 18. 22. 23. attulit Pollux VI, 58. 59. V. 3. *πλέῳ*] *πλέω* libri et Pollux et Eustathius p. 1095, 18.

268 f. V. 4. *τῶν στενωπῶν*] *τὸν στενωπῶν* B. *τονθολυγοῦντες*] „*Scripta quaedam antiqua manu πομφολυγοῦντες.*" Casaubonus. *πονφολυγοῦντες* B. *τονθορυγοῦντες* Pollux. Eustathius *τονθολυγοῦντες*. V. 5. *μυστίλλαισι* BP. V. 6. *εὐμαρῆ τε* (debebat *γε*) *καὐτομάτην* Casaubonus. Libri *εὐμαρῆ ἦγεν αὐτόματ' εἰς*. In epitome est *ὥστε τὴν ἔνθεσιν χωρεῖν λιπαρὰν* —. V. 9. *σίζοντ'* ex Polluce repositum. Libri *σίζοντες*. Post versum 11. addit Pollux *τευτλίοισί τ' ἐγχέλεια συγκεκαλυμμένα.*

269 a. V. 12. 13. attulit III. p. 96 a. V. 12. *σχελίδες* C et 96. Scribebatur *σκελίδες* cum Polluce, qui ad eundem locum spectans II, 191. *καὶ σκελίδες*, inquit, *ὁλόκνημοι ἐν τῇ κωμῳδίᾳ*. V. 13. *πινακίσκοις*] *πινακίσκων* Pollux. V. 14. Fort. *ἀπατμίζοντα*. *χόλικες*] *χόλιξ* Pollux. V. 16. *χαυνότερ' ἐπέκειτ'* Pollux. *καθήμενα — καταχύτλοις* om. P. V. 17. *παρῆν δὲ χόνδρος*] Sic etiam Pollux. Vitium metricum tollas licet, transpositione *χόνδρος δὲ παρῆν*: quae tamen non vera correctio est, nam vitium in *γάλακτι* latet, cuius alia praeter usitatam forma exstitisse videtur. Eodem modo laborat *γαλακτοθρέμμονα* Antiphanis X. p. 449 b. *κατανενιμμένος*] *μεμιγμένος* Pollux. V. 18. *ἐν καταχύτλοις*] *ἐγκαταχύταις* Pollucis editt. veteres. *καὶ πύου — ξυνεχῆ πύθῃ* om. C. *πύου τόμοι* Villebrunius, qui in D *πυος τομος*, in

*Β. οἴμ' ὡς ἀπολεῖς μ' ἐνταῦθα διατρίβουσ' ἔτι,*
*παρὸν κολυμβᾶν ὡς ἔχετ' εἰς τὸν τάρταρον.*
b *Α. τί δῆτα λέξεις τἀπίλοιπ' ἥπερ πύθη;*
*ὀπταὶ κίχλαι δ' ἐπὶ τοῖσδ' ἀνάβραστ' ἠρτυμέναι*
*περὶ τὸ στόμ' ἐπέτοντ' ἀντιβολοῦσαι καταπιεῖν,*
*ὑπὸ μυρρίναισι κἀνεμώναις κεχυμέναι.*
*τὰ δὲ μῆλ' ἐκρέματο τὰ καλὰ τῶν καλῶν ἰδεῖν*
*ὑπὲρ κεφαλῆς, ἐξ οὐδενὸς πεφυκότα.*
*κόραι δ' ἐν ἀμπεχόναις τριχάπτοις ἀρτίως*
*ἡβυλλιῶσαι καὶ τὰ ῥόδα κεκαρμέναι*
*πλήρεις κύλικας οἴνου μέλανος ἀνθοσμίου*
c *ἤντλουν διὰ χώνης τοῖσι βουλομένοις πιεῖν.*
*καὶ τῶνδ' ἕκαστον εἰ φάγοι τις ἢ πίοι,*
*διπλάσι' ἐγίγνετ' εὐθὺς ἐξ ἀρχῆς πάλιν.*

97. *Κἀν τοῖς Πέρσαις δέ φησι*

*Τίς δ' ἔσθ' ἡμῖν τῶν σῶν ἀροτῶν ἢ ζυγοποιῶν ἔτι χρεία,*
*ἢ δρεπανουργῶν, ἢ χαλκοτύπων, ἢ σπέρματος, ἢ χαρακισμοῦ;*
*αὐτόματοι γὰρ διὰ τῶν τριόδων ποταμοὶ λιπαροῖς ἐπιπάστοις*
d *ζωμοῦ μέλανος καὶ Ἀχιλλείοις μάζαις κοχυδοῦντες ἐπιβλὺξ*

---

Q πού scriptum invenit. πυοτόμοι A. πύδόμοι B. πόντομ' VL. πόντομοι P. ἀμύλου τόμοι Pollux. V. 19. οἴμ'] ὅμ' B. ὄμ' P.

269 b. V. 22. ὀπτιαὶ VL. ὀπταὶ καὶ ABP. ἐπὶ τοῖσδ' ἀνάβραστ' Pollux. γὰρ ἀνάβραστ' VL. γὰρ εἰς ἀναβράσεις. ἀναβράσεις ἀνάβραστ' (sic) A. γὰρ εἰς ἀναβράσεις ἀνάβραστ' P. γὰρ εἰς ἀναβράσεις B. In C ὀπταὶ δὲ κίχλαι ἀνάβραστοι ἠρτυμέναι. V. 25. ἐκρέματο Porsonus. Libri ἐκρέμαντο. V. 26. οὐδενὸς] Scribebatur οὐθενός. V. 27. ἀμπεχόναις BC. ἀμπεχόναισι VL. τριχάπτοις ABCP. τριχύφοις VL. V. 28. ἡβυλλιῶσαι] σιβυλλιῶσαι BP.

269 c. V. 31. ἕκαστον Elmsleius ad Aristoph. Acharn. v. 339. in Auctario. Legebatur ἕκαστος. ἑκάστοτ' Iacobsius p. 160. εἰ] ὅ τι Elmsleius. τις BPV. τὶ L et Schweigh. editio. V. 32. διπλάσι' PVL. διπλάσιον Elmsleius. ἐγίνετ' ABC. ἐγένετ' PVL et Elmsleius. V. 1. σῶν om. P. V. 3. 4. Eustathius p. 1095, 19. V. 3. ἐπιπάστοις L. ἐπίπασται P. ἐπιπάστοι V.

269 d. V. 4. μάζαις L. μάχαις PV. ἐπιβλὺξ] ἐπικλὺξ epi-

ἀπὸ τῶν πηγῶν τῶν τοῦ Πλούτου ῥεύσονται, σφῷν ἀρύτεσθαι.
ὁ Ζεὺς δ' ὕων οἴνῳ καπνίᾳ κατὰ τοῦ κεράμου βαλανεύσει,
ἀπὸ τῶν δὲ τεγῶν ὀχετοὶ βοτρύων μετὰ ναστίσκων πολυτύρων
ὀχετεύσονται, θερμῷ σὺν ἔτνει καὶ λειριοπολφανεμώναις.
τὰ δὲ δένδρ' ἡμῖν τἀν τοῖς ὄρεσιν χορδαῖς ὀπταῖς ἐριφείοις
φυλλοροήσει καὶ τευθιδίοις ἁπαλοῖς κίχλαις τ' ἀναβράστοις.

98. Τί δεῖ πρὸς τούτοις ἔτι παρατίθεσθαι τὰ ἐκ Ταγηνιστῶν τοῦ χαρίεντος Ἀριστοφάνους; πάντες γὰρ τῆς κατ' Ἀχαρνεῖς αὐτοῦ πλήρεις ἐστί. τῶν δὲ Μεταγένους ἐκ Θουριοπερσῶν μνημονεύσας καταπαύσω τὸν λόγον, μακρὰ χαίρειν εἰπὼν ταῖς Νικοφῶντος Σειρῆσιν, ἐν αἷς τάδε γέγραπται

Νιφέτω μὲν ἀλφίτοις,
ψακαζέτω δ' ἄρτοισιν, ὑέτω δ' ἔτνει,
ζωμὸς διὰ τῶν ὁδῶν κυλινδείτω κρέα,
πλακοῦς ἑαυτὸν ἐσθίειν κελευέτω.

---

tome Hoeschelii, non C. V. 5. ῥεύσονται C. ῥεύσοντας PVL. ῥεύσαντας B. σφῷν] σφῶν αὐτῶν epitome. ἀρύττεσθαι B. V. 6. οἴνῳ καπνίᾳ CL. οἴνω ἰκαπνίᾳ V. οἴνω οἰκαπνίαι AP. κατὰ PL. καὶ V. V. 7. μετὰ Schweigh. Legebatur μετ' ἀμητίσκων (μετὰ μητίσκων P) καὶ, quae ex Teleclidis versu 12. p. 268 c. illata sunt. ναστίσκων C. νατίσκων ABP. νασίσκων VL. V. 8. ὀχετεύσοντας BP. θερμῷ Villebrunius. Libri θερμοί. V. 9. τὰ δὲ C. Aberat δὲ. δένδρ' ἡμῖν] Legebatur δένδρη. δένδρα B. τἀν τοῖς Casaubonus. τ' αὐτοῖς PVL. δ' αὐτοῖς B. ὄρεσιν BP. ὄρεσι VL. ὀπταῖς excidit in editionibus Casaubonianis secunda et tertia.

269 e. V. 10. ἁπαλοῖς non mutem in ἁπαλοῖσι. Ταγηνιστῶν] ταγυνιστῶν B. κατ' Ἀχαρνεῖς] κατ' ἀχαρνῆς P. καταχήνης Schweigh. νικοφῶν δέ που φησὶν ἐν ἀδιδάκτῳ δράματι αὐτοῦ σειρῆσι τάδε C: quae ex p. 270 a. sumta. V. 1. Νιφέτω] νιφέτω AP. νιφέτω C. ἀλφίτοις Schweigh. ἀλφίτοισι PVL. V. 2. ψακαζέτω P. V. 3. κυλινδείτω ABCP. καλινδείτω VL.

f ἀλλ' ὅ γε Μεταγένης τάδε φησίν·

> Ὁ μὲν ποταμὸς ὁ Κρᾶθις ἡμῖν καταφέρει
> μάζας μεγίστας αὐτομάτας μεμαγμένας,
> ὁ δ' ἕτερος (ὁ Σύβαρις καλούμενος ποταμὸς)
> ὠθεῖ κῦμα ναστῶν καὶ κρεῶν
> ἑφθῶν τε βατίδων εἰλυομένων αὐτόσε.
> τὰ δὲ μικρὰ ταυτὶ ποτάμι' ἐνμεντευθενὶ
> ῥεῖ τευθίσιν ὀπταῖς καὶ φάγροις καὶ καράβοις,
> ἐντευθενὶ δ' ἀλλᾶσι καὶ περικόμμασι,
> 270 τηδὶ δ' ἀφύαισι, τῇδε δ' αὖ ταγηνίαις.
> τεμάχη δ' ἄνωθεν αὐτόματα πεπνιγμένα
> εἰς τὸ στόμ' ᾄττει, τὰ δὲ παρ' αὐτὼ τὼ πόδε.
> ἄμυλοι δὲ περινέουσιν ἡμῖν ἐν κύκλῳ.

οἶδα δ' ὅτι καὶ οἱ Θουριοπέρσαι καὶ τὸ τοῦ Νικοφῶντος δρᾶμα ἀδίδακτά ἐστι, διόπερ καὶ τελευταίων αὐτῶν ἐμνήσθην.

99. Ταῦτα τοῦ Δημοκρίτου σαφῶς καὶ τορῶς διεξελθόντος ἐπῄνουν μὲν οἱ δαιταλεῖς, ὁ δὲ Κύνουλκος ἔφη,
b Ἄνδρες σύσσιτοι, σφόδρα με λιμώττοντα οὐκ ὀρθῶς ὁ Δημόκριτος εἱστίασε ποταμοὺς διαπερανάμενος ἀμβροσίας

---

269 f. ὅ γε] ὅγε ὁ B. V. 2. μεγίστους αὐτομάτους P. αὐτομάτους verum videtur. V. 3. ἕτερος] Legebatur ἕτερός γε. ὁ δ' ἕτερος ὠθεῖ Elmsleius in Edinburgh Review vol. III. p. 193. deletis verbis ὁ Σύβαρις καλούμενος ποταμὸς, quae Athenaei esse credo fluvii nomen ex praecedentibus apud Metagenem versibus declarantis. Porsonus scribebat ὁ δ' ἕτερός ἐστιν ὁ Σύβαρις καλούμενος | ποταμὸς ὃς ὠθεῖ —. V. 4. εἰλυομένων αὐτόσε om. C. εἰλυομένων] εἰλύμεν B. εἰλλύμεν P. εἰλυόμενον Schweigh. αὐτόσσε (sic) ABD. αὐτός σε P. Legebatur αὐτόθεν. V. 5. ἐνμεντευθενὶ Elmsleius ad Aristoph. Acharn. v. 108. in Auctario. Libri ἐν μὲν ἐντεῦθεν. V. 6. ῥεῖ Elmsleius. Legebatur ῥέει. ταυθίσιν P. Scribebatur ταυθῖσιν. τευθίσιν B.

270 a. V. 8. — 11. om. C. V. 8. τηδὶ δ'] τιδιδ' AP. τί δὴ δ' B. ἀφύαισι Villebrunius. ἀφύλισι ABDPQ. ἀφύλοισι VL. τῇδε δ' αὖ] τηδεδὶ Elmsleius. τήνδε δ' ἄντ' ἀγυνίαις B. τήνδε δ' αὖ etiam P. V. 9. τεμάχη δ' Schweigh. τεμάχη λ' A. τε μάχηλ' B. τεμάχη τ' PVL. V. 10. στόμ'] στόμα BP. ᾄττει] ἄττει A. ἄιττει B. αἴτει P. ἴζει VL. τὰ δὲ P. τάδε VL. ὅτι καὶ οἱ] ὅτι οἱ B.

καὶ νέκταρος, ὑφ' ὧν ἀρδευθεὶς τὴν ψυχὴν ἱκανῶς πειναλέος γεγένημαι, λόγοις αὐτὸ μόνον καταβρεχθείσας· ὥστε ἤδη παυσάμενοί ποτε τῆς τοσαύτης ἀπεραντολογίας κατὰ τὸν Παιανιέα ῥήτορα τοιούτων τινῶν μεταλάβωμεν ἃ μήτ' ἰσχὺν ἐντίθησι μήτ' ἀποθνήσκειν ἐᾷ·

Ἐν κενῇ γὰρ γαστρὶ τῶν καλῶν ἔρως
c οὐκ ἔστι· πεινῶσιν γὰρ ἡ Κύπρις πικρά,

Ἀχαιός φησιν ἐν Αἴθωνι σατυρικῷ. παρ' οὗ ὁ σοφὸς Εὐριπίδης λαβὼν ἔφη·

Ἐν πλησμονῇ τοι Κύπρις, ἐν πεινῶντι δ' οὔ.

πρὸς ὃν ὁ Οὐλπιανὸς ἀεί ποτε διαπολεμῶν ἔφη·

Πλήρης μὲν λαχάνων ἀγορή, πλήρης δὲ καὶ ἄρτων.

σὺ δέ, ὦ κύον, ἀεὶ λιμώττεις καὶ οὐκ ἐᾷς ἡμᾶς λόγων καλῶν καὶ ἀφθόνων μεταλαμβάνειν, μᾶλλον δὲ σιτεῖσθαι. τροφὴ γὰρ ψυχῆς λόγοι καλοί. καὶ ἅμα στραφεὶς πρὸς τὸν
d οἰκέτην, Λεῦκε, ἔφη, κἂν ἐκφατνίσματά τινα ἄρτων ἔχῃς, δὸς τοῖς κυσίν. καὶ ὁ Κύνουλκος, Εἰ μὲν εἰς ἀκροάσεις λόγων, ἔφη, παρεκεκλήμην, ἠπιστάμην ἥκειν ἀγορᾶς πληθυούσης· οὕτως γάρ τις τῶν σοφῶν τὴν τῶν δείξεων ὥραν ἐκάλει, καὶ αὐτὸν οἱ πολλοὶ διὰ τοῦτο Πληθαγόραν ὠνόμαζον· εἰ δὲ λουσάμενοι λογάρια δειπνοῦμεν,

μικρὰς τίθημι συμβολὰς ἀκροώμενος,

κατὰ τὸν Μένανδρον. διὸ παραχωρῶ σοι, ὦ γάστρων, τῆς τοιαύτης ἐμφορεῖσθαι σιτήσεως·

e Πεινῶντι γὰρ ἀνδρὶ μᾶζα τιμιωτέρα
χρυσοῦ τε κἀλέφαντος

κατὰ τὸν τοῦ Ἐρετριέως Ἀχαιοῦ Κύκνον.

---

270 b. πειναλέος L. πιναλέος PV. πινάλεως B. καταβροχθείσας BP. τῆς ἀπεραντολογίας τοσαύτης P. κατὰ] Legebatur καὶ κατὰ. ῥήτορα] Demosthenem p. 37.

270 c. Achaei et Euripidis loca hinc petivit Eustathius p. 1596, 43. πεινῶντι] Alii scriptores πεινῶσι: vide annotationem. κύον A. κύων PVL. τροφὴ — καλοί] Eustathius p. 1596, 42.

270 d. παρεκεκλήμην L. παρεκλήμην BPV. πληθυούσης] πληθυνούσης P. Fortasse πληθούσης scripsit. σοφῶν] σοφιστῶν C. Πληθαγόραν] πυθαγόραν P. Μένανδρον] P. 236. σιτήσεως] σιτίσεως B.

270 e. κἀλέφαντος] καὶ ἐλέφαντος BP. Κύκνον Casaubonus.

100. Καὶ ἅμα ταῦτα λέγοντος ἔτι, ἦν ὑπανιστάσθαι, ἐπιστραφεὶς δὲ καὶ θεασάμενος πλῆθος ἰχθύων καὶ ἄλλων παντοδαπῶν ὄψων παρασκευὴν εἰσκυκλουμένην κρούσας τῇ χειρὶ τὸ προσκεφάλαιον ἀνέκραγεν...

Τέτλαθι δὴ πενίη καὶ ἀνάσχεο μωρολογούντων·
f ὄψων γὰρ πλῆθός σε δαμᾷ καὶ λιμὸς ἀτερπής.

ἐγὼ γὰρ ἤδη ὑπὸ τῆς ἐνδείας οὐ διθυράμβους φθέγγομαι κατὰ τὸν Σωκράτην, ἀλλ' ἤδη καὶ ἔπη. λαμπάς γὰρ ἔστι τοῖς ἡ κωμῳδία. κατὰ γὰρ Ἀμειψίαν, ὃς ἐν Σφενδόνῃ ἔφη περὶ σοῦ μαντευσάμενος ὦ Λαρήνσιε,

Οὐδεὶς σοῦστιν τῶν πλουτούντων μὰ τὸν Ἥφαιστον
προσοδόποιος,
71 καλλιτράπεζος καὶ βουλόμενος λιπαρὸν ψωμὸν καταπίνειν.

Ὁρῶ γὰρ θαῦμ' ἄπιστον, ἰχθύων γένη
περὶ τὴν ἄκραν παίζοντα, κωβιούς, σπάρους,
ψήττας, ἐρυθρίνους, κεστρέας, πέρκας, σάργους,
θύννους, μελανούρους, σηπίας, αὐλωπίας,
τρίγλας, ἐλεδώνας, σκορπίους,

φησὶν Ἡνίοχος ἐν Πολυπράγμονι. Δεῖ οὖν κἀμὲ κατὰ τὸν κωμικὸν Μνησιγένην ἐπιφωνοῦντα·

Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ δείπνου

τεκλάναι.

b 101. Σιωπήσαντος δ' αὐτοῦ ὁ Μασούριος ἔφη, Ἀλλ' ἐπειδὴ ὑπολείπεταί τινα περὶ τοῦ ἀμφὶ τοὺς οἰκέτας λόγου, συμβαλοῦμαί σοι καὶ αὐτὸς μέλος εἰς ἔρωτα τῷ σοφῷ

---

κύκλον PVL. Καὶ ἅμα] καὶ ἅμα καὶ P. ἀνέκραγεν] ἀνέκραζεν B. πενίη] πενία B.

270 f. κατὰ τὸν Σωκράτην] Apud Platonem in Phaedro p. 241 e. σοὔστιν] σοῦ 'στι AC. σοῦ τίς BP. σοί τις VL. πλουτούντων AC. πλουτῶν PVL.

271 a. ψωμὸν ABC. ζωμὸν PVL. Heniochi versus om. C. V. 1. γὰρ Athenaei est. Heniochus haud dubie δὲ scripserat. V. 2. κωβιοὺς P. κωβίους L. κωβιδοὺς V. V. 3. ψῆττας B. ἐρυθίνους] Alibi ἐρυθρῖνος scribitur. V. 5. ἐλεδώνας P. Scribebatur ἐλεδώνας. τεκλάναι P. τεκλᾶναι VL.

271 b. Μασούριος Schweigh. editio. μασσούριος PVL. Trimetrum μέλος εἰς Ἔρωτα τῷ σοφῷ καὶ φιλτάτῳ notavit Casaubonus.

φῷ καὶ φιλοσόφῳ Δημοκρίτῳ. Φίλιππος δ' ὁ Θεαγγελεὺς ἐν τῷ περὶ Καρῶν καὶ Λελέγων συγγράμματι καταλέξας τοὺς Λακεδαιμονίων εἵλωτας καὶ τοὺς Θετταλικοὺς πενέστας, καὶ Κᾶράς φησι τοῖς Λέλεξιν ὡς οἰκέταις χρήσασθαι πάλαι τε καὶ νῦν. Φύλαρχος δ' ἐν ἕκτῃ ἱστοριῶν καὶ Βυ-
c ζαντίους φησὶν οὕτω Βιθυνῶν δεσπόσαι ὡς Λακεδαιμονίους τῶν εἱλώτων. περὶ δὲ τῶν παρὰ Λακεδαιμονίοις ἐπευνάκτων καλουμένων, δοῦλοι δ' εἰσὶ καὶ οὗτοι, σαφῶς ἐκτίθεται Θεόπομπος διὰ τῆς δευτέρας καὶ τριακοστῆς τῶν ἱστοριῶν λέγων οὕτως „Ἀποθανόντων πολλῶν Λακεδαιμονίων ἐν τῷ πρὸς Μεσσηνίους πολέμῳ οἱ περιλειφθέντες εὐλαβηθέντες μὴ καταφανεῖς γένωνται τοῖς ἐχθροῖς ἐρημωθέντες ἀνεβίβασαν τῶν εἱλώτων ἐφ' ἑκάστην στιβάδα
d τῶν τετελευτηκότων τινάς· οὓς καὶ πολίτας ὕστερον ποιήσαντες προσηγόρευσαν ἐπευνάκτους, ὅτι κατετάχθησαν ἀντὶ τῶν τετελευτηκότων εἰς τὰς στιβάδας." ὁ δ' αὐτὸς ἱστορεῖ κἀν τῇ τριακοστῇ καὶ τρίτῃ τῶν ἱστοριῶν παρὰ Σικυωνίοις κατωνακοφόρους καλεῖσθαι δούλους τινάς, παραπλησίους ὄντας τοῖς ἐπευνάκτοις. τὰ παραπλήσια ἱστορεῖ καὶ Μέναιχμος ἐν τοῖς Σικυωνιακοῖς. κατωνακοφόρους καλεῖσθαι δούλους τινάς, παραπλησίους ὄντας τοῖς ἐπευνάκτοις. ἔτι Θεόπομπος ἐν τῇ δευτέρᾳ τῶν Φιλιππικῶν Ἀρ-
e καδίους φησὶ κεκτῆσθαι προσπελατῶν, ὥσπερ εἱλώτων, τριάκοντα μυριάδας.

102. Οἱ δὲ μόθακες καλούμενοι παρὰ Λακεδαιμονίοις ἐλεύθεροι μέν εἰσιν, οὐ μὴν Λακεδαιμόνιοι. λέγει δὲ περὶ αὐτῶν Φύλαρχος ἐν τῇ πέμπτῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν οὕτως „Εἰσὶ δ' οἱ μόθακες σύντροφοι τῶν Λακεδαιμο-

---

μῖλος εἰς ἔρωτα Philoxenus Cytherius dixerat: vide XV. p. 692 d. ἐν τῷ περὶ] ἐν περὶ B.

271 c. οὕτω Βιθυνῶν] οὕτως. βιθυνῶν B. δεσπόσαι A. δεσπόσαι B. δεσπότας PVL. βυζάντιοι οὕτω βιθυνῶν ἐδέσποσαν C. ἐπευνάκτων] ἐπευάκτων B.

271 d. ἐπευνάκτους] ἐπευάκτους B. κατωνακοφόρους utroque loco Palmerius Exercitatt. p. 506. Libri κατανακοφόρους. ἐπευνάκτοις] ἐπεναντίοις B. κατωνακοφόρους — ἐπευνάκτοις om. B. τῇ δευτέρᾳ] β' B. Ἀρκαδίους] ἀρκάδας C. Ἀρδιαίους Casaubonus comparato X. p. 443 b. ubi Ἀρδιαῖοι vocantur.

νίων. ἕκαστος γὰρ τῶν πολιτικῶν παίδων, ὡς ἂν καὶ τὰ
ἴδια εὐπορῶσιν, οἱ μὲν ἕνα, οἱ δὲ δύο, τινὲς δὲ πλείους
ποιοῦνται συντρόφους αὑτῶν. εἰσὶν οὖν οἱ μόθακες ἐλεύ-
f θεροι μὲν, οὐ μὴν Λακεδαιμόνιοι, μετέχουσι δὲ τῆς παι-
δείας πάσης. τούτων ἕνα φασὶ γενέσθαι καὶ Λύσανδρον
τὸν καταναυμαχήσαντα τοὺς Ἀθηναίους, πολίτην γενό-
μενον δι' ἀνδραγαθίαν." Μύρων δ' ὁ Πριηνεὺς ἐν δευ-
τέρῳ Μεσσηνιακῶν „Πολλάκις (φησὶν) ἠλευθέρωσαν Λα-
κεδαιμόνιοι δούλους, καὶ οὓς μὲν ἀφέτας ἐκάλεσαν, οὓς
δὲ ἀδεσπότους, οὓς δὲ ἐρυκτῆρας, δεσποσιοναύτας δ' ἄλλους,
οὓς εἰς τοὺς στόλους κατέτασσον· ἄλλους δὲ νεοδαμώδεις, ἑτέ-
ρους ὄντας τῶν εἱλώτων." Θεόπομπος δ' ἐν ἑβδόμῃ Ἑλληνι-
272 κῶν περὶ τῶν εἱλώτων λέγων ὅτι καὶ Ἑλεᾶται καλοῦνται
γράφει οὕτως „Τὸ δὲ τῶν εἱλώτων ἔθνος παντάπασιν
ὠμῶς διάκειται καὶ πικρῶς· εἰσὶ γὰρ οὗτοι καταδεδουλω-
μένοι πολὺν ἤδη χρόνον ὑπὸ τῶν Σπαρτιατῶν, οἱ μὲν
αὐτῶν ἐκ Μεσσήνης ὄντες, οἱ δ' Ἑλεᾶται κατοικοῦντες
πρότερον τὸ καλούμενον Ἕλος τῆς Λακωνικῆς."

103. Τίμαιος δ' ὁ Ταυρομενίτης ἐκλαθόμενος αὑτοῦ,
ἐλέγχει δ' αὐτὸν εἰς τοῦτο Πολύβιος ὁ Μεγαλοπολίτης διὰ
τῆς δωδεκάτης τῶν ἱστοριῶν, οὐκ εἶναι ἔφη σύνηθες τοῖς
b Ἕλλησι δούλους κτᾶσθαι· αὐτὸς εἰπὼν ὁ Ἐπιτίμαιος,
οὕτως δ' αὐτὸν καλεῖ Ἴστρος ὁ Καλλιμάχειος ἐν ταῖς πρὸς
αὐτὸν ἀντιγραφαῖς, εἰπὼν γὰρ ὅτι Μνάσων ὁ Φωκεὺς
πλείους ἐκέκτητο δούλους τῶν χιλίων, κἀν τῇ τρίτῃ δὲ
τῶν ἱστοριῶν ὁ Ἐπιτίμαιος ἔφη οὕτως εὐδαιμονῆσαι τὴν
Κορινθίων πόλιν ὡς κτήσασθαι δούλων μυριάδας ἓξ καὶ
τεσσαράκοντα. δι' ἃς ἡγοῦμαι καὶ τὴν Πυθίαν αὐτοὺς

---

271 e. πολιτικῶν παίδων ACPV. πολιτῶν παίδων B. πολιτῶν παῖδας L et Hoeschelius. Λακεδαιμόνιοι] λακεδαιμόνιοί τε BP. Fortasse γε voluerunt.

271 f. παιδείας] παιδιᾶς ABP. δεσποσ. δ' AC. Aberat δ'. νεοδαμώδεις] νεοδαμώδης B.

272 a. Ἑλεᾶται bis dedi. εἱλεᾶται PVL. γράφει] δὲ add. P. Μεσσήνης] μεσήνης C. αὐτοῦ] αὐτοῦ ABP. ἑαυτοῦ CVL. εἰς τοῦτο om. B. Πολύβιος] Vol. III. p. 305.

272 b. Ἴστρος] ὁ ἴστρος B. καλλιμάχειος C. Scribebatur Καλλιμάχιος.

κεκλῆσθαι χοινικομέτρας. Κτησικλῆς δ' ἐν τρίτῃ Χρονικῶν
c . . . καὶ δεκάτῃ πρὸς ταῖς ἑκατόν φησιν ὀλυμπιάδι Ἀθήνησιν ἐξετασμὸν γενέσθαι ὑπὸ Δημητρίου τοῦ Φαληρέως τῶν κατοικούντων τὴν Ἀττικὴν καὶ εὑρεθῆναι Ἀθηναίους μὲν δισμυρίους πρὸς τοῖς χιλίοις, μετοίκους δὲ μυρίους, οἰκετῶν δὲ μυριάδας τεσσαράκοντα. Νικίας δ' ὁ Νικηράτου, ὡς ὁ καλὸς ἔφη Ξενοφῶν ἐν τῷ περὶ πόρων, χιλίους ἔχων οἰκέτας ἐμίσθωσεν αὐτοὺς εἰς τὰ ἀργύρεια Σωσίᾳ τῷ Θρᾳκί, ἐφ' ᾧ ὀβολὸν ἕκαστον τελεῖν τῆς ἡμέ-
d ρας. Ἀριστοτέλης δ' ἐν Αἰγινητῶν πολιτείᾳ καὶ παρὰ τούτοις φησὶ γενέσθαι ἑπτὰ καὶ τεσσαράκοντα μυριάδας δούλων. Ἀγαθαρχίδης δ' ὁ Κνίδιος ἐν τῇ ὀγδόῃ καὶ τριακοστῇ τῶν Εὐρωπιακῶν Δαρδανεῖς φησι δούλους κεκτῆσθαι τὸν μὲν χιλίους, τὸν δὲ καὶ πλείους. τούτων δ' ἕκαστον ἐν μὲν εἰρήνῃ γεωργεῖν, ἐν πολέμῳ δὲ λοχίζεσθαι, ἡγεμόνα νέμοντας τὸν ἴδιον δεσπότην.

104. Πρὸς ταῦτ' ἀπαντήσας ὁ Λαρήνσιος ἔφη, Ἀλλὰ Ῥωμαίων ἕκαστος, οἶδας δ' ἀκριβῶς ταῦτα, ὦ καλὲ Μα-
e σούριε, πλείστους ὅσους κεκτημένος οἰκέτας. καὶ γὰρ μυρίους καὶ δισμυρίους καὶ ἔτι πλείους δὲ πάμπολλοι κέκτηνται, οὐκ ἐπὶ προσόδοις δέ, ὥσπερ ὁ τῶν Ἑλλήνων ζάπλουτος Νικίας, ἀλλ' οἱ πλείους τῶν Ῥωμαίων συμπροϊόντας ἔχουσι τοὺς πλείστους. καὶ αἱ πολλαὶ δὲ αὗται Ἀττικαὶ μυριάδες τῶν οἰκετῶν δεδεμέναι εἰργάζοντο τὰ μέταλλα.

---

τρίτῃ Χρονικῶν] τῇ γ' χρονικῶν B.

272 c. Lacunam indicavit Casaubonus. Olympiadem CXVII. restituit Sainte - Croix in Commentatt. Acad. Inscriptionum vol. XLVIII. p. 64.: olympiadem CXVIII. Scaliger. „*Scripta lectio hoc modo corrupta*, φησὶν ἐν τρίτῳ καὶ δεκάτῳ πρὸς ταῖς ἑκατόν.“ Casaubonus. Scriptam lectionem dicit lectionem epit. Hoeschelianae, quacum consentit C. καὶ δεκάτῃ] η ι B. ἑκατόν] ρ' B. ὀλυμπιάδι L. ὀλυμπιάσιν V. ὀλυμπιάδ non expressa ultima littera C. ὀλυμπιάδα AP: quae si vera scriptura est, scribendum κατὰ τὴν ἑπτακαιδεκάτην — ὀλυμπιάδα. Vide annotationem. ἐν τῷ περὶ πόρων] IV, 14.

272 d. λοχίζεσθαι] χολίζεσθαι P. Μασούριε Schweigh. μασσούριε PVL. om. C.

272 e. πλείους δὲ] δὲ om. B. Ἀττικαὶ] αἱ ἀττικαὶ B.

Ποσειδώνιος γοῦν, οὗ συνεχῶς μέμνησαι, ὁ φιλόσοφος καὶ ἀποστάντας φησὶν αὐτοὺς καταφονεῦσαι μὲν τοὺς ἐπὶ τῶν
f μετάλλων φύλακας, καταλαβέσθαι δὲ τὴν ἐπὶ Σουνίῳ ἀκρόπολιν καὶ ἐπὶ πολὺν χρόνον πορθῆσαι τὴν Ἀττικήν. οὗτος δ' ἦν ὁ καιρὸς, ὅτε καὶ ἐν Σικελίᾳ ἡ δευτέρα τῶν δούλων ἐπανάστασις ἐγένετο· πολλαὶ δὲ αὗται ἐγένοντο καὶ ἀπώλοντο οἰκετῶν ὑπὲρ τὰς ἑκατὸν μυριάδας. σύγγραμμά τε ἐκδέδωκε περὶ τῶν δουλικῶν πολέμων Καικίλιος ὁ ῥήτωρ ὁ ἀπὸ Καλῆς ἀκτῆς, καὶ Σπάρτακος δὲ ὁ μονομάχος ἐκ Καπύης πόλεως Ἰταλικῆς ἀποδρὰς κατὰ τὰ Μιθριδατικὰ πολὺ πλῆθος ἀποστήσας οἰκετῶν, ἦν δὲ καὶ αὐτὸς οἰκέτης, Θρᾷξ τὸ γένος, κατέδραμε πᾶσαν Ἰταλίαν χρόνον οὐκ ὀλί-
273 γον πολλῶν δούλων καθ' ἑκάστην ἡμέραν συρρεόντων ὡς αὐτόν. καὶ εἰ μὴ ἀπέθανεν ἐν τῇ πρὸς Λικίνιον Κράσσον παρατάξει, οὐ τὸν τυχόντα ἂν ἱδρῶτα τοῖς ἡμεδαποῖς παρεσχήκει, ὡς ὁ κατὰ τὴν Σικελίαν Εὔνους.

105. Σώφρονες δ' ἦσαν καὶ πάντ' ἄριστοι οἱ ἀρχαῖοι Ῥωμαῖοι. Σκιπίων γοῦν ὁ Ἀφρικανὸς ἐπίκλην ἐκπεμπόμενος ὑπὸ τῆς συγκλήτου ἐπὶ τὸ καταστήσασθαι τὰς κατὰ τὴν οἰκουμένην βασιλείας, ἵνα τοῖς προσήκουσιν ἐγχειρισθῶσι, πέντε μόνους ἐπήγετο οἰκέτας, ὡς ἱστορεῖ
b Πολύβιος καὶ Ποσειδώνιος. καὶ ἑνὸς ἀποθανόντος κατὰ τὴν ὁδοιπορίαν ἐπέστειλε τοῖς οἰκείοις ἄλλον ἀντ' ἐκείνου πριαμένους πέμψαι αὐτῷ. Ἰούλιος δὲ Καῖσαρ, ὁ πρῶτος πάντων ἀνθρώπων περαιωθεὶς ἐπὶ τὰς Βρεττανίδας νήσους μετὰ χιλίων σκαφῶν, τρεῖς οἰκέτας τοὺς πάντας συνεπήγετο, ὡς Κόττας ἱστορεῖ ὁ τότε ὑποστρατηγῶν αὐτῷ ἐν τῷ περὶ τῆς Ῥωμαίων πολιτείας συγγράμματι, ὃ τῇ πατρίῳ ἡμῶν γέγραπται φωνῇ. ἀλλ' οὐ Σμινδυρίδης ὁ Συβαρίτης τοιοῦτος, ὦ Ἕλληνες, ὃς ἐπὶ τὸν Ἀγαρίστης τῆς Κλεισθένους θυγατρὸς ἐξορμῶν γάμον ὑπὸ χλιδῆς καὶ τρυφῆς χι-

---

μέμνησαι] μέμνηται BP.

272 f. Σουνίῳ] σουνίων B.   Μιθριδατικὰ L. μίθρια ἀττικὰ A. μίθρια ἀττικὰ PV.   τὸ γένος C. Aberat τὸ.

273 a. λικίνιον BP. Scribebatur Λικίννιον.   πάντ' B. πάντα PVL.   σκιπίων P, Basil. L et hic et infra. σκηπίων ABCV.

273 b. Ἀγαρίστης] Legebatur Ἀγαρόστης. Vide XII. p. 541 b.

λίους συνεπήγετο οἰκέτας, ἁλιεῖς καὶ ὀρνιθευτὰς καὶ μαγείρους. οὗτος δ' ὁ ἀνὴρ καὶ ἐνδείξασθαι βουλόμενος ὡς εὐδαιμόνως ἔζη, ὡς ἱστορεῖ Χαμαιλέων ὁ Ποντικὸς ἐν τῷ περὶ ἡδονῆς — τὸ δ' αὐτὸ βιβλίον καὶ ὡς Θεοφράστου φέρεται — οὐκ ἔφη τὸν ἥλιον ἐτῶν εἴκοσιν οὔτ' ἀνατέλλοντα οὔτε δυόμενον ἑορακέναι. καὶ τοῦτ' ἦν αὐτῷ μέγα καὶ θαυμαστὸν πρὸς εὐδαιμονίαν. οὗτος, ὡς ἔοικε, πρωῒ μὲν ἐκάθευδεν, ὀψὲ δ' ἠγείρετο, κατ' ἀμφότερα δυστυχῶν.
d ὁ δὲ Ποντικὸς Ἑστιαῖος καλῶς ἐκαυχᾶτο μήτε ἀνατέλλοντα μήτε καταδυόμενον ποτὲ τὸν ἥλιον ἑορακέναι, διὰ τὸ παιδείᾳ παντὶ καιρῷ προσέχειν, ὡς ὁ Νικαεὺς Νικίας ἱστορεῖ ἐν ταῖς Διαδοχαῖς.

106. Τί οὖν; οὐκ εἶχε καὶ Σκιπίων καὶ ὁ Καῖσαρ οἰκέτας; εἶχον, ἀλλ' ἐφύλασσον τοὺς πατρίους νόμους καὶ κεκολασμένως ἔζων τηροῦντες τὰ τῆς πολιτείας ἔθη. συνετῶν γάρ ἐστιν ἀνδρῶν ἐμμένειν τοῖς παλαιοῖς ζηλώμασι, δι' ὧν στρατευόμενοι κατεστρέφοντο τοὺς ἄλλους, καὶ λαμ-
e βάνοντες ἅμα τοῖς δοριαλώτοις καὶ εἴ τι χρήσιμον καὶ καλὸν ὑπῆρχε παρ' ἐκείνοις εἰς μίμησιν. ὅπερ ἐν τοῖς πάλαι χρόνοις ἐποίουν οἱ Ῥωμαῖοι. διαφυλάττοντες γὰρ ἅμα καὶ τὰ πάτρια μετῆγον παρὰ τῶν χειρωθέντων εἴ τι λείψανον καλῆς ἀσκήσεως εὕρισκον, τὰ ἄχρηστα ἐκείνοις ἐῶντες, ὅπως μηδ' εἰς ἀνάκτησιν ὧν ἀπέβαλον ἐλθεῖν ποτε δυνηθῶσι. παρὰ γοῦν τῶν Ἑλλήνων μηχανὰς καὶ ὄργανα πολιορκητικὰ μαθόντες, τούτοις αὐτῶν περιεγένοντο, Φοινίκων τε τὰ ναυτικὰ εὑρόντων, τούτοις αὐτοὺς κατεναυ-
f μάχησαν. ἔλαβον δὲ καὶ παρὰ Τυρρηνῶν τὴν σταδίαν μάχην φαλαγγηδὸν ἐπιόντων, καὶ παρὰ Σαυνιτῶν δὲ ἔμαθον θυρεοῦ χρῆσιν, παρὰ δὲ Ἰβήρων γαίσων. καὶ ἄλλα δὲ παρ' ἄλλων μαθόντες ἄμεινον ἐπεξειργάσαντο. μιμησάμε-

---

273 c. ἐνδείξασθαι] ἐνδεῖξαι B. ἑορακέναι] Scribebatur ἑωρακέναι hic et paullo post. ἠγείρετο] ἀνίστατο C.

273 d. ἔθη] ἔθει B.

273 e. δοριαλώτοις ABCV. δορυαλώτοις PL. διαφυλάττοντες] διαφυλάττον B. ἀπέβαλον] ἀπέλαβον P. τούτοις αὐτῶν — εὑρόντων add. ABL. om. PV.

273 f. Τυρρηνῶν] τυρηνῶν B. σταδίαν add. ABPL. om. V. ἐπιόντων] ἐπιόντα C. Σαυνιτῶν] σαμνιτῶν B.

καί τε κατὰ πάντα τὴν Λακεδαιμονίων πολιτείαν διετήρησαν αὐτὴν μᾶλλον ἢ ἐκεῖνοι. νῦν δὲ τὴν ἐκλογὴν τῶν χρησίμων ποιούμενοι παρὰ τῶν ἐναντίων συναποφέρονται καὶ τὰ μοχθηρὰ ζηλώματα.

274 107. Πάτριος μὲν γὰρ ἦν αὐτοῖς, ὥς φησι Ποσειδώνιος, καρτερία καὶ λιτὴ δίαιτα καὶ τῶν ἄλλων τῶν ὑπὸ τὴν κτῆσιν ἀφελὴς καὶ ἀπερίεργος χρῆσις, ἔτι δὲ εὐσέβεια θαυμαστὴ περὶ τὸ δαιμόνιον, δικαιοσύνη τε καὶ πολλὴ τοῦ πλημμελεῖν εὐλάβεια πρὸς πάντας ἀνθρώπους, μετὰ τῆς κατὰ γεωργίαν ἀσκήσεως. τοῦτο δ' ἔστιν ἐκ τῶν πατρίων θυσιῶν ἂν ἐπιτελοῦμεν ἰδεῖν. ὁδούς τε γὰρ πορευόμεθα τεταγμένας καὶ ὡρισμένας καὶ τεταγμένα φέρομεν καὶ λέ-
b γομεν ἐν ταῖς εὐχαῖς καὶ δρῶμεν ἐν ταῖς ἱερουργίαις, ἀφελῆ τε ταῦτα καὶ λιτά, καὶ οὐδὲν πλέον τῶν κατὰ φύσιν οὔτε ἠμφιεσμένοι καὶ περὶ τὰ σώματα ἔχοντες οὔτε ἀπαρχόμενοι, ἐσθῆτάς τε ἔχομεν καὶ ὑποδέσεις εὐτελεῖς πίλους τε ταῖς κεφαλαῖς περικείμεθα προβατείων δερμάτων δασεῖς, κεράμεα δὲ καὶ χαλκᾶ τὰ διακονήματα κομίζομεν, κἀν τούτοις βρωτὰ καὶ ποτὰ πάντων ἀπεριεργότατα, ἄτοπον ἡγούμενοι τοῖς μὲν θεοῖς πέμπειν κατὰ τὰ πάτρια, αὐτοῖς δὲ χορηγεῖν κατὰ τὰ ἐπείσακτα. καίτοι γε τὰ μὲν
c εἰς ἡμᾶς δαπανώμενα τῇ χρείᾳ μετρεῖται, τὰ δ' εἰς τοὺς θεοὺς ἀπαρχαί τινές εἰσι.

108. Μούκιος γοῦν Σκευόλας τρίτος ἐν Ῥώμῃ τὸν Φάννιον ἐτήρει νόμον αὐτὸς καὶ Αἴλιος Τουβέρων καὶ Ῥουτίλιος Ῥοῦφος ὁ τὴν πάτριον ἱστορίαν γεγραφώς. ἐκέλευε δ' ὁ νόμος τριῶν μὲν πλείονας τῶν ἔξω τῆς οἰκίας μὴ ὑποδέχεσθαι, κατὰ ἀγορὰν δὲ τῶν πέντε. τοῦτο δὲ τρὶς τοῦ μηνὸς ἐγίνετο. ὀψωνεῖν δὲ πλείονος τῶν δυοῖν

---

αὐτὴν AC. αὐτοὶ PVL.

274 a. δικαιοσύνη τε C. δικαιοσύνη δὲ PVL. λέγομεν ἐν] ἐν om. B.

274 b. ἀπαρχόμενοι ABC et epitome Hoeschelii. ἀπερχόμενοι PVL. πίλους] πλείους A. προβατείων C. προβατίων PVL.

274 c. Φάννιον Schweigh. Scribebatur Φάνιον. αὐτὸς καὶ Αἴλιος Mercerus ad Nonium Marcell. p. 206 ναῦτος (ναῦτος P) καικίλιος PVL. ἐγίνετο B. Legebatur ἐγένετο. πλείονας] πλείους epitome. δυοῖν PVL. δυεῖν AB. δύο C.

δραχμῶν καὶ ἡμίσους οὐκ ἐπέτρεπε. κρέως δὲ καπνιστοῦ πεντεκαίδεκα τάλαντα δαπανᾶν εἰς τὸν ἐνιαυτὸν ἐπεχώρει,
d καὶ ὅσα γῆ φέρει λάχανα καὶ ὀσπρίων ἑψήματα. σμικρᾶς δὲ πάνυ τῆς δαπάνης ὑπαρχούσης, διὰ τὸ τοὺς παρανομοῦντας καὶ ἀφειδῶς ἀναλίσκοντας ἀνατετιμηκέναι τὰ ὤνια, πρὸς τὸ ἐλευθεριώτερον νομίμως προήρχοντο. ὁ μὲν γὰρ Τουβέρων παρὰ τῶν ἐν τοῖς ἰδίοις ἀγροῖς ὄρνιθας ὠνεῖτο δραχμιαίους, ὁ δὲ Ῥουτίλιος παρὰ τῶν ἁλιευόντων αὐτοῦ δούλων τριωβόλου τὴν μνᾶν τοῦ ὄψου, καὶ μάλιστα τοῦ Θουριανοῦ καλουμένου. μέρος δ' ἐστὶ τοῦτο θαλασσίου κυνὸς οὕτω καλούμενον. ὁ δὲ Μούκιος παρὰ τῶν εὐχρη-
e στουμένων ὑπ' αὐτοῦ πρὸς τὸν αὐτὸν τύπον ἐποιεῖτο τὴν διατίμησιν. ἐκ τοσούτων οὖν μυριάδων ἀνθρώπων οὗτοι μόνοι τὸν νόμον ἐνόρκως ἐτήρουν καὶ δῶρον οὐδὲ τὸ μικρότατον ἐδέχοντο· οὗτοι δ' ἄλλοις ἐδίδοσαν καὶ φίλοις τοῖς ἀπὸ παιδείας ὁρμωμένοις μεγάλα. καὶ γὰρ ἀντείχοντο τῶν ἐκ τῆς στοᾶς δογμάτων.

109. Τῆς δὲ πολυτελείας τῆς νῦν ἀκμαζούσης πρῶτος ἡγεμὼν ἐγένετο Λεύκολλος, ὁ καταναυμαχήσας Μιθριδάτην,
f ὡς Νικόλαος ὁ περιπατητικὸς ἱστορεῖ. ἀφικόμενος γὰρ εἰς τὴν Ῥώμην μετὰ τὴν ἧτταν τὴν Μιθριδάτου ἔτι δὲ τὴν Τιγράνου τοῦ Ἀρμενίου καὶ θριαμβεύσας, λόγον τε ἀποδοὺς τῶν τοῦ πολέμου πράξεων, ὤκειλεν εἰς πολυτελῆ δίαιταν ἐκ τῆς παλαιᾶς σωφροσύνης, καὶ πρῶτος τρυφῆς εἰσηγητὴς Ῥωμαίοις ἐγένετο, καρπωσάμενος δυεῖν βασιλέων

---

πεντεκαίδεκα] Legebatur δεκαπέντε.

274 d. λάχανα] „Scripta lectio λαχάνων." Casaubonus. ὀσπρίων] ὀσπρέων A. δὲ πάνυ] καὶ πάνυ B. Θουριανοῦ] Θυριανοῦ AC. Vide annotationem.

274 e. ὑπ' αὐτοῦ] ὠνούμενος add. Basil. ex Budaei Comment. ling. Gr. p. 795. male intellectis Budaei verbis. τύπον] τόπον B. ἐκ τῆς] αὐτῆς τῆς B. Λεύκολλος] λεύκουλλος B. Vide ad XII. p. 543 a.

274 f. ἔτι δὲ] Legebatur ἔτι τε. ὤκειλεν C et epitome Hoeschelii recte: vide XII. p. 543 a, ubi eadem ex Nicolao referuntur. ᾤκει μὲν APV. ἥκει μὲν L: quam scripturam MSS. exemplarium dicit Casaubonus. Ῥωμαίοις] ῥωμαίων C. δυοῖν PVL. δυεῖν ABC. βασιλέων] Malim βασιλειῶν. Conf. ad XII. p. 543 a.

τῶν προειρημένων πλοῦτον. Κάτων δὲ ἐκεῖνος, ὡς Πολύβιος ἱστορεῖ ἐν τῇ πρώτῃ καὶ τριακοστῇ τῶν ἱστοριῶν, ἐδυσχέραινε καὶ ἐκεκράγει, ὅτι τινὲς τὰς ξενικὰς τρυφὰς εἰσή-
275 γαγον εἰς τὴν Ῥώμην, τριακοσίων μὲν δραχμῶν κεράμιον ταρίχων Ποντικῶν ὠνησάμενοι, καὶ μειράκια δ' εὔμορφα ὑπερβαλλούσης ἀγρῶν τιμῆς. πρότερον δὲ οὕτως ὀλιγοδεεῖς ἦσαν οἱ τὴν Ἰταλίαν κατοικοῦντες ὥστε καὶ καθ' ἡμᾶς ἔτι, φησὶν ὁ Ποσειδώνιος, οἱ σφόδρα εὐκαιρούμενοι τοῖς βίοις ἦγον τοὺς υἱοὺς ὕδωρ μὲν ὡς τὸ πολὺ πίνοντας, ἐσθίοντας δ' ὅ τι ἂν τύχῃ. καὶ πολλάκις, φησί, πατὴρ ἢ μήτηρ υἱὸν ἠρώτα πότερον ἀπίους ἢ κάρυα βούλεται δειπνῆσαι· καὶ τούτων τι φαγὼν ἠρκεῖτο καὶ ἐκοιμᾶτο. νῦν
b δέ, ὡς ὁ Θεόπομπος ἱστορεῖ ἐν τῇ πρώτῃ τῶν Φιλιππικῶν, οὐδείς ἐστι καὶ τῶν μετρίως εὐπορουμένων ὅστις οὐ πολυτελῆ μὲν τράπεζαν παρατίθεται, μαγείρους δὲ καὶ θεραπείαν ἄλλην πολλὴν κέκτηται καὶ πλείω δαπανᾷ τὰ καθ' ἡμέραν ἢ πρότερον ἐν ταῖς ἑορταῖς καὶ ταῖς θυσίαις ἀνήλισκον.

Ἐπεὶ δὲ εἰς ἱκανὸν μῆκος προὔβη τὰ τῶν ἀπομνημονευθέντων, αὐτοῦ καταπαύσωμεν τὸν λόγον.

---

Πολύβιος] Vol. IV. p. 538. τῶν om. B.

275 a. ἀγρῶν om. epitome Hoescheliana. ὡς τὸ πολὺ ABCPV. ὡς ἐπιτοπολὺ Basil. L. κάρυα] κάρυ B.

275 b. δὲ καὶ] τε καὶ B. ἀνήλισκον] ἀνάλισκον B.

